ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

26

ΟΜΙΛΙΕΣ
ΗΘΙΚΕΣ-ΑΓΙΟΓΡΑΦΙΚΕΣ

ΕΙΣΑΓΩΓΗ
ΚΕΙΜΕΝΟ – ΜΕΤΑΦΡΑΣΗ – ΣΧΟΛΙΑ
Ἀπὸ τὸν
ΣΠΥΡΟ ΜΟΥΣΤΑΚΑ
Θεολόγο–Φιλόλογο

Ἐπόπτης
ΠΑΝΑΓΙΩΤΗΣ Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου
Ἐπιμελητὴς
ΕΛΕΥΘΕΡΙΟΣ Γ. ΜΕΡΕΤΑΚΗΣ, Θεολόγος

Ε Π Ε

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1986

ΙΩΑΝΝΗΣ ΧΡΥΣΟΣΤΟΜΟΣ

Γ. Μπακατσέλου 3, Θεσσαλονίκη
Τ. Θ. 400 90. 560 10 Θεσσαλονίκη
Τηλ. 031/283 280. Οἰκίας 031/696 653.

ΕΙΣΑΓΩΓΗ

Ὁ τόμος αὐτὸς περιέχει 16 ὁμιλίες καὶ λόγους τοῦ Χρυσοστόμου σὲ θέματα τῆς Καινῆς Διαθήκης. Οἱ ὁμιλίες αὐτές, ποὺ τὸ περιεχόμενό τους εἶναι ποικίλο, χωρίζονται σὲ τρεῖς ἑνότητες.

Ἡ πρώτη ἑνότητα ἀποτελεῖται ἀπὸ τὶς πέντε πρῶτες ὁμιλίες ποὺ ἀναφέρονται σὲ θέματα καὶ χωρία τῶν Εὐαγγελίων, ἡ δεύτερη ἀπὸ τὶς τέσσερις ὁμιλίες στὶς Πράξεις τῶν ἀποστόλων καὶ ἡ τρίτη ἀποτελεῖται ἀπὸ τρεῖς ὁμιλίες στὸν ἀπόστολο Παῦλο καὶ τέσσερις σὲ χωρία ἐπιστολῶν του.

Πρώτη ὁμιλία εἶναι ἡ ἀναφερόμενη στὴν παραβολὴ τοῦ κακοῦ δούλου (Ματθ. 18,23–35). Στὴν ὁμιλία του αὐτὴ ὁ Χρυσόστομος ἐμφανίζεται στὸ ἀκροατήριό του ὕστερα ἀπὸ μακρὰ ἀπουσία, ποὺ ὀφειλόταν σὲ δική του ἀσθένεια. Στὴν ἀρχὴ προτρέπει τοὺς πιστοὺς νὰ ἐμβαθύνουν στὰ θεῖα λόγια καὶ ἐκφράζει τὴν ἱκανοποίησή του γιὰ τὰ ἀποτελέσματα τῆς τελευταίας του ὁμιλίας μὲ θέμα τὸν ὅρκο· μιλάει γιὰ τὴν ὑπεροψία τῆς ὀργῆς, ποὺ τὴ χαρακτηρίζει «πάθος τυραννικό», καὶ τὴ μνησικακία καὶ διηγεῖται ὅλη τὴν παραβολή. Στὴ συνέχεια ἀναφέρει τὴν αἰτία τῆς παραβολῆς, σημειώνοντας τὴ μεγάλη φιλανθρωπία τοῦ Θεοῦ, καὶ προχωρεῖ σὲ ἀναλυτικὴ ἑρμηνεία τῆς παραβολῆς, παρατηρώντας πὼς ὅλοι θὰ δώσουμε λόγο ἐνώπιον τοῦ Θεοῦ ὄχι μόνο γιὰ τὰ ἔργα μας, ἀλλὰ καὶ γιὰ τὴ σκέψη μας. Τονίζει τὴ δύναμη τῶν παρακλήσεων καὶ τῆς προσευχῆς, ὑπενθυμίζει τὴ χρησιμότητα τῆς διαρκοῦς ἀνάμνησης τῶν παραπτωμά-

των μας καὶ τελειώνει μὲ ἀναφορὰ στὴ μνησικακία καὶ μὲ προτροπὴ γιὰ συμφιλίωση μὲ ὅλους τοὺς ἐχθρούς μας. Τὸ κείμενο τῆς ὁμιλίας εἶναι παρμένο ἀπὸ τὴν ἔκδοση τοῦ B. Montfaucon.

Η ἑπόμενη ὁμιλία ἔχει τὸ ἴδιο θέμα καὶ τὸ ἴδιο περιεχόμενο μὲ τὴν προηγούμενη, εἶναι ὅμως πολὺ πιὸ σύντομη. Τὸ κείμενο τῆς ὁμιλίας αὐτῆς, καθὼς καὶ τῆς τελευταίας αὐτοῦ τοῦ τόμου, ἀνήκει σὲ μιὰ σειρὰ ὁμιλιῶν ποὺ δημοσιεύονται στὸν 64ο τόμο τῆς Πατρολογίας τοῦ Migne. Οἱ δύο ὁμιλίες φαίνεται πὼς δὲν ἀνήκουν στὸν Ἰωάννη Χρυσόστομο.

Ἡ ὁμιλία στὸ *«Πατέρα, ἂν εἶναι δυνατὸ ἂς ἀποφύγω τὸ ποτήρι αὐτό...»* εἶναι ἑρμηνευτικὴ μὲ δογματικὸ περιεχόμενο καὶ ἀποτελεῖται ἀπὸ τέσσερα μέρη. Ὁ Χρυσόστομος ἀρχίζει μὲ ἑρμηνεία τοῦ χωρίου (Ματθ. 26,39) καὶ θυμίζει τὶς ἀναφερόμενες προφητεῖες τῆς Παλαιᾶς Διαθήκης στὴ σταύρωση τοῦ Χριστοῦ. Στὸ δεύτερο μέρος τονίζει τὴ σημασία καὶ τὴν ἀξία τῆς σταύρωσης, παρατηρώντας πὼς «ὁ σταυρὸς εἶναι τὸ θέλημα τοῦ Πατέρα, ἡ δόξα τοῦ Υἱοῦ, ἡ ἀγαλλίαση τοῦ Πνεύματος, τὸ καύχημα τοῦ Παύλου, τὸ σημεῖο τὸ θαυμαστὸ καὶ παράδοξο». Στὸ τρίτο μέρος λέγει πὼς ὁ Ἰησοῦς δέχθηκε τὴ σταυρικὴ θυσία μὲ τὴ θέλησή του καὶ ἀναφέρεται σὲ γεγονότα τῆς Π. Διαθήκης ποὺ προεικονίζουν τὸ τόσο παράδοξο μυστήριο τῆς σταύρωσης. Στὸ τελευταῖο μέρος τῆς ὁμιλίας στρέφεται κατὰ τῶν ὀπαδῶν τοῦ Μαρκίωνα, τοῦ Οὐαλλεντίνου καὶ τοῦ Μανιχαίου, καθὼς καὶ ἄλλων γνωστικῶν αἱρετικῶν, τονίζει πὼς ὁ Χριστὸς διδάσκει μὲ λόγια καὶ μὲ ἔργα, κάμνει μιὰ σύντομη ἀναφορὰ στὴν Κυριακὴ προσευχὴ καὶ τελειώνει μὲ διάφορες συμβουλὲς πρὸς τοὺς πιστούς. Ἡ ὁμιλία ἐκφωνήθηκε πιθανότατα στὴν Ἀντιόχεια. Τὸ κείμενο λαμβάνεται ἀπὸ τὴν Πατρολογία τοῦ Migne.

Στὴν ὁμιλία *Γιὰ τὴ σύμφωνη μὲ τὸ θέλημα τοῦ Θεοῦ ζωὴ* ὁ ἱερὸς Χρυσόστομος καλεῖ τοὺς ἀκροατές του σὲ προσεκτικὴ ἀκρόαση τοῦ λόγου τοῦ Θεοῦ καὶ τονίζει πὼς οἱ βιοτικὲς μέριμνες καὶ οἱ φιλήδονες σκέψεις ἀπασχολοῦν περισσότερο τοὺς ἀνθρώπους. Στὴ συνέχεια συμβουλεύει ν' ἀποφεύγουμε τὶς

φλυαρίες στὶς προσευχές μας καὶ ἑρμηνεύει τὸ «Πάτερ ἡμῶν». Τὸ κείμενο τῆς ὁμιλίας εἶναι ἀπὸ τὴν Πατρολογία τοῦ Migne.

Ἡ ὁμιλία *Στὸν Παραλυτικό*, ἡ τελευταία τῆς α΄ ἑνότητας, εἶναι ἑρμηνευτική, ἔχει ὅμως δογματικὸ καθὼς καὶ ἠθικὸ χαρακτήρα. Στὴν ἀρχὴ ὁ ὁμιλητὴς τονίζει τὴν ἀξία τοῦ πνευματικοῦ πλούτου σὲ σχέση μὲ τὰ ὑλικὰ ἀγαθὰ καὶ μιλώντας γιὰ τὸν ἀναφερόμενο ἀπὸ τὸν Ἰωάννη (5,1–15) παραλυτικὸ λέγει ὅτι ἡ ἀρρώστια του εἶναι παράδειγμα ὑπομονῆς, καρτερικότητας καὶ φανέρωσης τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ παρατηρεῖ πὼς στοὺς πειρασμοὺς μᾶς στηρίζει ὁ Θεός. Στὴ συνέχεια κάμνει λόγο γιὰ τὸν παραλυτικὸ ποὺ ἀναφέρει ὁ Ματθαῖος, καθὼς καὶ ὁ Μάρκος καὶ ὁ Λουκᾶς. Τονίζει μὲ παραδείγματα πὼς δὲν ὑπάρχει διαφωνία στοὺς εὐαγγελιστὲς καὶ ἀποδεικνύει ἀπὸ τὸν τόπο, τὴν περίσταση, τὴν ἡμέρα καὶ ἰδιαίτερα ἀπὸ τὸν τρόπο θεραπείας πὼς πρόκειται γιὰ δύο διαφορετικοὺς παραλυτικοὺς καὶ σημειώνει ὅτι πηγή, ρίζα καὶ μητέρα ὅλων τῶν κακῶν εἶναι ἡ ἁμαρτία. Ἔπειτα τονίζει τὴν ἰσοτιμία τοῦ Χριστοῦ πρὸς τὸν Πατέρα καὶ τελειώνει μὲ προτροπὲς γιὰ συχνὴ παρουσία στὴν ἐκκλησία, γιὰ περιφρόνηση τῶν παρόντων ἀγαθῶν καὶ γιὰ ὑπομονὴ σὲ ὅλες τὶς συμφορὲς ποὺ μᾶς συμβαίνουν, ἀναφέροντας τὸ παράδειγμα τοῦ Ἰὼβ καὶ τῶν ἀποστόλων. Τὸ κείμενο τῆς ὁμιλίας εἶναι ἀπὸ τὴν ἔκδοση τοῦ B. Montfaucon.

Ἡ δεύτερη ἑνότητα τῶν ὁμιλιῶν, ὅπως προαναφέρθηκε, ἀποτελεῖται ἀπὸ τέσσερις ὁμιλίες μὲ κύριο ἄξονα τὴν ἀρχὴ τοῦ βιβλίου τῶν Πράξεων. Οἱ ὁμιλίες αὐτὲς ἐκφωνήθηκαν στὴν Ἀντιόχεια γύρω στὸ 388 καὶ δὲν ἀνήκουν στὴ σειρὰ τῶν ὁμιλιῶν τοῦ Χρυσοστόμου στὶς Πράξεις ποὺ ἐκφωνήθηκαν γύρω στὸ 400 στὴν Κωνσταντινούπολη καὶ δημοσιεύονται στοὺς τόμους 15–17 τῶν ἀπάντων τοῦ Ἰω. Χρυσοστόμου τῆς σειρᾶς αὐτῆς. Τὸ κείμενό τους εἶναι ἀπὸ τὴν Πατρολογία τοῦ Migne.

Ἡ πρώτη ὁμιλία, μὲ τίτλο *Σ' αὐτοὺς ποὺ ἐγκατέλειψαν τὴ σύναξη τῆς ἐκκλησίας*, χωρίζεται σὲ πέντε μέρη. Στὰ δύο πρῶτα μέρη ὁ Χρυσόστομος ἐκδηλώνει τὴ χαρά του γιὰ τοὺς παρόντες

καὶ τὸν πόνο του γιὰ τοὺς ἀπόντες, ποὺ χάνουν πολλά· σημειώνει πὼς κακὸς δὲν εἶναι ὁ πλοῦτος ἀλλὰ ἡ παράνομη χρήση του καὶ καλεῖ τοὺς παρόντες νὰ μεταφέρουν τὰ θεῖα λόγια στοὺς ἀπόντες. Στὸ τρίτο καὶ τέταρτο θέτει καὶ σχετικὰ μὲ τὶς Πράξεις ζητήματα ποὺ θὰ τὸν ἀπασχολήσουν στὴ συνέχεια, ἀναφέρεται στοὺς νεοφώτιστους καὶ τελειώνει μὲ προτροπὲς καὶ νουθεσίες γιὰ καλὴ συμπεριφορὰ καὶ ζωή.

Ἡ δεύτερη ὁμιλία ἔχει τίτλο, *Ὅταν ἔγινε σύναξη στὴν παλαιὰ ἐκκλησία* καὶ διαιρεῖται σὲ ἕξι μέρη. Στὸ πρῶτο τονίζει τὴ σταθερότητα καὶ τὴν ὀχύρωση τῆς Ἐκκλησίας· λέγει ὅτι οἱ ἀπόστολοι ἔκτισαν τὸ οἰκοδόμημά τους ἐπάνω στὸ θεμέλιο τῶν προφητῶν καὶ ἀναφερόμενος στὴν ἐπιγραφὴ τῶν Πράξεων δείχνει τὴ διαφορὰ πράξεως καὶ θαύματος. Ἡ πρώτη εἶναι κατόρθωμα ἀτομικῆς προσπάθειας, ἐνῶ τὸ δεύτερο εἶναι χάρισμα θείας δωρεᾶς καὶ φανέρωση θείας γενναιοδωρίας. Στὸ τρίτο καὶ τέταρτο τονίζει πὼς ἡ πράξη ἔχει μεγαλύτερη ἀξία ἀπὸ τὸ θαῦμα καὶ ὁδηγεῖ στὸν παράδεισο· ἀναφέρει πὼς ἡ ἀγάπη εἶναι τὸ χαρακτηριστικὸ γνώρισμα τῶν ἀποστόλων καὶ μαθητῶν τοῦ Χριστοῦ καὶ ἀπόδειξη ἄριστης συμπεριφορᾶς καὶ ἐνάρετης ζωῆς, καὶ παρατηρεῖ πὼς ἡ προσευχὴ εἶναι μεγάλο ὅπλο. Στὸ πέμπτο μέρος καλεῖ τοὺς πιστοὺς γιὰ καλὴ συμπεριφορά, ποὺ ἐπαινεῖται περισσότερο ἀπὸ τὰ θαύματα, ἐνῶ στὸ ἕκτο ἀναφέρει τὰ γνωρίσματα τῆς καλῆς συμπεριφορᾶς καὶ καταλήγει μὲ ἀναφορὰ στὴν ἐκκλησία τῆς Ἀντιόχειας καὶ στὸν ἐπίσκοπο τῆς πόλης.

Ἡ τρίτη ὁμιλία τῆς σειρᾶς αὐτῆς ἔχει τίτλο *Ὅτι εἶναι χρήσιμη ἡ ἀνάγνωση τῶν Γραφῶν* καὶ χωρίζεται σὲ ἕξι μέρη. Στὰ δύο πρῶτα μέρη τῆς ὁμιλίας ὁ Χρυσόστομος τονίζει τὴ μεγάλη ὠφέλεια ἀπὸ τὴν ἀνάγνωση τῶν Γραφῶν. Ἡ ἀνάγνωση τῶν θείων Γραφῶν, λέγει, εἶναι πνευματικὸ λιβάδι καὶ παράδεισος ἀπολαύσεων. Μὲ τὴν ἀδιάκοπη ἀνάγνωση ἡ ψυχή μας γίνεται ἀνίκητη σὲ κάθε κατάσταση. Στὸ τρίτο μέρος ὁδηγεῖ τοὺς ἀκροατές του ἀπὸ τις κοσμικὲς ἐξουσίες στὶς πνευματικές. Ἡ

ἀποστολικὴ ἐξουσία εἶναι ἡ μεγαλύτερη, ἡ κορυφὴ ὅλων τῶν ἄλλων πνευματικῶν ἐξουσιῶν, ἀλλὰ καὶ ἡ βάση καὶ ἡ ρίζα τους, γιατὶ ὁ ἀπόστολος συγκεντρώνει ὅλα τὰ πνευματικὰ χαρίσματα. Στὸ τέταρτο καὶ πέμπτο ἀναφέρεται πολὺ σύντομα στὰ γένη τῶν γλωσσῶν, ἐπικαλεῖται τὸν Παῦλο γιὰ νὰ ἐπιβεβαιώσει τὴν ἀξία τῶν ἀποστόλων καὶ ἀναφέρει μὲ τὰ ἀνάλογα παραδείγματα τὰ σύμβολα τῆς κοσμικῆς καὶ τῆς πνευματικῆς ἐξουσίας. Στὸ ἕκτο μέρος ἀπευθύνει παραινέσεις στοὺς νεοφώτιστους, ἀναφερόμενος στὴ φυσικὴ καὶ στὴν πνευματικὴ γέννηση καὶ προτρέποντας γιὰ συμφιλίωση, εἰρήνη καὶ ἀγάπη μὲ τὸ Θεό.

Ἡ τελευταία ὁμιλία τῆς ἑνότητας ἔχει τίτλο *Ὅτι δὲν εἶναι ἀκίνδυνο στοὺς ἀκροατὲς νὰ ἀποσιωποῦν τὰ λεγόμενα στὴν ἐκκλησία* καὶ ἀποτελεῖται ἀπὸ ἐννέα μέρη. Στὸ πρῶτο μέρος μιλάει γιὰ τὸ κακὸ ποὺ κάνει ὁ δανεισμὸς μὲ τόκο καὶ στὸν πλούσιο καὶ στὸ φτωχό· στὸ δεύτερο μεταφέρει τὸ λόγο στὰ πνευματικά, παρομοιάζει τὸ λόγο μὲ τὰ χρήματα καὶ καλεῖ τοὺς ἀκροατὲς νὰ μεταφέρουν τὸ λόγο τῆς διδασκαλίας στὰ σπίτια τους. Στὰ ἑπόμενα δύο μέρη συμβουλεύει νὰ φροντίζουμε γιὰ τοὺς δικούς μας καὶ ἐξηγεῖ γιατί ὁ Παῦλος, ὅπως καὶ οἱ ἄλλοι ἀπόστολοι, διακρίνει καιροὺς καὶ τόπους καὶ τηρεῖ καὶ ἄλλες παραγγελίες τοῦ νόμου. Στὸ πέμπτο μέρος ὑπενθυμίζει πὼς ὁ Χριστὸς μετὰ τὴν ἀνάστασή του συναναστράφηκε μὲ τοὺς μαθητές του γιὰ σαράντα ἡμέρες καὶ πὼς τὸ ἅγιο Πνεῦμα ἦρθε τὴν ἡμέρα τῆς Πεντηκοστῆς. Στὸ ἕκτο ἐξηγεῖ γιατί τὸ βιβλίο τῶν Πράξεων διαβάζεται τὴν περίοδο τῆς Πεντηκοστῆς, σημειώνοντας πὼς τὰ θαύματα τῶν ἀποστόλων ἀποτελοῦν καθαρὴ καὶ ἀναμφισβήτητη ἀπόδειξη τῆς ἀνάστασης τοῦ Χριστοῦ. Στὸ ἕβδομο λέγει ὅτι τὰ μετὰ τὴν ἀνάσταση θαύματα, ὅπως φαίνεται ἀπὸ τὴ Γραφή, εἶναι μεγαλύτερα καὶ ἀνώτερα καὶ ὡς πρὸς τὴ φύση καὶ ὡς πρὸς τὸν τρόπο ἐπιτέλεσής τους· στὸ ὄγδοο παρατηρεῖ πὼς ἡ ἀνάσταση τοῦ Χριστοῦ ἔφερε ἀλλαγὴ στὴ συμπεριφορὰ τῶν ἀποστόλων καὶ προκάλεσε φόβο καὶ τρόμο στοὺς ἐχθρούς του. Τέλος στὸ ἔνατο μέρος κάνει λόγο γιὰ τὴ φιλανθρωπία τοῦ Θεοῦ.

Ὁ Ἰωάννης Χρυσόστομος, ὅπως σημειώσαμε καὶ ἀλλοῦ, συμπαθεῖ ἰδιαίτερα τὸν ἀπόστολο Παῦλο. Ἔχει ἑρμηνεύσει ὅλες τὶς ἐπιστολές του, σὲ κάθε του ἔργο παραθέτει πολλὰ χωρία ἀπ' αὐτὲς καὶ πολλὲς ὁμιλίες του ἔχουν γιὰ θέμα κάποιο ρητὸ τοῦ Παύλου. Ἡ τρίτη ἑνότητα τοῦ τόμου ἀποτελεῖται ἀπὸ ὁμιλίες ποὺ ἀναφέρονται στὸν Παῦλο καὶ ἔχουν σχέση μὲ τὴν κλήση καὶ τὴ μεταστροφή του, καὶ ἀπὸ ὁμιλίες ἐπάνω σὲ ρητὰ τοῦ ἀποστόλου.

Ὁ Χρυσόστομος ἐκφώνησε στὴν Ἀντιόχεια ἑπτὰ ἐγκωμιαστικὲς ὁμιλίες *Στὸν ἅγιο ἀπόστολο Παῦλο*, ποὺ ἐκδόθηκαν στὸν 36ο τόμο. Στὸν ἴδιο ἐπίσης τόμο ἐκδόθηκε καὶ ἡ ὁμιλία *Καὶ ὁ Σαῦλος συνέχιζε νὰ ἔχει ἀπειλητικὲς καὶ φονικὲς διαθέσεις γιὰ τοὺς μαθητὲς τοῦ Κυρίου*, ποὺ εἶναι καὶ ἡ πρώτη στὴ σειρὰ τῶν ὁμιλιῶν ποὺ ἀκολουθοῦν. Οἱ ὁμιλίες αὐτὲς ἐκφωνήθηκαν στὴν Ἀντιόχεια ἀμέσως μετὰ τὶς ὁμιλίες *Στὴν ἀρχὴ τῶν Πράξεων*. Τὸ κείμενο τῶν τριῶν ὁμιλιῶν εἶναι ἀπὸ τὴν ἔκδοση τοῦ B. Montfaucon.

Ἡ πρώτη ὁμιλία, μὲ τίτλο *Σ' αὐτοὺς ποὺ κατηγοροῦν γιὰ τὸ μάκρος τῶν ὁμιλιῶν*, διαιρεῖται σὲ τέσσερα μέρη. Στὸ πρῶτο μέρος κάμνει ἔκκληση στοὺς ἀκροατές του νὰ ὑπομένουν καὶ τὸ μάκρος καὶ τὴ συντομία τῶν ὁμιλιῶν του. Στὸ δεύτερο καὶ τρίτο μέρος μιλάει πολὺ σύντομα γιὰ τὴν ἀλλαγὴ τῶν ὀνομάτων, φέρνοντας παραδείγματα ἀπὸ τὴν Π. Διαθήκη καὶ τοὺς ἐθνικούς, ἀναφέρεται ἰδιαίτερα στὴν ἀλλαγὴ τοῦ ὀνόματος τοῦ Παύλου καὶ ἐξετάζει μὲ τρόπο συστηματικὸ καὶ λεπτομερὴ γιατί ὁ Σαῦλος ὀνομάσθηκε Παῦλος. Στὴ συνέχεια κάνει λόγο γιὰ τὴ σημασία καὶ τὴν ἐξήγηση τῶν ὀνομάτων, τὸν ἀπασχολεῖ τὸ ζήτημα τῆς χορήγησης καὶ τῆς ἀλλαγῆς τῶν ὀνομάτων ἀπὸ τὸ Θεὸ σὲ πρόσωπα τῆς Π. καὶ τῆς Κ. Διαθήκης καὶ ἐξηγεῖ τὶς ὀνομασίες Ἐδὲμ καὶ Ἀδάμ. Στὸ τελευταῖο μέρος μιλάει γιὰ τὴ χρησιμότητα τῆς ὀνομασίας τοῦ Ἀδὰμ καὶ ἀναφέρεται στὴν ὀνομασία τοῦ Ἰσαάκ. Τελειώνει μὲ προτροπὲς στοὺς νεοφώτιστους νὰ μιμηθοῦν τὴν πραότητα, τὴ σωφροσύνη καὶ γενικὰ ὅλη τὴν ἀρετὴ τοῦ Ἰσαάκ.

Ἡ δεύτερη ὁμιλία ἔχει τίτλο *Σ' αὐτοὺς ποὺ κατηγόρησαν γιὰ τὸ μάκρος τῶν προοιμίων* καὶ χωρίζεται σὲ ἕξι μέρη. Στὸ πρῶτο ἀπαντάει, μὲ εὐγνωμοσύνη μάλιστα, στὶς ἐναντίον του κατηγορίες, τονίζοντας πὼς τὰ φιλήματα τοῦ ἐχθροῦ εἶναι ὕποπτα καὶ τὰ τραύματα τοῦ φίλου ἀπόδειξη φροντίδας καὶ ἐνδιαφέροντος, καὶ γι' αὐτὸ εἶναι προτιμότερα. Στὴ συνέχεια λέγει ὅτι εἶναι μεγάλο ἀγαθὸ τὸ νὰ δέχεται κανεὶς ἐλέγχους καὶ κατηγορίες μὲ εὐχαρίστηση καὶ χωρὶς νὰ ἐξαγριώνεται, καὶ τὸ νὰ μπορεῖ νὰ ἐλέγχει μὲ σωστὸ τρόπο. Στὸ δεύτερο μέρος ἀναφερόμενος στὸ Μωϋσῆ λέγει ὅτι κάθε ἄνθρωπος ἔχει ἀνάγκη ἀπὸ κάποιον σύμβουλο. Στὴν ἀρχὴ τοῦ τρίτου μέρους ἀπολογεῖται γιὰ τὰ μεγάλα προοίμια στὶς ὁμιλίες του. «Ὅπως τὸ σῶμα», λέγει, «χρειάζεται τὸ κεφάλι καὶ τὸ δένδρεο τὴ ρίζα καὶ ὁ ποταμὸς τὶς πηγές, ἔτσι καὶ ὁ λόγος χρειάζεται τὸ προοίμιο». Ἔπειτα ἔρχεται στὴν ἀλλαγὴ τῆς ὀνομασίας τοῦ Παύλου καί, παρατηρώντας πὼς ἡ ἀλλαγὴ ὀνόματος εἶναι δεῖγμα ἐξουσίας τοῦ Κυρίου ποὺ τὴν κάνει, ἀναφέρεται στὸ χρόνο τῆς ἀλλαγῆς τοῦ ὀνόματός του. Στὸ τέταρτο ἑρμηνεύει τὸ Πράξεων 9,1–5 ποὺ ἀναφέρεται στὴν κλήση καὶ μεταστροφὴ τοῦ Παύλου. Στὰ δύο τελευταῖα μέρη τονίζει πὼς ἡ κλήση τοῦ Παύλου δὲν ἦταν ἀποτέλεσμα ἐξαναγκασμοῦ, ἀλλὰ ὀφειλόταν στὴ δική του προαίρεση, καὶ τελειώνει μὲ τὴν παρατήρηση πὼς ὁ Θεὸς δὲν ἐξαναγκάζει τοὺς ἀνθρώπους, ἀλλὰ τοὺς προσελκύει μόνο μὲ τὴ θέλησή τους.

Ἡ τρίτη ὁμιλία ἔχει τίτλο *Ἐπίπληξη ἐναντίον τῶν ἀπόντων* καὶ ἀποτελεῖται ἀπὸ ἕξι μέρη. Στὸ πρῶτο μιλάει γιὰ τὴν ἐκκλησία, ποὺ τὴ χαρακτηρίζει «ὁ οἶκος τοῦ Θεοῦ, θεμέλιο ἀρετῆς, διδασκαλεῖο φιλοσοφίας», καὶ γιὰ τὴν ὠφέλεια ὅσων ἐκκλησιάζονται συχνά. Στὴ συνέχεια ἀναφέρει τὶς αἰτίες τῆς μὴ προσέλευσης τῶν πιστῶν στὶς ἐκκλησίες καὶ παρατηρεῖ πὼς «ὅσα συμβαίνουν στὴν ἐκκλησία εἶναι λουτρὸ πνευματικό, ποὺ μὲ τὴ φωτιὰ τοῦ ἁγίου Πνεύματος καθαρίζει κάθε ἀκαθαρσία». Στὸ δεύτερο μέρος συμβουλέει τοὺς παρόντες νὰ φροντίζουν μὲ

ὑπομονὴ γιὰ τοὺς ἀδελφούς τους μέχρι ποὺ νὰ ἐπιτύχουν τὸ ἐπιθυμητὸ ἀποτέλεσμα, γιὰ νὰ ἔχουν διπλὸ μισθό. Στὴν ὑπόλοιπη ὁμιλία, πρῶτα ἑρμηνεύει ἀναλυτικὰ τὸ «Παῦλος κλητὸς ἀπόστολος» (Α΄ Κορ. 1,1) καὶ τονίζει ὅτι δὲν ἀρκεῖ μόνο ἡ ἀνάγνωση τῶν Γραφῶν, ἀλλὰ χρειάζεται ἔρευνα καὶ ἐξέταση σὲ βάθος γιὰ ν' ἀνακαλυφθοῦν τὰ βαθύτερα νοήματα καὶ ὁ κρυμμένος σ' αὐτὲς θησαυρός. Στὴ συνέχεια μιλάει γιὰ τὴν ἵδρυση τῆς ἐκκλησίας τῆς Κορίνθου ἀπὸ τὸν Παῦλο, γιὰ τὴν κατάσταση, ὑλικὴ καὶ πνευματική, ποὺ ἐπικρατοῦσε στὶς ἀρχὲς στὴν πόλη, καὶ τελειώνει στρεφόμενος ἐναντίον τῆς ἀλαζονείας καὶ ὑπὲρ τῆς ταπεινοφροσύνης.

Ὁ τόμος ὁλοκληρώνεται μὲ τέσσερις ὁμιλίες ἐπάνω σὲ ρητὰ τοῦ ἀποστόλου Παύλου.

Ἡ πρώτη ὁμιλία ἔχει θέμα τὸ *«...καυχόμαστε ἀκόμη καὶ στὶς θλίψεις...»* καὶ διαιρεῖται σὲ τέσσερα μέρη. Στὸ πρῶτο μέρος τονίζει πὼς στὰ ὑλικὰ πράγματα οἱ κίνδυνοι εἶναι μεγάλοι, ἐνῶ οἱ ἐλπίδες εἶναι πρόσκαιρες, ἀβέβαιες καὶ μάταιες· ἀντίθετα στὰ πνευματικὰ οἱ ἐλπίδες εἶναι σταθερές, βέβαιες καὶ δὲν τελειώνουν μὲ τὴν παρούσα ζωή. Στὴ συνέχεια θέτει τὸ θέμα τῆς ὁμιλίας του καὶ ἀναφέρεται στὴν κατάσταση ποὺ ἐπικρατοῦσε στὶς ἀρχὲς τοῦ Χριστιανισμοῦ, λέγοντας ὅτι ἕνας φοβερὸς πόλεμος, μὲ ὅλα τὰ ἐπακόλουθά του, ἄναψε ἐναντίον τῶν πιστῶν. Στὸ δεύτερο καὶ τρίτο μέρος λέγει ὅτι ὁ Παῦλος περιορίζει τὰ κακά, τονίζοντας τὴν προσωρινότητά τους, καὶ μιλάει γιὰ τὰ ἀγαθὰ ποὺ χάρισε ὁ Θεὸς καὶ ἀπόλαυσαν στὴν παρούσα ζωὴ οἱ ἄνθρωποι, καθὼς καὶ γιὰ τὶς θλίψεις καὶ ὅλα τὰ δεινά τους. Στὸ τελευταῖο μέρος μεταφέρει τὸ λόγο του στὸν Παῦλο, ἑρμηνεύοντας τὸ Ρωμ. 5,3–5 καὶ τελειώνει μὲ προτροπὲς νὰ ὑποφέρουμε μὲ γενναιότητα τὶς θλίψεις, νὰ μὴ στενοχωριόμαστε πολὺ καὶ νὰ μὴ χάνουμε τὸ θάρρος μας στὴν ἐπίθεση τῶν πειρασμῶν, ποὺ ἀποσκοποῦν στὸ δικό μας συμφέρον. Τὸ κείμενο τῆς ὁμιλίας εἶναι ἀπὸ τὴν ἔκδοση τοῦ B. Montfaucon.

Στὴ σύντομη ὁμιλία ... *Σ' ἐκείνους ποὺ ἀγαποῦν τὸ Θεό...* ὁ

Χρυσόστομος ἀρχίζει ὅπως καὶ στὴν ὁμιλία του γιὰ τὴν παραβολὴ τοῦ κακοῦ δούλου, παρατηρώντας πὼς τὸ χρέος τῆς ἀγάπης δὲν τελειώνει ποτέ. Στὴ συνέχεια θέτει τὸ θέμα τῆς ὁμιλίας του καὶ στὴν ἑρμηνεία τοῦ Ρωμ. 8,28 ἀναφέρεται στὸν Παῦλο καὶ σὲ ὅσα συνέβηκαν σ' αὐτὸν καὶ στὸ Σίλα στοὺς Φιλίππους τῆς Μακεδονίας. Τελειώνει προτρέποντας νὰ μὴν παραβλέπουμε ποτὲ τὰ πνευματικὰ ζητήματα, νὰ μὴ στενοχωριόμαστε στὶς θλίψεις μας, ἀλλὰ νὰ ἀντιστεκόμαστε μὲ γενναιότητα σὲ ὅλους τοὺς πειρασμούς. Ἡ ὁμιλία ἐκφωνήθηκε μᾶλλον στὴν Ἀντιόχεια καὶ τὸ κείμενό της εἶναι ἀπὸ τὴν Πατρολογία τοῦ Migne.

Ἡ ὁμιλία στὸ *Ἂν πεινάει ὁ ἐχθρός σου...* χωρίζεται σὲ ἑπατὰ μέρη. Στὸ πρῶτο μέρος ὁ Χρυσόστομος παραπονεῖται γιὰ τὴν ἀδιαφορία ποὺ δείχνουν οἱ πιστοὶ γιὰ τὶς συνάξεις. Ἐπιθυμία τοῦ ὁμιλητῆ, λέγει, δὲν εἶναι τὸ χειροκρότημα, ἀλλὰ ἡ ὠφέλεια τῶν ἀκροατῶν του. Στὸ δεύτερο στρέφεται ἐναντίον ἐκείνων ποὺ μὲ διάφορες δικαιολογίες δὲν παίρνουν τακτικὰ μέρος στὶς συνάξεις καὶ χαρακτηρίζει τὴ πρόφαση ἀπόδειξη ἀδιαφορίας. Στὸ τρίτο καὶ τέταρτο μέρος ἀπευθύνεται στοὺς παρόντες, καταλογίζοντας σ' αὐτοὺς εὐθύνες γιὰ τὴν ἀδιαφορία τῶν ἀπόντων ἀδελφῶν, καλεῖ τοὺς πιστοὺς νὰ φροντίζουν πρῶτα γιὰ τὰ πνευματικὰ καὶ ὕστερα γιὰ τὰ βιοτικά, δείχνει τὸ ἀποκομιζόμενο κέρδος ἀπὸ τὶς συνάξεις καὶ τονίζει πὼς τὴν ἀκρόαση τῶν θείων λόγων πρέπει ὁπωσδήποτε νὰ τὴν ἀκολουθεῖ ἡ πράξη. Στὰ ὑπόλοιπα μέρη ἑρμηνεύει τὸ Ρωμ. 12, 20–21, ἀναφερόμενος στὴν περίπτωση τοῦ Σαοὺλ καὶ τοῦ Δαβὶδ καὶ καταλήγει μὲ προτροπὲς γιὰ συμφιλίωση μὲ τοὺς ἐχθροὺς καὶ γιὰ ἐξάλειψη τῆς ὀργῆς. Ἡ ὁμιλία ἐκφωνήθηκε μᾶλλον στὴν Κωνσταντινούπολη καὶ τὸ κείμενό της παίρνεται ἀπὸ τὴν ἔκδοση τοῦ B. Montfaucon.

Ἡ τελευταία ὁμιλία τοῦ τόμου ἔχει γιὰ θέμα της τὸ *«Κατανοῆστε τὸν ἀπόστολο καὶ ἀρχιερέα...»* (Ἑβρ. 3,1)· εἶναι ἑρμηνευτικὴ μὲ καθαρὸ δογματικὸ καὶ ἀπολογητικὸ περιεχόμενο καὶ ἀναφέρεται στὴν ἱερωσύνη τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ.

Ἡ ὁμιλία χωρίζεται σὲ τέσσερα μέρη. Στὸ πρῶτο ὁ ὁμιλητὴς στρέφεται ἐναντίον τῶν ὀπαδῶν τοῦ Ἀρείου καὶ ἄλλων αἱρετικῶν, ποὺ παρερμηνεύοντας τὸ παραπάνω χωρίο ὑποστήριζαν πὼς ὁ Υἱος καὶ Λόγος τοῦ Θεοῦ ἔχει κτισθεῖ. Στὸ δεύτερο ἑρμηνεύει τὸ χωρίο σὲ σχέση μὲ τὰ προηγούμενα καὶ τὰ ἑπόμενα, ἀνατρέπει τὶς ἀπόψεις τῶν αἱερετικῶν καὶ ὑποστηρίζει ὅτι ὁ Χριστὸς δὲν προϋπῆρχε προαιώνιος ἀρχιερέας, ἀλλ' ὅτι ἀναδείχθηκε ἀρχιερέας κατὰ τὴν ἐνανθρώπησή του καὶ ὅτι χρίσθηκε ἡ ἀνθρώπινη φύση του. Στὸ τρίτο μέρος λέγει πὼς ὁ Χριστὸς ἦρθε νὰ πραγματοποιήσει τὴν παλαιὰ ὑπόσχεση εὐλογίας τοῦ ἀνθρώπινου γένους. Ἡ ὑπόσχεση αὐτὴ ἦταν ἀδύνατο νὰ πραγματοποιηθεῖ χωρὶς τὴν ἀρχιερωσύνη τοῦ Χριστοῦ. Στὸ τελευταῖο μέρος ἀπευθύνει προτροπὴ στοὺς πιστοὺς νὰ συμμετέχουν συχνὰ τὸ μυστήριο τῆς θείας Εὐχαριστίας καὶ νὰ μὴ συγχέουν τὶς δύο φύσεις τοῦ Χριστοῦ.

Ἡ ὁμιλία φαίνεται πὼς δὲν ἀνήκει στὸ Χρυσόστομο καὶ ἔχει ἐκδοθεῖ στὸν 64ο τόμο τῆς Πατρολογίας τοῦ Migne, ὅπου κατέχει τὴν τελευταία θέση σὲ μιὰ σειρὰ ἐννέα ὁμιλιῶν.

Ὅλες οἱ ὁμιλίες τοῦ τόμου, ἐκτὸς ἀπὸ τὴ δεύτερη καὶ τὴν τελευταία, ἔχουν ἐκδοθεῖ σὲ μιὰ σειρὰ στὸν 51ο τόμο, στῆλες 17–185, τῆς Πατρολογίας τοῦ Migne.

ΚΕΙΜΕΝΟ–ΜΕΤΑΦΡΑΣΗ

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΗΝ ΠΑΡΑΒΟΛΗΝ ΤΟΥ ΤΑ ΜΥΡΙΑ ΤΑΛΑΝΤΑ ΟΦΕΙΛΟΝΤΟΣ ΚΑΙ ΤΑ ΕΚΑΤΟΝ ΔΗΝΑΡΙΑ ΑΠΑΙΤΟΥΝΤΟΣ

Καὶ ὅτι παντὸς ἁμαρτήματος τὸ μνησικακεῖν χεῖρον

1. Ὡς ἐκ μακρᾶς ἀποδημίας ἐπανελθὼν πρὸς ὑμᾶς, οὕτω διάκειμαι τήμερον· τοῖς γὰρ φιλοῦσιν, ὅταν μὴ δύνωνται συγγενέσθαι τοῖς φιλουμένοις, οὐδὲν ὄφελός ἐστι τῆς παρουσίας. Διά τοι τοῦτο καὶ ἡμεῖς ἐνδημοῦντες, τῶν ἀποδημούντων οὐδὲν ἄμεινον διακείμεθα, ἐπειδὴ τὸν παρελθόντα χρόνον διαλεχθῆναι πρὸς ὑμᾶς οὐκ ἰσχύσαμεν· ἀλλὰ σύγγνωτε, οὐδὲ γὰρ ῥᾳθυμίας, ἀλλὰ ἀσθενείας ἦν ἡ σιγή. Ὑμεῖς μὲν οὖν χαίρετε νῦν, ἐπειδὴ τῆς ἀρρωστίας ἀπηλλάγημεν· ἐγὼ δὲ χαίρω, ἐπειδὴ τὴν ὑμετέραν ἀπέλαβον ἀγάπην. Ἐπεὶ καὶ ἡνίκα ἠσθένουν, τῆς νόσου μοι χαλεπώτερον ἦν τὸ μὴ δύνασθαι τοῦ ἀγαπητοῦ τούτου μετέχειν συλλόγου· καὶ νῦν ἐπειδὴ τὴν ἀρρωστίαν ἀπεθέμην, τῆς ὑγιείας μοι ποθεινότερον γέγονε τὸ μετὰ ἀδείας ἔχειν ἐντρυφᾶν ὑμῶν τῇ ἀγάπῃ. Οὐδὲ γὰρ οὕτω πυρετὸς σώματος φύσει κατακαίειν εἴω-

ΟΜΙΛΙΑ

ΣΤΗΝ ΠΑΡΑΒΟΛΗ ΕΚΕΙΝΟΥ ΠΟΥ ΧΡΩΣΤΟΥΣΕ ΤΙΣ ΔΕΚΑ ΧΙΛΙΑΔΕΣ ΤΑΛΑΝΤΑ ΚΑΙ ΑΠΑΙΤΟΥΣΕ ΤΑ ΕΚΑΤΟ ΔΗΝΑΡΙΑ

Καὶ ὅτι ἡ μνησικακία εἶναι τὸ χειρότερο ἀπὸ κάθε ἁμάρτημα

1. Σὰν νὰ γύρισα σ' ἐσᾶς ἀπὸ μακρινὸ ταξίδι, ἔτσι αἰσθάνομαι σήμερα. Γιατὶ σ' αὐτοὺς ποὺ ἀγαποῦν, ὅταν δὲν μποροῦν νὰ βρίσκονται μαζὶ μ' ἐκείνους ποὺ ἀγαποῦν, δὲν ὑπάρχει κανένα ὄφελος ἀπὸ τὴν παρουσία. Γι' αὐτὸ ἀκριβῶς καὶ ἐγώ, παρ' ὅλο ποὺ μένω στὴν πόλη, δὲν αἰσθάνομαι καθόλου καλύτερα ἀπὸ ἐκείνους ποὺ ταξιδεύουν, ἀφοῦ κατὰ τὸ χρόνο ποὺ πέρασε δὲν μπόρεσα νὰ σᾶς μιλήσω. Ἀλλὰ συγχωρῆστε με, γιατὶ ἡ σιωπὴ δὲν ἦταν ἀποτέλεσμα ἀδιαφορίας, ἀλλὰ ἀρρώστιας. Ἐσεῖς λοιπὸν χαίρεστε τώρα, ἐπειδὴ ἀπαλλάχθηκα ἀπὸ τὴν ἀρρώστια, ἐνῶ ἐγὼ χαίρομαι, ἐπειδὴ ἀπόλαυσα τὴν ἀγάπη σας. Γιατί, καὶ ὅταν ἤμουν ἄρρωστος, ἡ ἀρρώστια μου ἦταν ἡ αἰτία ποὺ δὲν μποροῦσα νὰ μετέχω στὴν ἀγαπημένη αὐτὴ σύναξη· καὶ τώρα, ποὺ ἔγινα καλά, πιὸ ποθητὸ ἀπὸ τὴν ὑγεία μοῦ ἔχει γίνει τὸ νὰ μπορῶ νὰ ἀπολαμβάνω ἄνετα τὴν ἀγάπη σας. Γιατὶ οὔτε ὁ πυρετὸς τοῦ σώματος ἀπὸ τὴ φύση του κατακαίει συνήθως τόσο

θε τοὺς πυρέττοντας, ὡς τὰς ἡμετέρας ψυχὰς τὸ κεχωρίσθαι τῶν φιλουμένων· καὶ καθάπερ ἐκεῖνοι φιάλας καὶ ποτήρια καὶ ψυχρὰ νάματα ἐπιζητοῦσιν, οὕτως οὗτοι τῶν ποθουμένων τὰς ὄψεις. Ἴσασι ταῦτα καλῶς ὅσοι φιλεῖν εἰώθασι.

Φέρε οὖν, ἐπειδὴ τὴν ἀρρωστίαν ἀπεθέμεθα, πάλιν ἀλλήλων ἐμφορηθῶμεν, εἴγε δυνατὸν ἐμφορηθῆναί ποτέ· ἡ γὰρ τῆς ἀγάπης φύσις κόρον οὐκ οἶδεν, ἀλλ' ἀεὶ τῶν ἀγαπωμένων ἀπολαύουσα, πρὸς μείζονα αἴρεται φλόγα. Καὶ τοῦτο ὁ τῆς ἀγάπης τρόφιμος Παῦλος εἰδὼς ἔλεγε· «Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους»[1]*. Τοῦτο γὰρ μόνον τὸ ὄφλημα ἀεὶ μὲν καταβάλλεται, οὐδέποτε δὲ ἀποδίδοται. Ἐνταῦθα τὸ διηνεκῶς ὀφείλειν καλὸν καὶ ἐπαίνων ἄξιον. Ἐπὶ μὲν γὰρ τῶν χρημάτων τοὺς μηδὲν ὀφείλοντας ἐπαινοῦμεν, ἐπὶ δὲ τῆς ἀγάπης τοὺς διηνεκῶς ὀφείλοντας ἀποδεχόμεθα καὶ θαυμάζομεν· καὶ ὅπερ ἀγνωμοσύνης σημεῖόν ἐστι, τὸ μηδέποτε διαλύεσθαι τὸ τῆς ἀγάπης ὄφλημα.*

Μὴ δυσχεράνητε δὲ πρὸς τὸ μῆκος τῶν μελλόντων ῥηθήσεσθαι· καὶ γὰρ κιθαρῳδίαν ὑμᾶς τινα θαυμαστὴν διδάξαι βούλομαι, οὐχὶ λύραν νεκρὰν μεταχειρισάμενος, ἀλλὰ τὰς τῶν Γραφῶν ἱστορίας καὶ τὰς τοῦ Θεοῦ ἐντολὰς ἀντὶ νευρῶν ἀνατείνας. Καὶ καθάπερ κιθαρῳδοὶ τοὺς δακτύλους τῶν μαθητευομένων λαμβάνοντες, ἠρέμα τοῖς φθόγγοις προσάγουσι, καὶ διαψηλαφᾶν μετ' ἐμπειρίας διδάσκοντες, ἐκ τῶν ἀφώνων φθόγγων τε καὶ νευρῶν πάσης φωνῆς ἡδίω καὶ γλυκυτέραν παιδεύουσι κατασκευάζειν φωνήν· οὕτω δὴ καὶ ἡμεῖς ποιήσομεν, ἀντὶ δακτύλων τὴν διάνοιαν ὑμῶν μεταχειρισάμενοι, καὶ ταῖς ἐντολαῖς τοῦ Θεοῦ προσαγαγόντες, μετ' ἐμπειρίας αὐτῶν ἅπτεσθαι παρακα-

---

1. Ρωμ. 13,8.

ἐκείνους ποὺ ὑποφέρουν ἀπ' αὐτόν, ὅσο κατακαίει τὶς δικές μας ψυχὲς ὁ ἀποχωρισμὸς ἀπὸ τοὺς ἀγαπημένους μας. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι ἐπιζητοῦν φιάλες καὶ ποτήρια καὶ κρύα νερά, ἔτσι αὐτοὶ ἐπιζητοῦν τὰ ἀγαπητά τους πρόσωπα. Τὰ ξέρουν αὐτὰ καλὰ ὅσοι συνήθισαν ν' ἀγαποῦν.

Ἐμπρὸς λοιπόν, ἀφοῦ ἀπαλλάχθηκα ἀπὸ τὴν ἀρρώστια, ἂς χορτάσουμε πάλι ὁ ἕνας τὸν ἄλλο, ἂν δηλαδὴ εἶναι δυνατὸ νὰ χορτάσουμε ποτέ. Γιατὶ ἡ φύση τῆς ἀγάπης δὲ γνωρίζει χορτασμό, ἀλλὰ πάντοτε, ἀπολαμβάνοντας ἐκεῖνα ποὺ ἀγαπᾶ, ὑψώνεται σὲ μεγαλύτερη φλόγα. Καὶ αὐτὸ γνωρίζοντας ὁ μαθητὴς τῆς ἀγάπης Παῦλος ἔλεγε· «σὲ κανένα δὲ χρωστᾶτε τίππαρὰ τὸ νὰ ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλο»[1]. Γιατὶ μόνο αὐτὸ τὸ χρέος πάντοτε πληρώνετε καὶ ποτὲ δὲν ἐξοφλεῖται. Ἐδῶ τὸ νὰ χρωστάει κανεὶς συνέχεια εἶναι καλὸ καὶ ἄξιο γιὰ ἐπαίνους. Γιατὶ στὴν περίπτωση τῶν χρημάτων ἐπαινοῦμε αὐτοὺς ποὺ δὲ χρωστοῦν τίποτε, ἐνῶ στὴν περίπτωση τῆς ἀγάπης παραδεχόμαστε καὶ θαυμάζουμε ὅσους χρωστοῦν συνέχεια. Καὶ ἐκεῖνο ποὺ ἐκεῖ εἶναι ἀπόδειξη ἀχαριστίας, αὐτὸ ἐδῶ εἶναι ἀπόδειξη εὐγνωμοσύνης, δηλαδὴ τὸ νὰ μὴν ἐξοφλεῖται ποτὲ τὸ χρέος τῆς ἀγάπης.

Μὴ δυσαναχετήσετε ὅμως γιὰ τὸ μάκρος αὐτῶν ποὺ πρόκειται νὰ λεχθοῦν. Γιατὶ θέλω νὰ σᾶς διδάξω κάποια θαυμαστὴ κιθαρωδία, χρησιμοποιώντας ὄχι νεκρὴ λύρα, ἀλλὰ τεντώνοντας ἀντὶ γιὰ χορδὲς τὶς ἱστορίες τῶν Γραφῶν καὶ τὶς ἐντολὲς τοῦ Θεοῦ. Καὶ ὅπως οἱ κιθαρωδοὶ παίρνουν τὰ δάκτυλα τῶν μαθητῶν τους καὶ τὰ φέρνουν σιγὰ–σιγὰ στοὺς φθόγγους καὶ τοὺς διδάσκουν νὰ τοὺς κτυποῦν μὲ τὶς ἄκρες τῶν δακτύλων καὶ μὲ δεξιοτεχνία καὶ ἀπὸ τοὺς ἄφωνους φθόγγους καὶ τὶς χορδὲς τοὺς μαθαίνουν νὰ βγάζουν φωνὴ πιὸ εὐχάριστη καὶ πιὸ μελωδικὴ ἀπὸ κάθε φωνή, ἔτσι ἀκριβῶς καὶ ἐγὼ θὰ κάνω, ἀφοῦ μεταχειρισθῶ ἀντὶ γιὰ δάκτυλα τὸ νοῦ σας καὶ τὸν φέρω στὶς ἐντολὲς τοῦ Θεοῦ, θὰ παρακαλέσω τὴν ἀγάπη σας νὰ τὶς ἐγγίζει

λέσομεν τὴν ὑμετέραν ἀγάπην, οὐχ ἵνα ἀνθρώπων θέατρον, ἀλλ' ἵνα τῶν ἀγγέλων τὸν δῆμον διὰ ταύτης τῆς ἡδονῆς ἀναστήσετε. Οὐ γὰρ ἀρκεῖ τὰ θεῖα λόγια ἐπελθεῖν μόνον, ἀλλὰ δεῖ καὶ τῆς ἀπὸ τῶν ἔργων ἐπιδείξεως.

Καὶ καθάπερ ἐπὶ τῆς κιθάρας ἅπτεται μὲν ὁ τεχνίτης τῶν νευρῶν, ἅπτεται δὲ καὶ ὁ ἄτεχνος, ἀλλ' ὁ μὲν λυπεῖ τὸν ἀκροατήν, ὁ δὲ ψυχαγωγεῖ καὶ τέρπει, καίτοι γε οἱ αὐτοὶ δάκτυλοι καὶ αἱ αὐταὶ νευραί, ἀλλ' οὐχ ἡ αὐτὴ ἐμπειρία· οὕτω δὴ καὶ ἐπὶ τῶν θείων Γραφῶν, ἐπέρχονται μὲν πολλοὶ τὰ θεῖα λόγια, ἀλλ' οὐ πάντες κερδαίνουσιν, οὐδὲ καρποῦνται πάντες· τὸ δὲ αἴτιον, ἐπειδὴ μήτε τοῖς εἰρημένοις ἐμβαθύνουσι, μήτε μετὰ τέχνης τῆς κιθάρας ἅπτονται· ὅπερ γὰρ ἐπὶ τῆς κιθαρῳδίας ἡ τέχνη, τοῦτο ἐπὶ τῶν τοῦ Θεοῦ νόμων ἡ διὰ τῶν ἔργων ἐπίδειξις.

Ἤδη μὲν οὖν μίαν ἐκρούσαμεν νευρὰν δι' ὅλης τῆς τεσσαρακοστῆς, τὸν περὶ τῶν ὅρκων νόμον ὑμῖν ἀναγινώσκοντες, καὶ διὰ τὴν τοῦ Θεοῦ χάριν πολλὰ στόματα τῶν ἀκροατῶν ἡμῖν ἐπαιδεύθη τὴν τοῦ νόμου μελῳδίαν ἐκείνου, καὶ τὴν πονηρὰν ἀπελάσαντες συνήθειαν ἀντὶ τοῦ τὸν Θεὸν ὀμνύναι, τὸ 'ναί', καὶ τὸ 'οὔ', καὶ τὸ 'πίστευσον', ἐπὶ τοῦ στόματος φέρουσι διηνεκῶς ἐπὶ διαλέξεως ἁπάσης· κἂν μυρίων πραγμάτων ἀνάγκη βιάζηται, περαιτέρω προελθεῖν οὐκ ἂν ἀνάσχοιντο.

2. Ἐπειδὴ δὲ οὐκ ἀρκεῖ πρὸς σωτηρίαν ἡμῖν μιᾶς ἐντολῆς ὑποδοχή, φέρε τήμερον καὶ ἐπὶ ἑτέραν ὑμᾶς μεταγάγωμεν· καὶ γὰρ καὶ εἰ μὴ πάντες κατώρθωσαν τὸν πρότερον νόμον, ἀλλά γε τοῦ χρόνου προϊόντος τοὺς φθάσαντας οἱ ὑστερήσαντες καταλήψονται. Καὶ γὰρ ἔγνων, ὡς τοσαύτη τοῦ πράγματος γίνεται σπουδή, ὡς καὶ ἐπὶ οἰκίας καὶ ἐπὶ τραπέζης ἀνδράσι πρὸς γυναῖκας, δούλοις πρὸς ἐλευθέρους ἅμιλλαν εἶναι περὶ τῆς ἐντολῆς

μὲ ἐμπειρία, γιὰ νὰ ξεσηκώσετε μ' αὐτὴ τὴν εὐχαρίστηση ὄχι θέατρο ἀνθρώπων, ἀλλὰ τὸ πλῆθος τῶν ἀγγέλων. Γιατὶ δὲν ἀρκεῖ μόνο νὰ πλησιάσουμε τὰ θεῖα λόγια, ἀλλὰ χρειάζεται καὶ ἡ φανέρωσή τους ἀπὸ τὰ ἔργα.

Καὶ ὅπως στὴν περίπτωση τῆς κιθάρας ἐγγίζει τὶς χορδὲς ὁ δεξιοτέχνης, τὶς ἐγγίζει ὅμως καὶ ὁ ἀδέξιος, ἀλλὰ ὁ ἕνας ἐνοχλεῖ τὸν ἀκροατὴ καὶ ὁ ἄλλος τὸν ψυχαγωγεῖ καὶ τὸν εὐχαριστεῖ, ἂν καὶ εἶναι τὰ ἴδια δάκτυλα καὶ οἱ ἴδιες χορδές, ὄχι ὅμως ἡ ἴδια ἐμπειρία, ἔτσι ἀκριβῶς καὶ στὴν περίπτωση τῶν θείων Γραφῶν, πλησιάζουν πολλοὶ τὰ θεῖα λόγια, ἀλλὰ δὲν κερδίζουν ὅλοι οὔτε ὠφελοῦνται ὅλοι. Καὶ ἡ αἰτία, ἐπειδὴ οὔτε ἐμβαθύνουν σ' αὐτὰ ποὺ ἔχουν λεχθεῖ, οὔτε ἐγγίζουν μὲ τέχνη τὴν κιθάρα. Γιατὶ ἐκεῖνο ποὺ εἶναι στὴν κιθαρωδία ἡ τέχνη, αὐτὸ εἶναι στοὺς νόμους τοῦ Θεοῦ ἡ φανέρωσή τους μὲ τὰ ἔργα.

Μέχρι τώρα λοιπὸν χτύπησα μία χορδὴ στὴ διάρκεια ὅλης τῆς Τεσσαρακοστῆς, διαβάζοντάς σας τὸ νόμο γιὰ τοὺς ὅρκους, καὶ μὲ τὴ χάρη τοῦ Θεοῦ πολλὰ στόματα τῶν ἀκροατῶν ἔμαθαν ἀπὸ μένα τὴ μελωδία τοῦ νόμου ἐκείνου καί, ἀφοῦ ἀπέβαλαν τὴν κακὴ συνήθεια, ἀντὶ νὰ ὁρκίζονται στὸ Θεό, ἔχουν πάντοτε στὸ στόμα τους σὲ κάθε συζήτηση τὸ «ναὶ» καὶ τὸ «ὄχι» καὶ τὸ «πίστεψέ με». Καὶ ἂν τοὺς πιέζει ἡ ἀνάγκη γιὰ ἄπειρα πράγματα, δὲ θὰ δεχθοῦν νὰ προχωρήσουν πιὸ πέρα.

2. Ἐπειδὴ ὅμως δὲν ἀρκεῖ γιὰ τὴ σωτηρία μας ἡ ἀποδοχὴ μιᾶς ἐντολῆς, ἂς σᾶς μεταφέρω σήμερα καὶ σὲ ἄλλη. Γιατί, καὶ ἂν ἀκόμα δὲν κατόρθωσαν ὅλοι τὸν προηγούμενο νόμο, μὲ τὸ πέρασμα τοῦ χρόνου ὅσοι ὑστέρησαν θὰ προλάβουν ἐκείνους ποὺ τὸν κατόρθωσαν. Γιατὶ πραγματικὰ ἔμαθα πὼς ὑπάρχει τόσο μεγάλο ἐνδιαφέρον γιὰ τὸ πράγμα αὐτό, ὥστε καὶ στὸ σπίτι καὶ στὸ τραπέζι γίνεται γιὰ τὴν ἐντολὴ αὐτὴ ἅμιλλα ἀνάμεσα στοὺς ἄνδρες καὶ τὶς γυναῖκες, στοὺς δούλους καὶ τοὺς ἐλεύθερους, καὶ μακάρισα αὐτοὺς ποὺ κάθονται ἔτσι στὸ τραπέ-

ταύτης, καὶ ἐμακάρισα τοὺς οὕτως ἑστιωμένους. Τί γὰρ τῆς τραπέζης ἐκείνης ἁγιώτερον γένοιτ' ἄν, ἔνθα μέθη μὲν καὶ ἀδηφαγία καὶ πᾶσα ἀσωτία ἀπελήλαται, θαυμαστὴ δέ τις ἀντεισενήνεκται περὶ τῆς φυλακῆς τῶν τοῦ Θεοῦ νόμων ἅμιλλα; Καὶ παρατηρεῖ μὲν ἀνὴρ τὴν γυναῖκα, ὅπως εἰς τὰ τῆς ἐπιορκίας μηδέποτε ἐμπέσῃ βάραθρα, φυλάττει δὲ γυνὴ τὸν ἄνδρα, καὶ καταδίκη τῷ παραβάντι κεῖται μεγίστη· οὐκ ἐπαισχύνεται δὲ οὐδὲ ὑπὸ τῶν δούλων ὁ δεσπότης ἐλέγχεσθαι, οὐδὲ τοὺς οἰκέτας αὐτοῦ ἐπὶ τούτοις διορθοῦν;

Οὐκ ἄν τις ἁμάρτοι τὴν τοιαύτην οἰκίαν Ἐκκλησίαν Θεοῦ προσειπών. Ὅπου γὰρ σωφροσύνη τοσαύτη, ὡς ἐν καιρῷ τρυφῆς μεριμνᾶν ὑπὲρ τῶν θείων νόμων, καὶ τοὺς παρόντας ἅπαντας ὑπὲρ τούτου πρὸς ἀλλήλους ἀγωνίζεσθαι καὶ φιλονεικεῖν, εὔδηλον, ὅτι δαίμων μὲν ἅπας καὶ πονηρὰ δύναμις ἀπελήλαται, Χριστὸς δὲ πάρεστι χαίρων ἐπὶ τῇ καλῇ τῶν δούλων φιλονεικίᾳ, πᾶσαν αὐτοῖς ἐπιδαψιλευόμενος εὐλογίαν. Διὰ δὴ τοῦτο ταύτην ἀφεὶς λοιπὸν τὴν ἐντολὴν (οἶδα γὰρ ὅτι Θεοῦ χάριτι πᾶσαν ἐπιδραμεῖται τὴν πόλιν ὑμῖν θερμὰ προοίμια ἀναλαβοῦσι καὶ ἀρχὴν ἰσχυράν), ἐφ' ἑτέραν μεταβήσομαι, τὴν τῆς ὀργῆς ὑπεροψίαν. Ὥσπερ γὰρ ἐπὶ τῆς κιθάρας οὐκ ἀρκεῖ μόνον ἀπὸ μιᾶς νευρᾶς τὴν μελῳδίαν ἐργάσασθαι, ἀλλὰ πάσας ἐπιέναι δεῖ μετὰ ῥυθμοῦ τοῦ προσήκοντος· οὕτω καὶ ἐπὶ τῆς κατὰ ψυχὴν ἀρετῆς οὐκ ἀρκεῖ μόνος ἡμῖν εἰς σωτηρίαν εἷς νόμος, καθάπερ ἔφθην εἰπών, ἀλλὰ δεῖ πάντας αὐτοὺς μετὰ ἀκριβείας φυλάττειν, εἰ δὴ μέλλοιμεν μελῳδίαν ἐργάζεσθαι.

Ἔμαθέ σου τὸ στόμα μὴ ὀμνύναι; ἐπαιδεύθη ἡ γλῶττα «ναὶ» καὶ «οὒ» λέγειν πανταχοῦ; Μαθέτω καὶ λοιδορίαν ἀποστρέφεσθαι ἅπασαν, καὶ πλείονα περὶ τὴν ἐντολὴν ταύτην εἰσφέρειν σπουδήν, ἐπειδὴ καὶ πλείονος ἡμῖν δεῖται καὶ πόνου. Ἐκεῖ

ζι. Γιατὶ τί θὰ μποροῦσε νὰ ὑπάρξει ἁγιότερο ἀπὸ τὸ τραπέζι ἐκεῖνο, ἀπὸ τὸ ὁποῖο ἀπομακρύνθηκε ἡ μέθη καὶ ἡ λαιμαργία καὶ κάθε ἀσωτία καὶ στὴ θέση τους εἰσήχθηκε μία θαυμαστὴ ἅμιλλα γιὰ τὴν τήρηση τῶν νόμων τοῦ Θεοῦ; καὶ ἔτσι προσέχει ὁ ἄνδρας τὴ γυναίκα, γιὰ νὰ μὴν πέσει ποτὲ μέσα στὰ βάραθρα τῆς ἐπιορκίας, προφυλάσσει ὅμως καὶ ἡ γυναίκα τὸν ἄνδρα, καὶ ὑπάρχει καταδίκη πολὺ μεγάλη γιὰ τὸν παραβάτη, χωρὶς νὰ ντρέπεται ὁ κύριος οὔτε νὰ ἐλέγχεται ἀπὸ τοὺς δούλους οὔτε νὰ διορθώνει τοὺς ὑπηρέτες γιὰ τὸ θέμα αὐτό;

Δὲ θὰ σφάλει κανεὶς ἂν ὀνομάσει ἕνα τέτοιο σπίτι ἐκκλησία Θεοῦ. Γιατί, ὅπου ὑπάρχει τόση σωφροσύνη, ὥστε σὲ ὥρα ἀπόλαυσης ὑλικῶν ἀγαθῶν νὰ φροντίζει κανεὶς γιὰ τοὺς νόμους τοῦ Θεοῦ καὶ ὅλοι οἱ παρόντες νὰ συναγωνίζονται γι' αὐτὸ καὶ νὰ προσπαθοῦν νὰ ξεπεράσει ὁ ἕνας τὸν ἄλλον, εἶναι ὁλοφάνερο πὼς κάθε δαίμονας καὶ κάθε πονηρὴ δύναμη ἔχει ἐκδιωχθεῖ καὶ πὼς ὁ Χριστὸς εἶναι παρών, χαίροντας γιὰ τὴν καλὴ ἅμιλλα τῶν δούλων του, καὶ δίνοντας σ' αὐτοὺς μὲ ἀφθονία κάθε εὐλογία. Γι' αὐτὸ λοιπόν, ἀφήνοντας πλέον τὴν ἐντολὴ αὐτὴ (γιατὶ ξέρω πὼς μὲ τὴ χάρη τοῦ Θεοῦ θὰ διαδοθεῖ σὲ ὅλη τὴν πόλη, ἀφοῦ ἐσεῖς τὴ δεχθήκατε μὲ θερμὸ ξεκίνημα καὶ δυνατὴ ἀρχή), θὰ ἔρθω σὲ ἄλλη, στὴν ὑπεροψία τῆς ὀργῆς. Ὅπως δηλαδὴ στὴν περίπτωση τῆς κιθάρας δὲν ἀρκεῖ νὰ προκαλέσει κανεὶς τὴ μελωδία μόνο ἀπὸ μία χορδή, ἀλλὰ πρέπει νὰ τὶς χτυπήσει ὅλες μὲ τὸ ρυθμὸ ποὺ ταιριάζει, ἔτσι καὶ στὴν περίπτωση τῆς ψυχικῆς ἀρετῆς δὲν ἀρκεῖ γιὰ τὴ σωτηρία μας ἕνας μόνο νόμος, ὅπως εἶπα προηγουμένως, ἀλλὰ πρέπει νὰ τοὺς τηροῦμε ὅλους μὲ ἀκρίβεια, ἂν βέβαια θέλουμε νὰ ἐπιτύχουμε τὴ μελωδία ποὺ εἶναι πιὸ γλυκιὰ καὶ πιὸ χρήσιμη ἀπὸ κάθε ἁρμονία.

Ἔμαθε τὸ στόμα σου νὰ μὴν ὁρκίζεται; ἀσκήθηκε ἡ γλώσσα σου νὰ λέγει σὲ κάθε περίσταση «ναὶ» καὶ «ὄχι»; Ἂς μάθει νὰ ἀποφεύγει καὶ κάθε ὕβρη καὶ νὰ δείχνει περισσότερο

μὲν γὰρ συνηθείας περιγενέσθαι μόνον ἔδει, ἐπὶ δὲ τῆς ὀργῆς εὐτονωτέρας δεῖ τῆς σπουδῆς· τυραννικὸν γὰρ τὸ πάθος, καὶ πολλάκις παρασύρει τοὺς νήφοντας καὶ πρὸς τὸ βάραθρον αὐτὸ κατάγει τῆς ἀπωλείας.

Ἀνάσχεσθε τοίνυν τοῦ μήκους τῶν λόγων. Καὶ γὰρ ἄτοπον καθ᾽ ἑκάστην ἡμέραν τραυματιζομένους ἐν ἀγοραῖς, ἐν οἰκίαις, ὑπὸ φίλων, ὑπὸ συγγενῶν, ὑπὸ ἐχθρῶν, ὑπὸ γειτόνων, ὑπὸ οἰκετῶν, ὑπὸ γυναικός, ὑπὸ παιδίου, ὑπὸ οἰκείων λογισμῶν, μηδὲ ἅπαξ τῆς ἑβδομάδος ἁπάσης ὑπὲρ τῆς θεραπείας τῶν τραυμάτων ἐκείνων φροντίζειν, καὶ ταῦτα εἰδότας ὡς ἀδάπανός τε καὶ ἀνώδυνος οὗτος τῆς θεραπείας ὁ τρόπος. Οὐδὲ γὰρ τὸ σιδήριον ἐν τῇ χειρὶ κατέχω νῦν, ἀλλὰ λόγον ἀντὶ σιδηρίου μεταχειρίζομαι, σιδηρίου μὲν παντὸς ὄντα τομώτερον, καὶ πᾶσαν τῆς ἁμαρτίας ἐκκόπτοντα τὴν σηπεδόνα, οὐ παρέχοντα δὲ ὀδύνην τῷ τεμνομένῳ. Οὐκ ἔχω πῦρ ἐν τῇ δεξιᾷ, ἀλλ᾽ ἔχω διδασκαλίαν πυρὸς σφοδροτέραν, οὐ καυτῆρα ἐπάγουσαν, ἀλλ᾽ ἀναστέλλουσαν μὲν τὴν νομὴν τῆς κακίας, ἀντὶ δὲ ἀλγηδόνος πολλὴν τῷ τῆς κακίας ἀπαλλαττομένῳ παρέχουσαν τὴν ἡδονήν.

Οὐ χρεία χρόνων ἐνταῦθα, οὐ χρεία πόνων, οὐ χρεία χρημάτων· ἀρκεῖ θελῆσαι μόνον, καὶ πάντα τὰ τῆς ἀρετῆς ἡμῖν κατώρθωται· κἂν ἐννοήσωμεν τὸ ἀξίωμα τοῦ κελεύοντος Θεοῦ καὶ νομοθετοῦντος, ἱκανὴν ληψόμεθα διδασκαλίαν καὶ παραίνεσιν· οὐδὲ γὰρ οἴκοθεν φθεγγόμεθα, ἀλλ᾽ ἐπὶ τὸν νομοθέτην ἅπαντας ὑμᾶς ἄγομεν. Ἕπεσθε τοίνυν, τῶν θείων ἀκούετε νόμων.

Ποῦ τοίνυν περὶ ὀργῆς καὶ τοῦ μνησικακεῖν διελέχθη; Πολλαχοῦ μὲν καὶ ἀλλαχοῦ, μάλιστα δὲ διὰ τῆς παραβολῆς

ἐνδιαφέρον γιὰ τὴν ἐντολὴ αὐτή, γιατὶ χρειάζεται καὶ περισσότερο κόπο ἀπὸ μᾶς. Ἐκεῖ δηλαδὴ ἔπρεπε κανεὶς νὰ νικήσει μόνο μία συνήθεια, ἐνῶ στὴν περίπτωση τῆς ὀργῆς χρειάζεται πιὸ ἔντονο ἐνδιαφέρον, ἐπειδὴ τὸ πάθος εἶναι τυραννικὸ καὶ πολλὲς φορὲς παρασύρει τοὺς νηφάλιους καὶ τοὺς γκρεμίζει στὸ βάραθρο τῆς καταστροφῆς.

Δεῖξτε λοιπὸν ὑπομονὴ γιὰ τὸ μάκρος τοῦ λόγου. Γιατὶ πραγματικὰ εἶναι παράλογο, ἐνῶ κάθε ἡμέρα τραυματίζεστε στὶς ἀγορές, στὰ σπίτια, ἀπὸ φίλους, ἀπὸ συγγενεῖς, ἀπὸ ἐχθρούς, ἀπὸ γείτονες, ἀπὸ ὑπηρέτες, ἀπὸ τὴ γυναίκα σας, ἀπὸ τὸ παιδί σας, ἀπὸ τὶς σκέψεις σας, οὔτε μιὰ φορὰ ὁλόκληρη τὴν ἑβδομάδα νὰ μὴ φροντίζετε γιὰ τὴ θεραπεία τῶν τραυμάτων ἐκείνων, παρ' ὅλο ποὺ ξέρετε πὼς ὁ τρόπος αὐτὸς τῆς θεραπείας εἶναι ἀδάπανος καὶ ἀνώδυνος. Δὲν κρατῶ νυστέρι στὸ χέρι τώρα, ἀλλὰ χρησιμοποιῶ ἀντὶ γιὰ νυστέρι τὸ λόγο, ποὺ εἶναι πιὸ κοφτερὸς ἀπὸ κάθε νυστέρι καὶ κόβει σύρριζα τὴ σαπίλα ὅλης τῆς ἁμαρτίας, χωρὶς ὅμως νὰ προκαλεῖ πόνο σ' ἐκεῖνον ποὺ κόβεται. Δὲν ἔχω φωτιὰ στὸ χέρι μου, ἀλλὰ ἔχω διδασκαλία πιὸ ὁρμητικὴ ἀπὸ φωτιά, ποὺ δὲν τοποθετεῖ τὸν καυστήρα, ἀλλὰ ποὺ συγκρατεῖ τὴν ἐξάπλωση τῆς κακίας καὶ ποὺ παρέχει ἀντὶ γιὰ πόνο πολλὴ εὐχαρίστηση σ' ἐκεῖνον ποὺ ἀπαλλάσσεται ἀπὸ τὴν κακία.

Δὲ χρειάζεται ἐδῶ καιρός, δὲ χρειάζονται κόποι, δὲ χρειάζονται χρήματα. Ἀρκεῖ νὰ θελήσουμε μόνο, καὶ ὅλα τὰ σχετικὰ μὲ τὴν ἀρετὴ τὰ ἔχουμε κατορθώσει. Καὶ ἂν κατανοήσουμε τὴν ἐντολὴ τοῦ Θεοῦ ποὺ προστάζει καὶ νομοθετεῖ, θὰ λάβουμε ἀρκετὴ διδασκαλία καὶ παραίνεση. Γιατὶ δὲ μιλᾶμε ἀπὸ τὸν ἑαυτό μας, ἀλλὰ σᾶς ὁδηγοῦμε ὅλους πρὸς τὸ νομοθέτη. Ἀκολουθεῖτε λοιπόν, ἀκοῦτε τοὺς θείους νόμους.

Ποῦ λοιπὸν μίλησε γιὰ τὴν ὀργὴ καὶ γιὰ τὴ μνησικακία; Καὶ σὲ πολλὰ ἄλλα σημεῖα, ἀλλὰ ἰδιαίτερα μὲ τὴν παραβολὴ

ἐκείνης, ἣν πρὸς τοὺς μαθητὰς ἔλεγεν, οὑτωσί πως ἀρξάμενος· «διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. Μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι ἐκέλευσεν αὐτὸν πραθῆναι καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα, καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδοθῆναι. Πεσὼν οὖν ὁ δοῦλος ἐκεῖνος εἰς τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτόν, λέγων· Κύριε, μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω. Σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκείνου, ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ. Ἐξελθὼν δὲ ἐκεῖνος εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια, καὶ κρατήσας ἔπνιγεν αὐτὸν λέγων· ἀπόδος μοι ὅ,τι ὀφείλεις. Πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ εἰς τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτὸν λέγων· 'μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω'. Ὁ δὲ οὐκ ἤθελεν, ἀλλὰ ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακήν, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον. Ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ ἠγανάκτησαν, καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ αὐτῶν. Τότε καλέσας αὐτὸν ὁ κύριος αὐτοῦ εἶπε· 'Δοῦλε πονηρέ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα; Τότε παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ. Οὕτω καὶ ὁ Πατήρ μου ὁ οὐράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν».

3. Ἡ μὲν παραβολὴ αὕτη· δεῖ δὲ εἰπεῖν, τίνος ἕνεκεν μετὰ αἰτίας αὐτὴν προτέθεικεν· οὐ γὰρ ἁπλῶς εἶπεν, «ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν», ἀλλὰ «διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν». Τίνος οὖν ἕνεκεν ἡ αἰτία πρόσκειται; Περὶ ἀνε-

---

2. Ματθ. 18,23–35.

ἐκείνη ποὺ ἔλεγε στοὺς μαθητές, ἀφοῦ ἄρχισε κάπως ἔτσι· «γι' αὐτὸ ἡ βασιλεία τῶν οὐρανῶν μοιάζει μ' ἕνα βασιλιά, ποὺ θέλησε νὰ λογαριασθεῖ μὲ τοὺς δούλους του. Ὅταν ἄρχισε νὰ κάμνει λογαριασμό, τοῦ ἔφεραν ἕναν ποὺ χρωστοῦσε δέκα χιλιάδες τάλαντα. Καὶ ἐπειδὴ δὲν μποροῦσε νὰ τὰ ἐπιστρέψει, διέταξε νὰ πουληθεῖ αὐτὸς καὶ ἡ γυναίκα του καὶ τὰ παιδιά του καὶ ὅλα τὰ ὑπάρχοντά του καὶ νὰ τοῦ ἐπιστραφοῦν τὰ ὀφειλόμενα. Τότε λοιπὸν ὁ δοῦλος ἐκεῖνος ἔπεσε στὰ πόδια του καὶ τὸν παρακαλοῦσε λέγοντας· 'κύριε, δεῖξε μου μακροθυμία, καὶ θὰ σοῦ τὰ ἐπιστρέψω ὅλα'. Καὶ ὁ κύριος τοῦ δούλου ἐκείνου τὸν λυπήθηκε, τὸν ἄφησε νὰ φύγει καὶ τοῦ χάρισε τὸ δάνειο. Βγαίνοντας ὅμως ἔξω ἐκεῖνος συνάντησε ἕναν ἀπὸ τοὺς συνδούλους του, ποὺ τοῦ χρωστοῦσε ἑκατὸ δηνάρια· τὸν ἔπιασε ἀπὸ τὸ λαιμὸ γιὰ νὰ τὸν πνίξει καὶ τοῦ ἔλεγε· 'δός μου ὅ,τι μοὺ ὀφείλεις'. Ὁ σύνδουλός του τότε ἔπεσε στὰ πόδια του καὶ τὸν παρακαλοῦσε λέγοντας· 'δεῖξε μου μακροθυμία, καὶ θὰ σοῦ τὰ ἐπιστρέψω ὅλα'. Ἐκεῖνος ὅμως δὲν ἤθελε, ἀλλὰ πῆγε καὶ τὸν ἔβαλε στὴ φυλακή, ὥσπου νὰ ἐπιστρέψει ὅ,τι τοῦ χρωστοῦσε. Βλέποντας αὐτὸ οἱ σύνδουλοί του ἀγανάκτησαν καὶ πῆγαν καὶ τὸ ἀνάφεραν στὸν κύριό τους. Τότε ὁ κύριός του τὸν κάλεσε καὶ τοῦ εἶπε· 'κακὲ δοῦλε, σοῦ χάρισα ὅλο ἐκεῖνο τὸ χρέος, ἐπειδὴ μὲ παρακάλεσες· δὲν ἔπρεπε καὶ σὺ νὰ λυπηθεῖς τὸ σύνδουλό σου, ὅπως καὶ ἐγὼ λυπήθηκα ἐσένα;' Τότε τὸν παρέδωσε στοὺς βασανιστές, ὥσπου νὰ ἐπιστρέψει σ' αὐτὸν ὅλα ὅσα τοῦ χρωστοῦσε. Ἔτσι καὶ ὁ Πατέρας μου ὁ οὐράνιος θὰ κάνει σὲ σᾶς, ἂν ὁ καθένας δὲ συγχωρήσει στὸν ἀδελφό του μέσα ἀπὸ τὴν καρδιά του τὰ ἁμαρτήματά του»[2].

3. Αὐτὴ λοιπὸν εἶναι ἡ παραβολή· ἀλλὰ πρέπει νὰ ποῦμε γιὰ ποιά αἰτία τὴν εἶπε. Γιατὶ δὲν εἶπε ἁπλῶς, 'μοιάζει ἡ βασιλεία τῶν οὐρανῶν', ἀλλὰ «γι' αὐτὸ ἡ βασιλεία τῶν οὐρανῶν μοιάζει». Γιὰ ποιό λοιπὸν λόγο προστίθεται ἡ αἰτία; Στοὺς μαθητές

ξικακίας τοῖς μαθηταῖς διελέγετο, καὶ κρατεῖν ὀργῆς αὐτοὺς ἐπαίδευε, καὶ τῶν παρ' ἑτέρων εἰς ἡμᾶς γινομένων ἀδικημάτων μὴ πολὺν ποιεῖσθαι λόγον, οὕτω λέγων· «ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου».

Ταῦτα δὲ καὶ τὰ τοιαῦτα τοῦ Χριστοῦ διαλεγομένου τοῖς μαθηταῖς καὶ φιλοσοφεῖν διδάσκοντος, Πέτρος, ὁ τοῦ χοροῦ τῶν ἀποστόλων κορυφαῖος, τὸ στόμα τῶν μαθητῶν, ὁ στῦλος τῆς Ἐκκλησίας, τὸ στερέωμα τῆς πίστεως, ὁ τῆς ὁμολογίας θεμέλιος, ὁ τῆς οἰκουμένης ἁλιεύς, ὁ τὸ γένος ἡμῶν ἀπὸ τοῦ βυθοῦ τῆς πλάνης εἰς τὸν οὐρανὸν ἀναγαγών, ὁ πανταχοῦ θερμὸς καὶ παρρησίας γέμων, μᾶλλον δὲ ἀγάπης ἢ παρρησίας, σιγώντων ἁπάντων προσελθὼν τῷ διδασκάλῳ, φησί· «ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις;»· ὁμοῦ καὶ ἐρωτᾷ καὶ ὑπισχνεῖται, καὶ πρὶν μάθῃ, φιλοτιμεῖται. Τὴν γὰρ γνώμην τοῦ διδασκάλου σαφῶς εἰδώς, ὅτι πρὸς φιλανθρωπίαν ῥέπει, καὶ πλέον ἐκεῖνος μάλιστα πάντων αὐτῷ χαρίζεται ὁ μάλιστα πάντων τὰ ἁμαρτήματα τῶν πλησίον παρατρέχων καὶ μὴ πικρῶς ἐξετάζων, βουλόμενος ἀρέσαι τῷ νομοθέτῃ, φησίν, «ἕως ἑπτάκις;».

Εἶτα ἵνα μάθῃς, τί μὲν ἄνθρωπος, τί δὲ Θεός, καὶ πῶς ἡ τούτου φιλοτιμία, ὅπουπερ ἂν ἀφίκηται, πρὸς τὴν εὐπορίαν τὴν ἐκείνου συγκρινομένη, πενίας ἐστὶν ἁπάσης εὐτελεστέρα, καὶ ὅτι ὅσον σταγὼν πρὸς πέλαγος ἄπειρον, τοσοῦτον ἡμῶν ἡ ἀγαθότης πρὸς τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν, εἰπόντος αὐτοῦ, «ἕως ἑπτάκις», καὶ νομίσαντος αὐτοῦ μεγάλα φιλοτιμεῖσθαι καὶ δαψιλεύεσθαι, ἄκουσον τί φησιν· «οὐ λέγω σοι, ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά»· τινὲς ἑπτὰ καὶ ἑβδομήκοντα

---

3. Ματθ. 18,15.
4. Ματθ. 18,21.
5. Ματθ. 18,22.

του μιλοῦσε γιὰ ἀνεξικακία καὶ τοὺς δίδασκε νὰ συγκρατοῦν τὴν ὀργὴ καὶ νὰ μὴν ὑπολογίζουν πολὺ τὶς ἀδικίες ποὺ μᾶς γίνονται ἀπὸ τοὺς ἄλλους, λέγοντας αὐτό· «ἂν σφάλλει ἀπέναντί σου ὁ ἀδελφός σου, πήγαινε καὶ ἔλεγξέ τον, ὅταν θὰ εἶστε οἱ δύο μόνοι σας· ἂν σὲ ἀκούσει, κέρδισες τὸν ἀδελφό σου»[3].

Καὶ καθὼς ὁ Χριστὸς ἔλεγε αὐτὰ καὶ τὰ παρόμοια στοὺς μαθητὲς καὶ τοὺς δίδασκε νὰ φιλοσοφοῦν τὰ πράγματα, ὁ Πέτρος, ὁ κορυφαῖος τοῦ χοροῦ τῶν ἀποστόλων, τὸ στόμα τῶν μαθητῶν, ὁ στύλος τῆς Ἐκκλησίας, τὸ στερέωμα τῆς πίστης, τὸ θεμέλιο τῆς ὁμολογίας, ὁ ψαρὰς τῆς οἰκουμένης, αὐτὸς ποὺ ἀνέβασε τὸ γένος μας ἀπὸ τὸ βυθὸ τῆς πλάνης στὸν οὐρανό, ποὺ παντοῦ ἦταν ὁρμητικὸς καὶ γεμάτος ἀπὸ παρρησία, ἢ καλύτερα ἀπὸ ἀγάπη παρὰ παρρησία, τὴ στιγμὴ ποὺ ὅλοι σιωποῦσαν, πλησίασε τὸ δάσκαλο καὶ τοῦ λέγει· «πόσες φορὲς ἂν σφάλει σὲ μένα ὁ ἀδελφός μου, θὰ τὸν συγχωρήσω; ὥς ἑπτὰ φορές;»[4]. Μαζὶ καὶ ἐρωτάει καὶ ὑπόσχεται, καί, προτοῦ μάθει, δείχνει τὴ γενναιοδωρία του. Γιατί, γνωρίζοντας καλὰ τὴ διάθεση τοῦ δασκάλου, ὅτι δηλαδὴ ἔχει τάση γιὰ φιλανθρωπία, καὶ ὅτι ἐκεῖνος κυρίως καὶ πιὸ πολὺ ἀπ' ὅλους ἀρέσει σ' αὐτόν, ἐκεῖνος ποὺ περισσότερο ἀπ' ὅλους παραβλέπει τὰ ἁμαρτήματα τῶν συνανθρώπων του καὶ δὲν τὰ ἐξετάζει μὲ ἐχθρικὴ διάθεση, θέλοντας νὰ ἀρέσει στὸ νομοθέτη, λέγει, «ὥς ἑπτὰ φορές;».

Ἔπειτα, γιὰ νὰ μάθεις τί εἶναι ἄνθρωπος καὶ τί Θεός, καὶ πῶς ἡ γενναιοδωρία τοῦ ἀνθρώπου, ὅπου καὶ ἂν φθάσει, ὅταν συγκρίνεται μὲ τὸν πλοῦτο τοῦ Θεοῦ, εἶναι πιὸ ἀσήμαντη ἀπὸ κάθε φτώχεια, καὶ ὅτι ὅσο ἀπέχει ἡ σταγόνα σὲ σύγκριση μὲ τὸ ἀπέραντο πέλαγος, τόσο πολὺ ἀπέχει ἡ δική μας ἀγαθότητα ἀπὸ τὴν ἀνέκφραστη φιλανθρωπία του, ἀφοῦ εἶπε ὁ Πέτρος, «ὥς ἑπτὰ φορές;» καὶ νόμισε πὼς ἔδειξε μεγάλη φιλοτιμία καὶ γενναιοδωρία, ἄκουσε τί λέγει· «δὲ σοῦ λέγω ὥς ἑπτὰ φορές, ἀλλὰ ὥς ἑβδομήντα φορὲς τὸ ἑπτά»[5]. Μερικοὶ νομίζουν ὅτι εἶ-

νομίζουσιν, οὐκ ἔστι δέ· ἀλλὰ παρολίγον πεντακοσιοστόν ἐστι· τὸ γὰρ ἑπτάκις ἑβδομήκοντα, τετρακόσια καὶ ἐννενήκοντά ἐστι.

Καὶ μὴ νομίσῃς δύσκολον εἶναι τὸ ἐπίταγμα, ἀγαπητέ. Ἐὰν γὰρ ἅπαξ καὶ δεύτερον καὶ τρίτον ἁμαρτόντι συγχωρήσῃς τῆς ἡμέρας, κἂν σφόδρα ᾖ λίθινος, κἂν αὐτῶν τῶν δαιμόνων ἀγριώτερος ὁ λελυπηκώς, οὐκ ἔσται οὕτως ἀναίσθητος, ὡς πάλιν τοῖς αὐτοῖς περιπεσεῖν, ἀλλὰ τῇ πυκνότητι τῆς συγχωρήσεως σωφρονισθείς, βελτίων ἔσται καὶ ἐπιεικέστερος· σύ τε αὖ ἐὰν ᾖς παρεσκευασμένος τοσαυτάκις καταφρονεῖν τῶν εἰς σὲ γινομένων ἁμαρτημάτων, ἀπὸ μιᾶς καὶ δευτέρας καὶ τρίτης συγχωρήσεως γυμνασάμενος, οὐδὲ πόνον ἕξεις λοιπὸν ἐν τῇ τοιαύτῃ φιλοσοφίᾳ, μελετήσας καθάπαξ τῇ πυκνότητι τῆς συγχωρήσεως μηδὲ πλήττεσθαι παρὰ τῶν τοῦ πέλας ἁμαρτημάτων. Ταῦτα ἀκούσας ὁ Πέτρος, ἀχανὴς εἱστήκει, οὐχ ὑπὲρ ἑαυτοῦ φροντίζων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν μελλόντων αὐτῷ ἐμπιστεύεσθαι.

Ἵνα οὖν μὴ τὸ αὐτὸ ποιήσῃ, ὅπερ καὶ ἐφ' ἑτέρων ἐντολῶν ἐποίησε, προλαβὼν ἀπέκλεισεν αὐτῷ πᾶσαν ἐρώτησιν. Τί δὲ ἐπὶ τῶν λοιπῶν ἐντολῶν ἐποίησεν; Εἴ ποτέ τι τοιοῦτον ὁ Χριστὸς ἐπέταττεν, ὃ δυσκολίαν τινὰ ἔχειν ἐδόκει, προπηδῶν τῶν ἄλλων ἠρώτα καὶ ἐπυνθάνετο περὶ τῆς ἐντολῆς. Καὶ γὰρ ὅτε προσελθὼν ὁ πλούσιος περὶ τῆς αἰωνίου ζωῆς τὸν Χριστὸν ἠρώτα, καὶ μαθὼν τὰ ποιητικὰ τῆς τελειότητος, ἀπῄει λυπούμενος ὑπὸ τῶν χρημάτων, εἰπόντος τοῦ Χριστοῦ, ὅτι «εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσελθεῖν»· ὁ Πέτρος, καίτοι πάντων ἑαυτὸν γυμνώσας, καὶ οὐδὲ τὸ ἄγκιστρον κατέχων λοι-

6. Μάρκ. 10,25.

ναι ἑβδομήντα ἑπτὰ φορές, δὲν εἶναι ὅμως ἔτσι, ἀλλὰ σημαίνει σχεδὸν πεντακόσια· γιατὶ ἑπτὰ φορὲς τὸ ἑβδομήντα εἶναι τετρακόσια ἐνενήντα.

Καὶ μὴ νομίσεις, ἀγαπητέ, ὅτι εἶναι δύσκολη ἡ προσταγή. Γιατί, ἂν μία καὶ δύο καὶ τρεῖς φορὲς τὴν ἡμέρα συγχωρήσεις αὐτὸν ποὺ ἁμάρτησε, κι ἂν ἀκόμα εἶναι σκληρὸς σὰν πέτρα, καὶ ἂν ἀκόμα αὐτὸς ποὺ σὲ λύπησε εἶναι πιὸ ἄγριος ἀπὸ τοὺς δαίμονες, δὲ θὰ εἶναι τόσο ἀναίσθητος, ὥστε νὰ πέσει πάλι στὰ ἴδια ἁμαρτήματα, ἀλλά, ἀφοῦ σωφρονισθεῖ ἀπὸ τὶς συχνὲς συγχωρήσεις, θὰ γίνει καλύτερος καὶ πιὸ μαλακός. Καὶ σὺ πάλι, ἂν εἶσαι προετοιμασμένος νὰ περιφρονεῖς τόσες φορὲς τὰ ἁμαρτήματα ποὺ γίνονται ἐναντίον σου, ἀφοῦ ἐξασκηθεῖς ἀπὸ τὴν πρώτη καὶ δεύτερη καὶ τρίτη συγχώρηση, δὲ θὰ νιώθεις στὴ συνέχεια κόπο γιὰ μιὰ τέτοια φιλοσοφία, ἐπειδὴ ἀσκήθηκες μιὰ γιὰ πάντα μὲ τὶς συχνὲς συγχωρήσεις νὰ μὴν τραυματίζεσαι καθόλου ἀπὸ τὰ ἁμαρτήματα τοῦ πλησίον σου. Αὐτὰ μόλις ἄκουσε ὁ Πέτρος ἔμεινε ἄφωνος, φροντίζοντας ὄχι μόνο γιὰ τὸν ἑαυτό του, ἀλλὰ καὶ γιὰ ἐκείνους ποὺ ἐπρόκειτο νὰ τοῦ ἐμπιστευθεῖ.

Γιὰ νὰ μὴν κάνει λοιπὸν αὐτὸ ποὺ ἔκαμε καὶ σὲ ἄλλες ἐντολές, τοῦ ἀπέκλεισε προκαταβολικὰ κάθε ἐρώτηση. Καὶ τί ἔκαμε στὶς ἄλλες ἐντολές; Ἂν κάποτε ὁ Χριστὸς πρόσταζε κάτι τέτοιο, ποὺ φαινόταν πὼς εἶχε κάποια δυσκολία, πρῶτος ἀπὸ τοὺς ἄλλους ἐρωτοῦσε καὶ μάθαινε γιὰ τὴν ἐντολή. Καὶ πραγματικά, ὅταν ὁ πλούσιος πλησίασε τὸ Χριστὸ καὶ τὸν ἐρωτοῦσε γιὰ τὴν αἰώνια ζωὴ καὶ ἔμαθε γι' αὐτὰ ποὺ παρέχουν τὴν τελειότητα καὶ ἔφυγε λυπημένος ἐξ αἰτίας τῶν χρημάτων, ἀφοῦ τοῦ εἶπε ὁ Χριστὸς ὅτι «εἶναι πιὸ εὔκολο νὰ περάσει ἕνα καραβόσχοινο ἀπὸ τὴν τρύπα μιᾶς βελόνας, παρὰ νὰ μπεῖ ἕνας πλούσιος στὴ βασιλεία τῶν οὐρανῶν»[6], ὁ Πέτρος, ἂν καὶ γύμνωσε τὸν ἑαυτό του ἀπ' ὅλα καὶ δὲν εἶχε πιὰ οὔτε τὸ ἀγκίστρι, ἀλλ'

πόν, ἀλλὰ καὶ τῆς τέχνης καὶ τοῦ ἀκατίου καταφρονήσας, προσελθὼν ἔλεγε τῷ Χριστῷ, «καὶ τίς δύναται σωθῆναι;».

Καὶ ὅρα καὶ ἐπιείκειαν μαθητοῦ, καὶ θερμότητα· οὔτε γὰρ εἶπεν, ἀδύνατα ἐπιτάττεις, δύσκολον τὸ ἐπίταγμα, χαλεπὸς ὁ νόμος, οὔτε ἐσίγησεν, ἀλλὰ καὶ τὴν ὑπὲρ τῶν λοιπῶν κηδεμονίαν ἐπεδείξατο, καὶ τὴν διδασκάλῳ παρὰ μαθητοῦ τιμὴν ὀφειλομένην ἀπένειμεν, οὕτως εἰπών, «καὶ τίς δύναται σωθῆναι;» καὶ μηδέπω γενόμενος ποιμήν, ποιμένος εἶχε ψυχήν, καὶ μηδέπω τὴν ἀρχὴν ἐγχειρισθείς, τὴν πρέπουσαν ἄρχοντι κηδεμονίαν ἐφύλαττεν, ὑπὲρ τῆς οἰκουμένης ἁπάσης φροντίζων. Εἰ μὲν γὰρ πλούσιος ἦν, καὶ πολλὰ χρήματα περιβεβλημένος, ἴσως εἶπέ τις ἄν, ὅτι οὐ τῶν λοιπῶν, ἀλλ' ἑαυτοῦ κηδόμενος, καὶ ὑπὲρ τῶν καθ' ἑαυτὸν πραγμάτων φροντίζων, ταύτην προσῆγε τὴν πεῦσιν· νυνὶ δὲ ἡ πενία ταύτης αὐτὸν ἀπαλλάττει τῆς ὑποψίας, καὶ δείκνυσιν ὡς τῆς ἑτέρων κηδόμενος σωτηρίας ἐμερίμνα καὶ περιειργάζετο, καὶ παρὰ τοῦ διδασκάλου μαθεῖν ἐβούλετο τὴν τῆς σωτηρίας ὁδόν.

Διὰ τοῦτο καὶ ὁ Χριστὸς αὐτὸν παραθαρρύνων ἔλεγε, «τὰ παρὰ ἀνθρώποις ἀδύνατα, παρὰ τῷ Θεῷ δυνατά ἐστι». Μὴ γὰρ νομίσῃς, φησίν, ὑμᾶς ἐρήμους ἐγκαταλιμπάνεσθαι· ἐγὼ συνεφάπτομαι ταύτης ὑμῖν τῆς σπουδῆς, καὶ τὰ ἄπορα ποιῶ ῥᾴδια γενέσθαι καὶ εὔκολα. Πάλιν περὶ γάμου καὶ γυναικὸς διαλεγομένου τοῦ Χριστοῦ καὶ λέγοντος, ὅτι «ὁ ἀπολύων γυναῖκα παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι», καὶ πᾶσαν κακίαν γυναικὸς παραινοῦντος φέρειν πλὴν πορνείας μόνης, ὁ Πέτρος, τῶν ἄλλων σιγώντων, προσελθὼν ἔλεγε τῷ Χριστῷ· «εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι».

Ὅρα καὶ ἐνταῦθα πῶς καὶ τὴν πρέπουσαν διδασκάλῳ τι-

---

7. Μάρκ. 10,26.
8. Μάρκ. 10,27.
9. Ματθ. 5,32.
10. Ματθ. 19,10.

ἐγκατέλειψε καὶ τὴν τέχνη καὶ τὴ βάρκα του, πλησίασε τὸ Χριστὸ καὶ τοῦ ἔλεγε, « καὶ ποιός μπορεῖ νὰ σωθεῖ;»[7].

Καὶ πρόσεχε καὶ τὴν καλωσύνη τοῦ μαθητῆ καὶ τὸ θερμὸ ζῆλο. Γιατὶ δὲν εἶπε, 'ἀδύνατα πράγματα προστάζεις, δύσκολη ἡ προσταγή, φοβερὸς ὁ νόμος', οὔτε σιώπησε, ἀλλ' ἔδειξε καὶ τὴ φροντίδα του γιὰ τοὺς ἄλλους καὶ ἀπένειμε στὸ δάσκαλο τὴν ὀφειλόμενη τιμὴ ἀπὸ μαθητή, λέγοντας αὐτό· «καὶ ποιός μπορεῖ νὰ σωθεῖ;». Καὶ ἐνῶ ἀκόμα δὲν εἶχε γίνει ποιμένας, εἶχε ψυχὴ ποιμένα, καὶ ἐνῶ ἀκόμα δὲν ἀνέλαβε τὴν ἐξουσία, ἔδειχνε τὴ μέριμνα ποὺ ταιριάζει σὲ ἄρχοντα, φροντίζοντας γιὰ ὁλόκληρη τὴν οἰκουμένη. Γιατί, ἂν βέβαια ἦταν πλούσιος καὶ εἶχε πολλὰ χρήματα, ἴσως θὰ ἔλεγε κανεὶς ὅτι ἔκαμνε τὴν ἐρώτηση αὐτή, μεριμνώντας ὄχι γιὰ τοὺς ἄλλους, ἀλλὰ μεριμνώντας γιὰ τὸν ἑαυτό του καὶ φροντίζοντας γιὰ τὰ δικά του πράγματα. Τώρα ὅμως ἡ φτώχεια τὸν ἀπαλλάσσει ἀπ' αὐτὴν τὴν ὑποψία καὶ δείχνει πὼς φροντίζοντας γιὰ τὴ σωτηρία τῶν ἄλλων μεριμνοῦσε καὶ ἐρευνοῦσε καὶ ἤθελε νὰ μάθει ἀπὸ τὸ δάσκαλο τὸ δρόμο τῆς σωτηρίας.

Γι' αὐτὸ καὶ ὁ Χριστὸς ἐνθαρρύνοντάς τον τοῦ λέγει· «τὰ ἀδύνατα γιὰ τοὺς ἀνθρώπους εἶναι δυνατὰ γιὰ τὸ Θεό»[8]. Μὴ νομίσεις, λέγει, ὅτι ἐγκαταλείπεστε ἔρημοι· ἐγὼ εἶμαι συμβοηθός σας σ' αὐτὴ τὴν προσπάθειά σας καὶ κάμνω τὰ δύσκολα νὰ γίνουν εὔκολα καὶ πραγματοποιήσιμα. Πάλι, ὅταν ὁ Χριστὸς μιλοῦσε γιὰ τὸ γάμο καὶ τὴ γυναίκα καὶ ἔλεγε ὅτι «ὅποιος χωρίζει τὴ γυναίκα του γιὰ ὁποιοδήποτε λόγο, ἐκτὸς ἀπὸ πορνεία, τὴν ὁδηγεῖ στὴ μοιχεία»[9] καὶ συμβούλευε νὰ ὑποφέρει κανεὶς κάθε κακία τῆς γυναίκας ἐκτὸς ἀπὸ τὴν πορνεία μόνο, ὁ Πέτρος, ἐνῶ οἱ ἄλλοι σιωποῦσαν, πλησίασε καὶ λέγει στὸ Χριστό· «ἂν τέτοια πρέπει εἶναι ἡ σχέση τοῦ ἄνδρα μὲ τὴ γυναίκα, δὲ συμφέρει νὰ συνάψει κανεὶς γάμο»[10].

Πρόσεχε καὶ ἐδῶ πῶς καὶ τὴν τιμὴ ποὺ ταιριάζει στὸ δά-

μὴν ἐφύλαξε, καὶ τῆς τῶν λοιπῶν ἐφρόντισε σωτηρίας, οὐδὲ ἐνταῦθα ὑπὲρ τῶν καθ' ἑαυτὸν μεριμνῶν. Ἵνα οὖν μὴ καὶ ἐνταῦθα εἴπῃ τι τοιοῦτον, προλαβὼν διὰ τῆς παραβολῆς προανεῖλεν αὐτοῦ τὴν ἀντίρρησιν. Τούτο χάριν καὶ ὁ εὐαγγελιστὴς εἶπε· «διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ»· δεικνὺς ὅτι διὰ τοῦτο λέγει τὴν παραβολὴν ταύτην, ἵνα μάθῃς ὅτι κἂν ἑβδομηκοντάκις ἑπτὰ ἀφῇς τῆς ἡμέρας τῷ ἀδελφῷ τὰ ἁμαρτήματα, οὐδέπω οὐδὲν μέγα εἰργάσω, ἀλλὰ πολὺ καὶ ἄφατον ἀπολείπῃ τῆς δεσποτικῆς φιλανθρωπίας, καὶ οὐ τοσοῦτον δίδως ὅσον λαμβάνεις.

4. Ἐπακούσωμεν τοίνυν τῆς παραβολῆς· εἰ γάρ δοκεῖ καὶ αὐτόθεν εἶναι σαφής, ἀλλ' ἔχει καὶ ἐναποκεκρυμμένον τινὰ θησαυρὸν νοημάτων ἄφατον. «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ». Μὴ παραδράμῃς ἁπλῶς τὴν ῥῆσιν, ἀλλὰ καὶ ἀνάπτυξόν μοι τὸ δικαστήριον ἐκεῖνο, καὶ εἰς τὸ συνειδὸς εἰσελθὼν τὸ σεαυτοῦ, ἀναλόγισαι τὰ πεπραγμένα σοι παρὰ πᾶσαν τὴν ζωήν· καὶ ὅταν ἀκούσῃς, ὅτι συναίρει λόγον μετὰ τῶν δούλων αὐτοῦ, καὶ βασιλεῖς, καὶ στρατηγούς, καὶ ἐπάρχους, καὶ πλουσίους καὶ πένητας, καὶ δούλους καὶ ἐλευθέρους, καὶ πάντας ἀναλογίζου· «Πάντας γὰρ ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ».

Κἂν πλούσιος ᾖς, ἐννόησον ὅτι δώσεις λόγον, πότερον εἰς πόρνας ἢ εἰς πένητας τὰ χρήματα κατηνάλωσας, πότερον εἰς παρασίτους καὶ κόλακας ἢ εἰς τοὺς δεομένους, πότερον εἰς ἀσέλγειαν ἢ εἰς φιλανθρωπίαν, πότερον εἰς τρυφὴν καὶ ἀσωτίαν καὶ μέθην ἢ εἰς τὴν τῶν ἐπηρεαζομένων βοήθειαν. Οὐχ ὑπὲρ τῆς δαπάνης δὲ μόνον, ἀλλὰ καὶ ὑπὲρ τῆς κτήσεως ἀπαιτηθήσῃ

11. Β' Κορ. 5,10.

σκαλο κράτησε καὶ γιὰ τὴ σωτηρία τῶν ἄλλων φρόντισε, χωρὶς καὶ ἐδῶ νὰ μεριμνάει γιὰ τὰ δικά του πράγματα. Γιὰ νὰ μὴν πεῖ λοιπὸν καὶ ἐδῶ κάτι τέτοιο, πρόλαβε μὲ τὴν παραβολὴ καὶ προεμπόδισε τὴν ἀντίρρησή του. Ἐξ αἰτίας αὐτοῦ καὶ ὁ εὐαγγελιστὴς εἶπε, «γι' αὐτὸ ἡ βασιλεία τῶν οὐρανῶν μοιάζει μ' ἕνα βασιλιά, ποὺ θέλησε νὰ λογαριασθεῖ μὲ τοὺς δούλους του», δείχνοντας ὅτι γι' αὐτὸ λέγει τὴν παραβολὴ αὐτή, γιὰ νὰ μάθεις πώς, καὶ ἂν ἀκόμα ἑβδομήντα φορὲς τὸ ἑπτὰ συγχωρεῖς τὴν ἡμέρα στὸν ἀδελφό σου τὰ ἁμαρτήματά του, δὲν ἔκαμες ἀκόμα τίποτε μεγάλο, ἀλλὰ ὑστερεῖς πολὺ καὶ ἀπερίγραπτα ἀπὸ τὴ φιλανθρωπία τοῦ Κυρίου καὶ δὲ δίνεις τόσο ὅσο παίρνεις.

4. Ἂς ἀκούσουμε λοιπὸν μὲ προσοχὴ τὴν παραβολή. Γιατί, ἂν καὶ φαίνεται ἀπὸ μόνη της πὼς εἶναι σαφής, ἔχει ὅμως μέσα της κρυμμένο καὶ κάποιον ἀνείπωτο θησαυρὸ νοημάτων. «Μοιάζει ἡ βασιλεία τῶν οὐρανῶν μ' ἕνα βασιλιά, ποὺ θέλησε νὰ λογαριασθεῖ μὲ τοὺς δούλους του». Μὴν προσπεράσεις ἐπιπόλαια τὴ φράση, ἀλλὰ καὶ ἀνάπτυξέ μου τὸ δικαστήριο ἐκεῖνο καί, ἀφοῦ μπεῖς στὴ συνείδησή σου, ἀναλογίσου τὶς πράξεις ποὺ ἔχεις κάνει σὲ ὅλη σου τὴ ζωή. Καὶ ὅταν ἀκούσεις ὅτι λογαριάζεται μὲ τοὺς δούλους του, νὰ σκέπτεσαι καὶ βασιλεῖς καὶ στρατηγοὺς καὶ ἐπάρχους καὶ πλουσίους καὶ φτωχοὺς καὶ δούλους καὶ ἐλεύθερους καὶ ὅλους. «Γιατὶ ὅλοι μας πρέπει νὰ παρουσιασθοῦμε μπροστὰ στὸ βῆμα τοῦ Χριστοῦ»[11].

Καὶ ἂν εἶσαι πλούσιος, σκέψου ὅτι θὰ δώσεις λόγο, σὲ ποιό ἀπὸ τὰ δύο ξόδεψες τὰ χρήματά σου, στὶς πόρνες ἢ στοὺς φτωχούς, σὲ ποιό ἀπὸ τὰ δύο, σὲ παράσιτα καὶ κόλακες ἢ σ' αὐτοὺς ποὺ εἶχαν ἀνάγκη· σὲ ποιό ἀπὸ τὰ δύο, σὲ ἀσέλγεια ἢ σὲ φιλανθρωπία· σὲ ποιό ἀπὸ τὰ δύο, σὲ ἀπολαύσεις καὶ ἀσωτία καὶ μέθη ἢ στὴ βοήθεια ἐκείνων ποὺ δοκιμάζονται. Καὶ ὄχι μόνο γιὰ τὸ ξόδεμα τῶν χρημάτων ἀλλὰ καὶ γιὰ τὴν ἀπόκτησή τους θὰ σοῦ ζητηθεῖ λόγος· ποιό ἀπὸ τὰ δύο, μάζεψες τὰ

λόγον, πότερον ἐκ δικαίων πόνων ἢ ἐξ ἁρπαγῆς καὶ πλεονεξίας συνέλεξας, πότερον κλῆρον διαδεξάμενος πατρῷον ἢ τὰς τῶν ὀρφανῶν καταστρέψας οἰκίας, καὶ τὰς τῶν χηρῶν διαρπάσας οὐσίας. Καὶ καθάπερ ἡμεῖς τοῖς οἰκέταις τοῖς ἡμετέροις οὐχὶ τῆς ἐξόδου μόνον τῶν χρημάτων, ἀλλὰ καὶ τῆς εἰσόδου ἀπαιτοῦμεν τὸν λόγον, ἐξετάζοντες πόθεν ὑπεδέξαντο τὰ χρήματα καὶ παρὰ τίνων καὶ πῶς καὶ πόσα· οὕτω δὴ καὶ ὁ Θεὸς οὐχὶ τῆς δαπάνης μόνον, ἀλλὰ καὶ τῆς κτήσεως ἡμᾶς ἀπαιτεῖ τὰς εὐθύνας.

Οὐχ ὁ πλούσιος δὲ μόνον, ἀλλὰ καὶ ὁ πένης τῆς πενίας δίδωσι λόγον· εἰ γενναίως καὶ εὐχαρίστως τὴν πενίαν ἤνεγκεν, εἰ μὴ ἀπεδυσπέτησεν, εἰ μὴ ἐδυσχέρανεν, εἰ μὴ κατηγόρησε τῆς τοῦ Θεοῦ προνοίας, ἕτερον ὁρῶν τρυφῶντα καὶ σπαταλῶντα, ἑαυτὸν δὲ ὄντα ἐν ἐνδείᾳ. Ὥσπερ γὰρ ὁ πλούσιος τῆς ἐλεημοσύνης, οὕτω καὶ ὁ πένης τῆς ὑπομονῆς ἀπαιτεῖται λόγον· μᾶλλον δὲ οὐδὲ τῆς ὑπομονῆς μόνον, ἀλλὰ καὶ αὐτῆς τῆς ἐλεημοσύνης· οὐ γάρ ἐστι κώλυμα πρὸς ἐλεημοσύνην ἡ πενία. Καὶ μάρτυς ἡ χήρα ἡ τὰ δύο καταβαλοῦσα λεπτά, καὶ τοὺς πολλὰ καταθέντας ὑπερακοντίσασα διὰ τῆς μικρᾶς ἐκείνης καταβολῆς.

Οὐ πλούσιοι δὲ καὶ πένητες μόνον, ἀλλὰ καὶ ἄρχοντες καὶ δικασταὶ μετὰ πολλῆς ἐξετάζονται τῆς ἀκριβείας, εἰ μὴ διέφθειραν τὸ δίκαιον, εἰ μὴ πρὸς χάριν, εἰ μὴ πρὸς ἀπέχθειαν ἐψηφίσαντο τοῖς δικαζομένοις, εἰ μὴ κολακευθέντες ἔδωκαν παρὰ τὸ δέον τὴν ψῆφον, εἰ μὴ μνησικακοῦντες ἐπηρέασαν τοῖς οὐδὲν ἠδικηκόσιν.

Οὐχ οἱ ἔξωθεν δὲ μόνον ἄρχοντες, ἀλλὰ καὶ οἱ τῶν Ἐκκλησιῶν προεστῶτες τῆς οἰκείας ἀρχῆς ὑφέξουσι τὸν λόγον· καὶ μάλιστα οὗτοί εἰσιν οἱ ἐπὶ πλέον τὰς πικρὰς καὶ βαρείας εὐθύνας ὑπέχοντες. Καὶ γὰρ ὁ τοῦ λόγου τὴν διακονίαν ἐγκεχειρισμέ-

12. Βλ. Λουκᾶ 21,1–4.

χρήματα ἀπὸ δίκαιους κόπους ἢ ἀπὸ ἁρπαγὴ καὶ πλεονεξία· ποιό ἀπὸ τὰ δύο, παίρνοντας πατρικὴ κληρονομία ἢ καταστρέφοντας τὰ σπίτια τῶν ὀρφανῶν καὶ ληστεύοντας τὶς περιουσίες τοῦ χηρῶν; Καὶ ὅπως ἐμεῖς ἀπαιτοῦμε λογαριασμὸ ἀπὸ τους δικούς μας ὑπηρέτες ὄχι μόνο γιὰ τὰ ἔξοδα ἀλλὰ καὶ γιὰ τὰ ἔσοδα, ἐξετάζοντας ἀπὸ ποῦ ἔλαβαν τὰ χρήματα καὶ ἀπὸ ποιούς καὶ πῶς καὶ πόσα, ἔτσι ἀκριβῶς καὶ ὁ Θεὸς ζητάει ἀπὸ μᾶς εὐθύνες ὄχι μόνο γιὰ τὸ ξόδεμα τῶν χρημάτων, ἀλλὰ καὶ γιὰ τὴν ἀπόκτησή τους.

Καὶ ὄχι μόνο ὁ πλούσιος, ἀλλὰ καὶ ὁ φτωχὸς δίνει λόγο γιὰ τὴ φτώχεια του· ἂν ὑπέμεινε τὴ φτώχεια του γενναῖα καὶ μὲ εὐχαρίστηση, ἂν δὲν ἀπελπίσθηκε, ἂν δὲ δυσανασχέτησε, ἂν δὲν κατηγόρησε τὴν πρόνοια τοῦ Θεοῦ, βλέποντας ἄλλον νὰ ζεῖ τρυφηλὴ καὶ σπάταλη ζωή, ἐνῶ τὸν ἑαυτό του νὰ εἶναι μέσα στὴ στέρηση. Ὅπως δηλαδὴ ὁ πλούσιος δίνει λόγο γιὰ τὴν ἐλεημοσύνη, ἔτσι καὶ ὁ φτωχὸς δίνει γιὰ τὴν ὑπομονή. Ἢ καλύτερα ὄχι μόνο γιὰ τὴν ὑπομονή, ἀλλα καὶ γιὰ τὴν ἐλεημοσύνη τὴν ἴδια· γιατὶ ἡ φτώχεια δὲν εἶναι ἐμπόδιο γιὰ ἐλεημοσύνη. Καὶ μάρτυρας εἶναι ἡ χήρα, ποὺ ἔρριξε τὰ δύο λεπτὰ καὶ μὲ τὴ μικρὴ ἐκείνη εἰσφορὰ ξεπέρασε ἐκείνους ποὺ κατέθεσαν πολλά[12].

Καὶ ὄχι μόνο οἱ πλούσιοι καὶ οἱ φτωχοί, ἀλλὰ καὶ οἱ ἄρχοντες καὶ οἱ δικαστὲς ἐξετάζονται μὲ πολλὴ ἀκρίβεια, ἂν τυχὸν παραβιάσαν τὸ δίκαιο, ἂν ἔβγαλαν ἀποφάσεις γιὰ τοὺς δικαζομένους ἀπὸ εὔνοια ἢ ἀπὸ ἀπέχθεια, ἂν ἀποφάσισαν ἀντίθετα ἀπ' ὅ,τι ἔπρεπε, γιατὶ τοὺς κολάκεψαν, ἂν ἀπὸ μνησικακία ἔβλαψαν ἐκείνους ποὺ δὲν εἶχαν διαπράξει καμιὰ ἀδικία.

Καὶ ὄχι μόνο οἱ κοσμικοὶ ἄρχοντες, ἀλλὰ καὶ οἱ προεστοὶ τῶν Ἐκκλησιῶν θὰ δώσουν λόγο γιὰ τὴ δική τους ἐξουσία. Καὶ μάλιστα αὐτοὶ εἶναι ἐκεῖνοι ποὺ περισσότερο ἔχουν τὶς πικρὲς καὶ βαριὲς εὐθύνες. Γιατὶ ἐκεῖνος ποὺ εἶχε ἀναλάβει τὴν ὑπηρε-

νος ἐξετασθήσεται μετὰ ἀκριβείας ἐκεῖ, εἰ μήτε ὄκνῳ, μήτε φθόνῳ παρεῖδέ τι τῶν δεόντων εἰπεῖν, καὶ διὰ τῶν ἔργων ἐπέδειξεν, ὅτι πάντα διεστείλατο, καὶ οὐδὲν ἔκρυψεν τῶν συμφερόντων. Πάλιν ὁ τὴν ἐπισκοπὴν λαχών, ὅσῳ πρὸς μείζονα ὄγκον ἀναβέβηκε, τοσούτῳ πλείονα ἀπαιτηθήσεται λόγον, οὐχὶ διδασκαλίας μόνον καὶ πενήτων προστασίας, ἀλλὰ καὶ χειροτονιῶν δοκιμασίας καὶ μυρίων ἑτέρων. Καὶ ταῦτα δηλῶν ὁ Παῦλος τῷ Τιμοθέῳ ἔγραφε· «χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις»· καὶ Ἑβραίοις δὲ περὶ τῶν αὐτῶν ἀρχόντων παραινῶν, ἑτέρως ἐφόβει οὕτω λέγων· «πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες».

Τότε οὐχὶ πραγμάτων δὲ μόνων, ἀλλὰ καὶ ρημάτων παρέξομεν εὐθύνας. Καθάπερ γὰρ καὶ ἡμεῖς ἀργύρια τοῖς οἰκέταις ἐμπιστεύσαντες, ἁπάντων ἀπαιτοῦμεν αὐτοὺς λόγον, οὕτω καὶ ὁ Θεός, ρήματα ἡμῖν ἐμπιστεύσας, ζητήσει τῆς δαπάνης αὐτῶν τὸν τρόπον. Ἀπαιτούμεθα δὲ καὶ ἐξεταζόμεθα μετὰ ἀκριβείας, εἰ μὴ εἰκῇ μηδὲ μάτην αὐτὰ ἀναλώσαμεν· οὐ γὰρ οὕτως ἀργύριον ἁπλῶς ἀναλωθὲν ἔβλαψεν, ὡς ρήματα εἰκῇ καὶ μάτην ἐξενεχθέντα καὶ εἰς οὐδὲν δέον. Ἀργύριον μὲν γὰρ μάτην δαπανηθὲν ἐν χρήμασι πολλάκις τὴν ζημίαν ἤνεγκε, λόγος δὲ ἁπλῶς προενεχθεὶς ὁλοκλήρους ἀνέτρεψεν οἰκίας, καὶ ψυχὰς ἀπώλεσε καὶ κατέλυσε· καὶ τῶν μὲν χρημάτων τὴν ζημίαν διορθῶσαι πάλιν ἔνι, λόγον δὲ ἐκπηδήσαντα καθάπαξ ἀνακτήσασθαι πάλιν οὐκ ἔνι.

Καὶ ὅτι λόγων δίδομεν δίκας, ἄκουσον τί φησιν ὁ Χριστός· «λέγω δὲ ὑμῖν, ὅτι πᾶν ρῆμα ἀργόν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι ἐπὶ τῆς γῆς, ἀποδώσουσι λόγον περὶ αὐτοῦ ἐν ἡμέρᾳ

---

13. Α΄ Τιμ. 5,22.
14. Ἑβρ. 13,17.

σία τοῦ κηρύγματος θὰ ἐξετασθεῖ μὲ λεπτομέρεια ἐκεῖ, ἂν τυχὸν ἀπὸ δισταγμὸ ἢ ἀπὸ φθόνο παρέλειψε νὰ πεῖ κάτι ἀπ' αὐτὰ ποὺ ἔπρεπε καὶ ἂν μὲ τὰ ἔργα ἀπέδειξε πὼς ὅλα τὰ ἀνέπτυξε καὶ δὲν ἔκρυψε τίποτε ἀπὸ τὰ ὠφέλιμα. Ἐπίσης ἐκεῖνος ποὺ ἔλαχε τὴν ἐπισκοπή, σὲ ὅσο πιὸ μεγαλύτερο ἀξίωμα ἀνέβηκε, τόσο περισσότερο θὰ τοῦ ζητηθεῖ λόγος, ὄχι μόνο γιὰ τὴ διδασκαλία καὶ τὴν προστασία τῶν φτωχῶν, ἀλλὰ καὶ γιὰ τὴ δοκιμασία τῶν χειροτονιῶν καὶ γιὰ ἄπειρα ἄλλα. Καὶ αὐτὰ δηλώνοντας ὁ Παῦλος, ἔγραφε στὸν Τιμόθεο· «μὴ βιάζεσαι νὰ χειροτονεῖς κανέναν, οὔτε νὰ συμμετέχεις σὲ ξένες ἁμαρτίες»[13]. Καὶ ὅταν συμβούλευε τοὺς Ἑβραίους γιὰ τοὺς ἴδιους ἄρχοντες, τοὺς φόβιζε μὲ ἄλλον τρόπο λέγοντας· «νὰ ὑπακοῦτε καὶ νὰ ὑποτάσσεσθε στοὺς προϊσταμένους σας. Γιατὶ αὐτοὶ ἀγρυπνοῦν γιὰ τὶς ψυχές σας, ἐπειδὴ θὰ δώσουν λόγο στὸ Θεό»[14].

Τότε ὄχι μόνο γιὰ τὶς πράξεις, ἀλλὰ καὶ γιὰ τὰ λόγια θὰ δώσουμε λόγο. Γιατί, ὅπως ἀκριβῶς καὶ μεῖς, ὅταν ἐμπιστευθοῦμε χρήματα στοὺς ὑπηρέτες, τοὺς ζητοῦμε λόγο γι' ὅλα, ἔτσι καὶ ὁ Θεός, ἐπειδὴ μᾶς ἐμπιστεύθηκε λόγια, θὰ μᾶς ζητήσει τὸν τρόπο ποὺ τὰ ξοδέψαμε. Μᾶς ζητεῖται λοιπὸν λόγος καὶ ἐξεταζόμαστε μὲ ἀκρίβεια, μήπως τὰ ξοδέψαμε αὐτὰ ἄσκοπα καὶ στὰ χαμένα. Γιατὶ δὲν ἔβλαψαν τόσο χρήματα ποὺ ξοδεύτηκαν ἄσκοπα, ὅσο λόγια ποὺ λέχθηκαν στὴν τύχη καὶ στὰ χαμένα καὶ πρὸς καμιὰ ὠφέλεια. Γιατὶ τὰ χρήματα ποὺ ξοδεύτηκαν μάταια προκάλεσαν πολλὲς φορὲς ζημία οἰκονομική, τὰ λόγια ὅμως ποὺ λέχθηκαν ἄσκοπα γκρέμισαν ὁλόκληρα σπίτια καὶ κατέστρεψαν καὶ ἐξαφάνισαν ψυχές. Καὶ τὴ χρηματικὴ ζημιὰ εἶναι δυνατὸ κανεὶς νὰ τὴ διορθώσει πάλι, τὸ λόγο ὅμως ποὺ ξέφυγε μιὰ φορά, δὲν εἶναι δυνατὸ νὰ τὸν πάρει πάλι πίσω.

Καὶ ὅτι θὰ λογοδοτήσουμε γιὰ τὰ λόγια, ἄκουσε τί λέγει ὁ Χριστός· «καὶ σᾶς λέγω ὅτι οἱ ἄνθρωποι, γιὰ κάθε ἄχρηστο λόγο ποὺ θὰ ποῦν ἐπάνω στὴ γῆ, θὰ λογοδοτήσουν γι' αὐτὸν

κρίσεως· ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου κατακριθήσῃ». Οὐ ρημάτων δὲ μόνον δίδομεν εὐθύνας, ἀλλὰ καὶ ἀκουσμάτων· οἷον εἰ παρεδέξω κατηγορίαν κατὰ τοῦ πλησίον ψευδῆ λεγομένην· «ἀκοὴν γάρ», φησί, «ματαίαν μὴ παραδέξῃ». Εἰ δὲ οἱ δεχόμενοι ματαίαν ἀκοὴν οὐκ ἂν τύχοιεν συγγνώμης, οἱ διαβάλλοντες καὶ κατηγοροῦντες ποίαν ἕξουσιν ἀπολογίαν;

5. Καὶ τί λέγω ρήματα καὶ ἀκοήν, ὅπουγε καὶ ἐνθυμημάτων εὐθύνας ὑπέχομεν; Καὶ τοῦτο αὐτὸ ὁ Παῦλος δηλῶν ἔλεγεν· «ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν». Καὶ ὁ ψαλμῳδὸς δέ φησιν· «ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι;». Οἷον, εἰ μετὰ δόλου καὶ πονηρᾶς γνώμης πρὸς τὸν ἀδελφὸν διελέχθης, εἰ διὰ τοῦ στόματος αὐτὸν ἐπαινῶν καὶ τῆς γλώττης, κατὰ διάνοιαν ἐκάκωσας καὶ ἐφθόνησας αὐτῷ. Πάλιν γὰρ τοῦτο αὐτὸ ὁ Χριστὸς αἰνιττόμενος, ὅτι οὐχὶ ἔργων μόνον, ἀλλὰ καὶ ἐνθυμημάτων δίδομεν δίκην, ἔλεγεν· «ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ». Καίτοι οὐ προῆλθεν εἰς ἔργον ἡ ἁμαρτία, ἀλλ' ἐν διανοίᾳ τέως ἐστίν· ἀλλ' οὐδὲ οὕτως ἀνέγκλητος δύναται μεῖναι ὁ διὰ τοῦτο περισκοπῶν κάλλη γυναικῶν, ἵνα ἀνάψῃ πορνείας ἐπιθυμίαν.

Ὅταν οὖν ἀκούσῃς, ὅτι συναίρει λόγον μετὰ τῶν δούλων αὐτοῦ, μὴ παρέλθῃς ἁπλῶς τὴν ρῆσιν, ἀλλ' ἐννόησον πᾶσαν ἀξίαν, πᾶσαν ἡλικίαν, ἑκατέραν τὴν φύσιν, τῶν τε ἀνδρῶν, τῶν τε γυναικῶν· ἐννόησον οἷον ἔσται τότε τὸ δικαστήριον, ἀναλόγι-

---

15. Ματθ. 12,36–37.
16. Ἐξ. 23,1.
17. Α' Κορ. 4,5.
18. Ψαλμ. 75,11.
19. Ματθ. 5,28.

τὴν ἡμέρα τῆς κρίσης. Ἔτσι, ἀπὸ τὰ λόγια σου θὰ δικαιωθεῖς καὶ ἀπὸ τὰ λόγια σου θὰ καταδικασθεῖς»[15]. Καὶ ὄχι μόνο γιὰ τὰ λόγια μας κρινόμαστε, ἀλλὰ καὶ γιὰ τὰ ἀκούσματα, ὅπως γιὰ παράδειγμα, ἂν παραδέχθηκες ψεύτικη κατηγορία ἐναντίον τοῦ πλησίον σου. «Νὰ μὴν παραδεχθεῖς», λέγει ἡ Γραφή, «ἐπιπόλαιο ἄκουσμα»[16]. Ἂν ὅμως ὅσοι δέχονται ἐπιπόλαιο ἄκουσμα, δὲ θὰ ἐπιτύχουν συγγνώμη, ὅσοι διαβάλλουν καὶ κατηγοροῦν ποιά ἀπολογία θὰ ἔχουν;

5. Καὶ γιατί λέγω γιὰ λόγια καὶ γιὰ ἀκούσματα, τὴ στιγμὴ βέβαια ποὺ εἴμαστε ὑπόλογοι καὶ γιὰ τὶς σκέψεις μας; Καὶ τοῦτο ἀκριβῶς γιὰ νὰ δηλώσει ὁ Παῦλος ἔλεγε· «γι' αὐτὸ μὴν κρίνετε κάτι πρὶν ἀπὸ τὸν καιρό του, μέχρι ποὺ νὰ ἔρθει ὁ Κύριος, ποὺ θὰ ρίξει φῶς σὲ ὅσα εἶναι κρυμμένα στὸ σκοτάδι καὶ θὰ φανερώσει τὶς προθέσεις τῶν καρδιῶν»[17]. Καὶ ὁ ψαλμωδὸς λέγει· «ἔτσι καὶ κάθε ἀνθρώπινη σκέψη θὰ ἐξομολογηθεῖ σὲ σένα»[18]. Τί σημαίνει «κάθε ἀνθρώπινη σκέψη θὰ ἐξομολογηθεῖ σὲ σένα»; Γιὰ παράδειγμα, ἂν μὲ δόλο καὶ πονηρὴ διάθεση μίλησες στὸν ἀδελφό σου, ἂν μὲ τὸ στόμα καὶ τὴ γλώσσα τὸν ἐπαινοῦσες, μέσα σου ὅμως σκεπτόσουν τὸ κακό του καὶ τὸν φθονοῦσες. Καὶ πάλι ὁ Χριστὸς ὑπονοώντας τοῦτο ἀκριβῶς, ὅτι δηλαδὴ θὰ τιμωρηθοῦμε ὄχι μόνο γιὰ τὶς πράξεις ἀλλὰ καὶ γιὰ τὶς σκέψεις μας, ἔλεγε· «ὅποιος βλέπει γυναίκα μὲ πονηρὴ ἐπιθυμία, ἔχει ἤδη διαπράξει μέσα του μοιχεία μ' αὐτήν»[19]. Ἂν καὶ δὲ διαπράχθηκε ἡ ἁμαρτία, ἀλλὰ εἶναι ἀκόμα μέσα στὴ σκέψη, ὅμως οὔτε ἔτσι μπορεῖ νὰ μείνει ἀκατηγόρητος ὅποιος γιὰ τὸ σκοπὸ αὐτὸν παρατηρεῖ μὲ προσοχὴ τὰ κάλλη τῶν γυναικῶν, μὲ σκοπὸ ν' ἀνάψει τὴν ἐπιθυμία τῆς πορνείας.

Ὅταν λοιπὸν ἀκούσεις πῶς λογαριάζεται μὲ τοὺς δούλους του, μὴ προσπεράσεις ἐπιπόλαια τὴ φράση, ἀλλὰ σκέψου κάθε ἀξία, κάθε ἡλικία, κάθε φύλο χωριστά, καὶ τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν. Σκέψου ποιό θὰ εἶναι τότε τὸ δικαστήριο,

σαι τὰ ἡμαρτημένα σοι πάντα. Κἂν γὰρ αὐτὸς ἐπιλάθῃ τῶν πεπλημμελημένων, Θεὸς οὐδέποτε ἐπιλήσεται, ἀλλὰ πάντα πρὸ τῶν ὀφθαλμῶν στήσει τῶν ἡμετέρων, ἂν μὴ προλαβόντες αὐτὰ καταλύσωμεν νῦν διὰ μετανοίας καὶ ἐξομολογήσεως, καὶ τοῦ μηδέποτε μνησικακεῖν τοῖς πλησίον. Τίνος δὲ ἕνεκεν ποιεῖ τὸ λογοθέσιον; Οὐχ ὡς αὐτὸς ἀγνοῶν (πῶς γάρ, ὁ εἰδὼς τὰ πάντα πρὶν γεννέσεως αὐτῶν;), ἀλλ' ἵνα σε πείσῃ τὸν οἰκέτην, ὅτι δικαίως ὀφείλεις, ὅπερ ἂν ὀφείλῃς· μᾶλλον δὲ οὐχ ἵνα μάθῃς μόνον, ἀλλ' ἵνα καὶ ἀπονίψῃ· ἐπεὶ καὶ τῷ προφήτῃ διὰ τοῦτο ἐκέλευσε τὰ ἁμαρτήματα λέγειν τῶν Ἰουδαίων. «Λέγε» γάρ, φησί, «τὰς ἀνομίας αὐτῶν τῷ οἴκῳ Ἰακώβ, καὶ τὰς ἁμαρτίας αὐτῶν τῷ οἴκῳ Ἰσραήλ»· οὐχ ἵνα ἀκούσωσι μόνον, ἀλλ' ἵνα διορθώσωνται.

«Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων». Ἆρα πόσα ἐνεπιστεύθη, ὅτι τοσαῦτα κατέφαγε; Μέγας ὁ τῶν ὀφλημάτων ὄγκος· καὶ οὐχὶ μόνον τοῦτο ἦν τὸ χαλεπόν, ἀλλ' ὅτι καὶ πρῶτος προσηνέχθη τῷ δεσπότῃ. Εἰ μὲν γὰρ μετὰ πολλοὺς ἑτέρους εὐγνωμονήσαντας οὗτος προσηνέχθη, οὐχ οὕτω θαυμαστὸν ἦν τὸ μὴ παρωξυνθῆναι τὸν δεσπότην· ἡ γὰρ τῶν φθασάντων εὐγνωμοσύνη τοῖς μετὰ ταῦτα ηὐγνωμονηκόσιν ἡμερώτερον αὐτὸν ἔμελλε ποιεῖν. Τὸ δὲ πρῶτον εἰσαχθέντα ἀγνώμονα φανῆναι, καὶ οὕτως ἀγνώμονα γενόμενον, φιλανθρώπου τυχεῖν δεσπότου, τοῦτό ἐστι τὸ μάλιστα θαυμαστὸν καὶ παράδοξον.

Ἄνθρωποι μὲν οὖν, ἐπειδὰν εὕρωσι τοὺς ὀφείλοντας, ὥσπερ θήραν καὶ ἄγραν εὑρόντες, οὕτω γεγήθασι, καὶ πάντα ποιοῦσιν, ὅπως τὸ πᾶν ἀπαιτήσωσι· κἂν μὴ δυνηθῶσι διὰ τὴν πενίαν τῶν ὀφειλόντων, τὴν ὑπὲρ τῶν χρημάτων ὀργὴν εἰς τὸ ταλαίπωρον σῶμα τῶν ἀθλίων ἐκχέουσιν, αἰκίζοντες καὶ τύ-

---

20. Ἡσ. 58,1.

ἀναλογίσου ὅλα τὰ ἁμαρτήματα ποὺ ἔκαμες. Καὶ ἂν ἀκόμα ὁ ἴδιος ξεχάσεις τὰ ἁμαρτήματα, ὁ Θεὸς ποτὲ δὲ θὰ τὰ ξεχάσει, ἀλλὰ θὰ τὰ στήσει ὅλα μπροστὰ στὰ μάτια μας, ἂν δὲν προλάβουμε νὰ τὰ ἐξαλείψουμε τώρα μὲ μετάνοια καὶ ἐξομολόγηση καὶ μὲ τὸ νὰ μὴ εἴμαστε μνησίκακοι ποτὲ πρὸς τοὺς πλησίον μας. Καὶ γιὰ ποιό λόγο ζητεῖ νὰ λογοδοτήσουμε; Ὄχι γιατὶ ὁ ἴδιος ἀγνοεῖ (πῶς θὰ ἀγνοοῦσε αὐτὸς ποὺ γνωρίζει τὰ πάντα πρὶν γίνουν;), ἀλλὰ γιὰ νὰ πείσει ἐσένα τὸν ὑπηρέτη ὅτι δίκαια ὀφείλεις αὐτὸ ποὺ ὀφείλεις. Ἢ καλύτερα ὄχι γιὰ νὰ μάθεις μόνο, ἀλλὰ καὶ γιὰ νὰ καθαρισθεῖς τελείως. Γιατὶ καὶ τὸν προφήτη γι' αὐτὸ τὸν διέταξε νὰ λέγει τὰ ἁμαρτήματα τῶν Ἰουδαίων. «Λέγε», λέγει, «τὶς ἀνομίες τους στοὺς ἀπογόνους τοῦ Ἰακὼβ καὶ τὶς ἁμαρτίες τους στοὺς ἀπογόνους τοῦ Ἰσραήλ»[20], ὄχι γιὰ ν' ἀκούσουν μόνο, ἀλλὰ γιὰ νὰ διορθωθοῦν.

«Ὅταν ἄρχισε νὰ κάνει λογαριασμό, τοῦ ἔφεραν ἕναν ποὺ χρωστοῦσε δέκα χιλιάδες τάλαντα». Ἄραγε πόσα τοῦ ἐμπιστεύθηκε, ἀφοῦ κατέφαγε τόσα πολλά; Ἦταν μεγάλος ὁ ὄγκος τοῦ χρέους. Καὶ δὲν ἦταν μόνο αὐτὸ τὸ φοβερό, ἀλλὰ καὶ τὸ ὅτι τὸν ἔφεραν πρῶτο στὸν κύριό του. Γιατί, ἂν τὸν ἔφερναν ὕστερα ἀπὸ πολλοὺς ἄλλους ποὺ ἀναγνώριαν τὴν εὐεργεσία ποὺ τοὺς ἔγινε, δὲ θὰ ἦταν τόσο θαυμαστὸ τὸ νὰ μὴν ἐξοργιζόταν ὁ κύριος, ἀφοῦ ἡ εὐγνωμοσύνη αὐτῶν ποὺ προηγήθηκαν ἐπρόκειτο νὰ τὸν κάνει πιὸ μαλακὸ στοὺς κατοπινοὺς ἀχάριστους. Τὸ νὰ ὁδηγηθεῖ ὅμως πρῶτος καὶ νὰ φανεῖ ἀχάριστος καί, παρ' ὅλο ποὺ ἦταν τόσο ἀχάριστος, νὰ ἐπιτύχει φιλάνθρωπο κύριο, αὐτὸ εἶναι τὸ πάρα πολὺ θαυμαστὸ καὶ παράδοξο.

Οἱ ἄνθρωποι λοιπόν, ὅταν βροῦν τοὺς ὀφειλέτες τους, σὰν νὰ βρῆκαν κυνήγι καὶ θήραμα, ἔτσι χαίρονται καὶ κάνουν τὰ πάντα γιὰ νὰ ζητήσουν πίσω ὅλο τὸ χρέος. Καὶ ἂν δὲν τὸ κατορθώσουν ἐξ αἰτίας τῆς φτώχειας τῶν ὀφειλετῶν, τότε τὴν ὀργή τους γιὰ τὰ χρήματα τὴν ἐκδηλώνουν στὸ ταλαίπωρο σῶμα τῶν

πτοντες καὶ μυρία αὐτῷ διατιθέντες κακά. Ὁ δὲ Θεὸς τοὐναντίον ἅπαντα ἐκίνει καὶ ἐπραγματεύετο, ὅπως αὐτὸν ἀπαλλάξῃ τῶν ὀφλημάτων. Ἐπὶ γὰρ ἡμῶν τὸ ἀπαιτεῖσαι, πλοῦτος· ἐπὶ δὲ Θεοῦ τὸ συγχωρῆσαι πλοῦτος· ἡμεῖς ἐπειδὰν λάβωμεν τὰ ὀφειλόμενα, τότε εὐπορώτεροι γινόμεθα· ὁ δὲ Θεὸς ἐπειδὰν συγχωρήσῃ τὰ πλημμελήματα, τότε μάλιστα πλουτεῖ· πλοῦτος γὰρ Θεοῦ τῶν ἀνθρώπων ἡ σωτηρία, καθάπερ ὁ Παῦλός φησιν· «ὁ πλουτῶν εἰς πάντας, καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν».

Ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ πῶς ὁ βουλόμενος ἀφεῖναι καὶ συγχωρῆσαι τὰ ἐγκλήματα, ἐκέλευσεν αὐτὸν πραθῆναι; Αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτοῦ τὴν φιλανθρωπίαν δείκνυσιν. Ἀλλὰ μὴ ἐπειγώμεθα, ἀλλὰ τάξει προβαίνωμεν ἐπὶ τὴν τῆς παραβολῆς διήγησιν. «Μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι», φησί. Τί ἐστι, «μὴ ἔχοντος αὐτοῦ ἀποδοῦναι»; Πάλιν ἐπίτασις ἀγνωμοσύνης· ὅταν γὰρ εἴπῃ, «μὴ ἔχοντος αὐτοῦ ἀποδοῦναι», οὐδὲν ἄλλο λέγει, ἀλλ' ἢ ὅτι κατορθωμάτων ἔρημος ἦν, καὶ οὐδὲν εἶχεν ἔργον ἀγαθόν, ὥστε λογισθῆναι αὐτῷ εἰς τὴν τῶν ἁμαρτημάτων ἀπαλλαγήν· λογίζεται γάρ, λογίζεται πάντως ἡμῖν ἐπὶ ἁμαρτημάτων ἀπαλλαγῇ κατορθώματα, καθάπερ οὖν καὶ πίστις εἰς δικαιοσύνην. «Τῷ γὰρ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην».

Καὶ τί λέγω πίστιν καὶ κατορθώματα, ὅπουγε καὶ θλίψεις λογίζονται ἡμῖν εἰς ἁμαρτημάτων ἀνάλυσιν; Καὶ τοῦτο δηλοῖ μὲν ὁ Χριστὸς διὰ τῆς τοῦ Λαζάρου παραβολῆς, εἰσάγων τὸν Ἀβραὰμ λέγοντα πρὸς τὸν πλούσιον, ὅτι Λάζαρος ἀπέλαβεν ἐν τῇ ζωῇ αὐτοῦ τὰ κακά, καὶ διὰ τοῦτο ὧδε παρακαλεῖται. Δηλοῖ

---

21. Ρωμ. 10,12.
22. Ρωμ. 4,5.
23. Βλ. Λουκᾶ 16,19–31.

δυστυχισμένων ἐκείνων, βασανίζοντας καὶ κτυπώντας καὶ προκαλώντας σ' αὐτὸ ἄπειρα κακά. Ὁ Θεὸς ὅμως ἀντίθετα ἔκαμνε καὶ ἐπιχειροῦσε τὰ πάντα, γιὰ νὰ τὸν ἀπαλλάξει ἀπὸ τὰ χρέη. Γιατὶ σὲ μᾶς, τὸ νὰ ζητήσουμε πίσω κάτι, εἶναι πλοῦτος, ἐνῶ στὸ Θεὸ τὸ νὰ συγχωρήσει, εἶναι πλοῦτος. Ἐμεῖς ὅταν πάρουμε ὅσα μᾶς χρωστοῦν, τότε γινόμαστε πιὸ πλούσιοι, ἐνῶ ὁ Θεός, ὅταν συγχωρήσει τὰ ἁμαρτήματα, τότε κυρίως γίνεται πλούσιος. Γιατὶ ὁ πλοῦτος τοῦ Θεοῦ εἶναι ἡ σωτηρία τῶν ἀνθρώπων, καθὼς λέγει ὁ Παῦλος· «αὐτὸς εἶναι πλούσιος σὲ ὅλους καὶ γιὰ ὅλους ποὺ τὸν ἐπικαλοῦνται»[21].

Ἴσως ὅμως θὰ μποροῦσε νὰ πεῖ κάποιος· καὶ πῶς αὐτὸς ποὺ ἤθελε νὰ συγχωρήσει καὶ νὰ χαρίσει τὰ ἀδικήματα διέταξε νὰ τὸν πουλήσουν; Αὐτὸ ἀκριβῶς δείχνει πάρα πολὺ τὴ φιλανθρωπία του. Ὅμως ἂς μὴ βιαζόμαστε, ἀλλὰ ἂς προχωροῦμε μὲ τάξη στὴ διήγηση τῆς παραβολῆς. «Καὶ ἐπειδὴ δὲν μποροῦσε νὰ τὰ ἐπιστρέψει», λέγει. Τί σημαίνει, «ἐπειδὴ δὲν μποροῦσε νὰ τὰ ἐπιστρέψει»; Πάλι ἐπίταση ἀχαριστίας. Γιατί, ὅταν λέγει, «ἐπειδὴ δὲν μποροῦσε νὰ τὰ ἐπιστρέψει», τίποτε ἄλλο δὲν ἐννοεῖ παρὰ τὸ ὅτι ἦταν στερημένος κατορθωμάτων καὶ δὲν εἶχε κανένα ἔργο ἀγαθό, ὥστε νὰ τοῦ λογαριασθεῖ στὴν ἀπαλλαγὴ τῶν ἁμαρτημάτων του. Γιατὶ λογαριάζονται, ὁπωσδήποτε λογαριάζονται τὰ κατορθώματα γιὰ τὴν ἀπαλλαγή μας ἀπὸ τὰ ἁμαρτήματα, ὅπως ἀκριβῶς καὶ ἡ πίστη σὲ δικαιοσύνη. Γιατὶ «σ' ἐκεῖνον ποὺ δὲν ἐργάζεται ἀλλὰ πιστεύει στὸ Θεὸ ποὺ δικαιώνει τὸν ἀσεβή, λογαριάζεται ἡ πίστη του σὲ δικαιοσύνη»[22].

Καὶ γιατί λέγω γιὰ πίστη καὶ κατορθώματα, ἀφοῦ καὶ οἱ θλίψεις μᾶς λογαριάζονται γιὰ τὴν ἐξάλειψη τῶν ἁμαρτημάτων; Καὶ αὐτὸ τὸ φανερώνει ὁ Χριστὸς μὲ τὴν παραβολὴ τοῦ Λαζάρου, παρουσιάζοντας τὸν Ἀβραὰμ νὰ λέγει στὸν πλούσιο, ὅτι ὁ Λάζαρος ἀπόλαυσε στὴ ζωή του τὴ δυστυχία καὶ γι' αὐτὸ ἐδῶ παρηγορεῖται[23]. Τὸ φανερώνει ὅμως καὶ ὁ Παῦλος, γράφοντας

δὲ καὶ ὁ Παῦλος Κορινθίοις ἐπιστέλλων περὶ τοῦ πεπορνευκότος, καὶ λέγων οὕτω· «παράδοτε τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ». Καὶ ἑτέρους δὲ ἡμαρτηκότας παραμυθούμενος οὕτως ἔλεγε· «διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου, παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν». Εἰ δὲ πειρασμὸς καὶ νόσος καὶ ἀσθένεια καὶ σαρκὸς ὄλεθρος, ἅπερ ἀβουλήτως ὑπομένομεν, οὐκ αὐτοὶ κατασκευάζοντες, λογίζεται ἡμῖν εἰς ἁμαρτίας διάλυσιν, πολλῷ μᾶλλον κατορθώματα, ἅπερ ἑκόντες καὶ σπουδάζοντες μετερχόμεθα.

Ἀλλ' οὗτος ἔρημος μὲν ἀγαθοῦ παντὸς ἦν, φορτίον δὲ ἁμαρτημάτων ἀφόρητον εἶχε· διὰ τοῦτό φησι, «μὴ ἔχοντος αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν πραθῆναι»· ὅθεν μάλιστά ἐστι τοῦ δεσπότου τὴν φιλανθρωπίαν καταμαθεῖν, ὅτι καὶ τὸ λογοθέσιον ἐποίησε, καὶ πραθῆναι ἐκέλευσεν· ἀμφότερα γὰρ ταῦτα εἰργάσατο, ὥστε αὐτὸν μὴ πραθῆναι. Πόθεν τοῦτο δῆλον; Ἀπὸ τοῦ τέλους· εἰ γὰρ πραθῆναι αὐτὸν ἐβούλετο, τίς ὁ κωλύων ἦν; τίς ὁ ἐμποδίζων;

6. Τίνος οὖν ἕνεκεν ἐκέλευσε, μὴ μέλλων ποιεῖν; Ἵνα αὐξήσῃ τὸν φόβον· τὸν δὲ φόβον ηὔξησε διὰ τῆς ἀπειλῆς, ἵνα αὐτὸν εἰς ἱκετηρίαν ἐμβάλῃ· εἰς ἱκετηρίαν δὲ αὐτὸν ἐνέβαλεν, ἵνα ἀφορμὴν λάβῃ συγχωρήσεως. Ἠδύνατο μὲν γὰρ καὶ πρὸ τῆς παρακλήσεως αὐτὸν ἀφεῖναι, ἀλλ' ἵνα μὴ χείρονα ἐργάσηται, τοῦτο οὐκ ἐποίησεν. Ἠδύνατο καὶ πρὸ τοῦ λογοθεσίου ποιῆσαι τὴν συγχώρησιν, ἀλλ' ἵνα μὴ τὸν ὄγκον ἀγνοῶν τῶν ἁμαρτημάτων, ἀπανθρωπότερος γένηται καὶ ὠμότερος περὶ τοὺς

---

24. Α' Κορ. 5,5.
25. Α' Κορ. 11,30–32.

στοὺς Κορινθίους γιὰ τὸν πόρνο καὶ λέγοντας τὰ ἑξῆς· «παραδῶστε αὐτὸν τὸν ἄνθρωπο στὸ σατανὰ πρὸς ὄλεθρο τοῦ σώματος, γιὰ νὰ σωθεῖ τὸ πνεῦμα του»[24]. Καὶ παρηγορώντας ἐπίσης ἄλλους ποὺ ἁμάρτησαν, ἔλεγε αὐτά· «γι' αὐτὸ ὑπάρχουν ἀνάμεσά σας πολλοὶ ἐλαφρὰ καὶ βαριὰ ἄρρωστοι, καθὼς καὶ ἀρκετοὶ νεκροί. Γιατί, ἂν κρίναμε τοὺς ἑαυτούς μας, δὲ θὰ κρινόμασταν. Ἀλλά, ὅταν κρινόμαστε ἀπὸ τὸν Κύριο, διαπαιδαγωγούμαστε, γιὰ νὰ μὴν καταδικασθοῦμε μαζὶ μὲ τὸν κόσμο»[25]. Ἂν ὅμως ὁ πειρασμὸς καὶ ἡ ἀρρώστια καὶ ἡ ἀσθένεια καὶ ἡ καταστροφὴ τῆς σάρκας, ποὺ τὰ ὑπομένουμε χωρὶς τὴ θέλησή μας, χωρὶς νὰ τὰ δημιουργοῦμε ἐμεῖς οἱ ἴδιοι, μᾶς λογαριάζονται στὴν ἐξάλειψη τῆς ἁμαρτίας, πολὺ περισσότερο λογαριάζονται τὰ κατορθώματα, ποὺ πραγματοποιοῦμε μὲ τὴ θέλησή μας καὶ μὲ δική μας προσπάθεια.

Ἀλλ' αὐτὸς ἦταν στερημένος κάθε ἀγαθοῦ καὶ εἶχε ἕνα ἀφόρητο φορτίο ἁμαρτημάτων. Γι' αὐτὸ λέγει· «ἐπειδὴ δὲν μποροῦσε νὰ τὰ ἐπιστρέψει, διέταξε νὰ πουληθεῖ αὐτός», πράγμα ἀπὸ τὸ ὁποῖο πρὸ πάντων μπορεῖ νὰ γνωρίσει κανεὶς τὴ φιλανθρωπία τοῦ Κυρίου, ἀφοῦ καὶ τὸν κάλεσε νὰ λογοδοτήσει καὶ διέταξε νὰ πουληθεῖ. Γιατὶ καὶ τὰ δύο αὐτὰ τὰ ἔκαμε, ὥστε νὰ μὴν πουληθεῖ αὐτός. Ἀπὸ ποῦ εἶναι αὐτὸ φανερό; Ἀπὸ τὸ τέλος. Γιατί, ἂν ἤθελε νὰ πουληθεῖ αὐτός, ποιός τοῦ τὸ ἀπαγόρευε; ποιός τὸν ἐμπόδιζε;

6. Γιὰ ποιό λόγο λοιπὸν διέταξε, ἐφόσον δὲν ἐπρόκειτο νὰ τὸ κάνει; Γιὰ νὰ αὐξήσει τὸ φόβο. Καὶ αὔξησε τὸ φόβο μὲ τὴν ἀπειλή, γιὰ νὰ τὸν παρακινήσει σὲ ἱκεσία. Καὶ τὸν παρακίνησε σὲ ἱκεσία, γιὰ νὰ λάβει ἀφορμὴ συγχωρήσεως. Μποροῦσε ἀσφαλῶς καὶ πρὶν ἀπὸ τὴν παράκληση νὰ τοῦ χαρίσει τὸ χρέος, ἀλλὰ δὲν τὸ ἔκαμε αὐτό, γιὰ νὰ μὴ κάνει χειρότερα. Μποροῦσε καὶ πρὶν ἀπὸ τὴ λογοδοσία νὰ δώσει τὴ συγχώρηση, ἀλλὰ γιὰ νὰ μὴ γίνει πιὸ ἀπάνθρωπος καὶ πιὸ σκληρὸς πρὸς τοὺς συναν-

πλησίον, διὰ τοῦτο αὐτὸν πρότερον ἐδίδαξε .τὸ μέγεθος τοῦ χρέους, καὶ τότε ἀφῆκεν ἅπαν. Εἰ γὰρ τοῦ λογοθεσίου γενομένου καὶ τοῦ ὀφειλήματος δειχθέντος καὶ τῆς ἀπειλῆς ἐπενεχθείσης καὶ τῆς καταδίκης γενομένης δήλης, ἣν ὑπομεῖναι δίκαιος ἦν, οὕτως ἄγριος καὶ ὠμὸς περὶ τὸν σύνδουλον ἐγένετο, εἰ μηδὲν τούτων ἐξέβη, ποῦ οὐκ ἂν ἐξώλισθεν ἀγριότητος;

Διὰ τοῦτο ταῦτα πάντα ὁ Θεὸς ἐποίει καὶ ἐπραγματεύετο, προαναστέλλων αὐτοῦ τὴν ἀπήνειαν ἐκείνην. Εἰ δὲ μηδενὶ διωρθώθη τούτων, οὐ παρὰ τὸν διδάσκαλον, ἀλλὰ παρ' ἐκεῖνον τὸν μὴ δεξάμενον τὴν διόρθωσιν ἡ αἰτία. Πλὴν ἀλλ' ἴδωμεν πῶς αὐτῷ μεθοδεύει τὸ ἕλκος. «Πεσὼν οὖν», φησί, «παρὰ τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτὸν λέγων· 'μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω'». Καὶ μὴ μὴν εἶπεν, ὅτι οὐκ εἶχεν ἀποδοῦναι· ἀλλὰ τοιοῦτον τῶν ὀφειλόντων τὸ ἔθος, κἂν μηδὲν ἔχωσιν ἀποδοῦναι, ἐπαγγέλλονται, ὥστε τῶν παρόντων ἀπαλλαγῆναι δεινῶν.

'Ακούσωμεν ὅσοι ῥᾳθυμοῦμεν εὐχῆς, πόση τῶν δεήσεων ἡ δύναμις. Οὐ νηστείαν ἐπεδείξατο οὗτος, οὐκ ἀκτημοσύνην, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλ' ἔρημος ὢν καὶ γυμνὸς πάσης ἀρετῆς, ἐπειδὴ παρεκάλεσε τὸν δεσπότην μόνον, ἴσχυσεν αὐτὸν ἐπισπάσασθαι πρὸς ἔλεον. Μὴ τοίνυν ἀπαγορεύωμεν ἐν ταῖς δεήσεσι. Τίς γὰρ τούτου γένοιτ' ἂν ἁμαρτωλότερος, ὃς τοσούτοις μὲν ἐγκλήμασιν ὑπεύθυνος ἦν, κατόρθωμα δὲ οὐ μικρόν, οὐ μέγα ἐκέκτητο; 'Αλλ' ὅμως οὐκ εἶπε πρὸς ἑαυτόν, 'ἀπαρρησίαστός εἰμι, αἰσχύνης γέμω, πῶς δύναμαι προσελθεῖν; πῶς δύναμαι παρακαλέσαι;' ὃ πολλοὶ τῶν ἁμαρτανόντων λέγουσι, διαβολικὴν νοσοῦντες εὐλάβειαν. 'Απαρρησίαστος εἶ; Διὰ

θρώπους του, ἀγνοώντας τὸ πλῆθος τῶν ἁμαρτημάτων του, γι' αὐτὸ τοῦ ἐξήγησε πρῶτα τὸ μέγεθος τοῦ χρέους καὶ ὕστερα τοῦ τὸ χάρισε ὅλο. Ἂν λοιπόν, ἀφοῦ ἔγινε ἡ λογοδοσία καὶ φάνηκε τὸ χρέος καὶ διατυπώθηκε ἡ ἀπειλὴ καὶ ἔγινε φανερὴ ἡ καταδίκη, ποὺ ἦταν δίκαιο νὰ πάθει, ἔγινε τόσο ἄγριος καὶ σκληρὸς πρὸς τὸ σύνδουλό του, σὲ πόση ἀγριότητα δὲ θὰ παρεκτρεπόταν ἂν δὲν εἶχε γίνει τίποτε ἀπ' αὐτά;

Γι' αὐτὸ ὁ Θεὸς τὰ ἔκαμνε ὅλα αὐτὰ καὶ τὰ ἐπιχειροῦσε, συγκρατώντας ἀπὸ πρὶν τὴ σκληρότητα ἐκείνη. Ἂν ὅμως μὲ κανένα ἀπ' αὐτὰ δὲ διορθώθηκε, ἡ αἰτία δὲ βρίσκεται στὸ δάσκαλο, ἀλλὰ σ' ἐκεῖνον ποὺ δὲ δέχθηκε τὴ διόρθωση. Ἀλλ' ὅμως ἂς δοῦμε πῶς προσπαθεῖ νὰ τοῦ θεραπεύσει τὴν πληγή. «Τότε λοιπόν», λέγει , «ἔπεσε στὰ πόδια του καὶ τὸν παρακαλοῦσε λέγοντας· 'δεῖξε μου μακροθυμία, καὶ θὰ σοῦ τὰ ἐπιστρέψω ὅλα». Καὶ δὲν εἶπε ὅτι δὲν μποροῦσε νὰ τὰ ἐπιστρέψει· ἔτσι συνηθίζουν νὰ ἐνεργοῦν ὅσοι χρωστοῦν· καὶ ἂν ἀκόμα δὲν μποροῦν νὰ ἐπιστρέψουν τίποτε, ὑπόσχονται, ὥστε ν' ἀπαλλαγοῦν ἀπὸ τὰ παρόντα δεινά.

Ἂς ἀκούσουμε ὅσοι ἀδιαφοροῦμε γιὰ τὴν προσευχή, πόση εἶναι ἡ δύναμη τῶν παρακλήσεων. Δὲν ἐπέδειξε αὐτὸς νηστεία, οὔτε ἀκτημοσύνη, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ παρόμοια, ἀλλά, παρ' ὅλο ποὺ ἦταν στερημένος καὶ γυμνὸς ἀπὸ κάθε ἀρετή, ἐπειδὴ παρακάλεσε τὸν κύριό του μόνο, κατόρθωσε νὰ τὸν παρακινήσει σὲ εὐσπλαγχνία. Ἂς μὴν ἀπογοητευόμαστε λοιπὸν στὶς παρακλήσεις. Γιατί ποιός θὰ μποροῦσε νὰ γίνει περισσότερο ἁμαρτωλὸς ἀπ' αὐτόν, ποὺ ἦταν ὑπόλογος γιὰ τόσα παραπτώματα, ἐνῶ δὲν εἶχε κανένα κατόρθωμα, οὔτε μικρὸ οὔτε μεγάλο; Ἀλλ' ὅμως δὲν εἶπε μέσα του, 'δὲν ἔχω παρρησία, εἶμαι γεμάτος ντροπή, πῶς μπορῶ νὰ παρουσιασθῶ γιὰ νὰ μιλήσω; πῶς μπορῶ νὰ παρακαλέσω;', πράγμα ποὺ λέγουν πολλοὶ ἁμαρτωλοί, ποὺ εἶναι ἄρρωστοι ἀπὸ διαβολικὴ εὐλάβεια. Δὲν

τοῦτο πρόσελθε, ἵνα κτήσῃ παρρησίαν πολλήν. Μὴ γὰρ ἄνθρωπός ἐστιν ὁ μέλλων σοι καταλλάττεσθαι, ἵνα αἰσχυνθῇς καὶ ἐρυθριάσῃς; Θεός ἐστιν, ὁ σοῦ μᾶλλον βουλόμενος ἀπαλλάξαι σε τῶν ἐγκλημάτων· οὐχ οὕτω σὺ τῆς σεαυτοῦ ἀσφαλείας ἐπιθυμεῖς, ὡς ἐκεῖνος ἐφίεταί σου τῆς σωτηρίας· καὶ τοῦτο δι' αὐτῶν τῶν ἔργων ἡμᾶς ἐπαίδευσεν.

Οὐκ ἔχεις παρρησίαν; Διὰ τοῦτο δυνήσῃ παρρησίαν ἔχειν, ὅτι οὕτω διάκεισαι· μεγίστη γὰρ παρρησία, τὸ μὴ νομίζειν ἔχειν παρρησίαν. Ὥσπερ οὖν αἰσχύνη μεγίστη, τὸ δικαιοῦν ἑαυτὸν ἐνώπιον Κυρίου· ἐκεῖνος ἀκάθαρτός ἐστι, κἂν ἁπάντων ἀνθρώπων ἁγιώτερος ᾖ· ὥσπερ οὖν δίκαιος γίνεται ὁ πείσας ἑαυτὸν πάντων ἔσχατον εἶναι. Καὶ μάρτυρες τῶν λεγομένων ὁ Φαρισαῖος καὶ ὁ τελώνης. Μὴ τοίνυν ἀπογινώσκωμεν ἐν τοῖς ἁμαρτήμασι, μηδὲ ἀπαγορεύωμεν, ἀλλὰ προσερχώμεθα τῷ Θεῷ, προσπίπτωμεν, παρακαλῶμεν, ὅπερ οὗτος ἐποίησε, μέχρι τούτου καλῇ τῇ γνώμῃ χρησάμενος. Τό τε μὴ ἀπαγορεῦσαι, τό τε μὴ ἀπογνῶναι, τό τε ὁμολογῆσαι τὰ ἡμαρτημένα, τό τε αἰτῆσαι ἀναβολήν τινα καὶ μέλλησιν, ταῦτα πάντα καλά, καὶ διανοίας συντετριμμένης, καὶ τεταπεινωμένης ψυχῆς. Τὰ δὲ ἐντεῦθεν οὐκ ἔτι ὅμοια τοῖς προτέροις· ἅπερ γὰρ διὰ τῆς ἱκετηρίας συνήγαγε, ταῦτα ἀθρόον ἐξέχεεν ἅπαντα διὰ τῆς εἰς τὸν πλησίον ὀργῆς.

Ἀλλὰ τέως ἐπὶ τὸν τρόπον τῆς συγχωρήσεως ἔλθωμεν· ἴδωμεν πῶς αὐτὸν ἀφῆκε, καὶ πόθεν ἐπὶ τοῦτο ἦλθεν ὁ δεσπότης. «Σπλαγχνισθεὶς ὁ κύριος αὐτοῦ», φησίν, «ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ». Ἐκεῖνος μέλλησιν ᾔτησεν, οὗτος συγχώρησιν ἔδωκεν· ὥστε πλέον οὗ ᾔτησεν, ἔλαβεν ἐκεῖνος.

ἔχεις παρρησία; Γι' αὐτὸ πλησίασε, γιὰ ν' ἀποκτήσεις πολλὴ παρρησία. Μήπως λοιπὸν εἶναι ἄνθρωπος αὐτὸς ποὺ πρόκειται νὰ συμφιλιωθεῖ μαζί σου, γιὰ νὰ ντραπεῖς καὶ νὰ κοκκινίσεις; Ὁ Θεὸς εἶναι ἐκεῖνος ποὺ περισσότερο ἀπὸ σένα θέλει νὰ σὲ ἀπαλλάξει ἀπὸ τὰ παραπτώματα. Δὲν ἐπιθυμεῖς ἐσὺ τόσο τὴν ἀσφάλειά σου, ὅσο ἐκεῖνος ἐπιζητεῖ τὴ σωτηρία σου. Καὶ αὐτὸ μᾶς τὸ δίδαξε μὲ τὰ ἴδια τὰ ἔργα του.

Δὲν ἔχεις παρρησία; Γι' αὐτὸ θὰ μπορέσεις ν' ἀποκτήσεις παρρησία, ἐπειδὴ εἶσαι σ' αὐτὴ τὴν κατάσταση. Γιατὶ μέγιστη παρρησία εἶναι, τὸ νὰ μὴ νομίζει κανεὶς πὼς ἔχει παρρησία. Ὅπως ἀκριβῶς μέγιστη ντροπὴ εἶναι, τὸ νὰ δικαιώνει κανεὶς τὸν ἑαυτό του ἐνώπιον τοῦ Κυρίου· ἐκεῖνος εἶναι ἀκάθαρτος, ἔστω καὶ ἂν εἶναι περισσότερο ἅγιος ἀπ' ὅλους τοὺς ἀνθρώπους. Ὅπως ἀκριβῶς γίνεται δίκαιος ἐκεῖνος ποὺ ἔπεισε τὸν ἑαυτό του πὼς εἶναι ὁ τελευταῖος ἀπ' ὅλους. Καὶ μάρτυρες γιὰ τὰ λεγόμενα εἶναι ὁ Φαρισαῖος καὶ ὁ τελώνης. Ἂς μὴν ἀπελπιζόμαστε λοιπὸν στὰ ἁμαρτήματα, οὔτε νὰ ἀποκάμνουμε, ἀλλὰ ἂς προσερχόμαστε στὸ Θεό, ἂς τὸν ἱκετεύουμε, ἂς τὸν παρακαλοῦμε, πράγμα ποὺ καὶ ἐκεῖνος ἔκαμε, ἀφοῦ μέχρι ἐδῶ παρουσίασε καλὴ διάθεση. Καὶ τὸ ὅτι δὲν ἀπέκαμε, καὶ τὸ ὅτι δὲν ἀπελπίσθηκε, καὶ τὸ ὅτι ὁμολόγησε τὰ ἁμαρτήματα, καὶ τὸ ὅτι ζήτησε κάποια ἀναβολὴ καὶ προθεσμία, ὅλα αὐτὰ εἶναι καλὰ καὶ ἀπόδειξη συντριμμένης διάνοιας καὶ ταπεινωμένης ψυχῆς. Τὰ παρακάτω ὅμως δὲν εἶναι πιὰ ὅμοια μὲ τὰ προηγούμενα. Γιατὶ αὐτὰ ποὺ μάζεψε μὲ τὴν ἱκεσία, αὐτὰ τὰ σκόρπισε ὅλα μέσα σὲ μιὰ στιγμὴ μὲ τὴν ὀργή του πρὸς τὸν πλησίον.

Ἀλλὰ πρῶτα ἂς ἔρθουμε στὸν τρόπο τῆς συγχώρησης· ἂς δοῦμε πῶς τὸν συγχώρησε καὶ ἀπὸ ποιά αἰτία ὁδηγήθηκε σ' αὐτὸ ὁ κύριος. «Τότε ὁ κύριος του», λέγει, «τὸν λυπήθηκε, τὸν ἄφησε νὰ φύγει καὶ τοῦ χάρισε τὸ δάνειο». Ἐκεῖνος ζήτησε ἀναβολή, αὐτὸς τοῦ ἔδωσε συγχώρηση. Ἐπομένως ἐκεῖνος

Διὸ καὶ Παῦλός φησι, «τῷ δυναμένῳ πάντα ποιῆσαι ὑπὲρ ἐκ περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν». Οὐδὲ γὰρ ἰσχύεις ἐννοῆσαι τοσαῦτα, ὅσα ἐκεῖνός σοι παρεσκεύασται δοῦναι. Μὴ τοίνυν αἰσχυνθῇς, μηδὲ ἐρυθριάσῃς· μᾶλλον δὲ αἰσχύνου μὲν ἐπὶ τοῖς ἁμαρτήμασι, μὴ ἀπογίνωσκε δέ, μηδὲ ἀφίστασο τῆς εὐχῆς, ἀλλὰ πρόσελθε καὶ ἁμαρτωλὸς ὤν, ἵνα καταλλάξῃς σου τὸν Δεσπότην, ἵνα δῷς αὐτῷ τὴν οἰκείαν φιλανθρωπίαν ἐν τῇ συγχωρήσει τῶν ἁμαρτιῶν σῶν ἐπιδείξασθαι· ὡς ἐὰν φοβηθῇς προσελθεῖν, ἐνεπόδισας αὐτοῦ τῇ ἀγαθότητι, διεκώλυσας αὐτοῦ τῆς χρηστότητος τὴν δαψίλειαν, τό γε εἰς σὲ ἧκον.

Μὴ τοίνυν ἀναπίπτωμεν, μηδὲ ὀκνῶμεν ἐν ταῖς εὐχαῖς. Κἂν γὰρ πρὸς αὐτὸ τῆς κακίας κατενεχθῶμεν τὸ βάραθρον, ταχέως ἐκεῖθεν ἡμᾶς ἀνασπάσαι δυνήσεται. Οὐδεὶς τοσαῦτα ἥμαρτεν, ὅσα οὗτος· καὶ γὰρ ἅπαν εἶδος πονηρίας ἐπῆλθε· καὶ τοῦτο δηλοῖ τὰ μύρια τάλαντα· οὐδεὶς ἔρημος οὕτως ἦν, ὡς οὗτος· τοῦτο γὰρ δηλοῖ τὸ μὴ ἔχειν αὐτὸν ἀποτῖσαι. Ἀλλ' ὅμως τὸν πάντοθεν προδοθέντα ἴσχυσεν εὐχῆς ἐξαρπάσαι δύναμις. Καὶ τοσοῦτον δύναται, φησίν, εὐχή, ὡς τὸν δι' ἔργων καὶ μυρίων πραγμάτων προσκρούσαντα τῷ Δεσπότῃ ἀπαλλάξαι κολάσεως καὶ τιμωρίας; Ναί, τοσοῦτον δύναται, ἄνθρωπε.

Οὐδὲ γὰρ αὕτη μόνη ἐστὶν ἡ τὸ πᾶν ἀνύουσα, ἀλλ' ἔχει σύμμαχον καὶ βοηθὸν μέγιστον τὴν φιλανθρωπίαν τοῦ δεχομένου τὴν εὐχὴν Θεοῦ, ἥτις ἐνταῦθα τὸ πᾶν εἰργάσατο, καὶ τὴν εὐχὴν ἐποίησε δυνατήν. Τοῦτο γοῦν καὶ αἰνιττόμενος ἔλεγε· «Σπλαγχνισθεὶς ὁ κύριος αὐτοῦ, ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον

---

26. Ἐφ. 3,20.

πῆρε περισσότερο ἀπ' αὐτὸ ποὺ ζήτησε. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «σ' ἐκεῖνον ποὺ ἔχει τὴ δύναμη νὰ κάμνει ἀπείρως περισσότερα ἀπ' ὅσα ζητᾶμε ἢ σκεπτόμαστε»[26]. Γιατὶ οὔτε μπορεῖς νὰ σκεφθεῖς τόσα πολλά, ὅσα ἐκεῖνος εἶναι ἕτοιμος νὰ σοῦ δώσει. Νὰ μὴν ντραπεῖς λοιπόν, οὔτε νὰ κοκκινίσεις. Ἢ καλύτερα, νὰ ντρέπεσαι γιὰ τὰ ἁμαρτήματα, νὰ μὴν ἀπελπίζεσαι ὅμως οὔτε νὰ ἐγκαταλείπεις τὴν προσευχή, ἀλλὰ πλησίασε, ἔστω καὶ ἂν εἶσαι ἁμαρτωλός, γιὰ νὰ συμφιλιώσεις τὸν Κύριό σου μὲ τὸν εαυτό σου, γιὰ νὰ τοῦ δώσεις ἀφορμὴ νὰ φανερώσει τὴ δική του φιλανθρωπία στὴ συγχώρηση τῶν ἁμαρτιῶν σου. Γιατί, ἂν φοβηθεῖς νὰ παρουσιασθεῖς μπροστά του, ἐμπόδισες τὴν ἀγαθότητά του, συγκράτησες τὴν ἀφθονία τῆς καλωσύνης του, ὅσο βέβαια ἐξαρτᾶται ἀπὸ σένα.

Ἂς μὴ χάνουμε λοιπὸν τὸ θάρρος καὶ ἂς μὴ διστάζουμε στὶς προσευχές. Γιατί, κι ἂν ἀκόμα πέσουμε μέσα στὸ ἴδιο τὸ βάραθρο τῆς κακίας, θὰ μπορέσει γρήγορα νὰ μᾶς ἀνασύρει ἀπὸ ἐκεῖ. Κανεὶς δὲν ἁμάρτησε τόσο πολὺ ὅσο αὐτός. Γιατὶ πραγματικὰ διέπραξε κάθε εἶδος πονηρίας. Καὶ αὐτὸ φανερώνουν τὰ δέκα χιλιάδες τάλαντα. Κανεὶς δὲν ἦταν τόσο ἔρημος, ὅπως αὐτός. Γιατὶ αὐτὸ φανερώνει τὸ ὅτι δὲν μποροῦσε νὰ πληρώσει τὸ χρέος του. Ἀλλ' ὅμως αὐτὸν ποὺ προδόθηκε ἀπὸ παντοῦ μπόρεσε νὰ τὸν σώσει ἡ δύναμη τῆς προσευχῆς. Καὶ ἔχει τόση μεγάλη δύναμη ἡ προσευχή, λέγει, ὥστε αὐτὸν ποὺ μὲ ἔργα καὶ ἄπειρα πράγματα ἦρθε σὲ σύγκρουση μὲ τὸν Κύριο νὰ τὸν ἀπαλλάξει ἀπὸ τὴν ποινὴ καὶ τὴν τιμωρία; Ναί, ἄνθρωπε, ἔχει τόσο μεγάλη δύναμη.

Καὶ δὲν εἶναι μόνη της αὐτὴ ποὺ κατορθώνει τὰ πάντα, ἀλλὰ ἔχει σύμμαχο καὶ βοηθὸ πολὺ μεγάλο τὴ φιλανθρωπία τοῦ Θεοῦ ποὺ δέχεται τὴν προσευχή, ποὺ στὴν περίπτωση αὐτὴ τὰ ἔκαμε ὅλα καὶ κατέστησε τὴν προσευχὴ ἰσχυρή. Καὶ αὐτὸ ἀκριβῶς ὑπονοώντας ἔλεγε· «τότε ὁ κύριός του τὸν λυπήθηκε

ἀφῆκεν αὐτῷ»· ἵνα μάθῃς ὅτι μετὰ τῆς εὐχῆς, καὶ πρὸ τῆς εὐχῆς, τοῦ δεσπότου τὰ σπλάγχνα τὸ πᾶν ἐποίησεν. «Ἐξελθὼν δὲ ἐκεῖνος εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια· καὶ κρατήσας αὐτὸν ἔπνιγε, λέγων, ἀπόδος μοι, εἴ τι ὀφείλεις». Ἆρα τί τούτου γένοιτ' ἂν μιαρώτερον; Ἔναυλον ἔχων τὴν εὐεργεσίαν, ἐπελήσθη τῆς τοῦ δεσπότου φιλανθρωπίας.

7. Ὁρᾷς ὅσον ἐστὶν ἀγαθὸν ἁμαρτημάτων μεμνῆσθαι; Καὶ γὰρ οὗτος, εἰ διηνεκῶς τούτων ἐμέμνητο, οὐκ ἂν οὕτως ἄγριος ἐγένετο καὶ ἀπάνθρωπος. Διὰ τοῦτο συνεχῶς λέγω, καὶ λέγων οὐ παύσομαι, ὅτι χρήσιμον σφόδρα καὶ ἀναγκαῖον τὸ διηνεκῶς μνημνεύειν ἡμᾶς τῶν πεπλημμελημένων ἡμῖν ἁπάντων· οὐδὲν γὰρ οὕτω φιλόσοφον καὶ ἐπιεικῆ καὶ πρᾷον τὴν ψυχὴν ἐργάσασθαι δύναται, ὡς ἡ διηνεκὴς τῶν ἁμαρτημάτων μνήμη. Διὰ τοῦτο καὶ ὁ Παῦλος οὐ μόνον τῶν μετὰ τὸ λουτρόν, ἀλλὰ καὶ τῶν πρὸ τοῦ βαπτίσματος ἁμαρτημάτων ἐμέμνητο, καίτοι γε ἀφανισθέντων καθάπαξ. Εἰ δὲ ἐκεῖνος τῶν πρὸ τοῦ βαπτίσματος ἐμέμνητο, πολλῷ μᾶλλον ἡμᾶς τῶν μετὰ τὸ βάπτισμα μεμνῆσθαι δεῖ· οὐ γὰρ δὴ μόνον αὐτὰ διαλύομεν τῇ μνήμῃ, ἀλλὰ καὶ πρὸς ἅπαντας ἀνθρώπους ἐπιεικέστερον διακεισόμεθα, καὶ τῷ Θεῷ μετὰ πλείονος δουλεύσομεν τῆς εὐνοίας, τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν ἐκ τῆς τούτων μνήμης καταμανθάνοντες.

Ὅπερ οὗτος οὐκ ἐποίησεν, ἀλλ' ἐπιλαθόμενος τοῦ μεγέθους τῶν ὀφλημάτων, καὶ τῆς εὐεργεσίας ἐπελάθετο· τῆς δὲ εὐεργεσίας ἐπιλαθόμενος, πονηρὸς περὶ τὸν σύνδουλον ἐγένετο, καὶ διὰ τῆς εἰς ἐκεῖνον πονηρίας ἅπαντα, ἅπερ ἐκέρδανεν ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἀπώλεσε. «Κρατήσας γὰρ αὐτὸν

καὶ τὸν ἄφησε νὰ φύγει, χαρίζοντάς του τὸ δάνειο», γιὰ νὰ μάθεις ὅτι μαζὶ μὲ τὴν προσευχὴ καὶ πρὶν ἀπὸ τὴν προσευχὴ ἡ εὐσπλαγχνία τοῦ κυρίου τὰ ἔκαμε ὅλα. «Βγαίνοντας ἔξω ἐκεῖνος συνάντησε ἕναν ἀπὸ τοὺς συνδούλους του, ποὺ τοῦ χρωστοῦσε ἑκατὸ δηνάρια· τὸν ἔπιασε ἀπὸ τὸ λαιμὸ γιὰ νὰ τὸν πνίξει καὶ τοῦ ἔλεγε· 'δός μου ἐκεῖνα ποὺ μοῦ ὀφείλεις». Τί λοιπὸν θὰ μποροῦσε νὰ ὑπάρξει αἰσχρότερο ἀπ' αὐτό; Ἐνῶ ἡ εὐεργεσία ἠχοῦσε στὰ αὐτιά του, αὐτὸς ξέχασε τὴ φιλανθρωπία τοῦ κυρίου.

7. Βλέπεις πόσο ἀγαθὸ εἶναι νὰ θυμᾶται κανεὶς τὰ ἁμαρτήματά του; Καὶ αὐτὸς λοιπόν, ἂν τὰ θυμόταν διαρκῶς, δὲ θὰ γινόταν τόσο ἄγριος καὶ ἀπάνθρωπος. Γι' αὐτὸ συνέχεια λέγω καὶ δὲ θὰ σταματήσω νὰ λέγω, ὅτι εἶναι πάρα πολὺ χρήσιμο καὶ ἀναγκαῖο τὸ νὰ θυμόμαστε διαρκῶς ὅλα τὰ παραπτώματά μας. Γιατὶ τίποτε δὲν μπορεῖ νὰ καταστήσει τὴν ψυχὴ τόσο φιλόσοφη καὶ ἀγαθὴ καὶ ἤπια, ὅσο ἡ διαρκὴς ἀνάμνηση τῶν ἁμαρτημάτων μας. Γι' αὐτὸ καὶ ὁ Παῦλος θυμόταν ὄχι μόνο τὰ μετὰ τὸ λουτρό, ἀλλὰ καὶ τὰ πρὶν ἀπὸ τὸ βάπτισμα ἁμαρτήματα, μολονότι βέβαια ἐξαφανίσθηκαν μιὰ γιὰ πάντα. Ἂν ὅμως ἐκεῖνος θυμόταν τὰ πρὶν ἀπὸ τὸ βάπτισμα, πολὺ περισσότερο πρέπει ἐμεῖς νὰ θυμόμαστε τὰ μετὰ τὸ βάπτισμα. Γιατὶ μὲ τὴν ἀνάμνηση δὲν ἐξαφανίζουμε αὐτὰ μόνο, ἀλλὰ καὶ μὲ περισσότερη ἐπιείκεια θὰ συμπεριφερόμαστε πρὸς ὅλους τοὺς ἀνθρώπους, καὶ μὲ μεγαλύτερη ἀφοσίωση θὰ ὑπηρετοῦμε τὸ Θεό, μαθαίνοντας πολὺ καλὰ ἀπὸ τὴν ἀνάμνησή τους τὴν ἀνέκφραστη φιλανθρωπία του.

Αὐτὸ τὸ πράγμα δὲν τὸ ἔκαμε αὐτός, ἀλλά, ξεχνώντας τὸ μέγεθος τῶν ὀφειλῶν του, ξέχασε καὶ τὴν εὐεργεσία. Καὶ ξεχνώντας τὴν εὐεργεσία, ἔγινε κακὸς στὸ σύνδουλό του καὶ μὲ τὴν κακία ποὺ ἔδειξε σ' ἐκεῖνον ἔχασε ὅλα ὅσα κέρδισε ἀπὸ τὴ φιλανθρωπία τοῦ Θεοῦ. «Τὸν ἔπιασε λοιπὸν ἀπὸ τὸ λαιμὸ γιὰ

ἔπνιγε λέγων, ἀπόδος μοι, εἴ τι ὀφείλεις». Οὐκ εἶπεν, 'ἀπόδος μοι τὰ ἑκατὸν δηνάρια'· ᾐσχύνετο γὰρ τοῦ χρέους τὴν εὐτέλειαν· ἀλλ' «ἀπόδος, εἴ τι ὀφείλεις». «Ὁ δὲ πεσὼν ἐπὶ τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτόν, λέγων· 'μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω'». Διὰ τῶν ρημάτων, δι' ὧν ἐκεῖνος εὕρετο τὴν συγχώρησιν, διὰ τούτων καὶ οὗτος ἀξιοῖ σωθῆναι. Ὁ δὲ ὑπὸ τῆς ἄγαν ὠμότητος οὐδὲ τούτοις τοῖς λόγοις κατεκάμπτετο, οὐδὲ ἐνενόησεν, ὅτι διὰ τούτων ἐσώθη τῶν ρημάτων.

Καίτοι γε καὶ εἰ συνεχώρησεν, οὐδὲ οὕτω φιλανθρωπία τὸ πρᾶγμα λοιπὸν ἦν, ἀλλ' ὀφειλὴ καὶ χρέος. Εἰ μὲν γάρ, πρὶν ἢ γενέσθαι τὸ λογοθέσιον καὶ τὴν ψῆφον ἐξενεχθῆναι ἐκείνην καὶ τοσαύτης ἀπολαῦσαι εὐεργεσίας, τοῦτο ἐποίησεν, οἰκείας μεγαλοψυχίας ἦν τὸ γινόμενον· νυνὶ δὲ μετὰ τοσαύτην δωρεὰν καὶ τοσούτων ἁμαρτημάτων ἄφεσιν, ὥσπερ ἀναγκαίου τινὸς ὀφλήματος λοιπὸν ὑπεύθυνος ἦν τῆς περὶ τὸν σύνδουλον ἀνεξικακίας. Ἀλλ' ὅμως οὐδὲ τοῦτο ἐποίησεν, οὐδὲ ἐνενόησεν ὅσον τὸ μέσον ἦν τῆς ἀφέσεως, ἧς τε αὐτὸς ἀπήλαυσε, καὶ ἣν περὶ τὸν σύνδουλον ἐπιδείκνυσθαι ἔμελλεν· οὐ γὰρ δὴ τῇ ποσότητι τῶν ὀφλημάτων, οὐδὲ τῷ ἀξιώματι τῶν προσώπων μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ τρόπῳ πολλὴν τὴν διαφορὰν ἴδοι τις ἄν. Ἐκεῖνα μὲν γὰρ μύρια τάλαντα ἦν, ταῦτα δὲ ἑκατὸν δηνάρια· καὶ οὗτος μὲν εἰς τὸν δεσπότην ὕβρισεν, ὁ δὲ ὀφείλων αὐτῷ εἰς τὸν σύνδουλον· καὶ οὗτος μὲν εὖ παθὼν ἔμελλε χαριεῖσθαι, δεσπότης δὲ οὐ μικρὸν οὐ μέγα ἀγαθὸν ἰδὼν παρ' αὐτοῦ γενόμενον, πάντα ἀφῆκεν.

Ἀλλ' ὅμως οὐδὲν τούτων ἐνενόησεν, ἀλλὰ καθάπαξ ὑπὸ τῆς ὀργῆς πηρωθεὶς ἦγχεν αὐτόν, καὶ εἰς τὸ δεσμωτήριον ἐνέβαλεν. Ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ, φησίν, ἠγανάκτησαν, καὶ πρὸ τοῦ δεσπότου οἱ σύνδουλοι καταψηφίζονται, ἵνα μάθῃς τοῦ

νὰ τὸν πνίξει καὶ τοῦ ἔλεγε, 'δός μου τὰ ὅσα μοῦ ὀφείλεις». Δὲν εἶπε, 'δός μου τὰ ἑκατὸ δηνάρια', γιατὶ ντρεπόταν τὴν ἀσήμαντη ἀξία τοῦ χρέους, ἀλλά, «δός μου τὰ ὅσα μοῦ ὀφείλεις». «Ὁ σύνδουλός του τότε ἔπεσε στὰ πόδια του καὶ τὸν παρακαλοῦσε λέγοντας· 'δεῖξε μου μακροθυμία καὶ θὰ σοῦ τὰ ἐπιστρέψω ὅλα'». Μὲ τὰ λόγια, μὲ τὰ ὁποῖα ἐκεῖνος βρῆκε τὴ συγχώρηση, μὲ τὰ ἴδια καὶ αὐτὸς ζητάει νὰ σωθεῖ. Ἐκεῖνος ὅμως ἀπὸ τὴν ὑπερβολική του σκληρότητα οὔτε μὲ τὰ λόγια αὐτὰ συγκινοῦνταν, οὔτε σκέφθηκε ὅτι μὲ τὰ λόγια αὐτὰ σώθηκε.

Ἂν καὶ βέβαια, κι ἂν ἀκόμα τὸν συγχωροῦσε, οὔτε ἔτσι τὸ πράγμα θὰ ἦταν πάλι φιλανθρωπία, ἀλλὰ ὀφειλὴ καὶ χρέος. Ἂν λοιπὸν τὸ ἔκαμνε αὐτὸ πρὶν κληθεῖ σὲ λογοδοσία καὶ πρὶν βγεῖ ἡ ἀπόφαση ἐκείνη καὶ ἀπολαύσει τόσο μεγάλη εὐεργεσία, τὸ πράγμα θὰ ἦταν ἀπόδειξη τῆς δικῆς του μεγαλοψυχίας. Τώρα ὅμως, ὕστερα ἀπὸ τόσο μεγάλη δωρεὰ καὶ συγχώρηση τόσων ἁμαρτημάτων, ἦταν ὑποχρεωμένος πιὰ νὰ δείξει στὸ σύνδουλό του ἀνεξικακία σὰν κάποια ἀναγκαία ὀφειλή. Ἀλλ' ὅμως οὔτε αὐτὸ ἔκαμε, οὔτε κατανόησε πόση ἦταν ἡ διαφορὰ τῆς συγχώρησης, ποὺ καὶ αὐτὸς ἀπόλαυσε καὶ ποὺ ἔπρεπε νὰ δείξει στὸ σύνδουλό του. Γιατὶ ὄχι μόνο στὸ ποσὸ τῶν ὀφειλῶν οὔτε στὸ ἀξίωμα τῶν προσώπων, ἀλλὰ καὶ στὸν ἴδιο τὸν τρόπο θὰ μποροῦσε νὰ δεῖ κανεὶς μεγάλη τὴ διαφορά. Γιατὶ ἐκεῖνα ἦταν δέκα χιλιάδες τάλαντα, ἐνῶ αὐτὰ ἑκατὸ δηνάρια· καὶ αὐτὸς ἔβρισε τὸν κύριο, ἐνῶ ὁ ὀφειλέτης του τὸ σύνδουλό του· καὶ αὐτὸς βέβαια ἀφοῦ εὐεργετήθηκε πρῶτα, τότε ἐπρόκειτο νὰ δείξει χάρη, ἐνῶ ὁ κύριος τοῦ τὰ χάρισε ὅλα, χωρὶς νὰ δεῖ νὰ γίνεται ἀπ' αὐτὸν οὔτε μικρὸ οὔτε μεγάλο καλό.

Ἀλλ' ὅμως τίποτε ἀπ' αὐτὰ δὲ σκέφθηκε, ἀλλά, τυφλωμένος μιὰ γιὰ πάντα ἀπὸ τὴν ὀργή, τὸν ἔπιασε ἀπὸ τὸ λαιμὸ γιὰ νὰ τὸν πνίξει καὶ τὸν ἔκλεισε στὴ φυλακή. Βλέποντας ὅμως οἱ σύνδουλοί του, λέγει, ἀγανάκτησαν, καὶ πρὶν ἀπὸ τὸν κύριο οἱ

δεσπότου τὸ ἥμερον. Ἀκούσας δὲ ὁ δεσπότης αὐτοῦ, καὶ καλέσας αὐτόν, πάλιν κρίνεται πρὸς αὐτόν, καὶ οὐδὲ οὕτως ἁπλῶς ἐκφέρει τὴν καταδίκην, ἀλλὰ πρότερον δικαιολογεῖται. Καί τί φησι; «Δοῦλε πονηρέ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι».

Τί τούτου γένοιτ' ἂν ἀγαθώτερον τοῦ δεσπότου; Ὅτε μὲν αὐτῷ ὤφειλε τὰ μύρια τάλαντα, οὐδὲ μέχρι ῥήματος αὐτὸν ἐλύπησεν, οὐδὲ πονηρὸν ἐκάλεσεν, ἀλλὰ πραθῆναι μόνον ἐκέλευσε· καὶ τοῦτο, ἵνα ἀπαλλάξῃ τῶν ὀφλημάτων. Ἐπειδὴ δὲ εἰς τὸν σύνδουλον πονηρὸς ἐγένετο, τότε ὀργίζεται καὶ παροξύνεται, ἵνα μάθῃς ὅτι εὐκολώτερον τὰ εἰς αὐτὸν ἀφίησιν, ἢ τὰ εἰς τοὺς πλησίον ἁμαρτήματα. Καὶ οὐκ ἐνταῦθα μόνον τοῦτο ποιεῖ, ἀλλὰ καὶ ἀλλαχοῦ. «Ἐὰν γὰρ προσφέρῃς τὸ δῶρόν σου», φησίν, «ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ὕπαγε, πρῶτον διαλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου». Ὁρᾷς πῶς πανταχοῦ τῶν αὐτοῦ τὰ ἡμέτερα προτιμᾷ, καὶ τῆς εἰρήνης καὶ τῆς ἀγάπης τῆς εἰς τὸν πλησίον οὐδὲν ἀνώτερον τίθησιν; Καὶ πάλιν ἀλλαχοῦ, «ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι». Διὰ δὲ Παύλου οὕτως ἐνομοθέτει· «εἴ τις ἀνὴρ γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν».

Ἂν μὲν γὰρ πορνεύσῃ, φησίν, ἔκβαλε· ἂν δὲ ἄπιστος ᾖ, μὴ ἐκβάλῃς· ἐὰν εἰς σὲ ἁμάρτῃ, φησίν, ἀπόκοψον· ἐὰν δὲ εἰς ἐμὲ ἁμάρτῃ, κάτεχε. Οὕτω καὶ ἐνταῦθα, ὅτε μὲν εἰς αὐτὸν ἥμαρτεν ἁμαρτήματα τοσαῦτα, συνεχώρησεν· ὅτε δὲ εἰς τὸν σύνδουλον ἥμαρτεν ἐλάττονα πολλῷ καὶ βραχίω τῶν εἰς τὸν δεσπότην, οὐκ ἀφῆκεν, ἀλλ' ἐπεξῆλθε· καὶ ἐντᾶθα μὲν πονηρὸν ἐκάλεσεν, ἐκεῖ δὲ οὐδὲ μέχρι ῥήματος αὐτὸν ἐλύπησε. Διὰ τοῦτο μὲν καὶ

---

27. Ματθ. 5,23–24.
28. Ματθ. 5,32.
29. Α' Κορ. 7,12.

σύνδουλοι τὸν καταδικάζουν, γιὰ νὰ μάθεις τὴν πραότητα τοῦ κυρίου. Ὅταν ὁ κύριός του τὰ ἄκουσε αὐτά, ἀφοῦ τὸν κάλεσε, λογαριάζεται πάλι μαζί του, καὶ δὲ βγάζει ἔτσι ἁπλὰ τὴν καταδικαστική του ἀπόφαση, ἀλλὰ προηγουμένως δικαιολογεῖται. Καὶ τί τοῦ λέγει; «Κακὲ δοῦλε, σοῦ χάρισα ὅλο τὸ χρέος».

Τί θὰ μποροῦσε νὰ γίνει καλύτερο ἀπ' αὐτὸ ποὺ ἔκαμε ὁ κύριος; Ὅταν τοῦ χρωστοῦσε τὶς δέκα χιλιάδες τάλαντα, οὔτε μὲ λόγια τὸν λύπησε, οὔτε κακὸ τὸν κάλεσε, ἀλλὰ διέταξε μόνο νὰ πουληθεῖ· καὶ αὐτό, γιὰ νὰ τὸν ἀπαλλάξει ἀπὸ τὰ χρέη. Ὅταν ὅμως ἔγινε κακὸς στὸ σύνδουλό του, τότε ὀργίζεται καὶ ἐκνευρίζεται, γιὰ νὰ μάθεις ὅτι πιὸ εὔκολα συγχωρεῖ τὰ ἁμαρτήματα ποὺ ἔγιναν σ' αὐτόν, παρὰ αὐτὰ ποὺ γίνονται στοὺς πλησίον. Καὶ αὐτὸ δὲν τὸ κάμνει μόνο ἐδῶ, ἀλλὰ καὶ ἀλλοῦ. «Ὅταν προσφέρεις τὸ δῶρο σου», λέγει, «στὸ θυσιαστήριο καὶ ἐκεῖ θυμηθεῖς πὼς ὁ ἀδελφός σου ἔχει κάτι ἐναντίον σου, πήγαινε πρῶτα νὰ συμφιλιωθεῖς μὲ τὸν ἀδελφό σου, καὶ ὕστερα ἔλα νὰ προσφέρεις τὸ δῶρο σου»[27]. Βλέπεις πῶς παντοῦ προτιμάει ἀπὸ τὰ δικά του τὰ δικά μας καὶ δὲ θεωρεῖ τίποτε ἀνώτερο ἀπὸ τὴν εἰρήνη καὶ τὴν ἀγάπη πρὸς τὸν πλησίον; Καὶ ἀλλοῦ πάλι λέγει· «ὅποιος χωρίζει τὴ γυναίκα του γιὰ ὁποιοδήποτε λόγο, ἐκτὸς ἀπὸ πορνεία, τὴν ὁδηγεῖ στὴ μοιχεία»[28]. Καὶ μὲ τὸν Παῦλο τὸ ἴδιο νομοθετοῦσε· «ἂν κάποιος ἄνδρας ἔχει γυναίκα ἄπιστη καὶ αὐτὴ ἐπιθυμεῖ νὰ ζεῖ μαζί του, νὰ μὴν τὴ χωρίσει»[29].

Ἂν λοιπὸν πέσει σὲ πορνεία, λέγει, νὰ τὴ διώξεις· ἂν ὅμως εἶναι ἄπιστη, νὰ μὴν τὴ διώξεις. Ἂν ἁμαρτήσει σὲ σένα, λέγει, νὰ τὴ χωρίσεις· ἂν ὅμως ἁμαρτήσει σὲ μένα, νὰ τὴν κρατᾶς. Ἔτσι καὶ ἐδῶ, ὅταν ἁμάρτησε σ' αὐτὸν μὲ τόσα ἁμαρτήματα, τὸν συγχώρησε· ὅταν ὅμως ἁμάρτησε στὸ σύνδουλό του μὲ πολὺ λιγότερα καὶ μικρότερα ἀπ' αὐτὰ ποὺ ἁμάρτησε στὸν κύριό του, δὲν τὸν συγχώρησε, ἀλλὰ τὸν τιμώρησε αὐστηρά. Καὶ ἐδῶ τὸν ὀνόμασε κακό, ἐνῶ ἐκεῖ οὔτε μὲ λόγια τὸν λύπησε. Γι'

ἐνταῦθα καὶ τοῦτο πρόσκειται, ὅτι ὀργισθεὶς παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς· ἡνίκα δὲ αὐτὸν ἀπῄτει λόγον τῶν μυρίων ταλάντων, οὐδὲν τοιοῦτον προσέθηκεν· ἵνα μάθῃς, ὅτι ἐκείνη μὲν ἡ ψῆφος οὐχὶ ὀργῆς ἦν, ἀλλὰ κηδεμονίας πρὸς συγχώρησιν ἐπαγομένης· αὕτη δὲ αὐτὸν μάλιστα παρώξυνεν ἡ ἁμαρτία.

Ἆρα τί γένοιτ' ἂν μνησικακίας χεῖρον, ὅταν φιλανθρωπίαν ἐξενεχθεῖσαν ἀνακαλεῖται Θεοῦ, καὶ ἅπερ οὐκ ἴσχυσεν αὐτὸν διαθεῖναι τὰ ἁμαρτήματα, ταῦτα ἰσχύει αὐτὸν ἐργάσασθαι ἡ κατὰ τοῦ πλησίον ὀργή; Καίτοι γε γέγραπται, ὅτι «ἀμεταμέλητα τὰ χαρίσματα τοῦ Θεοῦ». Πῶς οὖν ἐνταῦθα μετὰ τὸ ἐξενεχθῆναι τὴν δωρεάν, μετὰ τὸ προχωρῆσαι τὴν φιλανθρωπίαν, ἀνεκλήθη πάλιν ἡ ψῆφος; Διὰ τὴν μνησικακίαν· ὥστε οὐκ ἄν τις ἁμάρτοι, πάσης ἁμαρτίας ταύτην χαλεπωτέραν ἀποφηνάμενος εἶναι· αἱ μὲν γὰρ ἄλλαι πᾶσαι ἠδυνήθησαν συγχώρησιν εὑρέσθαι, αὕτη δὲ οὐ μόνον οὐκ ἴσχυσε συγγνώμης τυχεῖν, ἀλλὰ καὶ τὰς ἑτέρας ἀφανισθείσας καθάπαξ ἀνενέωσε πάλιν.

Ὥστε διπλοῦν κακὸν ἡ μνησικακία, ὅτι τε οὐδεμίαν ἀπολογίαν ἔχει παρὰ τῷ Θεῷ, καὶ ὅτι τὰ λοιπὰ ἡμῶν ἁμαρτήματα, κἂν συγχωρηθῇ, πάλιν ἀνακαλεῖται, καὶ καθ' ἡμῶν ἵστησιν· ὅπερ οὖν καὶ ἐνταῦθα ἐποίησεν. Οὐδὲν γάρ, οὐδὲν οὕτως ὁ Θεὸς μισεῖ καὶ ἀποστρέφεται, ὡς ἄνθρωπον μνησίκακον καὶ διατηροῦντα ὀργήν. Καὶ τοῦτο μάλιστα μὲν ἐντεῦθεν ἐπεδείξατο, καὶ ἀπὸ τῆς εὐχῆς δὲ αὐτῆς ἐκέλευσεν ἡμῖν λέγειν οὕτως, «ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν».

Ταῦτα οὖν ἅπαντα εἰδότες, καὶ τὴν παραβολὴν ἐγγράψαντες ταύτην ἐν ταῖς καρδίαις, ὅταν ἐννοήσωμεν ἅπερ πεπόνθαμεν παρὰ τῶν συνδούλων, λογισώμεθα ἅπερ ἐποιήσαμεν εἰς τὸν Δε-

30. Ρωμ. 11,29.
31. Ματθ. 6,12.

αὐτὸ καὶ ἐδῶ προστίθεται καὶ τοῦτο, ὅτι δηλαδὴ ὀργίσθηκε καὶ τὸν παρέδωσε στοὺς βασανιστές, ἐνῶ ὅταν τοῦ ζητοῦσε λόγο γιὰ τὶς δέκα χιλιάδες τάλαντα δὲν πρόσθεσε τίποτε τέτοιο, γιὰ νὰ μάθεις ὅτι ἐκείνη ἡ ἀπόφαση δὲν ἦταν ἀποτέλεσμα ὀργῆς ἀλλὰ φροντίδας ποὺ ὁδηγοῦσε σὲ συγχώρηση, καὶ ὅτι ἡ ἁμαρτία εἶναι ἐκείνη ποὺ τὸν ἐξόργισε πάρα πολύ.

Ἄραγε τί θὰ μποροῦσε νὰ ὑπάρξει χειρότερο ἀπὸ τὴ μνησικακία, ὅταν ἀνακαλεῖ τὴ φιλανθρωπία τοῦ Θεοῦ, ποὺ ἔχει ἐπιδειχθεῖ, καὶ ἐκεῖνα ποὺ δὲν μπόρεσαν νὰ τοῦ προκαλέσουν τὰ ἁμαρτήματα, αὐτὰ κατορθώνει νὰ τοῦ προκαλέσει ἡ ἐναντίον τοῦ πλησίον ὀργή του; Ἂν καὶ βέβαια εἶναι γραμμένο ὅτι «οἱ δωρεὲς τοῦ Θεοῦ δὲν ἀνακαλοῦνται»[30]. Πῶς λοιπὸν ἐδῶ, μετὰ τὴ φανέρωση τῆς δωρεᾶς, μετὰ τὴν ἐκδήλωση τῆς φιλανθρωπίας, ἀνακλήθηκε πάλι ἡ ἀπόφαση; Ἐξ αἰτίας τῆς μνησικακίας. Ἑπομένως δὲ θὰ ἔσφαλλε κανείς, λέγοντας πὼς αὐτὴ ἡ ἁμαρτία εἶναι πιὸ φοβερὴ ἀπὸ κάθε ἁμαρτία. Γιατὶ ὅλες οἱ ἄλλες μπόρεσαν νὰ βροῦν συγχώρηση, ἐνῶ αὐτὴ ὄχι μόνο δὲν μπόρεσε νὰ ἐπιτύχει συγγνώμη, ἀλλὰ καὶ τὶς ἄλλες, ποὺ εἶχαν ἀφανισθῆ μιὰ γιὰ πάντα, τὶς ἀνανέωσε πάλι.

Ὥστε ἡ μνησικακία εἶναι διπλὸ κακό, γιατὶ καὶ καμιὰ δικαιολογία δὲν ἔχει στὸ Θεὸ καὶ γιατὶ τὰ ὑπόλοιπα ἁμαρτήματά μας, καὶ ἂν ἀκόμα συγχωρηθοῦν, πάλι τὰ ἐπαναφέρει καὶ τὰ στρέφει ἐναντίον μας. Αὐτὸ λοιπὸν καὶ ἐδῶ ἔκαμε. Γιατὶ τίποτε, τίποτε ὁ Θεὸς δὲ μισεῖ καὶ δὲν ἀποστρέφεται τόσο, ὅσο τὸν ἄνθρωπο ποὺ εἶναι μνησίκακος καὶ διατηρεῖ τὴν ὀργή. Καὶ αὐτὸ πρὸ πάντων τὸ φανέρωσε ἀπὸ ἐδῶ, ἀλλὰ καὶ μὲ τὴν ἴδια τὴν προσευχὴ μᾶς διέταξε νὰ λέμε αὐτό· «συγχώρεσέ μας τὰ ὀφειλήματά μας, ὅπως καὶ μεῖς συγχωροῦμε ἐκείνους ποὺ μᾶς ὀφείλουν»[31].

Γνωρίζοντας λοιπὸν ὅλα αὐτὰ καὶ ἀφοῦ χαράξουμε τὴν παραβολὴ αὐτὴ μέσα στὶς καρδιές μας, ὅταν σκεφθοῦμε ἐκεῖνα ποὺ ἔχουμε πάθει ἀπὸ τοὺς συνανθρώπους μας, ἂς σκεφθοῦμε

σπότην· καὶ τῷ φόβῳ τῶν οἰκείων ἁμαρτημάτων τὸν θυμὸν τὸν ἐπὶ τοῖς ἀλλοτρίοις πλημμελήμασι ταχέως ἀπώσασθαι δυνησόμεθα· εἰ γὰρ δεῖ μεμνῆσθαι ἁμαρτημάτων, τῶν οἰκείων δεῖ μεμνῆσθαι μόνον· ἐὰν δὲ τῶν οἰκείων μνημονεύσωμεν, οὐδέποτε τὰ ἀλλότρια λογιούμεθα· ὥσπερ οὖν ἂν τούτων ἐπιλανθανώμεθα, ἐκεῖνα ῥᾳδίως ἐμφιλοχωρήσει τοῖς ἡμετέροις λογισμοῖς. Καὶ γὰρ οὗτος εἰ τῶν μυρίων ταλάντων ἐμέμνητο, οὐκ ἂν ἐμνήσθη τῶν ἑκατὸν δηναρίων· ἀλλ' ἐπειδὴ ἐκείνων ἐπελάθετο, διὰ τοῦτο ὑπὲρ τούτων ἦγχε τὸν σύνδουλον, καὶ ὀλίγα βουλόμενος ἀπαιτῆσαι, οὔτε ἐκείνων ἐπέτυχεν, ἀλλὰ καὶ τῶν μυρίων ταλάντων τὸν ὄγκον εἰς τὴν ἑαυτοῦ κεφαλὴν ἐπεσπάσατο.

Διὰ τοῦτο θαρρῶν ἂν εἴποιμι, ὅτι πάσης ἁμαρτίας αὕτη χαλεπωτέρα· μᾶλλον δὲ οὐκ ἐγὼ τοῦτο, ἀλλὰ ὁ Χριστὸς διὰ τῆς παραβολῆς ταύτης τοῦτο ἀπεφήνατο. Εἰ γὰρ μὴ μυρίων ταλάντων, λέγω δὲ τῶν ἀφάτων ἁμαρτημάτων, αὕτη χαλεπωτέρα ἦν, οὐκ ἂν διὰ ταύτην κἀκεῖνα ἀνεκαλέσατο. Οὕτω μηδὲν τοίνυν σπουδάζωμεν, ὡς ὀργῆς καθαρεύειν, καὶ τοὺς πρὸς ἡμᾶς ἀηδῶς ἔχοντας καταλλάττειν, εἰδότες ὅτι οὔτε εὐχή, οὔτε ἐλεημοσύνη, οὔτε νηστεία, οὔτε κοινωνία μυστηρίων, οὔτε ἄλλο τῶν τοιούτων οὐδέν, ἐὰν μνησικακῶμεν, δυνήσεται ἡμῶν προστῆναι κατὰ τὴν ἡμέραν ἐκείνην· ὥσπερ οὖν ἐὰν ταύτης περιγενώμεθα τῆς ἁμαρτίας, κἂν μυρία ἔχωμεν πλημμελήματα, δυνησόμεθά τινος συγγνώμης τυχεῖν. Καὶ οὐχὶ ἐμὸς ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ μέλλοντος ἡμᾶς τότε κρίνειν Θεοῦ. Καθάπερ γὰρ ἐνταῦθα εἶπεν, ὅτι «οὕτω ποιήσει καὶ ὁ Πατήρ μου, ἐὰν μὴ ἀφῆτε ἕκαστος ἀπὸ τῶν καρδιῶν ὑμῶν»· οὕτω καὶ ἀλλαχοῦ φησιν, «ἐαν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος».

---

32. Ματθ. 6,14.

καὶ αὐτὰ ποὺ κάναμε στὸν Κύριο. Καὶ μὲ τὸ φόβο τῶν δικῶν μας ἁμαρτημάτων θὰ μπορέσουμε νὰ ἀπομακρύνουμε γρήγορα τὸ θυμὸ γιὰ τὰ ξένα παραπτώματα. Γιατί, ἂν πρέπει νὰ θυμούμαστε ἁμαρτήματα, πρέπει νὰ θυμούμαστε μόνο τὰ δικά μας. Καὶ ἂν φέρνουμε στὴ μνήμη τὰ δικά μας, ποτὲ δὲ θὰ σκεφθοῦμε τὰ ξένα· ὅπως πάλι, ἂν τὰ ξεχνᾶμε αὐτά, εὔκολα ἐκεῖνα θὰ περάσουν ἀπὸ τὶς σκέψεις μας. Γιατὶ πραγματικὰ αὐτὸς δὲ θὰ θυμόταν τὰ ἑκατὸ δηνάρια, ἂν θυμόταν τὶς δέκα χιλιάδες τάλαντα. Ἐπειδὴ ὅμως τὰ ξέχασε ἐκεῖνα, γι' αὐτὸ ἔπιασε ἀπὸ τὸ λαιμὸ τὸ σύνδουλό του γι' αὐτά, καὶ θέλοντας νὰ τοῦ ἐπιστραφοῦν λίγα, οὔτε ἐκεῖνα ἐπέτυχε, ἀλλ' ἐπέσυρε ἐπάνω στὸ κεφάλι του καὶ τὸν ὄγκο τῶν δέκα χιλιάδων ταλάντων.

Γι' αὐτὸ θὰ μποροῦσα νὰ πῶ μὲ τόλμη, ὅτι αὐτὴ εἶναι φοβερότερη ἀπὸ κάθε ἁμαρτία· ἢ καλύτερα δὲν τὸ λέγω ἐγὼ αὐτό, ἀλλ' ὁ Χριστὸς τὸ εἶπε μὲ τὴν παραβολὴ αὐτή. Γιατί, ἂν δὲν ἦταν αὐτὴ φοβερότερη ἀπὸ τὶς δέκα χιλιάδες τάλαντα, ἐννοῶ βέβαια τὰ ἄπειρα ἁμαρτήματα, δὲ θὰ ἀνακαλοῦσε ἐξ αἰτίας της καὶ ἐκεῖνα. Τίποτε λοιπὸν ἂς μὴ φροντίζουμε τόσο, ὅσο νὰ εἴμαστε καθαροὶ ἀπὸ ὀργὴ καὶ νὰ συμφιλιωνόμαστε μ' ἐκείνους ποὺ εἶναι δυσαρεστημένοι μαζί μας, γνωρίζοντας πὼς οὔτε ἡ προσευχή, οὔτε ἡ ἐλεημοσύνη, οὔτε ἡ νηστεία, οὔτε ἡ κοινωνία τῶν μυστηρίων, οὔτε τίποτε ἄλλο ἀπ' αὐτά, ἂν εἴμαστε μνησίκακοι, θὰ μπορέσει νὰ μᾶς βοηθήσει τὴν ἡμέρα ἐκείνη. Ὅπως πάλι, ἂν νικήσουμε αὐτὴν τὴν ἁμαρτία, καὶ ἂν ἀκόμα ἔχουμε ἄπειρα ἁμαρτήματα, θὰ μπορέσουμε νὰ ἐπιτύχουμε κάποια συγγνώμη. Καὶ δὲν εἶναι δικός μου ὁ λόγος, ἀλλὰ τοῦ ἴδιου τοῦ Θεοῦ ποὺ πρόκειται νὰ μᾶς κρίνει τότε. Ὅπως λοιπὸν ἐδῶ εἶπε ὅτι «ἔτσι θὰ κάμει καὶ ὁ Πατέρας μου, ἂν ὁ καθένας σας δὲ συγχωρήσει μέσα ἀπὸ τὴν καρδιά του», ἔτσι καὶ ἀλλοῦ λέγει, «ἂν συγωχωρήσετε τοὺς ἀνθρώπους γιὰ τὰ παραπτώματά τους, θὰ σᾶς συγχωρήσει και σᾶς ὁ Πατέρας σας ὁ οὐράνιος»[32].

Ἵνα οὖν καὶ εύνταῦθα πρᾶον καὶ ἤρεμον διάγωμεν βίον, κἀκεῖ συγχωρήσεως καὶ ἀφέσεως τύχωμεν, σπουδάζωμεν καὶ πραγματευώμεθα, ὅσους ἐὰν ἔχωμεν ἐχθρούς, καταλλάττειν ἡμῖν· οὕτω γὰρ καὶ τὸν Δεσπότην ἡμῶν, κἂν μυρία ὦμεν ἡμαρτηκότες, καταλλάξομεν, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος είς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γιὰ νὰ ἔχουμε λοιπὸν καὶ ἐδῶ ἥσυχη καὶ ἤρεμη ζωὴ καὶ γιὰ νὰ ἐπιτύχουμε ἐκεῖ συγχώρηση καὶ ἄφεση, ἂς προσπαθοῦμε καὶ ἂς φροντίζουμε νὰ συμφιλιωνόμαστε μὲ ὅσους ἐχθροὺς ἔχουμε. Γιατὶ ἔτσι καὶ τὸν Κύριό μας, ἔστω κι ἂν ἔχουμε διαπράξει ἄπειρες ἁμαρτίες, θὰ συμφιλιώσουμε μαζί μας καὶ θὰ ἐπιτύχουμε τὰ μελλοντικὰ ἀγαθά, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ τὰ ἀξιωθοῦμε, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΑ ΜΥΡΙΑ ΤΑΛΑΝΤΑ ΚΑΙ ΕΚΑΤΟΝ ΔΗΝΑΡΙΑ,

Καὶ περὶ τοῦ μὴ μνησικακεῖν

1. *Ὁ μακάριος Παῦλος ὁ ἀπόστολος, τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, γράφων τοῖς οὖσιν ἐν Ρώμῃ ἔλεγεν· «ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικε τῆς σωτηρίας. Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν». Διὸ καὶ ἡμεῖς, ἀδελφοί, σπουδήν τινα ἐπιδειξώμεθα, εὐχὰς ἐκτενεῖς ἀναπέμψωμεν πρὸς τὸν Δεσπότην, δάκρυα θερμὰ προχέωμεν, κατηγορήσωμεν συνεχῶς τῶν ἡμῖν πεπραγμένων, προθῶμεν καθάπερ ἰατρῷ τὰ ἡμέτερα τραύματα, καὶ τὰ τῆς ψυχῆς ἕλκη ἐπιδειξώμεθα, καὶ τὴν παρ᾽ αὐτοῦ ἰατρείαν ἐπιζητήσωμεν, καὶ τὰ πάθη τὰ διαταράττοντα ἡμῶν τὸν λογισμὸν χαλινώσωμεν καὶ ἐκριζώσωμεν, καὶ μήτε ὑπὸ τῆς τῶν χρημάτων ἐπιθυμίας πολιορκεῖσθαι, μήτε μνησικακεῖν πρὸς τὸν πλησίον καὶ ἐχθρωδῶς διακεῖσθαι πρὸς τοὺς ὁμογενεῖς. Οὔτε γὰρ οὐδὲν οὕτως ὁ Θεὸς μισεῖ καὶ ἀποστρέφεται, ὡς τὸν μνησικακοῦντα ἄνθρωπον, καὶ τὴν ἔχθραν τὴν πρὸς τὸν πλησίον ἐπὶ τῆς ψυχῆς διηνεκῶς φυλάσσοντα.*

Τοσαύτη γὰρ ταύτης τῆς ἁμαρτίας ἡ λύμη ἐστίν, ὅτι καὶ φιλανθρωπίαν Θεοῦ ἀνεκαλέσατο. Καὶ ἵνα μάθητε, ὑπομνῆσαι ὑμᾶς βούλομαι τῆς παραβολῆς τῆς ἐν τῷ ἁγίῳ Εὐαγγελίῳ κει-

---

1. Ρωμ. 13,12–13.

ΟΜΙΛΙΑ

ΣΤΑ ΔΕΚΑ ΧΙΛΙΑΔΕΣ ΤΑΛΑΝΤΑ ΚΑΙ ΤΑ ΕΚΑΤΟ ΔΗΝΑΡΙΑ
Καὶ γιὰ τὸ ὅτι δὲν πρέπει νὰ μνησικακοῦμε

1. Ὁ μακάριος ἀπόστολος Παῦλος, τὸ ἐκλεκτὸ ὄργανο, αὐτὸς ποὺ μέσα του εἶχε τὸ Χριστὸ νὰ μιλάει, ὅταν ἔγραφε στοὺς πιστοὺς τῆς Ρώμης ἔλεγε· «ἡ νύχτα προχώρησε καὶ ἡ ἡμέρα τῆς σωτηρίας πλησίασε. Ἂς πετάξουμε λοιπὸν τὰ ἔργα τοῦ σκότους καὶ ἂς ντυθοῦμε τὰ ὅπλα τοῦ φωτός. Ἂς συμπεριφερθοῦμε σεμνά, ὅπως ταιριάζει σὲ ἡμέρα»[1]. Γι' αὐτὸ καὶ μεῖς, ἀδελφοί, ἂς δείξουμε κάποιο ἐνδιαφέρον, ἂς ἀναπέμψουμε ἐκτενεῖς δεήσεις πρὸς τὸν Κύριο, ἂς χύσουμε ἀπὸ πρὶν δάκρυα θερμά, ἂς κατηγοροῦμε συνέχεια τὶς πράξεις μας, ἂς δείξουμε ὅπως σὲ γιατρὸ τὰ τραύματά μας, ἂς ἐπιδείξουμε τὰ ἕλκη τῆς ψυχῆς καὶ ἂς ἐπιζητήσουμε τὴ θεραπεία ἀπ' αὐτόν· καὶ τὰ πάθη ποὺ διαταράσσουν τὴ σκέψη μας ἂς τὰ χαλιναγωγήσουμε καὶ ἂς τὰ ξερριζώσουμε, ὥστε οὔτε νὰ μᾶς πολιορκεῖ ἡ ἐπιθυμία τῶν χρημάτων, οὔτε νὰ μνησικακοῦμε πρὸς τὸν πλησίον καὶ οὔτε νὰ συμπεριφερόμαστε ἐχθρικὰ πρὸς τοὺς συνανθρώπους μας. Γιατὶ καὶ ὁ Θεὸς τίποτε δὲ μισεῖ καὶ δὲν ἀποστρέφεται τόσο, ὅσο τὸν ἄνθρωπο ποὺ μνησικακεῖ καὶ φυλάσσει διαρκῶς στὴν ψυχή του τὴν ἔχθρα πρὸς τὸν πλησίον.

Εἶναι τόσο μεγάλη ἡ καταστροφὴ τῆς ἁμαρτίας αὐτῆς, ἀφοῦ καὶ τὴ φιλανθρωπία τοῦ Θεοῦ ἀνακάλεσε. Καὶ γιὰ νὰ μάθετε, θέλω νὰ σᾶς ὑπενθυμίσω τὴν παραβολὴ ποὺ λέγεται στὸ

μένης, ὅπως ἐκεῖνος ὁ τῶν μυρίων ταλάντων τὴν συγχώρησιν δεξάμενος παρὰ τοῦ δεσπότου, ἐπειδὴ προσέπεσε καὶ ἐδεήθη καὶ ἱκέτευσε. «Σπλαγχνισθεις οὖν ὁ κύριος αὐτοῦ ἀφῆκεν αὐτῷ, καὶ τὸ δάνειον αὐτῷ συνεχώρησεν». Εἶδες εὐσπλαγχνίαν Δεσπότου; ἐκεῖνος προσέπιπτεν ἱκετεύων προθεσμίαν αὐτῷ δοθῆναι· «μακροθύμησον» γάρ, φησί, «καὶ πάντα σοι ἀποδώσω». Ἀλλ' ὁ ἀγαθὸς Δεσπότης, ὁ κηδεμὼν καὶ φιλάνθρωπος, ἐπικαμφθείς, τῷ οἰκέτῃ οὐχ ὅσον ᾔτησε, τοσοῦτον παρέσχεν, ἀλλ' ὅσον οὐδὲ ἐνενόησε. Τοιοῦτον γὰρ αὐτῷ ἔθος ἀεὶ νικᾷν καὶ προφθάνειν τὰς ἡμετέρας αἰτήσεις. Ἐκείνου τοίνυν ἐνδοθῆναι παρακαλέσαντος, καὶ ὑποσχομένου πᾶσαν ποιήσασθαι τὴν ἔκτισιν, ὁ ἀγαθότητι νικῶν τὰ ἡμέτερα πλημμελήματα, σπλαγχνισθείς, ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον συνεχώρησεν αὐτῷ.

Εἶδες τί μὲν ὁ δοῦλος ᾔτησεν, ὅσον δὲ ὁ δεσπότης ἐχαρίσατο; Ὅρα δὲ πάλιν τούτου τὴν πολλὴν ἀπήνειαν. Δέον γάρ, μετὰ τὴν τοσαύτην φιλανθρωπίαν καὶ τὴν ἄφατον εὐεργεσίαν τὴν ἐν αὐτῷ γεγενημένην, συμπαθέστερον αὐτὸν καταστῆσαι περὶ τοῦ ὁμογενοῦς, ὁ δὲ τὸ ἐναντίον ἐπεδείκνυτο. «Ἐξελθὼν», φησίν, οὗτος, ὁ τῶν μυρίων ταλάντων τὴν συγχώρησιν δεξάμενος. Ἀκούετε, παρακαλῶ, μετὰ ἀκριβείας· τὰ γὰρ αὐτῷ τούτῳ συμβάντα ἱκανὰ καθικέσθαι τῆς ἡμετέρας ψυχῆς, καὶ πεῖσαι τὸ χαλεπὸν τοῦτο νόσημα ἐξορίσαι τῆς ἡμετέρας διανοίας. Οὗτος τοίνυν «ἐξελθὼν εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια». Σκόπει, πόσον τὸ μέσον. Ὧδε καὶ σύνδουλος ὁ ὀφείλων, καὶ ἑκατὸν δηνάρια. Ἐκεῖ καὶ δεσπότης, καὶ μύρια τάλαντα, καὶ ὅμως, ἐπειδὴ εἶδεν ἱκετεύοντα καὶ παρακα-

2. Βλ. Ματθ. 18, 23–35.

ἅγιο Εὐαγγέλιο[2], σύμφωνα μὲ τὴν ὁποία ὁ δοῦλος δέχθηκε ἀπὸ τὸν κύριο τὸ χάρισμα τῶν δέκα χιλιάδων ταλάντων, ἐπειδὴ ἔπεσε στὰ πόδια του καὶ τὸν παρακάλεσε καὶ τὸν ἱκέτευσε. Ὁ κύριός του λοιπὸν τὸν λυπήθηκε, τὸν ἄφησε νὰ φύγει καὶ τοῦ χάρισε τὸ δάνειο. Εἶδες εὐσπλαχνία Κυρίου; Ἐκεῖνος ἔπεφτε στὰ πόδια του παρακαλώντας τον νὰ τοῦ δοθεῖ κάποια προθεσμία· γιατὶ λέγει, «δεῖξε μου μακροθυμία καὶ θὰ σοῦ τὰ ἐπιστρέψω ὅλα». Ἀλλ' ὁ ἀγαθὸς Κύριος, ὁ κηδεμόνας καὶ φιλάνθρωπος, συγκινήθηκε καὶ δὲν ἔδωσε στὸ δοῦλο τόσο ὅσο ζήτησε, ἀλλὰ ὅσο δὲ σκέφθηκε. Γιατὶ ἔτσι αὐτὸς πάντοτε συνηθίζει νὰ νικάει καὶ νὰ προλαβαίνει τὰ δικά μας αἰτήματα. Ἐπειδὴ λοιπὸν ἐκεῖνος παρακάλεσε νὰ δείξει μακροθυμία καὶ ὑποσχόταν νὰ τὰ ἐξοφλήσει ὅλα, αὐτὸς ποὺ μὲ ἀγαθότητα νικάει τὰ δικά μας παραπτώματα, ἀφοῦ τὸν λυπήθηκε, τὸν ἄφησε νὰ φύγει καὶ τοῦ χάρισε τὸ δάνειο.

Εἶδες τί ζήτησε ὁ δοῦλος καὶ πόσο τοῦ χάρισε ὁ κύριος; Πρόσεχε ὅμως πάλι τὴ μεγάλη σκληρότητα τοῦ δούλου. Γιατί, ἐνῶ ἔπρεπε, ὕστερα ἀπὸ τὴν τόσο μεγάλη φιλανθρωπία καὶ τὴν ἀνείπωτη εὐεργεσία ποὺ τοῦ ἔγινε, νὰ καταστεῖ πιὸ ἐπιεικὴς πρὸς τὸ συνάνθρωπό του, αὐτὸς ὅμως ἀποδεικνυόταν τὸ ἀντίθετο. «Βγαίνοντας ἔξω», λέγει, αὐτὸς ποὺ δέχθηκε τὸ χάρισμα τῶν δέκα χιλιάδων ταλάντων. Ἀκοῦτε, παρακαλῶ, μὲ προσοχή, γιατὶ αὐτὰ ποὺ τοῦ συνέβηκαν εἶναι ἱκανὰ νὰ ἐγγίσουν τὴν ψυχή μας καὶ νὰ μᾶς πείσουν νὰ ἀπομακρύνουμε ἀπὸ τὴ σκέψη μας τὴ φοβερὴ αὐτὴ ἀρρώστια. Αὐτὸς λοιπὸν «βγαίνοντας ἔξω, συνάντησε ἕναν ἀπὸ τοὺς συνδούλους του, ποὺ τοῦ χρωστοῦσε ἑκατὸ δηνάρια». Πρόσεχε πόση εἶναι ἡ διαφορά. Ἐδῶ καὶ σύνδουλος εἶναι ὁ ὀφειλέτης, καὶ ἑκατὸ δηνάρια τὰ ὀφειλόμενα. Ἐκεῖ καὶ κύριος καὶ δέκα χιλιάδες τάλαντα, καὶ ὅμως τοῦ τὰ χάρισε, ἐπειδὴ τὸν εἶδε νὰ τὸν ἱκετεύει καὶ νὰ τὸν παρακαλεῖ.

λοῦντα, συνεχώρησεν. Οὗτος δὲ «κρατήσας αὐτὸν ἔπνιγε λέγων, 'ἀπόδος μοι, εἴ τι ὀφείλεις'».

Τί οὖν; «Πεσὼν ὁ σύνδουλος αὐτοῦ παρεκάλει λέγων». Ὅρα πῶς συνεχῶς στρέφει τοῦτο τὸ ρῆμα ὁ εὐαγγελιστὴς λέγων, «ὁ σύνδουλος αὐτοῦ», οὐχ ἁπλῶς, ἀλλ' ἵνα μάθωμεν, ὅτι οὐδὲν μεταξὺ αὐτῶν τὸ μέσον, καὶ ὅμως τὴν αὐτὴν ἱκετήριαν πρὸς αὐτὸν ἐποιήσατο, ἣν οὗτος πρὸς τὸν Δεσπότην, λέγων, «μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω». «Ὁ δέ», φησίν, «ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακήν, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον αὐτῷ». Ὢ ἀγνωμοσύνης ὑπεροχή! ἔναυλον ἔχων τὴν μνήμην τῆς τοσαύτης φιλοτιμίας οὐδὲ οὕτως ἠνείχετο συμπαθές τι λογίσασθαι, ἀλλὰ πρότερον μὲν «ἔπνιγε», νῦν δὲ «καὶ εἰς δεσμωτήριον ἔβαλεν».

2. Ἀλλ' ὅρα, τί γίνεται. «Ἰδόντες», φησίν, «οἱ σύνδουλοι αὐτοῦ ἐλυπήθησαν, καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ αὐτῶν πάντα τὰ γινόμενα». Οὐκ ἐκεῖνος ὁ πεπονθώς· πῶς γάρ, καθειργμένος ὢν ἐν τῷ δεσμωτηρίῳ; ἀλλ' οἱ σύνδουλοι, οἱ μηδὲν ἠδικημένοι, ὡς ἀδικηθέντες οὕτως ἤλγησαν, καὶ ἀπελθόντες ἅπαντα ἐμήνυσαν. Ἀλλ' ὅρα λοιπὸν τὴν ἀγανάκτησιν. «Τότε προσκαλεσάμενος αὐτόν», φησί, «λέγει αὐτῷ, «δοῦλε πονηρέ». Ἀληθῶς ἐνταῦθα ἔστιν ἰδεῖν, ὅσον τῆς μνησικακίας ὁ ὄλεθρος. Ἡνίκα τὰ μύρια τάλαντα μεθώδευεν, οὐκ ἐκάλεσεν αὐτὸν πονηρόν, ἀλλὰ νῦν, ὅτε περὶ τὸν σύνδουλον γέγονεν ἀπηνής, τότε φησί, «πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με».

Ὅρα, πῶς δείκνυσιν αὐτοῦ τῆς κακίας τὴν ὑπερβολήν. Μὴ γὰρ πλέον τι ἐπεδείξω; φησίν· οὐχὶ ρήματα ψιλὰ ἐποιήσω, καὶ δεξάμενός σου τὴν ἱκετηρίαν, πᾶσαν τὴν μεγάλην ἐκείνην

Αὐτὸς ὅμως «τὸν ἔπιασε ἀπὸ τὸ λαιμὸ γιὰ νὰ τὸν πνίξει καὶ τοῦ ἔλεγε· 'δός μου τὰ ὅσα μοῦ ὀφείλεις».

Τί λοιπόν; «Ὁ σύνδουλός του τότε ἔπεσε στὰ πόδια του καὶ τὸν παρακαλοῦσε, λέγοντας». Πρόσεχε πῶς αὐτὴ τὴ λέξη τὴν ἀναφέρει συνέχεια ὁ εὐαγγελιστής, λέγοντας, «ὁ σύνδουλός του», ὄχι τυχαῖα, ἀλλὰ γιὰ νὰ μάθουμε ὅτι δὲν ὑπῆρχε καμιὰ διαφορὰ μεταξύ τους, καὶ ὅμως ἔκαμε τὴν ἴδια παράκληση πρὸς αὐτόν, ποὺ αὐτὸς ἔκαμε πρὸς τὸν Κύριο, λέγοντας· «δεῖξε μου μακροθυμία, καὶ θὰ σοῦ τὰ ἐπιστρέψω ὅλα». «Ἀλλὰ ἐκεῖνος», λέγει, «πῆγε καὶ τὸν ἔβαλε στὴ φυλακή, ὥσπου νὰ ἐπιστρέψει ὅ,τι τοῦ χρωστοῦσε». Πόση ὑπερβολικὴ ἀχαριστία! Παρ' ὅλο ποὺ εἶχε ζωηρὴ τὴ μνήμη τῆς τόσο μεγάλης γενναιοδωρίας, οὔτε ἔτσι ἀνεχόταν νὰ σκεφθεῖ κάτι τὸ συμπονετικό, ἀλλὰ προηγουμένως «προσπαθοῦσε νὰ τὸν πνίξει», ἐνῶ τώρα «τὸν ἔβαλε καὶ στὴ φυλακή».

2. Ἀλλὰ πρόσεχε τί γίνεται. Ὅταν τὰ εἶδαν αὐτὰ οἱ σύνδουλοί του» , λέγει, «ἀγανάκτησαν καὶ πῆγαν καὶ διηγήθηκαν στὸν κύριό τους ὅλα τὰ γεγονότα». Ὄχι ἐκεῖνος ποὺ τὰ εἶχε πάθει –γιατὶ πῶς μποροῦσε, ἀφοῦ ἦταν κλεισμένος στὴ φυλακή;–, ἀλλὰ οἱ σύνδουλοί του, ποὺ δὲν ἀδικήθηκαν καθόλου, τόσο πολὺ ἀγανάκτησαν σὰν νὰ εἶχαν ἀδικηθεῖ οἱ ἴδιοι, καὶ πῆγαν καὶ τὰ ἀνάφεραν ὅλα. Πρόσεχε ὅμως στὴ συνέχεια τὴν ἀγανάκτηση. «Τότε τὸν προσκάλεσε», λέγει, «καὶ τοῦ εἶπε· 'κακὲ δοῦλε'». Πραγματικὰ ἐδῶ μπορεῖ νὰ δεῖ κανεὶς πόση εἶναι ἡ καταστροφὴ τῆς μνησικακίας. Ὅταν χρωστοῦσε τὶς δέκα χιλιάδες τάλαντα, δὲν τὸν ἀποκάλεσε κακό, ἀλλὰ τώρα, ποὺ ἔγινε σκληρὸς γιὰ τὸ σύνδουλό του, τοῦ λέγει· «ὅλο ἐκεῖνο τὸ χρέος σοῦ τὸ χάρισα, ἐπειδὴ μὲ παρακάλεσες».

Πρόσεχε πῶς δείχνει τὴν ὑπερβολικὴ κακία του. Μήπως λοιπόν, λέγει, παρουσίασες κάτι περισσότερο; Δὲν εἶπες ἁπλὰ λόγια, καὶ ἐγὼ δέχθηκα τὴν παράκλησή σου καὶ σοῦ χάρισα

καὶ ἀφόρητον ὀφειλὴν συνεχώρησα; οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγὼ σὲ ἠλέησα; Ποίας ἂν εἴης, φησίν, ἄξιος συγγνώμης; Ἐγὼ μέν, φησίν, τοσοῦτον ὄγκον ὀφλημάτων διὰ τὰ ψιλὰ ἐκεῖνα ρήματα συνεχώρησα· σὺ δὲ τὸν σύνδουλόν σου τὸν ὁμογενῆ οὐκ ἠλέησας, οὐδὲ ἐπεκάμφθης, οὐδὲ εἰς μνήμην ἐλθὼν τῶν ὑπαρξάντων σοι παρ' ἐμοῦ ἐπεδείξω περὶ αὐτὸν συμπάθειαν, ἀλλ' ἀνηλεὴς ἐγένου καὶ ὠμός, καὶ ἐλεῆσαι σύνδουλόν σου οὐκ ἠθέλησας. Διὰ τοῦτο ἐνταῦθα διὰ τῆς πείρας μάνθανε, ὅσων κακῶν αἴτιος σεαυτῷ κατέστης.

«Καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς». Ὅρα αὐτὸν καὶ ὀργιζόμενον διὰ τὴν εἰς τὸν σύνδουλον ἀπανθρωπίαν, καὶ τοῖς βασανισταῖς παραδιδόντα· καὶ ὃ πρότερον οὐκ ἐποίησεν, ἡνίκα τοσούτοις ὀφλήμασιν ὑπεύθυνος ἦν, νῦν κελεύει γενέσθαι· παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον, ἕως οὗ τὰ μύρια τάλαντα, ὧν τὴν συγχώρησιν ἤδη λαβὼν ἀπῆλθε, ταῦτα καταβαλεῖν. Μεγίστη καὶ ἄφατος ἡ τοῦ Θεοῦ φιλανθρωπία. Ἡνίκα μὲν αὐτὸς μεθώδευεν, ἐπειδὴ τὴν ἱκεσίαν ἐποιήσατο, συνεχώρησεν· ἐπεὶ δὲ εἶδεν αὐτὸν περὶ τὸν σύνδουλον ὠμὸν καὶ ἀπάνθρωπον γεγονότα, λοιπὸν τὴν οἰκείαν ἀνακαλεῖται φιλοτιμίαν, δεικνὺς αὐτὸν διὰ τῶν πραγμάτων, ὡς οὐ τοσοῦτον αὐτὸν ἠδίκησεν, ὅσον ἑαυτόν. Καὶ καθάπερ ἐκεῖνος εἰς φυλακὴν ἔβαλεν, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον, οὕτω καὶ αὐτὸς ταῖς βασάνοις παρέδωκεν, ἕως οὗ ἅπασαν καταθῇ τὴν ὀφειλήν.

3. Ταῦτα δέ, ἀδελφοί, οὐ περὶ ταλάντων καὶ δηναρίων ὁ λόγος· ἀλλὰ μεγέθους πλημμελημάτων δίκας ὀφείλοντες τῷ Δεσπότῃ, διὰ τὴν αὐτοῦ ἄφατον φιλανθρωπίαν συγχώρησιν παρ' αὐτοῦ δεχόμεθα. Ἐὰν δὲ περὶ τοὺς ὁμοδούλους καὶ ὁμογενεῖς καὶ τοὺς τῆς αὐτῆς ἡμῖν φύσεως κοινωνοὺς ὠμοὶ καὶ ἀπάνθρω-

ὅλο ἐκεῖνο τὸ μεγάλο καὶ ἀφόρητο χρέος; Δὲν ἔπρεπε καὶ σὺ νὰ λυπηθεῖς τὸ σύνδουλό σου, ὅπως καὶ ἐγὼ λυπήθηκα ἐσένα; Γιὰ ποιά συγγνώμη, λέγει, μπορεῖς νὰ εἶσαι ἄξιος; Ἐγώ, λέγει, γιὰ τὰ ἁπλὰ ἐκεῖνα λόγια σοῦ χάρισα τόσο μεγάλο ὄγκο ὀφειλῶν, ἐνῶ ἐσὺ τὸ σύνδουλό σου, τὸν ὅμοιό σου, δὲν τὸν λυπήθηκες, οὔτε συγκινήθηκες, οὔτε θυμήθηκες τὰ ὅσα ἔκανα σὲ σένα καὶ οὔτε ἔδειξες γι' αὐτὸν συμπάθεια, ἀλλ' ἔγινες ἄσπλαχνος καὶ σκληρός, καὶ δὲ θέλησες νὰ λυπηθεῖς τὸ σύνδουλό σου. Γι' αὐτὸ ἐδῶ μάθαινε μὲ τὴν πείρα πόσων κακῶν ὑπεύθυνος ἔγινες γιὰ τὸν ἑαυτό σου.

«Τότε ὁ κύριός του ὀργίσθηκε καὶ τὸν παρέδωσε στοὺς βασανιστές». Πρόσεχε αὐτὸν ποὺ καὶ ὀργίζεται γιὰ τὴν ἀπανθρωπιὰ ποὺ ἔδειξε στὸ σύνδουλό του καὶ τὸν παραδίνει στοὺς βασανιστές. Καὶ αὐτὸ ποὺ προηγουμένως δὲν ἔκαμε, ὅταν ἦταν ὑπεύθυνος γιὰ τόσα χρέη, τώρα προστάζει νὰ γίνει· τὸν παρέδωσε στοὺς βασανιστές, ὥσπου νὰ ἐπιστρέψει ὅ,τι χρωστοῦσε, ὥσπου νὰ ἐξοφλήσει τὶς δέκα χιλιάδες τάλαντα, ποὺ προηγουμένως τοῦ τὰ χάρισε καὶ ἔφυγε. Εἶναι πάρα πολὺ μεγάλη καὶ ἀνείπωτη ἡ φιλανθρωπία τοῦ Θεοῦ. Ὅταν ὁ δοῦλος χρωστοῦσε, ἐπειδὴ ἱκέτευσε, ὁ κύριος τὸν συγχώρεσε. Ὅταν ὅμως εἶδε ὅτι ἔδειξε σκληρότητα καὶ ἀπανθρωπιὰ πρὸς τὸ σύνδουλό του, ἀνακαλεῖ τότε τὴ γενναιοδωρία του, ἀποδεικνύοντας μὲ τὰ ἴδια τὰ πράγματα πὼς δὲν ἀδίκησε τόσο πολὺ αὐτόν, ὅσο τὸν ἑαυτό του. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνος τὸν ἔβαλε στὴ φυλακή, ὥσπου νὰ ἐπιστρέψει ὅ,τι χρωστοῦσε, ἔτσι καὶ αὐτὸς τὸν παρέδωσε στοὺς βασανιστές, ὥσπου νὰ ἐξοφλήσει ὅλο τὸ χρέος.

3. Αὐτὰ ὅμως, ἀδελφοί, δὲ λέγονται γιὰ τὰ τάλαντα καὶ τὰ δηνάρια· ἀλλά, μολονότι εἴμαστε ὀφειλέτες στὸν Κύριο γιὰ πολλὰ παραπτώματα, ἐξ αἰτίας τῆς ἀνέκφραστης φιλανθρωπίας του δεχόμαστε ἀπ' αὐτὸν συγχώρηση. Ἂν ὅμως γινόμαστε σκληροὶ καὶ ἀπάνθρωποι πρὸς τοὺς ὁμοδούλους καὶ ὁμογενεῖς

ποι γενώμεθα, καὶ τὰ εἰς ἡμᾶς πλημμελήματα μὴ λύωμεν, ἀλλ' ὑπὲρ τῶν εὐτελῶν τούτων δίκας ἀπαιτῶμεν, τότε καὶ τὴν ἀγανάκτησιν ἐπισπῶμεν τοῦ Δεσπότου, καὶ ὧν πρῶτον τὴ συγχώρησιν ἐδεξάμεθα, τούτων πάλιν τὴν ὄφλησιν μετὰ βασάνων ἀπαιτεῖσθαι κελευόμεθα. Ὅσον γὰρ ἑκατὸν δηνάρια καὶ μύρια τάλαντα, τοσοῦτον τὸ μέσον τῶν ἡμετέρων πρὸς τὸν Δεσπότην πλημμελημάτων, καὶ τῶν εἰς ἡμᾶς γενομένων παρὰ τῶν ὁμογενῶν. Ἵνα δὲ μάθωμεν ἀκριβῶς, ὅτι πρὸς ὠφέλειαν τῶν ψυχῶν τῶν ἡμετέρων τὴν παραβολὴν ταύτην παρήγαγεν ὁ Δεσπότης, ἄκουε τοῦ ἐπαγομένου· «οὕτως καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ποιήσει ὑμῖν», φησίν, «ἐὰν μὴ ἀφῆτε ἕκαστος ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν».

Μέγα τῆς παραβολῆς τὸ κέρδος, μόνον ἐὰν προσέχειν βουλώμεθα. Τί γὰρ τοσοῦτον δυνάμεθα ἀφιέναι, ὅσον ἀφίεται ἡμῖν παρὰ τοῦ Δεσπότου; καὶ ἡμεῖς μέν, ἐὰν τοῦτο ποιῆσαι βουλώμεθα, ὁμοδούλοις ἀφίεμεν· αὐτοὶ δὲ παρὰ τοῦ Δεσπότου τὴν συγχώρησιν δεχόμεθα. Καὶ ὅρα καὶ τὴν ἀκρίβειαν τῶν εἰρημένων. Οὐ γὰρ εἶπεν ἁπλῶς, 'ἐὰν μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ ἡμαρτημένα', ἀλλὰ τί; «Ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν». Σκόπει, πῶς βούλεται αὐτὴν ἡμῶν τὴν καρδίαν ἐν γαλήνῃ καὶ ἡσυχίᾳ τυγχάνειν, καὶ τὸν λογισμὸν ἡμῶν ἀτάραχον εἶναι, καὶ παντὸς ἀπηλλάχθαι πάθους, καὶ πολλὴν πρὸς τὸν πλησίον τὴν φιλαγαθοσύνην ἡμᾶς ἐπιδείκνυσθαι. Καὶ ἀλλαχοῦ δὲ πάλιν ἔστιν αὐτοῦ ἀκοῦσαι λέγοντος· «ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ἡμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος».

Μὴ τοίνυν νομίζωμεν ἕτερον εὐεργετεῖν, ὅταν τοῦτο ποιῶμεν, ἢ μεγάλην τινὰ εἰς ἐκεῖνον κατατίθεσθαι χάριν. Αὐτοὶ

3. Ματθ. 6, 14.

καὶ τοὺς συνανθρώπους μας καὶ δὲ συγχωροῦμε τὰ παραπτώματα ποὺ γίνονται σ' ἐμᾶς, ἀλλὰ γιὰ τὰ ἀσήμαντα αὐτὰ ἀπαιτοῦμε τιμωρίες, τότε προκαλοῦμε τὴν ἀγανάκτηση τοῦ Κυρίου καὶ ἐκεῖνα γιὰ τὰ ὁποῖα προηγουμένως δεχθήκαμε τὴ συγχώρηση, αὐτὰ μᾶς προστάζει νὰ τὰ ἐξοφλήσουμε πάλι μὲ βάσανα. Γιατί, ὅση εἶναι ἡ διαφορὰ μεταξὺ τῶν ἑκατὸ δηναρίων καὶ τῶν δέκα χιλιάδων ταλάντων, τόση εἶναι ἡ διαφορὰ τῶν δικῶν μας παραπτωμάτων πρὸς τὸν Κύριο καὶ τῶν παραπτωμάτων ποὺ ἔκαναν σ' ἐμᾶς οἱ συνάνθρωποί μας. Γιὰ νὰ μάθουμε ὅμως ἀκριβῶς, ὅτι ὁ Κύριος παρουσίασε τὴν παραβολὴ αὐτὴ γιὰ ὠφέλεια τῶν ψυχῶν μας, ἄκου αὐτὸ ποὺ προσθέτει. «Ἔτσι καὶ ὁ Πατέρας σας ὁ οὐράνιος θὰ κάνει σὲ σᾶς», λέγει, «ἂν ὁ καθένας σας δὲ συγχωρήσει μέσα ἀπὸ τὴν καρδιά του τὰ παραπτώματα τῶν συνανθρώπων του».

Μεγάλο τὸ κέρδος τῆς παραβολῆς, μόνο ἂν θέλουμε νὰ προσέχουμε. Τί δηλαδή; τόσο μποροῦμε νὰ συγχωροῦμε, ὅσο μᾶς συγχωρεῖ ὁ Κύριος; Καὶ ἐμεῖς βέβαια, ἂν θέλουμε νὰ κάνουμε αὐτό, συγχωροῦμε συνανθρώπους μας, ἐνῶ οἱ ἴδιοι δεχόμαστε τὴ συγχώρηση ἀπὸ τὸν Κύριο. Καὶ πρόσεχε καὶ τὴν ἀκρίβεια τῶν λεγομένων. Γιατὶ δὲν εἶπε ἁπλῶς, 'ἂν δὲ συγχωρεῖτε στοὺς ἀνθρώπους τὰ ἁμαρτήματά τους', ἀλλὰ τί; «Ἂν ὁ καθένας δὲ συγχωρήσει στὸν ἀδελφό του μέσα ἀπὸ τὴν καρδιά του τὰ ἁμαρτήματά του». Παρατήρησε πῶς αὐτὸς θέλει ἡ καρδιά μας νὰ βρίσκεται σὲ γαλήνη καὶ ἡσυχία, ἡ σκέψη μας νὰ εἶναι ἀτάραχη, νὰ εἴμαστε ἀπαλλαγμένοι ἀπὸ κάθε πάθος καὶ νὰ ἐπιδεικνύουμε πολλὴ καλωσύνη πρὸς τὸν πλησίον. Καὶ ἀλλοῦ πάλι μποροῦμε νὰ τὸν ἀκούσουμε νὰ λέγει· «γιατί, ἂν συγχωρήσετε στοὺς ἀνθρώπους τὰ παραπτώματά τους, θὰ σᾶς συγχωρήσει καὶ σᾶς ὁ οὐράνιος Πατέρας σας»[3].

Ἂς μὴ νομίζουμε λοιπὸν ὅτι εὐεργετοῦμε ἄλλον, ὅταν κάνουμε αὐτό, ἢ ὅτι παρέχουμε σ' ἐκεῖνον κάποια μεγάλη χάρη.

γάρ ἐσμεν οἱ τῆς εὐεργεσίας ἀπολαύοντες καὶ πολὺ τὸ κέρδος ἐντεῦθεν ἑαυτοῖς προξενοῦντες, ὥσπερ, ἐὰν μὴ τοῦτο ποιῶμεν, πάλιν ἐκείνους μὲν οὐδ' ὅλως ἀδικῆσαί τι δυνησόμεθα, ἑαυτοῖς δὲ τὴν ἀφόρητον τῆς γεέννης κόλασιν προευτρεπίζομεν. Διό, παρακαλῶ, ταῦτα λογιζόμενοι μηδέποτε ἀνεχώμεθα τοῖς λελυπηκόσιν ἡμᾶς ἢ ἑτέρως πως ἀδικήσασι μνησικακεῖν ἢ ἐχθρωδῶς πρὸς αὐτοὺς διακεῖσθαι· ἀλλ' ἐννοοῦντες, ὅσης ἡμῖν εὐεργεσίας πρόξενον καὶ παρὰ τῷ Δεσπότῃ, καὶ πρὸ πάντων, ὅτι δαπάνη τυγχάνει τῶν ἡμετέρων ἁμαρτιῶν ἡ πρὸς τοὺς λυπήσαντας καταλλαγή, σπεύδωμεν καὶ ἐπειγώμεθα, καὶ τὸ ἐκ τούτου κέρδος ἐννοοῦντες τοσαύτην ἐπιδειξώμεθα πρὸς τοὺς ἠδικηκότας θεραπείαν, ὡσανεὶ πρὸς εὐεργέτας ἀληθῶς. Ἐὰν γὰρ νήφωμεν, οὐχ οὕτως πρὸς ἡμᾶς οἱ γνησίως διακείμενοι καὶ παντὶ τρόπῳ θεραπεύειν σπουδάζοντες ὠφελῆσαι ἡμᾶς δυνήσονται, ὡς ἡ περὶ τούτους θεραπεία ἀξίους τῆς ἄνωθεν εὐνοίας ἀπεργάζεται, καὶ τοῦ φορτίου τῶν ἡμαρτημένων ἡμῖν ἐπικουφίζουσα.

Ἐννόησον γάρ μοι, ἀγαπητέ, ὅσον τῆς ἀρετῆς ταύτης τὸ μέγεθος ἀπὸ τῶν ἐπάθλων, ὧν ἐπηγγείλατο τοῖς αὐτὴν κατορθοῦσιν ὁ τῶν ὅλων Θεός. Εἰπὼν γάρ, «ἀγαπᾶτε τοὺς ἐχθρούς ὑμῶν, εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς»· ἐπειδὴ μεγάλα ἦν τὰ ἐπιτάγματα καὶ τῆς ἄκρας αὐτῆς κορυφῆς ἁπτόμενα, φησίν· «ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ὅτι τὸ ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Εἰ δὲ κατὰ δύναμιν ἀνθρωπίνην ὁ οἰκτίρμων Θεὸς παρόμοιος γίνεται, ὁ μὴ μόνον ἀμυνόμενος τοὺς λελυπηκότας, ἀλλὰ καὶ προσεύχεσθαι ὑπὲρ τούτων σπουδάζων, τίνων οὐ τεύ-

4. Ματθ. 5,44.
5. Ματθ. 5,45.

Γιατὶ ἐμεῖς οἱ ἴδιοι εἴμαστε ποὺ ἀπολαμβάνουμε τὴν εὐεργεσία καὶ προξενοῦμε ἀπὸ ἐδῶ πολὺ κέρδος γιὰ τὸν ἑαυτό μας, ὅπως πάλι, ἂν δὲν κάμνουμε αὐτό, πάλι δὲ θὰ μπορέσουμε νὰ τοὺς βλάψουμε καθόλου ἐκείνους, ἐνῶ προετοιμάζουμε τὴ βαριὰ τιμωρία τῆς γέεννας γιὰ τὸν ἑαυτό μας. Γι' αὐτό, παρακαλῶ, ἔχοντας στὴ σκέψη μας αὐτά, ἂς μὴ δεχόμαστε ποτὲ νὰ μνησικακοῦμε σ' ἐκείνους ποὺ μᾶς λύπησαν ἢ κάπως διαφορετικὰ μᾶς ἀδίκησαν, οὔτε νὰ συμπεριφερόμαστε ἐχθρικὰ πρὸς αὐτούς, ἀλλά, κατανοώντας πόσης εὐεργεσίας πρόξενο γίνεται αὐτὸ ἐκ μέρους τοῦ Κυρίου, καὶ πρὶν ἀπ' ὅλα ὅτι ἡ συμφιλίωση πρὸς αὐτοὺς ποὺ μᾶς λύπησαν γίνεται ἐξαγορὰ τῶν δικῶν μας ἁμαρτιῶν, ἂς σπεύδουμε καὶ ἂς βιαζόμαστε νὰ τὸ ἐφαρμόζουμε, καὶ σκεπτόμενοι τὸ κέρδος ἀπ' αὐτό, ἂς ἐπιδείξουμε πρὸς αὐτοὺς ποὺ μᾶς ἀδίκησαν τόση μεγάλη φροντίδα, σὰν πρὸς ἀληθινοὺς εὐεργέτες. Γιατί, ἂν εἴμαστε νηφάλιοι, δὲ θὰ μπορέσουν νὰ μᾶς ὠφελήσουν τόσο πολὺ ἐκεῖνοι ποὺ μᾶς φέρονται εὐγενικὰ καὶ προσπαθοῦν μὲ κάθε τρόπο νὰ δείχνουν τὴ φροντίδα τους γιὰ μᾶς, ὅσο ἡ φροντίδα γι' αὐτοὺς μᾶς καθιστᾶ ἄξιους τῆς ἀγάπης τοῦ Θεοῦ καὶ ἐλαφρύνει συγχρόνως καὶ τὸ φορτίο τῶν ἁμαρτημάτων μας.

Σκέψου λοιπόν, σὲ παρακαλῶ, ἀγαπητέ, πόσο εἶναι τὸ μέγεθος τῆς ἀρετῆς αὐτῆς ἀπὸ τὰ βραβεῖα ποὺ ὑποσχέθηκε ὁ Θεὸς τῶν ὅλων σ' ἐκείνους ποὺ τὴν κατορθώνουν. Γιατί, ἀφοῦ εἶπε, «ἀγαπᾶτε τοὺς ἐχθρούς σας, εὐλογεῖτε ἐκείνους ποὺ σᾶς καταδιώκουν, προσεύχεστε γιὰ ἐκείνους ποὺ σᾶς κακομεταχειρίζονται»[4], ἐπειδὴ ἦταν μεγάλες αὐτὲς οἱ ἐντολὲς καὶ ἔφταναν καὶ στὴν πιὸ ψηλὴ ἀκόμα κορυφή, λέγει· «γιὰ νὰ γίνετε ὅμοιοι μὲ τὸν οὐράνιο Πατέρα σας, ποὺ ἀνατέλλει τὸν ἥλιο του σὲ κακοὺς καὶ ἀγαθοὺς καὶ βρέχει σὲ δικαίους καὶ ἀδίκους»[5]. Ἂν ὁ φιλεύσπλαχνος γίνεται κατ' ἀνθρώπινη δύναμη παρόμοιος μὲ τὸ Θεό, ἐκεῖνος ποὺ ὄχι μόνο βοηθάει ὅσους τὸν στενοχωροῦν,

ζεται ἀγαθῶν; Μὴ τοίνυν ἀποστερῶμεν ἑαυτοὺς διὰ ῥᾳθυμίας τοσούτων δωρεῶν, καὶ τῶν ἐπάθλων τῶν πάντα λόγον ὑπερβαινόντων, ἀλλὰ πάντα τρόπον τοῦτο κατορθῶσαι σπουδάσωμεν, καὶ βιασάμενοι τὸν λογισμὸν παιδεύσωμεν εἴκειν τῷ τοῦ Θεοῦ ἐπιτάγματι.

Διὰ γὰρ τοῦτο κἀγὼ νῦν ταύτην ἐποιησάμην τὴν παραίνεσιν, καὶ τὴν παραβολὴν εἰς μέσον ἤγαγον, καὶ τὸ τοῦ κατορθώματος ἔδειξα μέγεθος, καὶ ὅσον ἡμῖν ἐκ τούτου κέρδος γίνεται, ἵνα ὡς ἔτι καιρὸς ἕκαστος ἡμῶν ἐχθρωδῶς διακείμενος, σπουδὴν ποιήσεται διὰ τῆς πολλῆς θεραπείας καταλλάξαι ἑαυτῷ. Καὶ μή μοι λεγέτω τις, ὅτι 'ἅπαξ καὶ δεύτερον παρεκάλεσα, καὶ οὐ προσήκατο'. Εἰ ἀπὸ εἰλικρινοῦς διανοίας τοῦτο πράττομεν, μὴ πρότερον παυσώμεθα μέχρις ἂν τῇ πολλῇ προσεδρείᾳ νικήσαντες ἐφελκυσώμεθα ἑαυτόν. Μὴ γὰρ ἐκείνῳ τι χαριζόμεθα, εἰς ἡμᾶς διαβαίνει τὰ τῆς εὐεργεσίας, τοῦ Θεοῦ τὴν εὔνοιαν ἐπισπώμεθα, παρρησίαν πολλὴν πρὸς τὸν Δεσπότην ἐκ τούτου λαμβάνομεν.

4. Ἐὰν τοῦτο κατορθώσωμεν, δυνησόμεθα μετὰ καθαροῦ συνειδότος καὶ τὰ τῆς εὐχῆς ῥήματα προέσθαι κατὰ τὸν καιρὸν τῶν μυστηρίων τῶν φοβερῶν, τό, «καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς οἰφειλέταις ἡμῶν». Εἰ δὲ ῥᾳθυμήσομεν, πῶς ἡμῖν οὐκ ἂν γένοιτο κατακρίσεως αἴτιον, ἐναντία τοῖς ῥήμασι διαπραττομένοις, τολμᾶν ἁπλῶς καὶ εἰκῇ προσφέρειν τὰ τῆς εὐχῆς ῥήματα, καὶ μεῖζον ἑαυτοῖς ἐπισωρεύειν τὸ πῦρ, καὶ τὴν ἀγανάκτησιν ἐκκαλεῖσθαι τοῦ Δεσπότου; Χαίρω καὶ εὐφραίνομαι μεθ' ἡδονῆς ὁρῶν ὑμᾶς ἀκούοντας τὰ λεγόμενα, διὰ τοῦ κρότου δεικνύντας, ὅτι ἕτοιμοι γενέσθαι σπουδάζετε καὶ εἰς ἔργον ἀγαγεῖν τὴν Δεσποτικὴν ταύτην παραίνεσιν. Τοῦτο γάρ ἐστι τὸ ἰατρεῖον τῶν ὑμετέρων ψυχῶν, τοῦτο

6. Ματθ. 6,12.

ἀλλὰ καὶ φροντίζει νὰ προσεύχεται γι' αὐτούς, ποιά ἀγαθὰ δὲ θὰ ἐπιτύχει; Ἂς μὴ στεροῦμε λοιπὸν τὸν ἑαυτό μας μὲ τὴν ἀδιαφορία ἀπὸ τόσο μεγάλα ἀγαθὰ καὶ ἀπὸ τὰ βραβεῖα ποὺ ξεπερνοῦν κάθε νοῦ, ἀλλὰ ἂς προσπαθήσουμε μὲ κάθε τρόπο νὰ τὸ κατορθώσουμε αὐτό, καί, ἀφοῦ πιέσουμε τὸ λογισμό μας, ἂς τὸν ἀσκήσουμε νὰ ὑπακούει στὴν ἐντολὴ τοῦ Θεοῦ.

Γι' αὐτὸ λοιπὸν καὶ ἐγὼ τώρα ἔκαμα αὐτὴ τὴν παραίνεση, καὶ παρουσίασα τὴν παραβολὴ δείχνοντας τὸ μέγεθος τοῦ κατορθώματος καὶ πόσο εἶναι τὸ κέρδος μας ἀπ' αὐτό, ὥστε, ἂν ὁ καθένας μας ἔχει ἐχθρικὴ διάθεση πρὸς κάποιον, ὅσο ἀκόμα εἶναι καιρὸς νὰ φροντίσει πάρα πολὺ νὰ τὸν συμφιλιώσει μαζί του. Καὶ ἂς μὴ μοῦ πεῖς κανείς, 'τὸν παρακάλεσα μία καὶ δυὸ φορές, καὶ δὲ δέχθηκε'. Ἂν μὲ εἰλικρινὴ διάθεση τὸ κάμνουμε αὐτό, ἂς μὴ σταματήσουμε μέχρι ποὺ μὲ τὴ μεγάλη μας ἐπιμονὴ τὸν νικήσουμε καὶ τὸ συμφιλιώσουμε μὲ τὸν ἑαυτό μας. Μήπως χαρίζουμε σ' ἐκεῖνον τίποτε; ἡ εὐεργεσία μεταβαίνει σ' ἐμᾶς, ἀποσποῦμε τὴν εὔνοια τοῦ Θεοῦ καὶ πολλὴ παρρησία πρὸς τὸν Κύριο λαμβάνουμε ἀπ' αὐτό.

4. Ἂν τὸ κατορθώσουμε αὐτό, θὰ μπορέσουμε μὲ καθαρὴ συνείδηση νὰ προφέρουμε καὶ τὰ λόγια τῆς προσευχῆς τὸν καιρὸ τῶν φοβερῶν μυστηρίων· «καὶ συγχώρεσέ μας τὶς ἁμαρτίες μας, ὅπως καὶ ἐμεῖς συγχωροῦμε ἐκείνους ποὺ ἁμάρτησαν ἀπέναντί μας»[6]. Ἂν ὅμως ἀδιαφορήσουμε, πῶς δὲ θὰ γίνει αἰτία καταδίκης μας, ἐνῶ πράττουμε ἀντίθετα ἀπὸ τὰ λόγια, νὰ τολμοῦμε ἁπλῶς καὶ νὰ προφέρουμε μάταια τὰ λόγια τῆς προσευχῆς, ἐπισωρεύοντας ἐπάνω μας μεγαλύτερο τὸ πῦρ καὶ προκαλώντας τὴν ἀγανάκτηση τοῦ Κυρίου; Χαίρομαι καὶ εὐφραίνομαι βλέποντάς σας μὲ εὐχαρίστηση ν' ἀκοῦτε τὰ λεγόμενα, δείχνοντας μὲ τὸ χειροκρότημα πὼς βιάζεστε καὶ εἶστε ἕτοιμοι καὶ νὰ πραγματοποιήσετε τὴν παραίνεση αὐτὴ τοῦ Κυρίου. Γιατὶ αὐτὸ εἶναι τὸ ἰατρεῖο τῶν ψυχῶν σας, αὐτὸ εἶναι τὸ φάρμακο γιὰ τὰ

τὸ φάρμακον τοῖς ὑμετέροις τραύμασιν, αὕτη ἀρίστη ὁδός, τοῦτο μέγιστον δεῖγμα φιλοθέου ψυχῆς, τὸ διὰ τοῦ Δεσπότου νόμον πάντα καταδέχεσθαι, καὶ μὴ ὑποσύρεσθαι ὑπὸ τῆς τῶν λογισμῶν ἀσθενείας, ἀλλ' ἀνωτέρω γενέσθαι τῶν παθῶν.

Ἕκαστος τοίνυν ἐντεῦθεν ἄξιον τοῦτο τὸ ἔργον ποιησάσθω, καὶ ἐπὶ θησαυρὸν μέγιστον σπευδέτω, καὶ μηδὲ τὸ τυχὸν ἀναβαλέσθω, κἂν καμεῖν δέῃ, κἂν ζητῆσαι, κἂν μακρὰν ὁδὸν ἀπελθεῖν, κἂν δυσκολίαι τινὲς ὦσι, πάντα ταῦτα τὰ κωλύματα ἀνελών, ἑνὸς μόνου γενέσθω, πῶς τὸ παρὰ τοῦ Θεοῦ ἐπιταχθὲν εἰς ἔργον ἀγαγεῖν δυνηθῇ καὶ τῆς ὑπακοῆς τὸν μισθὸν κομίσασθαι. Μὴ γὰρ οὐκ οἶδα, ὅτι βαρὺ καὶ ἐπαχθὲς φαίνεται τὸν ἐχθρωδῶς διακείμενον πολεμίως ἀπελθεῖν καὶ στῆναι καὶ διαλεχθῆναι· ἀλλ' ἐὰν ἐννοήσῃς καὶ τοῦ ἐπιττάτοντος τὸ ἀξίωμα, καὶ τῆς ἀμοιβῆς τὸ μέγεθος, καὶ ὅτι οὐκ εἰς ἐκεῖνον ἀνατρέχει τὰ τῆς εὐεργεσίας, πάντα σοι κοῦφα καὶ ῥᾴδια φανεῖται.

Ταῦτα τοίνυν στρέφοντες ἐν τοῖς λογισμοῖς τοῖς ἡμετέροις περιγενώμεθα τῆς συνηθείας καὶ εὐσεβεῖ λογισμῷ τῶν τοῦ ἐπιταγμάτων Χριστοῦ πληρωταὶ γενώμεθα, ἵνα τῶν παρ' αὐτοῦ ἀμοιβῶν ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τὸ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τραύματά σας, αὐτὸς ὁ ἄριστος δρόμος, αὐτὸ εἶναι ἡ πιὸ μεγάλη ἀπόδειξη τῆς θεοσεβοῦς ψυχῆς, τὸ νὰ δέχεστε μὲ τὴ βοήθεια τοῦ Κυρίου κάθε νόμο καὶ νὰ μὴ παρασύρεστε ἀπὸ τὴν ἀδυναμία τῶν σκέψεων, ἀλλὰ νὰ γίνεστε ἀνώτεροι τῶν παθῶν.

Ὁ καθένας σας λοιπὸν ἀπὸ ἐδῶ καὶ πέρα ἂς κάμνει τὸ ἄξιο αὐτὸ ἔργο καὶ ἂς σπεύδει πρὸς τὸ μέγιστο θησαυρό, χωρὶς ν' ἀναβάλλει καθόλου, εἴτε χρειαστεῖ νὰ κουρασθεῖ, εἴτε νὰ ζητήσει, εἴτε νὰ βαδίσει μακρὺ δρόμο, εἴτε ὑπάρχουν κάποιες δυσκολίες, ἀπομακρύνοντας ὅλα αὐτὰ τὰ ἐμπόδια, ἕνα μόνο ἂς προσπαθεῖ, πῶς θὰ μπορέσει νὰ πραγματοποιήσει τὴν ἐντολὴ τοῦ Θεοῦ, καὶ νὰ λάβει τὸ μισθὸ τῆς ὑπακοῆς. Μήπως δηλαδὴ δεν ξέρω ὅτι φαίνεται βαρὺ καὶ δύσκολο ἔργο σ' ἐκεῖνον ποὺ διάκειται μὲ ἐχθρικὴ διάθεση πρὸς κάποιον, νὰ πάει καὶ νὰ σταματήσει μπροστά του καὶ νὰ συμφιλιωθεῖ; Ἀλλὰ ἂν σκεφθεῖς καὶ τὸ ἀξίωμα ἐκείνου ποὺ προστάζει καὶ τὸ μέγεθος τῆς ἀμοιβῆς καὶ ὅτι ἡ εὐεργεσία δὲν μεταβαίνει σ' ἐκεῖνον, ὅλα θὰ σοῦ φανοῦν ἐλαφρὰ καὶ εὔκολα.

Αὐτὰ λοιπὸν περιστρέφοντας στὶς σκέψεις μας, ἂς νικήσουμε τὴ συνήθεια καὶ μὲ εὐσεβὴ λογισμὸ ἂς ἐκπληρώσουμε τὶς ἐντολὲς τοῦ Χριστοῦ, γιὰ νὰ ἀξιωθοῦμε τὶς ἀμοιβές του, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη, ἡ τιμὴ καὶ ἡ προσκύνηση τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ,
«ΠΑΤΕΡ, ΕΙ ΔΥΝΑΤΟΝ ΕΣΤΙ, ΠΑΡΕΛΘΕΤΩ ΑΠ' ΕΜΟΥ ΤΟ ΠΟΤΗΡΙΟΝ ΤΟΥΤΟ· ΠΛΗΝ ΟΥΧ ΩΣ ΕΓΩ ΘΕΛΩ, ΑΛΛ' ΩΣ ΣΥ»[1]

Καὶ κατὰ Μαρκιωνιστῶν καὶ Μανιχαίων· καὶ ὅτι οὐ χρὴ ἐπιπηδᾶν τοῖς κινδύνοις ἀλλὰ παντὸς θελήματος προτιμᾶν τὸ τοῦ Θεοῦ θέλημα

1. Βαθεῖαν τομὴν τοῖς ἁρπάζουσι καὶ πλεονεκτεῖν βουλομένοις πρῴην ἐδώκαμεν· οὐχ ἵνα πλήξωμεν, ἀλλ' ἵνα διορθωσώμεθα, οὐ τοὺς ἀνθρώπους μισοῦντες, ἀλλὰ τὴν πονηρίαν ἀποστρεφόμενοι. Ἐπεὶ καὶ ἰατρὸς τέμνει τὸ ἕλκος, οὐ τῷ τραύματι μαχόμενος. Φέρε δή, σήμερον μικρὸν ἐνδῶμεν αὐτοῖς, ὥστε αὐτοὺς ἀπὸ τῆς ὀδύνης ἀναπνεῦσαι, καὶ μὴ συνεχῶς πληττομένους ἀποσκιρτῆσαι τῆς θεραπείας. Οὕτω καὶ ἰατροὶ ποιοῦσι· μετὰ τὰς τομὰς ἐμπλάστρους ἐπιτιθέασι καὶ φάρμακα, καὶ διαλιμπάνουσιν ἡμέρας, τὰ παραμυθούμενα τὴν ὀδύνην ἐπινοοῦντες. Τούτους δὴ καὶ ἡμεῖς μιμούμενοι σήμερον ἐνδῶμεν αὐτοῖς, ὥστε καρπώσασθαι τὴν ἀπὸ τῆς ἡμετέρας διαλέξεως ὠφέλειαν, καὶ τὸν περὶ δογμάτων κινήσωμεν λόγον, εἰς τὰ ἀνεγνωσμένα τὸν λόγον ἀφιέντες. Καὶ γὰρ οἶμαι πολλοὺς διαπορεῖν, τίνος ἕνεκεν ταῦτα εἴρηται

---

1. Ματθ. 26,39.

ΟΜΙΛΙΑ

ΣΤΟ «ΠΑΤΕΡΑ, ΑΝ ΕΙΝΑΙ ΔΥΝΑΤΟ, ΑΣ ΑΠΟΦΥΓΩ ΤΟ ΠΟΤΗΡΙ ΑΥΤΟ· ΟΜΩΣ ΑΣ ΜΗ ΓΙΝΕΙ ΟΠΩΣ ΕΓΩ ΘΕΛΩ, ΑΛΛ' ΟΠΩΣ ΘΕΛΕΙΣ ΕΣΥ[1]»

Ἐπίσης κατὰ τῶν Μαρκιωνιστῶν καὶ Μανιχαίων, καὶ ὅτι δὲν πρέπει νὰ ριχνόμαστε στοὺς κινδύνους, ἀλλὰ ἀπὸ κάθε θέλημα νὰ προτιμοῦμε τὸ θέλημα τοῦ Θεοῦ

1. Πρὶν ἀπὸ λίγο προξενήσαμε βαθιὰ πληγὴ στοὺς ἅρπαγες καὶ σ' αὐτοὺς ποὺ θέλουν νὰ εἶναι πλεονέκτες. Ὄχι γιὰ νὰ τοὺς πλήξουμε, ἀλλὰ γιὰ νὰ τοὺς διορθώσουμε, ὄχι μισώντας τοὺς ἀνθρώπους, ἀλλ' ἀποστρεφόμενοι τὴν κακία. Γιατὶ καὶ ὁ γιατρὸς ἐγχειρίζει τὴν πληγή, ὄχι ἀπὸ ἔχθρα πρὸς τὸ σῶμα τοῦ ἀρρώστου, ἀλλὰ πολεμώντας τὴν ἀρρώστια καὶ τὸ τραῦμα του. Ἐμπρὸς λοιπόν, ἂς δείξουμε σήμερα λίγη ὑποχώρηση πρὸς αὐτούς, ὥστε ν' ἀναπνεύσουν ἀπὸ τὸν πόνο καὶ νὰ μὴν ἀπορρίψουν τὴ θεραπεία, δεχόμενοι συνεχὴ πλήγματα. Τὸ ἴδιο κάμνουν καὶ οἱ γιατροί. Μετὰ τὶς τομὲς ἐπιθέτουν ἔμπλαστρα καὶ φάρμακα, καὶ ἀφήνουν νὰ περάσουν μερικὲς ἡμέρες, ἐπινοώντας ὅλα ἐκεῖνα ποὺ καταπραΰνουν τὸν πόνο. Μιμούμενοι λοιπὸν καὶ ἐμεῖς σήμερα αὐτούς, ἂς δείξουμε κάποια ὑποχώρηση πρὸς αὐτούς, ὥστε να ὠφεληθοῦν ἀπὸ τὴ δική μας ὁμιλία, καὶ ἂς μιλήσουμε γιὰ τὰ δόγματα, μεταφέροντας τὸ λόγο σ' αὐτὰ ποὺ ἀναγνώσθηκαν. Γιατὶ βέβαια νομίζω πὼς πολλοὶ ἀποροῦν,

παρὰ τοῦ Χριστοῦ· εἰκὸς δὲ καὶ αἱρετικοὺς παρόντας ἐπιπηδῆσαι τοῖς εἰρημένοις, καὶ πολλοὺς τῶν ἀφελεστέρων ἀδελφῶν ἐντεῦθεν ὑποσκελίζειν.

Ἵν' οὖν καὶ τὴν ἐκείνων ἔφοδον ἀποτειχίσωμεν, καὶ τοὺς διαποροῦντας θορύβου καὶ ταραχῆς ἀπαλλάξωμεν, μεταχειρίσαντες τὸ εἰρημένον, ἐνδιατρίψωμεν τῇ λέξει, καὶ πρὸς τὸ βάθος καταβῶμεν τῶν νοημάτων. Οὐδὲ γὰρ ἀρκεῖ ἡ ἀνάγνωσις, ἐὰν μὴ προσῇ καὶ ἡ γνῶσις. Ἐπεὶ καὶ ὁ εὐνοῦχος Κανδάκης ἀνεγίνωσκεν, ἀλλ' ἕως ὅτε παρεγένετο ὁ διδάσκων αὐτὸν τί ποτε ἦν ὃ ἀνεγίνωσκεν, οὐδὲν ἐκαρποῦτο μέγα. Ἵν' οὖν μὴ καὶ ὑμεῖς τὸ αὐτὸ πάθητε, προσέχετε τοῖς λεγομένοις, συντείνατε τὴν διάνοιαν, σχολάζουσάν μοι τὴν ψυχὴν παράσχετε, ὀξυδερκὲς ἔστω τὸ ὄμμα, συντεταμένη ἡ γνώμη· ἀπηλλαγμένη φροντίδων βιωτικῶν ἡ ψυχή, ἵνα μὴ καταβάλωμεν εἰς τὰς ἀκάνθας, μηδὲ εἰς τὰς πέτρας, μηδὲ παρὰ τὴν ὁδὸν τὰ λεγόμενα· ἀλλὰ βαθύγειον καὶ λιπαρὰν γεωργοῦντες ἄρουραν, κομῶντα τὸν ἄσταχυν ἀμήσωμεν. Ἐὰν γὰρ οὕτω προσέχητε τοῖς λεγομένοις, καὶ ἡμῖν κουφότερον τὸν πόνον ἐργάσεσθε, καὶ ὑμῖν εὐκολωτέραν τὴν εὕρεσιν κατασκευάσετε.

Τί οὖν ἐστι τὸ ἀνεγνωσμένον; «Πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ». Τί ποτέ ἐστιν ὅ φησι; Δεῖ γὰρ τὸ εἰρημένον σαφέστερον ἑρμηνεύσαντας, οὕτως ἐπαγαγεῖν τὴν λύσιν. Τί οὖν ἐστιν ὅ φησι; Πάτερ, εἰ δυνατόν, παράγαγε τὸν σταυρόν. Τί λέγεις; ἀγνοεῖ εἴτε δυνατόν, εἴτε ἀδύνατον, τοῦτο; Καὶ τίς ἂν τοῦτο εἴποι; Καίτοι τὰ ῥήματα ἀγνοοῦντός ἐστιν· ἡ γὰρ τοῦ, «εἰ», προσθήκη, ἀμφιβάλλοντός ἐστιν, ἀλλ', ὅπερ ἔφην, οὐ δεῖ τοῖς ῥήμασι προσέχειν, ἀλλὰ πρὸς τὰ νοήματα τρέπεσθαι, καὶ τὸν σκοπὸν τοῦ

2. Βλ. Πράξ. 8,26–40.

γιὰ ποιό λόγο τὰ εἶπε αὐτὰ ὁ Χριστός· καὶ εὔλογο εἶναι οἱ παρόντες αἱρετικοὶ νὰ ἐπιτεθοῦν στὰ λεγόμενα, καὶ ἔτσι νὰ ἐξαπατήσουν πολλοὺς ἀπὸ τοὺς ἀφελέστερους ἀδελφούς.

Μὲ σκοπὸ λοιπὸν καὶ νὰ ἐμποδίσουμε τελείως τὴν ἔφοδο ἐκείνων καὶ ν' ἀπαλλάξουμε ἀπὸ τὴν ἀνησυχία καὶ τὴν ταραχὴ ὅσους ἀποροῦν, ἐξετάζοντας αὐτὸ ποὺ λέχθηκε, ἂς ἀσχοληθοῦμε μὲ τὶς λέξεις αὐτὲς καὶ ἂς κατεβοῦμε στὸ βάθος τῶν νοημάτων του. Γιατὶ δὲν ἀρκεῖ ἡ ἀνάγνωση, ἂν δὲν ὑπάρχει ἐπὶ πλέον καὶ ἡ γνώση. Γιατὶ καὶ ὁ εὐνοῦχος τῆς Κανδάκης διάβαζε, ἀλλὰ δὲν εἶχε καμιὰ μεγάλη ὠφέλεια μέχρι ποὺ ἦρθε ἐκεῖνος ποὺ τοῦ δίδαξε τί ἀκριβῶς σήμαινε αὐτὸ ποὺ διάβαζε[2]. Γιὰ νὰ μὴν πάθετε λοιπὸν καὶ σεῖς τὸ ἴδιο, προσέχετε στὰ λεγόμενα, ἐντείνατε τὴν προσοχή σας, παραδῶστε μου τὴν ἀφοσίωση τῆς ψυχῆς σας, τὸ μάτι σας ἂς εἶναι ὀξυδερκὲς καὶ ὁ νοῦς σας συγκεντρωμένος. Ἡ ψυχή σας ἂς εἶναι ἀπαλλαγμένη ἀπὸ τὶς βιοτικὲς φροντίδες, γιὰ νὰ μὴ ρίξουμε τοὺς λόγους μας στὰ ἀγκάθια οὔτε στὶς πέτρες οὔτε κοντὰ στὸ δρόμο, ἀλλά, καλλιεργώντας εὔφορο καὶ γόνιμο ἔδαφος, νὰ θερίσουμε πλούσια τὰ στάχυα. Γιατί, ἂν ἔτσι προσέχετε στὰ λεγόμενα, καὶ σὲ μᾶς θὰ κάνετε ἐλαφρότερο τὸν κόπο καὶ σὲ σᾶς πιὸ εὔκολη τὴν κατανόηση.

Ποιό λοιπὸν εἶναι αὐτὸ ποὺ ἀναγνώσθηκε; «Πατέρα, ἂν εἶναι δυνατό, ἂς ἀποφύγω τὸ ποτήρι αὐτό». Καὶ τί ἐννοεῖ μ' αὐτὸ ποὺ λέγει; Γιατί πρέπει νὰ τὸ ἑρμηνεύσουμε σαφέστερα αὐτὸ καὶ ὕστερα νὰ δώσουμε τὴν ἐξήγηση. Τί σημαίνει λοιπὸν αὐτὸ ποὺ λέγει; Πατέρα, ἂν εἶναι δυνατό, ἀπομάκρυνε τὸ σταυρό. Τί λέγεις; ἀγνοεῖ ἂν αὐτὸ εἶναι δυνατὸ ἢ ἀδύνατο; Καὶ ποιός μπορεῖ νὰ τὸ πεῖ αὐτό; Ὅμως τὰ λόγια φανερώνουν κάποιον ποὺ ἀγνοεῖ, γιατὶ ἡ προσθήκη τοῦ «ἂν» δείχνει κάποιον ποὺ ἀμφιβάλλει, ἀλλά, ὅπως εἶπα, δὲν πρέπει νὰ προσέχει κανεὶς στὶς λέξεις, ἀλλὰ νὰ προχωρεῖ πρὸς τὰ νοήματα καί, γνωρίζοντας τὸ σκοπὸ αὐτοῦ ποὺ μιλάει καθὼς καὶ τὴν αἰτία καὶ τὴν περίσταση

λέγοντος εἰδέναι, καὶ τὴν αἰτίαν, καὶ τὸν καιρόν, καὶ πάντα συναγαγόντα, οὕτω θηρᾶν τὴν ἐναποκειμένην διάνοιαν. Ἡ οὖν σοφία ἡ ἀπόρρητος, ὁ τὸν Πατέρα οὕτως εἰδώς, ὡς ὁ Πατὴρ οἶδε τὸν Υἱόν, πῶς ἂν τοῦτο ἠγνόησεν; Οὐδὲ γὰρ μείζων αὕτη ἡ γνῶσις ἡ περὶ τοῦ πάθους τῆς γνώσεως τῆς περὶ τῆς οὐσίας, ἣν ἀκριβῶς μόνον οἶδεν αὐτός. «Καθὼς γάρ», φησί, «γινώσκει με ὁ Πατήρ, κἀγὼ γινώσκω τὸν Πατέρα».

Καὶ τί λέγω περὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ; Οὐδὲ γὰρ οἱ προφῆται φαίνονται τοῦτο ἠγνοηκότες, ἀλλὰ καὶ εἰδότες σαφῶς καὶ προαναφωνοῦντες μετὰ πολλῆς τῆς πληροφορίας, ὅτι δεῖ τοῦτο γενέσθαι, καὶ ὅτι πάντως ἔσται. Ἄκουε γοῦν πῶς διαφόρως ἅπαντες τὸν σταυρὸν ἀπαγγέλλουσι. Πρῶτος ὁ πατριάρχης Ἰακώβ· πρὸς γὰρ αὐτὸν ἀποτείνων τὸν λόγον φησίν, «ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης»· βλαστὸν τὴν Παρθένον καὶ τὸ ἄχραντον τῆς Μαρίας ἐμφαίνων. Εἶτα τὸν σταυρὸν δηλῶν ἔλεγεν· «ἀναπεσὼν ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος λέοντος, τίς ἐγερεῖ αὐτόν;». Τὸν γὰρ θάνατον αὐτοῦ κοίμησιν ἐκάλεσε καὶ ὕπνον, καὶ τῷ θανάτῳ συνῆψε τὴν ἀνάστασιν λέγων, «τίς ἐγερεῖ αὐτόν;». Ἄλλος μὲν οὐδείς, αὐτὸς δὲ ἑαυτόν. Δι' ὃ καὶ ὁ Χριστὸς ἔλεγεν, «ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτήν»· καὶ πάλιν, «λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν».

Τί δέ ἐστιν, «ἀναπεσὼν ἐκοιμήθης ὡς λέων»; Ὥσπερ γὰρ ὁ λέων οὐκ ἐγρηγορὼς μόνον, ἀλλὰ καὶ καθεύδων ἐστὶ φοβερός, οὕτω καὶ ὁ Χριστὸς οὐ πρὸ τοῦ σταυροῦ μόνον, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ σταυρῷ, καὶ ἐν αὐτῇ τῇ τελευτῇ φοβερὸς ἦν, καὶ τὰ μεγάλα τότε εἰργάζετο θαύματα, ἥλιον ἀπο-

3. Ἰω. 10,15.
4. Γεν. 49,9.
5. Ἰω. 10,18.
6. Ἰω. 2,19.

καί, συγκεντρώνοντας ὅλα αὐτά, ἔτσι νὰ προσπαθεῖ νὰ συλλάβει τὸ νόημα ποὺ ὑπάρχει μέσα τους. Ἡ σοφία λοιπὸν ἡ ἀπόρρητη, αὐτὸς ποὺ γνωρίζει ἔτσι τὸν Πατέρα, ὅπως ὁ Πατέρας γνωρίζει τὸν Υἱό, πῶς μποροῦσε νὰ τὸ ἀγνοήσει αὐτό; Γιατὶ ἡ γνώση αὐτὴ γιὰ τὸ πάθος δὲν εἶναι μεγαλύτερη ἀπὸ τὴ γνώση γιὰ τὴν οὐσία, ποὺ μόνο αὐτὸς γνωρίζει μὲ ἀκρίβεια. «Ὅπως μὲ γνωρίζει ὁ Πατέρας», λέγει, «ἔτσι καὶ ἐγὼ γνωρίζω τὸν Πατέρα»[3].

Καὶ γιατί λέγω γιὰ τὸ μονογενὴ Υἱὸ τοῦ Θεοῦ; Γιατὶ καὶ οἱ προφῆτες φαίνονται νὰ μὴν τὸ ἀγνοοῦσαν αὐτό, ἀλλὰ καὶ τὸ γνώριζαν πολὺ καλὰ καὶ προέλεγαν μὲ μεγάλη βεβαιότητα ὅτι πρέπει νὰ γίνει αὐτὸ καὶ ὅτι ὁπωσδήποτε θὰ γίνει. Ἄκου λοιπὸν πῶς μὲ διαφορετικὸ τρόπο ὅλοι ἀναγγέλλουν τὸ σταυρό. Πρῶτος ὁ πατριάρχης Ἰακώβ· γιατί, ἀπευθύνοντας τὸ λόγο πρὸς αὐτόν, λέγει, «ἀπὸ βλαστό, υἱέ μου, φύτρωσες»[4], δηλώνοντας μὲ τὸ βλαστὸ τὴν Παρθένο καὶ τὴν ἀγνότητα τῆς Μαρίας. Ἔπειτα γιὰ νὰ δηλώσει τὸ σταυρὸ ἔλεγε· «ξάπλωσες καὶ κοιμήθηκες σὰν λιοντάρι καὶ σὰν γέννημα λιονταριοῦ· ποιός θὰ τὸν ξυπνήσει;». Τὸ θάνατό του λοιπὸν ὀνόμασε κοίμηση καὶ ὕπνο, καὶ μὲ τὸ θάνατο συνένωσε τὴν ἀνάσταση, λέγοντας, «ποιός θὰ τὸν ξυπνήσει;». Κανεὶς βέβαια ἄλλος, ἀλλ' ὁ ἴδιος τὸν ἑαυτό του. Γι' αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγε, «ἔχω ἐξουσία νὰ θυσιάσω τὴ ζωή μου καὶ ἔχω ἐξουσία νὰ τὴν ξαναπάρω»[5]· καὶ πάλι· «γκρεμίστε αὐτὸ τὸ ναὸ καὶ σὲ τρεῖς ἡμέρες θὰ τὸν ξαναχτίσω»[6].

Καὶ τί σημαίνει, «ξαπλώθηκες καὶ κοιμήθηκες σὰν λιοντάρι»; Γιατί, ὅπως τὸ λιοντάρι ὄχι μόνο ὅταν εἶναι ξυπνητὸ ἀλλὰ καὶ ὅταν κοιμᾶται εἶναι φοβερό, ἔτσι καὶ ὁ Χριστὸς ὄχι μόνο πρὶν ἀπὸ τὸ σταυρό, ἀλλὰ καὶ κατὰ τὴν ὥρα τοῦ σταυροῦ καὶ κατὰ τὴν ὥρα τοῦ θανάτου ἦταν φοβερός, καὶ ἔκανε τότε τὰ μεγάλα θαύματα, σκοτεινιάζοντας τὸν ἥλιο, σχίζοντας τοὺς

στρέφων, πέτρας τέμνων, τὴν γῆν κλονῶν, τὸ καταπέτασμα σχίζων, τὴν γυναῖκα τοῦ Πιλάτου δεδιττόμενος, τὸν Ἰούδαν ἐλέγχων. Τότε γὰρ ἔλεγεν, «ἥμαρτον παραδοὺς αἷμα ἀθῷον». Καὶ ἡ γυνὴ τοῦ Πιλάτου ἐδήλου, «μηδέν σοι καὶ τῷ δικαίῳ τούτῳ· πολλὰ γὰρ ἔπαθον κατ' ὄναρ δι' αὐτόν». Τότε τὸ σκότος τὴν οἰκουμένην κατελάμβανε, καὶ νὺξ ἐν ἡμέρᾳ μέσῃ ἐφαίνετο· τότε ὁ θάνατος ἐτήκετο, καὶ ἡ τυραννὶς αὐτοῦ κατελύετο· πολλὰ γοῦν σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη.

Ταῦτα ἄνωθεν προλέγων ὁ πατριάρχης καὶ δεικνὺς ὅτι καὶ σταυρούμενος ἔσται φοβερός, «ἀναπεσών», φησίν, «ἐκοιμήθης», διὰ τὸ πάντως ἐσόμενον. Ἔθος γὰρ τοῖς προφήταις πολλαχοῦ τὰ μέλλοντα ὡς προγεγενημένα προλέγειν. Ὥσπερ γὰρ οὐκ ἔνι τὰ γεγενημένα μὴ γεγενῆσθαι, οὕτως οὐδὲ τοῦτο, καίτοι μέλλον ὄν, μὴ γενέσθαι. Διά τοι τοῦτο τῷ σχήματι τοῦ παρῳχηκότος χρόνου τὰ μέλλοντα προαναφωνοῦσι, τὸ ἀδιάπτωτον αὐτῶν καὶ πάντως ἐσόμενον διὰ τούτων ἐνδεικνύμενοι.

Οὕτω καὶ ὁ Δαυὶδ τὸν σταυρὸν δηλῶν ἔλεγεν· «ὤρυξαν χεῖράς μου καὶ πόδας μου». Οὐκ εἶπεν, 'ὀρύξουσιν', ἀλλ', «ὤρυξαν». «Ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου». Καὶ οὐ τοῦτο λέγει μόνον, ἀλλὰ καὶ τὰ παρὰ τῶν στρατιωτῶν γεγονότα· «διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον»· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ χολὴν αὐτὸν ἐψώμισαν, καὶ ὄξος ἐπότισαν. «Ἔδωκαν γάρ», φησίν, «εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος». Ἕτερος δὲ πάλιν ὅτι λόγχῃ αὐτὸν ἔπαισάν φησιν· «ὄψονται γὰρ εἰς ὃν ἐξεκέντησαν». Ὁ δὲ Ἠσαΐας ἑτέρως

---

7. Ματθ. 27,4.
8. Ματθ. 27,19.
9. Ψαλμ. 21,17.
10. Ψαλμ. 21, 18.
11. Ψαλμ. 21,19.
12. Ψαλμ. 68, 22.
13. Ζαχαρ. 12,10.

βράχους, σείοντας τὴ γῆ, σχίζοντας τὸ καταπέτασμα τοῦ ναοῦ, τρομάζοντας τὴ γυναίκα τοῦ Πιλάτου, ἐλέγχοντας τὸν Ἰούδα. Γιατὶ τότε ἔλεγε, «ἁμάρτησα, γιατὶ παρέδωσα αἷμα ἀθῶο»[7]. Καὶ ἡ γυναίκα τοῦ Πιλάτου τοῦ ἔστελνε μήνυμα λέγοντας, «μὴ κάνεις τίποτε σ' αὐτὸν τὸν δίκαιο, γιατὶ ὑπέφερα πολὺ στὸ ὄνειρό μου ἐξ αἰτίας του»[8]. Τότε τὸ σκοτάδι τύλιξε τὴν οἰκουμένη καὶ τὸ μεσημέρι φαινόταν νύχτα· τότε ὁ θάνατος ἔλειωνε καὶ καταργοῦνταν ἡ ἐξουσία του· καὶ πολλὰ σώματα τῶν ἁγίων ποὺ εἶχαν πεθάνει ἀναστήθηκαν.

Αὐτὰ προλέγοντας ἀπὸ τὴν ἀρχὴ ὁ πατριάρχης καὶ γιὰ νὰ δείξει πῶς καὶ ὅταν θὰ σταυρώνεται θὰ εἶναι φοβερός, λέγει, «ξαπλώθηκες καὶ κοιμήθηκες σὰν λιοντάρι». Καὶ δὲν εἶπε, 'θὰ κοιμηθεῖς', ἀλλὰ «κοιμήθηκες», γιατὶ ὁπωσδήποτε θὰ γινόταν αὐτό. Γιατὶ οἱ προφῆτες συνηθίζουν πολλὲς φορὲς νὰ προλέγουν τὰ μελλοντικὰ σὰν νὰ συνέβηκαν ἀπὸ πρίν. Ὅπως δηλαδὴ αὐτὰ ποὺ ἔγιναν δὲν εἶναι δυνατὸ νὰ μὴν γίνουν, ἔτσι οὔτε αὐτό, ἂν καὶ πρόκειται νὰ συμβεῖ, δὲν εἶναι δυνατὸ νὰ μὴ γίνει. Γι' αὐτὸ ἀκριβῶς προλέγουν τὰ μελλοντικὰ μὲ τὴ μορφὴ τοῦ παρελθοντικοῦ χρόνου, γιὰ νὰ φανερώσουν μ' αὐτὰ τὸ βέβαιο αὐτῶν τῶν πραγμάτων καὶ τὸ ὅτι ὁπωσδήποτε θὰ γίνουν.

Ἔτσι καὶ ὁ Δαβίδ, θέλοντας νὰ δηλώσει τὸ σταυρό, ἔλεγε· «τρύπησαν τὰ χέρια μου καὶ τὰ πόδια μου»[9]. Δὲν εἶπε, 'θὰ τρυπήσουν', ἀλλά, «τρύπησαν». «Μέτρησαν ὅλα τὰ ὀστά μου»[10]. Καὶ δὲ λέγει μόνο αὐτό, ἀλλὰ καὶ αὐτὰ ποὺ ἔκαναν οἱ στρατιῶτες. «Μοίρασαν μεταξύ τους τὰ ἐνδύματά μου καὶ γιὰ τὸν ἱματισμό μου ἔβαλαν κλῆρο»[11]. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ ὅτι τοῦ ἔδωσαν χολὴ νὰ φάει καὶ τὸν πότισαν ξίδι. «Μοῦ ἔδωσαν», λέγει, «ὅταν πείνασα χολὴ καὶ ὅταν δίψασα μὲ πότισαν ξίδι»[12]. Κάποιος ἄλλος πάλι γιὰ νὰ δηλώσει ὅτι τὸν χτύπησαν μὲ λόγχη λέγει· «θὰ δοῦν ἐκεῖνον ποὺ λόγχισαν»[13]. Καὶ ὁ Ἠσαΐας πάλι, προλέγοντας μὲ διαφορετικὸ τρόπο τὸ σταυρό,

πάλιν τὸν σταυρὸν προαναφωνῶν ἔλεγεν· «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στομα αὐτοῦ. Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη».

2. Σὺ δέ μοι παρατήρει πῶς ἕκαστος τούτων, ὡς περὶ παρῳχηκότων, διαλέγεται, τὸ πάντως ἐσόμενον καὶ ἀναντιρρήτως ἐκβησόμενον διὰ τοῦ χρόνου τούτου δηλῶν. Οὕτω καὶ ὁ Δαυὶδ τὸ δικαστήριον τοῦτο ὑπογράφων ἔλεγεν· «ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ». Οὐ τὸ δικαστήριον δὲ λέγει μόνον, καὶ τὸν σταυρόν, καὶ τὰ ἐν τῷ σταυρῷ, ἀλλὰ καὶ τὸν προδεδωκότα, ὅτι ὁμοδίαιτος καὶ ὁμοτράπεζος ἦν· «ὁ γὰρ ἐσθίων», φησίν, «ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν». Καὶ τὴν φωνὴν δὲ οὕτω προλέγει, ἣν ἔμελλεν ἀφιέναι ἐν τῷ σταυρῷ, λέγων· «ὁ Θεός, ὁ Θεός μου, ἵνα τί ἐγκατέλιπές με;». Καὶ τὸν τάφον πάλιν· «ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου». Καὶ τὴν ἀνάστασιν· «οὐ γὰ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν». Καὶ τὴν ἀνάληψιν· «ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος»· καὶ τὴν ἐκ δεξιῶν καθέδραν· «εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου». Ὁ δὲ Ἠσαΐας καὶ τὴν αἰτίαν φησί, λέγων, ὅτι «ἀπὸ τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου ἥκει εἰς θάνατον»· καί, ὅτι «ἐπειδὴ πάντες ὡς πρόβατα ἐπλανήθησαν, διὰ τοῦτο σφαγιάζεται». Εἶτα καὶ τὸ κατόρθωμα

---

14. Ἡσ. 53,7–8.
15. Ψαλμ. 2,1–2.
16. Ψαλμ. 40,10.
17. Ψαλμ. 21,2.
18. Ψαλμ. 87,7.
19. Ψαλμ. 15,10.
20. Ψαλμ. 46,6.
21. Ψαλμ. 109, 1.

ἔλεγε· «σὰν πρόβατο ὁδηγήθηκε στὴ σφαγή, καὶ σὰν ἀρνὶ ποὺ παραμένει ἄφωνο μπροστὰ σ' αὐτὸν ποὺ τὸ κουρεύει, ἔτσι καὶ αὐτὸς δὲν ἀνοίγει τὸ στόμα του. Μέσα στὴν ταπείνωσή του καταπατήθηκε τὸ δίκιο του»[14].

2. Καὶ σύ, παρακαλῶ, πρόσεχε πῶς ὁ καθένας ἀπ' αὐτοὺς μιλάει σὰν νὰ πρόκειται γιὰ γεγονότα ποὺ ἔγιναν στὸ παρελθόν, δηλώνοντας μὲ τὸ χρόνο αὐτὸν ὅτι ὁπωσδήποτε θὰ γίνουν καὶ ἀναντίρρητα θὰ πραγματοποιηθοῦν. Ἔτσι καὶ ὁ Δαβὶδ περιγράφοντας τὸ δικαστήριο αὐτὸ ἔλεγε· «γιατί φρύαξαν τὰ ἔθνη καὶ οἱ λαοὶ μελέτησαν ἀνόητα πράγματα; Παραστάθηκαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συγκεντρώθηκαν στὸν ἴδιο τόπο ἐναντίον τοῦ Κυρίου καὶ ἐναντίον τοῦ Χριστοῦ του»[15]. Καὶ δὲ λέγει μόνο γιὰ τὸ δικαστήριο καὶ τὸ σταυρὸ καὶ ὅσα ἔγιναν ἐπάνω στὸ σταυρό, ἀλλὰ καὶ γι' αὐτὸν ποὺ τὸν πρόδωσε, ὅτι ἦταν ὁμοδίαιτος καὶ ὁμοτράπεζός του. Γιατὶ λέγει· «ἐκεῖνος ποὺ ἔτρωγε τοὺς ἄρτους μου, μοῦ ἔδωσε μεγάλο λάκτισμα»[16]. Προλέγει ἐπίσης ἔτσι καὶ τὴ φωνή, ποὺ ἐπρόκειτο ν' ἀφήσει πάνω στὸ σταυρό, λέγοντας· «Θεέ μου, Θεέ μου, γιατί μὲ ἐγκατέλειψες;»[17]. Καὶ τὸν τάφο πάλι· «μὲ ἔβαλαν σὲ λάκκο βαθύ, στὰ σκοτεινὰ καὶ στὴ σκιὰ τοῦ θανάτου»[18]. Καὶ τὴν ἀνάσταση· «γιατὶ δὲ θὰ ἐγκαταλείψεις τὴν ψυχή μου στὸν ἅδη οὔτε θὰ ἐπιτρέψεις νὰ δοκιμάσει τὴ φθορὰ ὁ ἀφοσιωμένος σου»[19]. Καὶ τὴν ἀνάληψη· «ἀνέβηκε ὁ Θεὸς μέσα σὲ ἀλαλαγμούς, ὁ Κύριος καθὼς οἱ σάλπιγγες ἠχοῦσαν»[20]. Καὶ τὸ ὅτι κάθισε στὰ δεξιὰ τοῦ Πατέρα· «εἶπε ὁ Κύριος στὸν Κύριό μου, 'κάθισε στὰ δεξιά μου, μέχρι ποὺ νὰ θέσω τοὺς ἐχθρούς σου σὰν ὑποπόδιο τῶν ποδιῶν σου»[21]. Ὁ Ἠσαΐας ἐξάλλου ἀναφέρει καὶ τὴν αἰτία, λέγοντας, «ἀπὸ τὶς ἁμαρτίες τοῦ λαοῦ μου ὁδηγήθηκε σὲ θάνατο» καὶ «ἐπειδὴ ὅλοι πλανήθηκαν σὰν πρόβατα, γι' αὐτὸ σφαγιάζεται»[22]. Ἔπειτα προσθέτει καὶ τὸ κατόρθωμα, λέγοντας, «μὲ τὴν

---

22. Ἠσ. 53,8 · 6.

ἐπάγει λέγων, «τῷ μώλωπι αὐτοῦ ἡμεῖς πάντες ἰάθημεν», καὶ ὅτι «ἁμαρτίας πολλῶν ἀνήνεγκεν».

Εἶτα οἱ μὲν προφῆται καὶ τὸν σταυρὸν ᾔδεισαν, καὶ τοῦ σταυροῦ τὴν αἰτίαν, καὶ τὰ ἐκ τοῦ σταυροῦ κατορθούμενα, καὶ τὸν τάφον, καὶ τὴν ἀνάστασιν, καὶ τὴν ἀνάβασιν, καὶ τὴν προδοσίαν, καὶ τὸ δικαστήριον, καὶ πάντα μετὰ ἀκριβείας διέγραψαν· ὁ δὲ ἀποστείλας αὐτούς, καὶ ταῦτα κελεύσας εἰπεῖν, αὐτὸς ἀγνοεῖ; Καὶ τίς ἂν ταῦτα νοῦν ἔχων εἴποι; Ὁρᾷς ὅτι οὐ δεῖ τοῖς ῥήμασιν ἁπλῶς προσέχειν; οὐ γὰρ δὴ τοῦτο μόνον ἐστὶ τὸ ἄπορον, ἀλλὰ καὶ τὸ ἑξῆς ἀπορώτερον. Τί γάρ φησι; «Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο». Οὐ γὰρ δὴ ἀγνοῶν μόνον εὑρεθήσεται, ἀλλὰ καὶ παραιτούμενος τὸν σταυρόν· ὃ γὰρ λέγει τοῦτό ἐστιν· εἰ ἐγχωρεῖ, φησί, μὴ ἐμπέσοιμι εἰς τὸ σταυρωθῆναι, μηδὲ ἀναιρεθῆναι. Καίτοι τῷ Πέτρῳ τῷ κορυφαίῳ τῶν ἀποστόλων τοῦτο αὐτῷ εἰπόντι, ὅτι «ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο», οὕτω σφόδρα ἐπετίμησεν, ὡς εἰπεῖν, «ὕπαγε ὀπίσω μου, σατανᾶ, σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων»· καίτοι γε πρὸ μικροῦ μακαρίσας αὐτόν.

Ἀλλ' οὕτως αὐτῷ ἄτοπον ἐδόκει εἶναι τὸ μὴ σταυρωθῆναι, ὡς ἐκεῖνον τὸν παρὰ τοῦ Πατρὸς τὴν ἀποκάλυψιν δεξάμενον, τὸν μακαρισθέντα, τὸν λαβόντα τὰς κλεῖς τῶν οὐρανῶν, σατανᾶν καλέσαι καὶ σκάνδαλον, καὶ αἰτιᾶσθαι, ὡς μὴ φρονοῦντα τὰ τοῦ Θεοῦ, ἐπειδὴ εἶπεν αὐτῷ, «ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο», τὸ σταυρωθῆναι. Ὁ τοίνυν τὸν μαθητὴν οὕτως ὑβρίσας, καὶ τοσαύτῃ κατ' αὐτοῦ χρησάμενος τῇ καταφορᾷ, ὡς καὶ σατανᾶν αὐτὸν καλέσαι μετὰ τοσαῦτα ἐγκώμια, ἐπειδὴ ἔλεγε, μὴ σταυρωθῇς, πῶς αὐτὸς

---

23. Ἡσ. 53, 5 · 12.
24. Ματθ. 16,22 · 23.

πληγή του θεραπευθήκαμε ὅλοι ἐμεῖς» καὶ «πῆρε πάνω του τὶς ἁμαρτίες πολλῶν»[23].

Οἱ προφῆτες λοιπὸν γνώριζαν καὶ τὸ σταυρὸ καὶ τὴν αἰτία τοῦ σταυροῦ καὶ τὰ κατορθώματα ἀπὸ τὸ σταυρὸ καὶ τὸν τάφο καὶ τὴν ἀνάσταση καὶ τὴν ἀνάληψη καὶ τὴν προδοσία καὶ τὸ δικαστήριο, καὶ τὰ περιέγραψαν ὅλα μὲ ἀκρίβεια, ἐνῶ ἐκεῖνος ποὺ τοὺς ἀπέστειλε καὶ τοὺς διέταξε νὰ τὰ ποῦν αὐτὰ δὲν τὰ ξέρει; Καὶ ποιός ἄνθρωπος ποὺ ἔχει μυαλὸ θὰ μποροῦσε νὰ τὰ ἰσχυρισθεῖ αὐτά; Βλέπεις πῶς δὲν πρέπει νὰ προσέχουμε ἁπλὰ μόνο στὶς λέξεις; Γιατὶ δὲν προκαλεῖ αὐτὸ μόνο ἀπορία, ἀλλὰ καὶ τὸ ἑπόμενο δημιουργεῖ μεγαλύτερη ἀπορία. Τί δηλαδὴ λέγει; «Πατέρα, ἂν εἶναι δυνατό, ἂς ἀποφύγω τὸ ποτήρι αὐτό». Γιατὶ ἐδῶ δὲ θὰ βρεθεῖ νὰ ἀγνοεῖ μόνο, ἀλλὰ καὶ νὰ θέλει ν' ἀποφεύγει τὸ σταυρό. Αὐτὸ δηλαδὴ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἂν ἐπιτρέπεται, λέγει, ἂς μὴ σταυρωθῶ καὶ ἂς μὴ θανατωθῶ. Ἂν καὶ τὸν Πέτρο, τὸν κορυφαῖο ἀπὸ τοὺς ἀποστόλους, ὅταν τοῦ εἶπε αὐτό, ὅτι δηλαδη «ἂς σὲ λυπηθεῖ ὁ Θεός, Κύριε, ὥστε νὰ μὴ σοῦ συμβεῖ αὐτό», τὸν ἐπιτίμησε πάρα πολύ, ὥστε νὰ τοῦ πεῖ, «πήγαινε πίσω μου, σατανά, μοῦ εἶσαι ἐμπόδιο, γιατὶ δὲν σκέπτεσαι ὅπως θέλει ὁ Θεός, ἀλλὰ ὅπως θέλουν οἱ ἄνθρωποι»[24], παρ' ὅλο βέβαια ποὺ πρὶν ἀπὸ λίγο τὸν μακάρισε.

Τὸ νὰ μὴ σταυρωθεῖ λοιπὸν τοῦ φαινόταν πὼς εἶναι τόσο παράλογο, ὥστε, ἐκεῖνον ποὺ δέχθηκε τὴν ἀποκάλυψη ἀπὸ τὸν Πατέρα, ποὺ μακαρίσθηκε, ποὺ ἔλαβε τὰ κλειδιὰ τῶν οὐρανῶν, νὰ τὸν ὀνομάσει «σατανὰ» καὶ «ἐμπόδιο», καὶ νὰ τὸν κατηγορήσει ὅτι δὲ σκέπτεται ὅπως θέλει ὁ Θεός, ἐπειδὴ τοῦ εἶπε, «ἂς σὲ λυπηθεῖ ὁ Θεός, Κύριε, ὥστε νὰ μὴ σοῦ συμβεῖ αὐτό», δηλαδὴ τὸ νὰ σταυρωθεῖ. Ἐκεῖνος λοιπὸν ποὺ κατηγόρησε τόσο τὸ μαθητὴ καὶ χρησιμοποίησε ἐναντίον του τόσο μεγάλη προσβολή, ὥστε νὰ τὸν ὀνομάσει «σατανὰ» ὕστερα ἀπὸ τόσα ἐγκώμια, ἐπειδὴ τοῦ εἶπε, 'νὰ μὴ σταυρωθεῖς', πῶς αὐτὸς ἤθελε

ἐβούλετο μὴ σταρωθῆναι; πῶς δὲ μετὰ ταῦτα τοῦ καλοῦ ποιμένος ὑπογράφων τὴν εἰκόνα, τοῦτο ἔφησε μάλιστα δεῖγμα εἶναι τῆς ἀρετῆς αὐτοῦ, τὸ σφάττεσθαι ὑπὲρ τῶν προβάτων, οὕτω λέγων· «ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων». Καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ καὶ ἐπήγαγεν· «ὁ δὲ μισθωτός, καὶ οὐκ ὢν ποιμήν, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει».

Εἰ τοίνυν τοῦ καλοῦ μὲν ποιμένος τὸ σφάττεσθαι, τοῦ δὲ μισθωτοῦ τὸ μὴ βούλεσθαι τοῦτο ὑπομένειν, πῶς αὐτὸς λέγων εἶναι ποιμὴν καλός, παρακαλεῖ μὴ σφαγιασθῆναι; πῶς δὲ ἔλεγεν, «ἐγὼ τίθημι τὴν ψυχήν μου ἀπ᾽ ἐμαυτοῦ»; Εἰ γὰρ ἀπὸ σαυτοῦ τίθης, πῶς ἕτερον παρακαλεῖς, ἵνα μὴ θῇς; πῶς δὲ αὐτὸν ὁ Παῦλος θαυμάζει ταύτης ἕνεκα τῆς προφάσεως, οὕτω λέγων· «ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλὰ ἐμαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἑαυτὸν ἐταπείνωσε, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ»; Αὐτὸς δὲ πάλιν οὕτω πώς φησι· «διὰ τοῦτό με ἀγαπᾷ ὁ Πατήρ, ὅτι ἐγὼ τὴν ψυχήν μου τίθημι, ἵνα πάλιν λάβω αὐτήν». Εἰ γὰρ οὐ βούλεται, ἀλλὰ παραιτεῖται καὶ παρακαλεῖ τὸν Πατέρα, πῶς διὰ τοῦτο ἀγαπᾶται; Ἡ γὰρ ἀγάπη τῶν κατὰ γνώμην ἐστί. Πῶς δέ φησι πάλιν ὁ Παῦλος, «ἀγαπᾶτε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν»; Αὐτὸς δὲ πάλιν ὁ Χριστὸς μέλλων σταυροῦσθαι ἔλεγε· «Πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν Υἱόν», δόξαν τὸν σταυρὸν καλῶν· καὶ πῶς ἐνταῦθα μὲν παραιτεῖται, ἐκεῖ δὲ καὶ κατεπείγει;

---

25. Ἰω. 10,11.
26. Ἰω. 10,12.
27. Ἰω. 10,18.
28. Φιλιπ. 2,6–8.
29. Ἰω. 10,17.
30. Ἐφ. 5,2.
31. Ἰω. 17,1.

νὰ μὴ σταυρωθεῖ; Καὶ πῶς ὕστερα ἀπ' αὐτά, ὅταν περιέγραφε τὴν εἰκόνα τοῦ καλοῦ ποιμένα, εἶπε ὅτι αὐτὸ πρὸ πάντων εἶναι δεῖγμα τῆς ἀρετῆς του, τὸ νὰ θυσιάζεται γιὰ χάρη τῶν προβάτων, λέγοντας, «ἐγὼ εἶμαι ὁ καλὸς ποιμένας· ὁ καλὸς ποιμένας θυσιάζει τὴ ζωή του γιὰ χάρη τῶν προβάτων»[25]; Καὶ δὲ σταμάτησε μέχρις ἐδῶ, ἀλλὰ καὶ πρόσθεσε· «ὁ μισθωτός, ποὺ δὲν εἶναι ποιμένας, βλέπει τὸ λύκο νὰ ἔρχεται καὶ ἀφήνει τὰ πρόβατα καὶ φεύγει»[26].

Ἂν λοιπὸν γνώρισμα τοῦ καλοῦ ποιμένα εἶναι τὸ νὰ θυσιάζεται καὶ τοῦ μισθωτοῦ τὸ νὰ μὴ θέλει νὰ ὑπομένει αὐτό, πῶς αὐτός, λέγοντας ὅτι εἶναι καλὸς ποιμένας, παρακαλεῖ νὰ μὴ θυσιασθεῖ; Καὶ πῶς ἔλεγε, «ἐγὼ ἀπὸ μόνος μου θυσιάζω τὴ ζωή μου»[27]; Ἂν λοιπὸν ἀπὸ μόνος σου τὴ θυσιάζεις, πῶς παρακαλεῖς ἄλλον γιὰ νὰ μὴ τὴ θυσιάσεις; Καὶ πῶς ὁ Παῦλος τὸν θαυμάζει ἐξ αἰτίας αὐτῆς τῆς ἀφορμῆς, λέγοντας, «αὐτὸς πού, ἂν καὶ ἦταν Θεός, δὲ θεώρησε τὴν ἰσότητά του μὲ τὸ Θεὸ ἀποτέλεσμα ἁρπαγῆς, ἀλλὰ ἄδειασε τὸν ἑαυτό του, καὶ πῆρε τὴ μορφὴ δούλου καὶ ἔγινε ὅμοιος μὲ τοὺς ἀνθρώπους καὶ βρέθηκε κατὰ τὸ σχῆμα σὰν ἄνθρωπος καὶ ταπείνωσε τὸν ἑαυτό του καὶ ἔγινε ὑπάκουος μέχρι θανάτου, καὶ μάλιστα θανάτου σταυρικοῦ»[28]; Καὶ ὁ ἴδιος πάλι λέγει κάπως ἔτσι· «γι' αὐτὸ μὲ ἀγαπάει ὁ Πατέρας μου, γιατὶ ἐγὼ θυσιάζω τὴ ζωή μου, ὥστε νὰ τὴν ξαναπάρω»[29]. Ἂν λοιπὸν δὲ θέλει, ἀλλ' ἀποφεύγει καὶ παρακαλεῖ τὸν Πατέρα, πῶς γι' αὐτὸ ἀγαπιέται; Γιατὶ ἡ ἀγάπη δείχνεται ἀπ' αὐτὰ ποὺ ὑπάρχουν στὴ διάθεση τοῦ καθενός. Καὶ πῶς λέγει πάλι ὁ Παῦλος, «νὰ ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλον, ὅπως καὶ ὁ Χριστὸς μᾶς ἀγάπησε καὶ παρέδωσε τὸν ἑαυτό του γιὰ χάρη μας»[30]; Καὶ ὁ ἴδιος πάλι ὁ Χριστός, ὅταν ἐπρόκειτο νὰ σταυρωθεῖ, ἔλεγε, «Πατέρα, ἔφθασε ἡ ὥρα· δόξασε τὸν Υἱό σου»[31], ὀνομάζοντας δόξα τὸ σταυρό. Καὶ πῶς ἐδῶ ἀποφεύγει, ἐνῶ ἐκεῖ βιάζεται;

Ὅτι γὰρ δόξα ὁ σταυρός, ἄκουσον τί φησιν ὁ εὐαγγελιστής· «οὐδέπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη». Ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐδέπω ἦν δοθεῖσα ἡ χάρις, ἐπειδὴ ἡ ἔχθρα ἡ πρὸς τοὺς ἀνθρώπους οὐδέπω ἦν καταλυθεῖσα, τῷ μηδέπω τὸν σταυρὸν προκεχωρηκέναι. Ὁ γὰρ σταυρὸς τὴν ἔχθραν τοῦ Θεοῦ κατέλυσε τὴν πρὸς τοὺς ἀνθρώπους, τὰς καταλλαγὰς ἐκόμισε, τὴν γῆν οὐρανὸν ἐποίησε, τοὺς ἀνθρώπους τοῖς ἀγγέλοις ἀνέμιξε, τοῦ θανάτου τὴν ἀκρόπολιν κατήγαγε, τοῦ διαβόλου τὴν ἰσχὺν ἐξενεύρωσε, τῆς ἁμαρτίας τὴν δύναμιν ἠφάνισε, τὴν γῆν τῆς πλάνης ἀπήλλαξε, τὴν ἀλήθειαν ἐπανήγαγε, τοὺς δαίμονας ἀπήλασε, ναοὺς καθεῖλε, βωμοὺς ἀνέτρεψε, κνίσσαν ἠφάνισε, τὴν ἀρετὴν κατεφύτευσε, τὰς Ἐκκλησίας ἐρρίζωσε.

Σταυρός, τὸ τοῦ Πατρὸς θέλημα, ἡ τοῦ Υἱοῦ δόξα, τὸ τοῦ Πνεύματος ἀγαλλίαμα, τὸ τοῦ Παύλου καύχημα· «ἐμοὶ γάρ», φησί, «μη γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Σταυρὸς ὁ τοῦ ἡλίου φανότερος, ὁ τῆς ἀκτῖνος φαιδρότερος· ὅταν γὰρ ἐκεῖνος σκοτίζηται, τότε οὗτος λάμπει· σκοτίζεται δὲ ὁ ἥλιος τότε οὐκ ἀφανιζόμενος, ἀλλὰ νικώμενος τῇ τοῦ σταυροῦ φαιδρότητι. Σταυρὸς τὸ χειρόγραφον ἡμῶν διέρρηξε, τοῦ θανάτου τὸ δεσμωτήριον ἄχρηστον ἐποίησε, σταυρὸς τῆς τοῦ Θεοῦ ἀγάπης ἡ ἀπόδειξις. «Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὅτι τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται». Καὶ πάλιν ὁ Παῦλος· «εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ».

Σταυρὸς τὸ τεῖχος τὸ ἀρραγές, τὸ ὅπλον τὸ ἀχείρωτον, τῶν πλουτούντων ἡ ἀσφάλεια, τῶν πενήτων ἡ εὐπορία, τῶν ἐπιβουλευομένων τὸ τεῖχος, τῶν πολεμουμένων τὸ ὅπλον,

---

32. Ἰω. 7,39.
33. Γαλ. 6,14.
34. Ἰω. 3,16.
35. Ρωμ. 5,10.

Ὅτι λοιπὸν ὁ σταυρὸς εἶναι δόξα, ἄκουσε τί λέγει ὁ Εὐαγγελιστής· «γιατὶ ἀκόμα δὲν ὑπῆρχε τὸ ἅγιο Πνεῦμα, ἐπειδὴ ὁ Ἰησοῦς δὲν εἶχε ἀκόμα δοξασθεῖ»[32]. Αὐτὸ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· δὲν εἶχε δοθεῖ ἀκόμα ἡ χάρη, ἐπειδὴ ἡ ἔχθρα πρὸς τοὺς ἀνθρώπους δὲν εἶχε ἀκόμα διαλυθεῖ, ἀφοῦ δὲν εἶχε ἀκόμα πραγματοποιηθεῖ ὁ σταυρός. Γιατὶ ὁ σταυρὸς διέλυσε τὴν ἔχθρα τοῦ Θεοῦ πρὸς τοὺς ἀνθρώπους, ἔφερε τὴ συμφιλίωση, ἔκαμε τὴ γῆ οὐρανό, ἀνέμιξε τοὺς ἀνθρώπους μὲ τοὺς ἀγγέλους, γκρέμισε τὴν ἀκρόπολη τοῦ θανάτου, παρέλυσε τὴ δύναμη τοῦ διαβόλου, ἐξαφάνισε τὴ δύναμη τῆς ἁμαρτίας, ἀπάλλαξε τὴ γῆ ἀπὸ τὴν πλάνη, ξανάφερε τὴν ἀλήθεια, ἔδιωξε τοὺς δαίμονες, γκρέμισε ναούς, ἀνέτρεψε βωμούς, ἐξαφάνισε τὴν κνίσσα, φύτεψε τὴν ἀρετή, θεμελίωσε τὶς Ἐκκλησίες.

Ὁ σταυρὸς εἶναι τὸ θέλημα τοῦ Πατέρα, ἡ δόξα τοῦ Υἱοῦ, ἡ ἀγαλλίαση τοῦ Πνεύματος, τὸ καύχημα τοῦ Παύλου. Γιατὶ λέγει, «εἴθε νὰ μὴν καυχηθῶ ἐγὼ γιὰ τίποτε ἄλλο, παρὰ μόνο γιὰ τὸ σταυρὸ τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[33]. Ὁ σταυρὸς εἶναι πιὸ φωτεινὸς ἀπὸ τὸν ἥλιο, πιὸ λαμπρὸς ἀπὸ τὴν ἀκτίνα. Γιατί, ὅταν ἐκεῖνος σκοτίζεται, τότε αὐτὸς λάμπει· καὶ σκοτίζεται τότε ὁ ἥλιος ὄχι γιατὶ ἐξαφανίζεται, ἀλλὰ γιατὶ νικιέται ἀπὸ τὴ λαμπρότητα τοῦ σταυροῦ. Ὁ σταυρὸς ἔσχισε τὸ χειρόγραφό μας, ἔκαμε ἄχρηστο τὸ δεσμωτήριο τοῦ θανάτου, ὁ σταυρὸς εἶναι ἡ ἀπόδειξη τῆς ἀγάπης τοῦ Θεοῦ. «Γιατὶ τόσο πολὺ ἀγάπησε ὁ Θεὸς τὸν κόσμο, ὥστε παρέδωσε τὸν Υἱό του τὸ μονογενή, γιὰ νὰ μὴ χαθεῖ ὅποιος πιστεύει σ' αὐτόν»[34]. Καὶ πάλι ὁ Παῦλος λέγει· «παρ' ὅλο ποὺ ἤμασταν ἐχθροὶ μὲ τὸ Θεὸ μᾶς συμφιλίωσε μαζί του ὁ θάνατος τοῦ Υἱοῦ του»[35].

Ὁ σταυρὸς εἶναι τὸ τεῖχος τὸ στερεό, τὸ ὅπλο τὸ ἀνίκητο, ἡ ἀσφάλεια τῶν πλουσίων, ἡ εὐπορία τῶν φτωχῶν, τὸ τεῖχος ἐκείνων ποὺ τοὺς ἐπιβουλεύονται, τὸ ὅπλο ἐκείνων ποὺ τοὺς πολεμοῦν, ἡ ἐξαφάνιση τῶν παθῶν, ἡ ἀπόκτηση τῆς ἀρετῆς, τὸ

τῶν παθῶν ἡ ἀναίρεσις, τῆς ἀρετῆς ἡ κτῆσις, τὸ σημεῖον τὸ θαυμαστὸν καὶ παράδοξον. «Σημεῖον γὰρ ἐπιζητεῖ ἡ γενεὰ αὕτη· καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ». Καὶ πάλιν ὁ Παῦλος· «ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζητοῦσιν· ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον». Σταυρὸς παράδεισον ἠνέῳξε, λῃστὴν εἰσήγαγε, τὸ τῶν ἀνθρώπων γένος ἀπόλλυσθαι μέλλον καὶ οὐδὲ τῆς γῆς ἄξιον πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν ἐχειραγώγησε.

Τοσαῦτα ἀγαθὰ ἀπὸ τοῦ σταυροῦ καὶ γέγονε καὶ γίνεται, καὶ οὐ βούλεται σταυρωθῆναι, εἰπέ μοι; Καὶ τίς ἂν τοῦτο εἴποι; Εἰ δὲ μὴ ἐβούλετο, τίς αὐτὸν ἠνάγκασε; τίς ἐβιάσατο; τί δὲ καὶ προέπεμψε προφήτας ἀπαγγέλλοντας, ὅτι σταυρωθήσεται, μὴ μέλλων σταυροῦσθαι, μηδὲ βουλόμενος τοῦτο ὑπομεῖναι; Τίνος δὲ ἕνεκεν καὶ ποτήριον καλεῖ τὸν σταυρόν, εἴ γε μὴ ἐβούλετο σταυρωθῆναι; Τοῦτο γὰρ ἐνδεικνυμένου ἐστὶ τὴν ἐπιθυμίαν, ἣν ἔχει περὶ τὸ πρᾶγμα. Ὥσπερ γὰρ τοῖς διψῶσι τὸ ποτήριον ἡδύ, οὕτω καὶ αὐτῷ τὸ σταυρωθῆναι· δι' ὃ καὶ ἔλεγεν· «ἐπιθυμίᾳ ἐπεθύμουν τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν», οὐχ ἁπλῶς εἰπὼν τοῦτο, ἀλλὰ διὰ τὴν αἰτίαν ταύτην, ἐπειδὴ μετὰ τὴν ἑσπέραν ὁ σταυρὸς αὐτὸν διεδέχετο.

3. Ὁ τοίνυν καὶ δόξαν τὸ πρᾶγμα καλῶν, καὶ τῷ μαθητῇ ἐπιτιμῶν, ὅτι διεκώλυεν αὐτόν, καὶ τὸν καλὸν ποιμένα ἐντεῦθεν δεικνὺς ἀπὸ τοῦ σφάττεσθαι ὑπὲρ τῶν προβάτων, καὶ ἐπιθυμίᾳ ἐπιθυμεῖν λέγων τὸ πρᾶγμα, καὶ ἑκὼν ἐπὶ τοῦτο ἐρχόμενος, πῶς παρακαλεῖ μὴ γενέσθαι τοῦτο; Εἰ δὲ μὴ ἐβούλετο, τί δύσκολον ἦν διακωλῦσαι τοὺς ἐρχομένους ἐπὶ τοῦτο; Νῦν δὲ καὶ ὁρᾷς αὐτὸν ἐπιτρέχοντα τῷ πράγματι. Ὅτε γοῦν ἐπῆλθον αὐτῷ, λέγει, «τίνα ζητεῖτε; Οἱ δὲ λέγουσιν· Ἰησοῦν. Καὶ λέγει αὐτοῖς· ἰδού, ἐγώ εἰμι· καὶ ἀπῆλθον εἰς τὰ

---

36. Ματθ. 12,39.
37. Α' Κορ. 1,22–23.
38. Λουκᾶ 22,15.

σημεῖο τὸ θαυμαστὸ καὶ παράδοξο. «Γιατὶ ἡ γενεὰ αὐτὴ ζητάει σημεῖο· ἀλλὰ σημεῖο δὲ θὰ τῆς δοθεῖ, παρὰ μόνο τὸ σημεῖο τοῦ Ἰωνᾶ»[36]. Καὶ ὁ Παῦλος ἐπίσης λέγει· «ἐπειδὴ καὶ οἱ Ἰουδαῖοι ζητοῦν σημεῖο καὶ οἱ ἐθνικοὶ ζητοῦν σοφία, ἐμεῖς ὅμως κηρύττουμε Χριστὸ σταυρωμένο»[37]. Ὁ σταυρὸς ἄνοιξε τὸν παράδεισο, ἔβαλε μέσα τὸ ληστή, ὁδήγησε στὴ βασιλεία τῶν οὐρανῶν τὸ ἀνθρώπινο γένος ποὺ ἐπρόκειτο νὰ καταστραφεῖ καὶ δὲν ἦταν ἄξιο οὔτε γιὰ τὴ γῆ.

Πές μου λοιπόν, τόσα ἀγαθὰ καὶ ἔγιναν καὶ γίνονται ἀπὸ τὸ σταυρό, καὶ δὲ θέλει νὰ σταυρωθεῖ; Καὶ ποιός μπορεῖ νὰ τὸ πεῖ αὐτό; Ἂν ὅμως δὲν ἤθελε, ποιός τὸν ἀνάγκασε; ποιός τὸν πίεσε; Καὶ γιατί ἔστειλε πρὶν ἀπ' αὐτὸν τοὺς προφῆτες, γιὰ νὰ ἀναγγείλουν πὼς θὰ σταυρωθεῖ, τὴ στιγμὴ ποὺ δὲν ἐπρόκειτο νὰ σταυρωθεῖ καὶ οὔτε ἤθελε νὰ τὸ ὑποστεῖ αὐτό; Καὶ γιὰ ποιό λόγο ὀνομάζει τὸ σταυρὸ ποτήρι, ἂν δὲν ἤθελε νὰ σταυρωθεῖ; Γιατὶ αὐτὸ φανερώνει τὴν ἐπιθυμία ποὺ εἶχε γιὰ τὸ πράγμα αὐτό. Ὅπως δηλαδὴ γιὰ ὅσους διψοῦν τὸ ποτήρι εἶναι εὐχάριστο, ἔτσι καὶ γι' αὐτὸν τὸ νὰ σταυρωθεῖ. Γι' αὐτὸ καὶ ἔλεγε, «πάρα πολὺ ἐπιθύμησα αὐτὸ τὸ Πάσχα νὰ τὸ φάω μαζί σας»[38]· καὶ δὲν τὸ εἶπε αὐτὸ ἔτσι στὴν τύχη, ἀλλὰ γι' αὐτὴ τὴν αἰτία, ἐπειδὴ μετὰ τὴν ἑσπέρα ἀκολουθοῦσε ὁ σταυρός.

3. Ἐκεῖνος λοιπὸν ποὺ ὀνόμαζε δόξα τὸ πράγμα αὐτὸ καὶ ἐπιτιμοῦσε τὸ μαθητή του, γιατὶ τὸν ἐμπόδιζε, καὶ ἀποδείκνυε ἀπὸ ἐδῶ τὸν καλὸ ποιμένα, δηλαδὴ ἀπὸ τὸ νὰ θυσιάζεται γιὰ χάρη τῶν προβάτων, καὶ ἔλεγε πὼς ἐπιθυμοῦσε τὸ πράγμα αὐτὸ πάρα πολὺ καὶ ἐρχόταν πρὸς αὐτὸ μὲ τὴ θέλησή του, πῶς παρακαλεῖ νὰ μὴ γίνει αὐτό; Καὶ ἂν δὲν ἤθελε, ποιά δυσκολία ὑπῆρχε νὰ ἐμποδίσει αὐτοὺς ποὺ ἔρχονταν γιὰ τὸ σκοπὸ αὐτόν; Τώρα ὅμως τὸν βλέπεις νὰ τρέχει πρὸς τὸ πράγμα αὐτό. Ὅταν λοιπὸν ἦρθαν ἐναντίον του, λέγει· «ποιόν ζητᾶτε;». Καὶ ἐκεῖνοι ἀπάντησαν· «τὸν Ἰησοῦ». Λέγει τότε πρὸς αὐτούς, «νά, ἐγὼ εἶ-

ὀπίσω καὶ ἔπεσον χαμαί». Οὕτω πηρώσας αὐτοὺς πρότερον καὶ δείξας, ὅτι ἠδύνατο διαφυγεῖν, τότε ἐξέδωκεν ἑαυτόν, ἵνα μάθῃς ὅτι οὐκ ἀνάγκῃ, οὐδὲ βίᾳ, οὐδὲ τῇ τυραννίδι τῶν ἐπελθόντων ἄκων τοῦτο ὑπέμεινεν, ἀλλ' ἑκὼν καὶ προαιρούμενος καὶ βουλόμενος καὶ ἐκ πολλοῦ ταῦτα οἰκονομῶν.

Διὰ τοῦτο καὶ προφῆται προεπέμποντο, καὶ πατριάρχαι προύλεγον, καὶ διὰ ρημάτων καὶ διὰ πραγμάτων ὁ σταυρὸς προδιετυποῦτο. Καὶ γὰρ τοῦ Ἰσαὰκ ἡ σφαγὴ τὸν σταυρὸν ἐδήλου ἡμῖν· δι' ὃ καὶ ἔλεγεν, «Ἀβραάμ, ὁ πατὴρ ὑμῶν, ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν δόξαν τὴν ἐμήν, καὶ εἶδε, καὶ ἐχάρη». Εἶτα ὁ μὲν πατριάρχης ἐχάρη βλέπων τὴν εἰκόνα τοῦ σταυροῦ, αὐτὸς δὲ παραιτεῖται τὸ πρᾶγμα; Καὶ Μωϋσῆς δὲ οὕτω τοῦ Ἀμαλὴκ περιεγένετο, ἐπειδὴ τὸν τύπον ἐπεδείκνυτο τοῦ σταυροῦ· καὶ μυρία ἂν ἴδοι τις ἐν τῇ Παλαιᾷ γινόμενα, τὸν σταυρὸν προδιαγράφοντα. Τίνος οὖν ἕνεκεν οὕτως ἐγένετο, εἴγε ὁ σταυροῦσθαι μέλλων οὐκ ἐβούλετο τοῦτο γίνεσθαι;

Καὶ τὸ μετὰ τοῦτο δὲ ἔτι ἀπορώτερον. Εἰπὼν γάρ, «παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο», ἐπήγαγε, «πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ». Ἐντεῦθεν γάρ, ὅσον κατὰ τὴν ρῆσιν, δύο θελήματα ἐναντία ἀλλήλοις εὑρίσκομεν, εἴγε ὁ μὲν Πατὴρ βούλεται αὐτὸν σταυρωθῆναι, αὐτὸς δὲ οὐ βούλεται. Καίτοι γε πανταχοῦ ὁρῶμεν αὐτὸν τὰ αὐτὰ τῷ Πατρὶ βουλόμενον, τὰ αὐτὰ προαιρούμενον. Καὶ γὰρ ὅταν λέγῃ, «δὸς αὐτοῖς, καθὼς ἐγὼ καὶ σὺ ἕν ἐσμεν, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν», οὐδὲν ἄλλο λέγει, εἰ μὴ τὸ μίαν εἶναι γνώμην Πατρὸς καὶ Υἱοῦ. Καὶ ὅταν λέγῃ, «τὰ ρήματα, ἃ ἐγὼ λαλῶ, οὐ λαλῶ ἐγώ, ἀλλ' ὁ Πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα ταῦτα», τοῦτο ἐνδείκνυται. Καὶ ὅταν λέγῃ, «ἀπ' ἐμαυ-

39. Ἰω. 18,4. 5. 6.
40. Ἰω. 8,56.
41. Βλε. Ἐξ. 17,8–16.
42. Ἰω. 17,21.
43. Ἰω. 14,10.

μαι». «Καὶ ὀπισθοχώρησαν καὶ ἔπεσαν κάτω»[39]. Ἔτσι ἀφοῦ τοὺς τύφλωσε πρῶτα καὶ ἔδειξε ὅτι μποροῦσε νὰ ξεφύγει, τότε παραδόθηκε, γιὰ νὰ μάθεις πὼς οὔτε ἀπὸ ἀνάγκη, οὔτε ἀπὸ βία, οὔτε ἀπὸ πίεση τῶν ἐχθρῶν του ὑπέφερε αὐτὸ χωρὶς νὰ τὸ θέλει, ἀλλὰ μὲ τὴ θέλησή του καὶ γιατὶ τὸ ἐπιθυμοῦσε καὶ γιατὶ τὸ ἤθελε καὶ γιατὶ ἀπὸ πολὺ καιρὸ προετοίμαζε ὅλα αὐτά.

Γι' αὐτὸ καὶ προφῆτες προαποστέλλονταν, καὶ πατριάρχες προέλεγαν, καὶ ὁ σταυρὸς προεικονιζόταν μὲ λόγια καὶ μὲ πράγματα. Γιατὶ πραγματικὰ ἡ σφαγὴ τοῦ Ἰσαὰκ μᾶς φανέρωνε τὸ σταυρό. Γι' αὐτὸ καὶ ἔλεγε· «ὁ πατέρας σας ὁ Ἀβραὰμ ἔνιωσε ἀγαλλίαση, γιὰ νὰ δεῖ τὴ δική μου δόξα· τὴν εἶδε καὶ χάρηκε»[40]. Ἔπειτα ὁ πατριάρχης δηλάδὴ χάρηκε βλέποντας τὴν εἰκόνα τοῦ σταυροῦ, καὶ ὁ ἴδιος ἀποφεύγει τὸ πράγμα αὐτό; Καὶ ὁ Μωϋσῆς πάλι ἔτσι νίκησε τὸν Ἀμαλήκ, ἐπειδὴ ἔδειχνε τὸ σχῆμα τοῦ σταυροῦ[41]. Καὶ ἄπειρα γεγονότα μπορεῖ νὰ δεῖ κανεὶς στὴν Παλαιὰ Διαθήκη, ποὺ προεικονίζουν τὸ σταυρό. Γιὰ ποιά λοιπὸν αἰτία ἔγιναν αὐτὰ ἔτσι, ἂν ἐκεῖνος ποὺ ἐπρόκειτο νὰ σταυρωθεῖ δὲν ἤθελε νὰ γίνει αὐτό;

Καὶ τὸ ἑπόμενο δημιουργεῖ μεγαλύτερη ἀπορία. Γιατί, ἀφοῦ εἶπε, «ἂς ἀποφύγω τὸ ποτήρι αὐτό», πρόσθεσε· «ὅμως ἂς μὴ γίνει ὅπως ἐγὼ θέλω, ἀλλ' ὅπως θέλεις ἐσύ». Γιατὶ ἀπὸ ἐδῶ, ὅπως βγαίνει ἀπὸ τὴ φράση, βρίσκουμε δύο θελήματα ἀντίθετα μεταξύ τους, ἂν ὁ Πατέρας βέβαια θέλει νὰ σταυρωθεῖ αὐτός, ἐνῶ ὁ ἴδιος δὲ θέλει. Καὶ ὅμως τὸν βλέπουμε παντοῦ νὰ θέλει τὰ ἴδια μὲ τὸν Πατέρα, νὰ προτιμάει τὰ ἴδια. Γιατὶ καὶ ὅταν λέγει, «κάμε, ὅπως ἐγὼ καὶ σὺ εἴμαστε ἕνα, γιὰ νὰ εἶναι καὶ αὐτοὶ ἕνα ἑνωμένοι μὲ μᾶς»[42], τίποτα ἄλλο δὲ λέγει, παρὰ μόνο πὼς μία εἶναι ἡ γνώμη τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ. Καὶ ὅταν λέγει, «τὰ λόγια ποὺ λέγω δὲν τὰ λέγω ἐγώ, ἀλλὰ ὁ Πατέρας ποὺ μένει μέσα σὲ μένα αὐτὸς κάνει ὅλα τὰ ἔργα αὐτά»[43], αὐτὸ φανερώνει. Καὶ ὅταν λέγει, «δὲν ἔχω ἔρθει ἀπὸ μόνος μου» καὶ «δὲν

τοῦ οὐκ ἐλήλυθα», καὶ «οὐ δύναμαι ἀπ' ἐμαυτοῦ ποιεῖν οὐδέν», οὐ τοῦτο δηλῶν λέγει, ὅτι ἐξουσίας ἀπεστέρηται ἢ τοῦ λαλεῖν ἢ τοῦ ποιεῖν (ἄπαγε), ἀλλὰ μετὰ ἀκριβείας δεῖξαι βουλόμενος σύμφωνον αὐτοῦ τὴν γνώμην, καὶ τὴν ἐν ρήμασι, καὶ τὴν ἐν πράγμασι, καὶ τὴν ἐν πάσαις οἰκονομίαις πρὸς τὸν Πατέρα μίαν καὶ τὴν αὐτὴν οὖσαν, καθὼς καὶ ἤδη πολλάκις ἀπεδείξαμεν. Τὸ γὰρ «ἀπ' ἐμαυτοῦ οὐ λαλῶ», οὐκ ἐξουσίας ἀναίρεσις, ἀλλὰ συμφωνίας ἐστὶν ἀπόδειξις. Πῶς οὖν ἐνταῦθά φησι, «πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ»;

Τάχα εἰς πολὺν ὑμᾶς ἀγῶνα ἐνεβάλομεν, ἀλλὰ διανάστητε· εἰ γὰρ καὶ πολλὰ τὰ εἰρημένα, ἀλλ' εὖ οἶδα ὅτι νεάζει ὑμῶν ἡ προθυμία· πρὸς γὰρ αὐτὴν λοιπὸν τὴν λύσιν ὁ λόγος ἐπείγεται. Τίνος οὖν ἕνεκεν οὕτως εἴρηται; Προσέχετε μετὰ ἀκριβείας. Πολὺ δυσπαράδεκτος ἦν ὁ τῆς σαρκώσεως λόγος. Ἡ γὰρ ὑπερβολὴ τῆς φιλανθρωπίας αὐτοῦ, καὶ τὸ μέγεθος τῆς συγκαταβάσεως τοῦτο φρίκης ἔγεμε, καὶ πολλῆς ἐδέετο κατασκευῆς, ὥστε παραδεχθῆναι. Ἐννόησον γὰρ ἡλίκον ἦν ἀκοῦσαι καὶ μαθεῖν, ὅτι ὁ Θεός, ὁ ἄρρητος, ὁ ἄφθαρτος, ὁ ἀπερινόητος, ὁ ἀόρατος, ὁ ἀκατάληπτος, «οὗ ἐν τῇ χειρὶ τὰ πέρατα τῆς γῆς», «ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἀπτόμενος τῶν ὀρέων, καὶ καπνίζων αὐτά», οὗ τὴν ροπὴν τῆς συγκαταβάσεως οὐδὲ τὰ Χερουβὶμ ἐνεγκεῖν ἠδυνήθησαν, ἀλλὰ τὰς ὄψεις ἀπέκρυπτον τῇ προβολῇ τῶν πτερύγων· οὗτος ὁ πάντα νοῦν ὑπερβαίνων, καὶ πάντα λογισμὸν νικῶν, παραδραμὼν ἀγγέλους, ἀρχαγγέλους, πάσας τὰς ἄνω νοερὰς δυνάμεις, κατεδέξατο γενέσθαι ἄνθρωπος, καὶ σάρκα τὴν ἀπὸ γῆς καὶ πηλοῦ πλασθεῖσαν ἀναλαβεῖν, καὶ εἰς μήτραν ἐλθεῖν παρθενικήν, καὶ ἐνναμηνιαῖον

44. Ἰω. 7,28 καὶ 5,30.
45. Ψαλμ. 94,4.
46. Ψαλμ. 103,32.

μπορῶ νὰ κάνω τίποτε ἀπὸ μόνος μου»[44], δὲν τὸ λέγει φανερώνοντας αὐτό, ὅτι δηλαδὴ ἔχει στερηθεῖ τὴν ἐξουσία νὰ μιλάει ἢ νὰ πράττει (μακριὰ ἀπὸ μιὰ τέτοια σκέψη), ἀλλὰ θέλοντας μὲ ἀκρίβεια νὰ δείξει πὼς ἡ γνώμη του εἶναι σύμφωνη, καὶ πὼς ἡ γνώμη του καὶ στὰ λόγια καὶ στὰ ἔργα καὶ σὲ ὅλες τὶς ἐνέργειες εἶναι μία καὶ ἡ ἴδια πρὸς τὸν Πατέρα, ὅπως ἤδη τὸ ἀποδείξαμε πολλὲς φορές. Γιατὶ τὸ «δὲν ὁμιλῶ ἀπὸ τὸν ἑαυτό μου», δὲν εἶναι κατάργηση ἐξουσίας, ἀλλὰ ἀπόδειξη συμφωνίας. Πῶς λοιπὸν ἐδῶ λέγει, «ὅμως ἂς γίνει ὄχι ὅπως ἐγὼ θέλω, ἀλλὰ ὅπως ἐσὺ θέλεις»;

Ἴσως σᾶς ἔβαλα σὲ μεγάλη ἀγωνία, ἀλλὰ προσέξτε. Γιατί, ἂν καὶ εἶναι πολλὰ αὐτὰ ποὺ λέχθηκαν, ξέρω ὅμως καλὰ ὅτι ἡ προθυμία σας εἶναι ἀκμαία· γιατὶ ὁ λόγος τρέχει πρὸς αὐτὴν πλέον τὴν ἐξήγηση τοῦ πράγματος. Γιὰ ποιό λοιπὸν λόγο λέχθηκαν αὐτὰ ἔτσι; Προσέχετε μὲ ἀκρίβεια. Ὁ λόγος γιὰ τὴ σάρκωση ἦταν πολὺ δυσκολοπαράδεκτος. Γιατὶ ἡ ὑπερβολική του φιλανθρωπία καὶ τὸ μέγεθος αὐτὸ τῆς συγκατάβασης ἦταν γεμάτο φρίκη, καὶ χρειαζόταν μεγάλη προετοιμασία γιὰ νὰ γίνει παραδεκτό. Σκέψου λοιπὸν πόσο μεγάλο πράγμα ἦταν ν' ἀκούσει καὶ νὰ μάθει κανεὶς πὼς ὁ Θεός, ὁ ἀνέκφραστος, ὁ ἄφθαρτος, ὁ ἀκατανόητος, ὁ ἀόρατος, ὁ ἀκατάληπτος, «στὰ χέρια τοῦ ὁποίου βρίσκονται τὰ πέρατα τῆς γῆς»[45], «αὐτὸς ποὺ ρίχνει ἕνα βλέμμα στὴ γῆ καὶ τὴν κάνει νὰ τρέμει, αὐτὸς ποὺ ἀγγίζει τὰ ὄρη καὶ τὰ κάνει νὰ καπνίζουν»[46], τοῦ ὁποίου τὸ μέγεθος τῆς συγκατάβασης οὔτε τὰ Χερουβὶμ μπόρεσαν νὰ βαστάξουν, ἀλλ' ἔκρυβαν τὰ πρόσωπά τους μὲ τὸ ἄνοιγμα τῶν πτερύγων τους, αὐτὸς ποὺ ξεπερνάει κάθε νοῦ καὶ νικάει κάθε σκέψη, ἀφοῦ προσπέρασε ἀγγέλους, ἀρχαγγέλους, ὅλες τὶς οὐράνιες νοερὲς δυνάμεις, καταδέχθηκε νὰ γίνει ἄνθρωπος καὶ νὰ πάρει σάρκα ποὺ πλάσθηκε ἀπὸ χῶμα καὶ πηλό, καὶ νὰ μπεῖ σὲ

κυοφορηθῆναι χρόνον, καὶ γαλακτοτροφηθῆναι, καὶ τὰ ἀνθρώπινα πάντα παθεῖν.

Ἐπεὶ οὖν οὕτω παράδοξον ἦν τὸ μέλλον ἔσεσθαι, ὡς καὶ γενόμενον παρὰ πολλοῖς ἀπιστεῖσθαι, πρῶτον προφήτας προπέμπει, τοῦτο αὐτὸ ἀπαγγέλλοντας. Καὶ γὰρ ὅ τε πατριάρχης αὐτὸ προανεφώνει λέγων, «ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων»· ὅ τε Ἡσαΐας λέγων, «ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ»· καὶ ἕτερος πάλιν, «εἴδομεν αὐτὸν ὡς παιδίον, ὡς ρίζαν ἐν γῇ διψώσῃ». Γῆν δὲ διψῶσαν τὴν μήτραν λέγει τὴν παρθενικήν, διὰ τὸ μὴ δέξασθαι σπέρμα ἀνθρώπου, μηδὲ συνουσίας ἀπολαῦσαι, ἀλλὰ χωρὶς γάμων αὐτὸν τεκεῖν. Καὶ πάλιν, «παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν»· καὶ πάλιν, «ἐξελεύσεται ράβδος ἐκ τῆς ρίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ρίζης ἀναβήσεται».

Ὁ δὲ Βαροὺχ ὁ ἐν Ἰερεμίᾳ φησίν· «οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. Μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη». Καὶ ὁ Δαυὶδ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν δηλῶν ἔλεγε, «καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν», ὅτι ἀψοφητὶ καὶ ἀταράχως εἰς τὴν μήτραν εἰσελήλυθε τὴν παρθενικήν.

4. Ἀλλ' οὐκ ἤρκεσε ταῦτα μόνον, ἀλλὰ καὶ παραγενόμενος, ἵνα μὴ νομισθῇ φαντασία τὸ γενόμενον, οὐ τῇ ὄψει μόνον πιστοῦται τὸ πρᾶγμα, ἀλλὰ καὶ χρόνῳ πολλῷ, καὶ τῷ διὰ πάντων ἐλθεῖν τῶν ἀνθρωπίνων. Οὐ γὰρ ἁπλῶς εἰς ἄνθρωπον εἰσ-

---

47. Ἠσ. 7,14.
48. Ἠσ. 53,2.
49. Ἠσ. 9,6 καὶ 11,1.
50. Βαροὺχ 3,36–38.
51. Ψαλμ. 71,6.

μήτρα παρθενικὴ καὶ νὰ κυοφορηθεῖ ἐννέα μῆνες καὶ νὰ τραφεῖ μὲ γάλα καὶ νὰ πάθει ὅλα τὰ ἀνθρώπινα.

Ἐπειδὴ λοιπὸν ἐκεῖνο ποὺ ἐπρόκειτο νὰ συμβεῖ ἦταν τόσο παράδοξο, ὥστε καὶ ὅταν ἔγινε νὰ μὴν πιστευθεῖ ἀπὸ πολλούς, πρῶτα στέλνει τοὺς προφῆτες, γιὰ νὰ ἀναγγείλουν αὐτὸ ἀκριβῶς. Γιατὶ καὶ ὁ πατριάρχης αὐτὸ προανάγγειλε, ὅταν ἔλεγε· «ἀπὸ βλαστό, υἱέ μου, φύτρωσες· ξαπλώθηκες καὶ κοιμήθηκες σὰν λιοντάρι». Καὶ ὁ Ἠσαΐας, ὅταν ἔλεγε· «νά, ἡ παρθένος θὰ συλλάβει καὶ θὰ γεννήσει υἱὸ καὶ θὰ τὸν ὀνομάσουν Ἐμμανουήλ»[47]. Καὶ ἀλλοῦ πάλι· «εἴδαμε αὐτὸν σὰν παιδί, σὰν ρίζα σὲ διψασμένη γῆ»[48]. Διψασμένη γῆ λέγει τὴν παρθενικὴ μήτρα, γιατὶ δὲ δέχθηκε σπέρμα ἀνθρώπου, οὔτε ἀπόλαυσε συνουσία, ἀλλὰ τὸν γέννησε χωρὶς γάμο. Καὶ πάλι, «παιδὶ γεννήθηκε γιὰ μᾶς, ὁ υἱός αὐτὸς δόθηκε σὲ μᾶς»· καὶ πάλι, «θὰ φυτρώσει κλωνάρι ἀπὸ τὴ ρίζα τοῦ Ἰεσσαί, καὶ ἄνθος ἀπὸ τὴ ρίζα αὐτὴ θ' ἀναβλαστήσει»[49].

Καὶ ὁ Βαρούχ, ποὺ ἀναφέρεται στὸ βιβλίο τοῦ Ἰερεμία, λέγει· «αὐτὸς εἶναι ὁ Θεός μας· κανεὶς ἄλλος δὲν μπορεῖ νὰ συγκριθεῖ πρὸς αὐτόν· ἀνακάλυψε ὅλους τοὺς δρόμους τῆς γνώσης καὶ τὴν ἔδωσε στὸν Ἰακώβ, τὸ δοῦλο του, καὶ στὸν Ἰσραὴλ τὸν ἀγαπημένο του. Ἔπειτα ἀπ' αὐτὰ φανερώθηκε πάνω στὴ γῆ καὶ συναναστράφηκε μὲ τοὺς ἀνθρώπους»[50]. Καὶ ὁ Δαβὶδ δηλώνοντας τὴν ἔνσαρκο παρουσία του ἔλεγε, «θὰ κατεβεῖ ὅπως ἡ βροχὴ ποὺ πέφτει πάνω σὲ μαλλί, καὶ ὅπως ἡ σταγόνα ποὺ στάζει πάνω στὴ γῆ»[51], γιατὶ μπῆκε ἀθόρυβα καὶ ἀτάραχα στὴν παρθενικὴ μήτρα.

4. Ὅμως δὲν ἦταν ἀρκετὰ αὐτὰ μόνο, ἀλλὰ καὶ ὅταν ἦρθε, γιὰ νὰ μὴ θεωρηθεῖ φανταστικὸ τὸ γεγονὸς αὐτό, δὲ βεβαιώνει τὸ πράγμα μόνο μὲ τὴν ὄψη, ἀλλὰ καὶ μὲ πολὺ χρόνο καὶ μὲ τὸ γὄτι πέρασε ἀπ' ὅλα τὰ ἀνθρώπινα. Γιατὶ δὲν μπαίνει μόνο σὲ

ἔρχεται ἀπηρτισμένον καὶ πεπληρωμένον, ἀλλ᾽ εἰς μήτραν παρθενικήν, ὥστε καὶ κυοφορήσεως καὶ τόκων ἀνασχέσθαι, καὶ γαλακτοτροφίας, καὶ αὐξήσεως, καὶ τῷ μήκει τοῦ χρόνου καὶ τῇ διαφορᾷ τῶν ἡλικιῶν ἁπασῶν πιστώσασθαι τὸ γενόμενον. Καὶ οὐδὲ ἐνταῦθα ἵσταται τὰ τῆς ἀποδείξεως μόνον, ἀλλὰ καὶ περιφέρων τὴν σάρκα, ἀφίησιν αὐτὴν τὰ τῆς φύσεως ἐλαττώματα ὑπομεῖναι, καὶ πεινῆσαι καὶ διψῆσαι καὶ καθευδῆσαι καὶ κοπιάσαι· τέλος καὶ ἐπὶ τὸν σταυρὸν ἐρχόμενος, ἀφίησιν αὐτὴν τὰ τῆς σαρκὸς παθεῖν. Διὰ γὰρ τοῦτο καὶ κρουνοὶ κατεφέροντο ἱδρώτων ἐξ αὐτῆς, καὶ ἄγγελος ηὑρίσκετο αὐτὴν διακρατῶν, καὶ λυπεῖται καὶ ἀδημονεῖ· καὶ γὰρ πρὶν ἢ ταῦτα εἰπεῖν, φησίν· «ἡ ψυχή μου τετάρακται, καὶ περίλυπός ἐστιν ἕως θανάτου».

Εἰ οὖν τούτων ἁπάντων γενομένων τὸ πονηρὸν τοῦ διαβόλου στόμα διὰ Μαρκίωνος τοῦ Ποντικοῦ, καὶ Οὐαλεντίνου, καὶ Μανιχαίου τοῦ Πέρσου, καὶ ἑτέρων πλειόνων αἱρέσεων ἐπεχείρησεν ἀνατρέψαι τὸν περὶ τῆς οἰκονομίας λόγον, καὶ ἤχησε σατανικήν τινα ἠχὴν λέγων, ὅτι οὐδὲ ἐσαρκώθη, οὐδὲ σάρκα περιεβάλετο, ἀλλὰ δόκησις τοῦτο ἦν καὶ φαντασία, καὶ σκηνὴ καὶ ὑπόκρισις, καίτοι τῶν παθῶν βοώντων, τοῦ θανάτου, τοῦ τάφου, τῆς πείνης· εἰ μηδὲν τούτων ἐγεγόνει, πῶς οὐ πολλῷ πλέον ὁ διάβολος τὰ πονηρὰ ταῦτα ἐνέσπειρε τῆς ἀσεβείας δόγματα; Διά τοι τοῦτο, ὥσπερ ἐπείνησεν, ὥσπερ ἐκαθεύδησεν, ὥσπερ ἐκοπίασεν, ὥσπερ ἔφαγεν, ὥσπερ ἔπιεν, οὕτω καὶ θάνατον παραιτεῖται, τὸ ἀνθρώπινον ἐνδεικνύμενος, καὶ τὴν ἀσθένειαν τῆς φύσεως τὴν οὐκ ἀνεχομένην ἀπαθῶς ἀπορραγῆναι τῆς παρούσης ζωῆς.

Εἰ γὰρ μηδὲν τούτων εἰρήκει, εἶχεν ἂν εἰπεῖν, ὅτι εἰ ἄνθρωπος ἦν, ἔδει αὐτὸν παθεῖν τὰ τοῦ ἀνθρώπου. Τίνα δέ ἐστι ταῦτα; Τὸ μέλλοντα σταυροῦσθαι, καὶ δειλιᾶν καὶ ἀγωνιᾶν, καὶ μὴ ἀπαθῶς ἀπορρήγνυσθαι τῆς παρούσης ζωῆς· τῇ φύσει

53. Μαρκίων· αἱρεσιάρχης τοῦ 2ου αἰώνα. Συγκρότησε δυαρχικὸ θεολογικὸ σύστημα καὶ ἰδιαίτερη ἐκκλησία.

54. Οὐαλεντίνος· ἀρχηγέτης θρησκευτικοῦ συστήματος κατὰ τὸ 2ο αἰώνα.

55. Μανιχαῖος· ἱδρυτὴς θρησκευτικῆς αἵρεσης, τοῦ Μανιχαϊσμοῦ.

ἄνθρωπο τέλειο καὶ ὁλοκληρωμένο, ἀλλὰ σὲ μήτρα παρθενική, ὥστε νὰ ὑπομείνει καὶ κυοφορία καὶ γέννηση καὶ θηλασμὸ καὶ μεγάλωμα, καὶ μὲ τὸ πέρασμα τοῦ χρόνου καὶ μὲ τὴ διαφορὰ ὅλων τῶν ἡλικιῶν νὰ βεβαιώσει τὸ γεγονός. Καὶ δὲ σταματάει ἐδῶ ἡ ἀπόδειξη μόνο, ἀλλὰ καὶ περιφέροντας τὴ σάρκα του τὴν ἀφήνει νὰ ὑπομείνει τὰ ἐλαττώματα τῆς φύσης, δηλαδὴ καὶ νὰ πεινάσει καὶ νὰ διψάσει καὶ νὰ κοιμηθεῖ καὶ νὰ κοπιάσει· τέλος καὶ στὸ σταυρὸ ἐρχόμενος, τὴν ἀφήνει νὰ ὑποστεῖ τὰ παθήματα τῆς σάρκας. Γι' αὐτὸ λοιπὸν ἔβγαιναν ἀπ' αὐτὴν κρουνοὶ ἱδρώτων, καὶ ἄγγελος παρευρισκόταν γιὰ νὰ τὴ στηρίζει, καὶ ὁ Ἰησοῦς λυπᾶται καὶ ἀδημονεῖ. Γιατὶ πραγματικὰ πρὶν πεῖ αὐτά, λέγει· «ἡ ψυχή μου εἶναι ταραγμένη καὶ τὴν πλακώνει θανατερὴ λύπη»[52].

Ἂν λοιπόν, ἐνῶ ἔγιναν ὅλα αὐτά, τὸ πονηρὸ στόμα τοῦ διαβόλου μὲ τὸ Μαρκίωνα ποὺ κατάγεται ἀπὸ τὸν Πόντο[53], τὸν Οὐαλεντίνο[54] καὶ τὸν Μανιχαῖο τὸν Πέρση[55] καὶ μὲ ἄλλες περισσότερες αἱρέσεις ἐπιχείρησε ν' ἀνατρέψει τὴ διδασκαλία γιὰ τὴ θεία οἰκονομία καὶ ἔβγαλε κάποια σατανικὴ φωνὴ λέγοντας πὼς δὲ σαρκώθηκε, οὔτε σάρκα φόρεσε, ἀλλὰ δοξασία ἦταν αὐτὸ καὶ φαντασία καὶ σκηνοθεσία καὶ προσποίηση, παρ' ὅλο ποὺ τὰ πάθη, ὁ θάνατος, ὁ τάφος καὶ ἡ πείνα φώναζαν, ἂν δὲν εἶχε γίνει τίποτε ἀπ' αὐτά, πῶς δὲ θὰ διέδιδε ὁ διάβολος πολὺ περισσότερο τὰ πονηρὰ αὐτὰ δόγματα τῆς ἀσέβειας; Γι' αὐτὸ ἀκριβῶς, ὅπως πείνασε, ὅπως κοιμήθηκε, ὅπως κόπιασε, ὅπως ἔφαγε, ὅπως ἤπιε, ἔτσι ἀρνεῖται καὶ τὸ θάνατο, ἀποδεικνύοντας τὸ ἀνθρώπινο καὶ τὴν ἀδυναμία τῆς φύσης, ποὺ δὲ θέλει ν' ἀποχωρισθεῖ μὲ ἀπάθεια τὴν παρούσα ζωή.

Γιατί, ἂν δὲν εἶχε πεῖ τίποτε ἀπ' αὐτά, θὰ μποροῦσε νὰ πεῖ ὅτι, ἂν ἦταν ἄνθρωπος, ἔπρεπε νὰ πάθει τὰ ἀνθρώπινα. Καὶ ποιά εἶναι αὐτά; Ἐκεῖνος ποὺ πρόκειται νὰ σταυρωθεῖ καὶ δειλιάζει καὶ ἀγωνιᾶ καὶ δὲν ἀποχωρίζεται μὲ ἀπάθεια τὴν παρού-

γὰρ ἔγκειται τὸ φίλτρον τὸ περὶ τὰ παρόντα· διά τοι τοῦτο δεῖξαι βουλόμενος ἀληθῆ τῆς σαρκὸς τὴν περιβολήν, καὶ τὴν οἰκονομίαν πιστώσασθαι, μετὰ πολλῆς τῆς ἀποδείξεως τὰ πάθη γυμνὰ πριτίθησιν. Εἷς μὲν οὖν λόγος οὗτος· ἔστι δὲ καὶ ἕτερος τούτου οὐκ ἐλάττων.

Τίς δὲ οὗτος; Παραγενόμενος ὁ Χριστός, πᾶσαν ἀρετὴν παιδεῦσαι τοὺς ἀνθρώπους ἐβούλετο· ὁ δὲ παιδεύων οὐ λόγῳ μόνον διδάσκει, ἀλλὰ καὶ ἔργῳ· αὕτη γὰρ ἡ ἀρίστη διδασκαλία ἐστὶ τοῦ διδάσκοντος. Ἐπεὶ καὶ κυβερνήτης παρακαθίζων τὸν μαθητήν, δείκνυσι μὲν αὐτῷ πῶς κατέχει τοὺς οἴακας, προστίθησι δὲ καὶ λόγον τῷ ἔργῳ, καὶ οὔτε λέγει μόνον, οὔτε ἐργάζεται μόνον· ὁμοίως καὶ οἰκοδόμος παραστήσας τὸν μέλλοντα παρ' αὐτοῦ μανθάνειν πῶς τοῖχος ὑφαίνεται, δείκνυσι μὲν αὐτῷ διὰ τοῦ ἔργου, δείκνυσι δὲ αὐτῷ καὶ διὰ τοῦ λόγου· ὡσαύτως καὶ ὑφάντης, καὶ ποικιλτής, καὶ χρυσοχόος, καὶ χαλκοτύπος, καὶ πᾶσα τέχνη διὰ λόγων τε καὶ ἔργων ἔχει τὸν διδάσκοντα. Ἐπεὶ οὖν καὶ αὐτὸς παρεγένετο παιδεῦσαι ἡμᾶς πᾶσαν ἀρετήν, διὰ τοῦτο καὶ λέγει τὰ πρακτέα, καὶ ποιεῖ. «Ὁ γὰρ ποιήσας», φησί, «καὶ διδάξας, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν».

Σκόπει δέ· ἐκέλευσεν εἶναι ταπεινόφρονας καὶ πρᾳεῖς, καὶ ἐδίδαξε διὰ τῶν ρημάτων. Ὅρα πῶς αὐτὰ παιδεύει καὶ διὰ τῶν πραγμάτων. Εἰπών, γάρ, «μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, μακάριοι οἱ πρᾳεῖς», δείκνυσι πῶς αὐτὰ δεῖ κατορθοῦν. Πῶς οὖν ἐδίδαξε; Λαβὼν λέντιον διέζωσεν ἑαυτόν, καὶ ἔνιψε τῶν μαθητῶν τοὺς πόδας. Τί ταύτης ἴσον τῆς ταπεινοφροσύνης; Οὐκ ἔτι γὰρ διὰ τῶν λόγων μόνον ταύτην παιδεύει, ἀλλὰ καὶ διὰ τῶν ἔργων. Πάλιν τὴν πρᾳότητα καὶ τὴν ἀνεξικακίαν διδάσκει διὰ τῶν ἔργων. Πῶς; Ἐρραπίσθη παρὰ

56. Ματθ. 5,19.
57. Ματθ. 5,3–5.
58. Βλ. Ἰω. 13,4–5.

σα ζωή· γιατὶ μέσα στὴν ἀνθρώπινη φύση ὑπάρχει ἡ ἀγάπη γιὰ τὰ παρόντα. Γι' αὐτὸ ἀκριβῶς, ἐπειδὴ ἤθελε νὰ δείξει ἀληθινὴ τὴν ἐνσάρκωσή του καὶ νὰ ἐπιβεβαιώσει τὴ θεία οἰκονομία, προβάλλει μὲ ἰσχυρὴ ἀπόδειξη γυμνὰ τὰ πάθη του. Ἕνας λοιπὸν λόγος εἶναι αὐτός· ὑπάρχει ὅμως καὶ ἄλλος ὄχι μικρότερος ἀπ' αὐτόν.

Καὶ ποιός εἶναι αὐτός; Ὅταν ὁ Χριστὸς ἦρθε, ἤθελε νὰ διδάξει τοὺς ἀνθρώπους κάθε ἀρετή. Ὁ δάσκαλος ὅμως δὲ διδάσκει μόνο μὲ λόγια, ἀλλὰ καὶ μὲ ἔργα, γιατὶ αὐτὴ εἶναι ἡ ἄριστη διδασκαλία τοῦ δασκάλου. Γιατὶ καὶ ὁ κυβερνήτης, ὅταν βάζει δίπλα του τὸ μαθητή, τοῦ δείχνει βέβαια πῶς νὰ κρατάει τὸ τιμόνι, ἀλλὰ προσθέτει καὶ λόγια στὴν πράξη, καὶ δὲ λέγει μόνο, οὔτε ἐργάζεται μόνο. Τὸ ἴδιο καὶ ὁ οἰκοδόμος, ἀφοῦ τοποθετήσει δίπλα του ἐκεῖνον ποὺ θέλει νὰ μάθει πῶς χτίζεται ὁ τοῖχος, τοῦ δείχνει βέβαια μὲ τὴν πράξη, τοῦ δείχνει ὅμως καὶ μὲ λόγια. Τὸ ἴδιο κάνει καὶ ὁ ὑφαντὴς καὶ ὁ κεντητὴς καὶ ὁ χρυσοχόος καὶ ὁ χαλκουργός, καὶ κάθε τέχνη ἔχει τὸ δάσκαλό της καὶ μὲ λόγια καὶ μὲ ἔργα. Ἐπειδὴ λοιπὸν καὶ ὁ Χριστὸς ἦρθε νὰ μᾶς διδάξει κάθε ἀρετή, γι' αὐτὸ καὶ λέγει ὅσα πρέπει νὰ κάνουμε καὶ τὰ κάμνει ὁ ἴδιος. Γιατὶ λέγει, «ὅποιος ἔκαμε καὶ δίδαξε, αὐτὸς θὰ ὀνομασθεῖ μεγάλος στὴ βασιλεία τῶν οὐρανῶν»[56].

Πρόσεχε ὅμως· πρόσταξε νὰ εἴμαστε ταπεινόφρονες καὶ πράοι καὶ τὰ δίδαξε αὐτὰ μὲ τὰ λόγια. Βλέπε πῶς τὰ διδάσκει αὐτὰ καὶ μὲ τὶς πράξεις. Γιατὶ λέγοντας, «μακάριοι εἶνα οἱ ταπεινόφρονες, μακάριοι οἱ πράοι»[57], δείχνει πῶς πρέπει νὰ τὰ κατορθώνουμε αὐτά. Πῶς λοιπὸν δίδαξε; Πῆρε μιὰ ποδιὰ καὶ ζώσθηκε μ' αὐτή, καὶ ἔπλυνε τὰ πόδια τῶν μαθητῶν του[58]. Τί εἶναι ἴσο μὲ τὴν ταπεινοφροσύνη αὐτή; Γιατὶ δὲν τὴ διδάσκει πιὰ μόνο μὲ τὰ λόγια, ἀλλὰ καὶ μὲ τὰ ἔργα. Ἐπίσης τὴν πραότητα καὶ τὴν ἀνεξικακία τὰ διδάσκει μὲ τὰ ἔργα. Πῶς; Δέχθηκε

τοῦ δούλου τοῦ ἀρχιερέως, καί φησιν, «εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δε καλῶς, τί με δέρεις;». Ἐκέλευσεν εὔχεσθαι ὑπὲρ τῶν ἐχθρῶν· πάλιν καὶ τοῦτο διὰ τῶν ἔργων παιδεύει· ἀναβὰς γὰρ ἐν τῷ σταυρῷ λέγει, «Πάτερ ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι». Ὥσπερ οὖν ἐκέλευσεν εὔχεσθαι, οὕτω καὶ αὐτὸς εὔχεται, σὲ παιδεύων εὔχεσθαι, οὐκ αὐτὸς ἀτονῶν ἀφιέναι.

Πάλιν ἐκέλευσεν εὖ ποιεῖν τοῖς μισοῦσιν ἡμᾶς, καὶ καλῶς ποιεῖν τοὺς ἐπηρεάζοντας· τοῦτο δὲ διὰ τῶν ἔργων ἐποίησε· τῶν γὰρ Ἰουδαίων τοὺς δαίμονας ἐξέβαλε, τῶν καλούντων αὐτὸν δαιμονῶντα, ἐλαύνοντας εὐηργέτει, ἐπιβουλεύοντας ἔτρεφε, σταυρῶσαι βουλομένους εἰς βασιλείαν ἐχειραγώγει. Ἔλεγε πάλιν τοῖς μαθηταῖς, «μὴ κτήσησθε χρυσόν, μηδὲ ἄργυρον, μηδε χαλκὸν εἰς τὰς ζώνας ὑμῶν», πρὸς ἀκτημοσύνην ἀλείφων· τοῦτο πάλιν διὰ τῶν ἔργων ἐπαίδευεν οὕτω λέγων· «αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι». Καὶ οὐκ ἦν αὐτῷ τράπεζα, οὐκ οἰκία, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδέν· οὐκ ἐπειδὴ ἠπόρει, ἀλλ' ἐπειδὴ ἐπαίδευε τοὺς ἀνθρώπους ταύτην ἐλθεῖν τὴν ὁδόν.

Κατὰ δὴ τοῦτον τὸν τρόπον καὶ εὔχεσθαι αὐτοὺς ἐδίδασκεν. Ἔλεγον οὖν αὐτῷ, «δίδαξον ἡμᾶς εὔχεσθαι». Διὰ τοῦτο καὶ εὔχεται, ἵνα ἐκεῖνοι μάθωσιν εὔχεσθαι. Ἀλλ' οὐκ εὔχεσθαι μόνον, ἀλλὰ καὶ πῶς δεῖ εὔχεσθαι μαθεῖν αὐτοὺς ἐχρῆν· διὰ δὴ τοῦτο καὶ εὐχὴν παρέδωκεν οὕτως ἔχουσαν· «Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐ-

---

59. Ἰω. 18,23.
60. Λουκᾶ 23,34.
61. Ματθ. 10,9.
62. Ματθ. 8,20.
63. Λουκᾶ 11,1.

ράπισμα ἀπὸ τὸ δοῦλο τοῦ ἀρχιερέα καὶ λέγει· «ἂν εἶπα κάτι κακό, πὲς ποιό ἦταν αὐτό· ἂν ὅμως μίλησα σωστά, γιατί μὲ δέρνεις;»[59]. Πρόσταξε νὰ προσευχόμαστε γιὰ τοὺς ἐχθρούς μας. Καὶ αὐτὸ πάλι τὸ διδάσκει μὲ τὰ ἔργα, γιατὶ ὅταν ἀνέβηκε πάνω στὸ σταυρὸ λέγει· «Πατέρα, συγχώρησέ τους, γιατὶ δὲν ξέρουν τί κάνουν»[60]. Ὅπως λοιπὸν ἔδωσε ἐντολὴ νὰ προσευχόμαστε, ἔτσι καὶ ὁ ἴδιος πρεσεύχεται, γιὰ νὰ διδάξει ἐσένα νὰ προσεύχεσαι, γιατὶ καὶ ὁ ἴδιος δὲν παύει νὰ συγχωρεῖ.

Ἐπίσης διέταξε νὰ εὐεργετοῦμε ὅσους μᾶς μισοῦν καὶ νὰ ὠφελοῦμε ὅσους μᾶς βλάπτουν. Καὶ αὐτὸ τὸ ἔκαμε μὲ τὰ ἔργα· γιατὶ ἔδιωξε τὰ δαιμόνια ἀπὸ τοὺς Ἰουδαίους, ποὺ τὸν ὀνόμαζαν δαιμονισμένο, εὐεργετοῦσε ἐκείνους ποὺ τὸν καταδίωκαν, ἔτρεφε ἐκείνους ποὺ τὸν ἐπιβουλεύονταν, ὁδηγοῦσε στὴ βασιλεία τῶν οὐρανῶν ἐκείνους ποὺ ἤθελαν νὰ τὸν σταυρώσουν. Ἔλεγε πάλι στοὺς μαθητές του, «μὴν πάρετε στὸ ζωνάρι σας χρυσὸ ἢ ἀσημένιο ἢ χάλκινο νόμισμα»[61], μὲ σκοπὸ νὰ τοὺς προετοιμάσει στὴν ἀκτημοσύνη. Αὐτὸ πάλι τὸ δίδασκε μὲ τὰ ἔργα λέγοντας αὐτό· «οἱ ἀλεποῦδες ἔχουν καταφύγιο καὶ τὰ πουλιὰ τοῦ οὐρανοῦ ἔχουν φωλιά· ὁ Υἱὸς ὅμως τοῦ ἀνθρώπου δὲν ἔχει ποῦ νὰ γείρει τὸ κεφάλι του»[62]. Καὶ δὲν εἶχε τραπέζι, οὔτε σπίτι, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ παρόμοια· ὄχι γιατὶ ἦταν φτωχός, ἀλλὰ γιατὶ δίδασκε τοὺς ἀνθρώπους ν' ἀκολουθήσουν αὐτὸν τὸν τρόπο ζωῆς.

Κατὰ τὸν ἴδιο ἀκριβῶς τρόπο τοὺς δίδασκε πάλι καὶ νὰ προσεύχονται. Τοῦ ἔλεγαν, λοιπόν, «δίδαξέ μας νὰ προσευχόμαστε»[63]. Γι' αὐτὸ καὶ προσεύχεται, γιὰ νὰ μάθουν ἐκεῖνοι νὰ προσεύχονται. Ἀλλ' ὄχι μόνο νὰ προσεύχονται, ἀλλὰ ἔπρεπε νὰ μάθουν καὶ πῶς πρέπει νὰ προσεύχονται. Γι' αὐτὸ λοιπὸν τοὺς παρέδωσε καὶ προσευχὴ ποὺ ἔχει ὡς ἑξῆς· «Πατέρα μας, ποὺ βρίσκεσαι στοὺς οὐρανούς, ἂς ἁγιασθεῖ τὸ ὄνομά σου· ἂς ἔρθει ἡ βασιλεία σου· ἂς γίνει τὸ θέλημά σου καὶ ἀπὸ τοὺς ἀνθρώ-

ρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν», τοῦτ' ἔστιν, εἰς κίνδυνον, εἰς ἐπιβουλάς.

Ἐπεὶ οὖν ἐκέλευσεν εὔχεσθαι, «μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν», τοῦτο αὐτὸ διδάσκει αὐτοὺς δι' αὐτοῦ τοῦ πράγματος λέγων, «Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο», παιδεύων ἅπαντας τοὺς ἁγίους μὴ ἐπιπηδᾶν τοῖς κινδύνοις, μηδὲ ἐπιρρίπτειν ἑαυτούς, ἀλλ' ἀναμένειν μὲν ἐπιόντας, καὶ ἀνδρείαν πᾶσαν ἐπιδείκνυσθαι· μὴ μὴν αὐτοὺς προπηδᾶν, μηδὲ πρώτους ὁμόσε τοῖς δεινοῖς ἰέναι. Τί δήποτε; Καὶ ταπεινοφροσύνην διδάσκων, καὶ τῶν τῆς κενοδοξίας ἐγκλημάτων ἀπαλλάττων. Διά τοι τοῦτο καὶ ἐνταῦθα, ὅτε ταῦτα ἔλεγεν, «ἀπελθών», φησί, «προσηύξατο»· καὶ μετὰ τὸ προσεύξασθαι λέγει τοῖς μαθηταῖς οὕτως· «οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; Γρηγορεῖτε καὶ προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν». Ὁρᾷς ὅτι οὐ προσεύχεται μόνον, ἀλλὰ καὶ παραινεῖ; «Τὸ μὲν γὰρ πνεῦμα πρόθυμον», φησίν, «ἡ δὲ σὰρξ ἀσθενής». Τοῦτο δὲ ἔλεγε, τύφου τὴν ψυχὴν αὐτῶν κενῶν, καὶ ἀπονοίας ἀπαλλάττων, συνεσταλμένους ποιῶν, μετριάζειν παρασκευάζων.

Ὃ τοίνυν ἠβούλετο αὐτοὺς διδάσκειν εὔχεσθαι, τοῦτο καὶ αὐτὸς ηὔξατο ἀνθρωπίνως, οὐ κατὰ τὴν θεότητα (ἀπαθὲς γὰρ τὸ Θεῖον), ἀλλὰ κατὰ τὴν ἀνθρωπότητα. Ηὔξατο δὲ παιδεύων ἡμᾶς εὔχεσθαι, καὶ ἀεὶ ζητεῖν τῶν δεινῶν τὴν ἀπαλλαγήν· εἰ δὲ μὴ ἐγχωροίη, στέργειν τὰ τῷ Θεῷ δοκοῦντα. Διὰ τοῦτο ἔλεγε, «πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ»· οὐκ

---

64. Ματθ. 6,9–13.
65. Ματθ. 26,40. 41.

πους, ὅπως γίνεται ἀπὸ τὶς οὐράνιες δυνάμεις. Δῶσε μας σήμερα τὸ ἀπαραίτητο γιὰ τὴ ζωή μας ψωμί, καὶ συγχώρησε τὶς ἁμαρτίες μας, ὅπως καὶ ἐμεῖς συγχωροῦμε τοὺς δικούς μας ὀφειλέτες· καὶ μὴ μᾶς ἀφήσεις νὰ περιπέσουμε σὲ πειρασμό»[64], δηλαδή, σὲ κίνδυνο, σὲ ἐπιβουλές.

Ἐπειδὴ λοιπὸν διέταξε νὰ προσεύχονται, «μὴ μᾶς ἀφήσεις νὰ περιπέσουμε σὲ πειρασμό», αὐτὸ ἀκριβῶς τὸ ἴδιο τοὺς διδάσκει μὲ τὴν πράξη, λέγοντας, «Πατέρα, ἂν εἶναι δυνατό, ἂς ἀποφύγω τὸ ποτήρι αὐτό», διδάσκοντας ὅλους τοὺς πιστοὺς νὰ μὴν ὁρμοῦν στοὺς κινδύνους, οὔτε νὰ χάνουν τὸ θάρρος τους, ἀλλὰ νὰ τοὺς ὑπομένουν ὅταν ἐπέρχονται καὶ νὰ δείχνουν κάθε ἀνδρεία, ὅμως νὰ μὴν τρέχουν ἀπὸ πρίν, οὔτε νὰ ὁρμοῦν πρῶτοι στὰ δεινά. Γιατί λοιπόν; Γιὰ νὰ τοὺς διδάξει τὴν ταπεινοφροσύνη καὶ γιὰ νὰ τοὺς ἀπαλλάξει ἀπὸ τὶς κατηγορίες τῆς ματαιοδοξίας. Γι' αὐτὸ ἀκριβῶς καὶ ἐδῶ ὅταν ἔλεγε αὐτά, «ἀπομακρύνθηκε», λέγει, «καὶ προσευχήθηκε»· καὶ ὕστερα ἀπὸ τὴν προσευχὴ λέγει στοὺς μαθητὲς τὰ ἑξῆς· «δὲν μπορέσατε οὔτε μιὰ ὥρα νὰ μείνετε ξάγρυπνοι μαζί μου; Μένετε ξάγρυπνοι καὶ προσεύχεστε, γιὰ νὰ μὴν περιπέσετε σὲ πειρασμό»[65]. Βλέπεις ὅτι δὲν προσεύχεται μόνο, ἀλλὰ καὶ συμβουλεύει; «Τὸ πνεῦμα εἶναι πρόθυμο», λέγει, «ἀλλὰ ἡ σάρκα ἀδύναμη». Καὶ αὐτὸ τὸ ἔλεγε, γιὰ νὰ διώξει τὴν ὑπερηφάνεια ἀπο τὴν ψυχή τους, νὰ τοὺς ἀπαλλάξει ἀπὸ τὴν ἀλαζονεία, νὰ τοὺς κάνει προσεκτικούς, νὰ τοὺς καταστήσει μετριόφρονες.

Αὐτὸ λοιπὸν ποὺ ἤθελε νὰ τοὺς διδάξει γιὰ νὰ προσεύχονται, τὸ ἴδιο καὶ ἐκεῖνος προσευχήθηκε σὰν ἄνθρωπος, ὄχι κατὰ τὴ θεία φύση (γιατὶ τὸ Θεῖο δὲν παθαίνει τίποτε), ἀλλὰ κατὰ τὴν ἀνθρώπινη. Προσευχήθηκε ὅμως γιὰ νὰ μᾶς διδάξει νὰ προσευχόμαστε καὶ νὰ ζητοῦμε πάντοτε τὴν ἀπαλλαγή μας ἀπὸ τὰ δεινά· ἂν ὅμως αὐτὸ δὲν εἶναι δυνατό, νὰ ὑπομένουμε ὅσα φαίνονται στὸ Θεὸ καλά. Γι' αὐτὸ ἔλεγε, «ὅμως ἂς μὴ γίνει

ἐπειδὴ ἄλλο μὲν αὐτοῦ βούλημα, ἄλλο δὲ τοῦ Πατρός· ἀλλ' ἵνα παιδεύσῃ τοὺς ἀνθρώπους, κἂν ἀγωνιῶσι, κἂν τρέμωσι, κἂν κίνδυνος ἐπίῃ, κἂν μὴ βούλωνται ἀπορραγῆναι τῆς παρούσης ζωῆς, ὅμως τοῦ οἰκείου βουλήματος προτιμᾶν τὸ τοῦ Θεοῦ βούλημα· ὅπερ οὖν καὶ Παῦλος παιδευθείς, ἀμφότερα ταῦτα διὰ τῶν ἔργων ἔδειξε τούς τε γὰρ πειρασμοὺς ἠξίωσεν ἀποκινηθῆναι αὐτοῦ, οὕτω λέγων, «ὑπὲρ τούτου τρίτον τὸν Κύριον παρεκάλεσα»· καὶ ἐπειδὴ οὐκ ἔδοξε τῷ Θεῷ, φησί, «δι' ὃ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσι, ἐν διωγμοῖς».

Τάχα δὲ ἀσαφὲς τὸ εἰρημένον· οὐκοῦν ποιῶ αὐτὸ σαφέστερον. Ἐκινδύνευσε πολλὰ ὁ Παῦλος, καὶ ηὔξατο μὴ κινδυνεύειν. Ἤκουσεν οὖν τοῦ Χριστοῦ λέγοντος, ὅτι «ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται». Ἐπεὶ οὖν εἶδε τοῦ Θεοῦ θέλημα ὄν, λοιπὸν τὸ ἑαυτοῦ θέλημα ὑποτάττει τῷ τοῦ Θεοῦ θελήματι. Ταῦτα τοίνυν ἀμφότερα ἀπὸ τῆς εὐχῆς ταύτης ἐπαίδευσε, μήτε ἐπιπηδᾶν τοῖς κινδύνοις, ἀλλὰ καὶ εὔχεσθαι μὴ ἐμπεσεῖν εἰς αὐτούς· εἰ δὲ ἐπέλθοιεν, φέρειν αὐτοὺς γενναίως, καὶ τοῦ οἰκείου θελήματος προτιμᾶν τὸ τοῦ Θεοῦ θέλημα.

Ταῦτα οὖν εἰδότες, εὐχώμεθα μὲν μηδέποτε εἰσελθεῖν εἰς πειρασμόν· κἂν εἰσέλθωμεν, παρακαλῶμεν τὸν Θεὸν διδόναι ἡμῖν ὑπομονὴν καὶ ἀνδρείαν, καὶ τὸ αὐτοῦ θέλημα παντὸς θελήματος ἡμῶν προτιμῶμεν. Οὕτω γὰρ καὶ τὸν παρόντα βίον μετὰ ἀσφαλείας διανύσομεν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτευξόμεθα· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὅπως ἐγὼ θέλω, ἀλλ' ὅπως θέλεις ἐσύ»· ὄχι βέβαια γιατὶ ἄλλο ἦταν τὸ δικό του θέλημα καὶ ἄλλο τοῦ Πατέρα του, ἀλλὰ γιὰ νὰ διδάξει τοὺς ἀνθρώπους, καὶ στὴν περίπτωση ἀκόμα ποὺ ἀγωνιοῦν ἢ τρέμουν ἢ ἔρχεται ἐναντίον τους κάποιος κίνδυνος ἢ δὲ θέλουν ν' ἀποχωρισθοῦν τὴν παρούσα ζωή, ἀπὸ τὸ δικό τους θέλημα νὰ προτιμοῦν τὸ θέλημα τοῦ Θεοῦ. Αὐτὸ ἀκριβῶς καὶ ὁ Παῦλος διδάχθηκε καὶ τὰ ἀπέδειξε καὶ τὰ δύο μὲ τὰ ἔργα. Γιατὶ ζήτησε καὶ οἱ πειρασμοὶ ν' ἀπομακρυνθοῦν ἀπ' αὐτόν, λέγοντας, «γι' αὐτὸ παρακάλεσα τρεῖς φορὲς τὸν Κύριο», καὶ ἐπειδὴ δὲ φάνηκε καλὸ στὸ Θεὸ λέγει· «γι' αὐτὸ χαίρομαι στὶς ἀσθένειες, στὶς ὕβρεις, στοὺς διωγμούς»[66].

Ἴσως εἶναι ἀσαφὲς αὐτὸ ποὺ λέχθηκε· τὸ κάνω λοιπὸν σαφέστερο. Κινδύνεψε πολλὲς φορὲς ὁ Παῦλος καὶ προσευχήθηκε νὰ μὴν κινδυνεύει. Ἄκουσε τότε τὸ Χριστὸ νὰ λέγει· «σοῦ ἀρκεῖ ἡ χάρη μου, γιατὶ ἡ δύναμή μου φανερώνεται στὴν πληρότητά της μέσα στὴν ἀνθρώπινη ἀδυναμία σου»[67]. Ἀφοῦ λοιπὸν εἶδε πὼς ἦταν θέλημα τοῦ Θεοῦ, στὴ συνέχεια ὑποτάσσει τὸ δικό του θέλημα στὸ θέλημα τοῦ Θεοῦ. Αὐτὰ λοιπὸν τὰ δύο δίδαξε μὲ τὴν προσευχὴ αὐτή, δηλαδή, νὰ μὴ ριχνόμαστε στοὺς κινδύνους, ἀλλὰ καὶ νὰ προσευχόμαστε νὰ μὴν περιπέσουμε σ' αὐτούς· ἂν ὅμως ἔρθουν νὰ τοὺς ὑποφέρουμε μὲ γενναιότητα καὶ ἀπὸ τὸ δικό μας θέλημα νὰ προτιμοῦμε τὸ θέλημα τοῦ Θεοῦ.

Γνωρίζοντας λοιπὸν αὐτά, ἂς προσευχόμαστε νὰ μὴν περιπέσουμε ποτὲ σὲ πειρασμό· καὶ ἂν περιπέσουμε, ἂς παρακαλοῦμε τὸ Θεὸ νὰ μᾶς δίνει ὑπομονὴ καὶ ἀνδρεία καὶ ἂς προτιμοῦμε τὸ θέλημά του ἀπὸ κάθε ἄλλο θέλημα. Γιατὶ ἔτσι καὶ τὴν παρούσα ζωὴ θὰ περάσουμε μὲ ἀσφάλεια καὶ τὰ μελλοντικὰ ἀγαθὰ θὰ ἐπιτύχουμε, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΘΕΟΝ ΠΟΛΙΤΕΥΕΣΘΑΙ, καὶ εἰς τό, «Στενὴ ἡ πύλη», καὶ τὰ ἑξῆς· καὶ ἑρμηνεία τῆς προσευχῆς τοῦ, «Πάτερ ἡμῶν»

1. Πάσης μὲν θεοπνεύστου Γραφῆς ἡ ἀνάγνωσις γίνεται τοῖς προσέχουσιν εὐσεβείας ἐπίγνωσις· ἡ δὲ σεπτὴ τῶν Εὐαγγελίων γραφὴ ὑψηλοτέρων ἐστὶ διδαγμάτων ὑπεροχή· τὰ γὰρ ἐν αὐτοῖς ἐμφερόμενα λόγια ὑψίστου Βασιλέως ὑπάρχει θεσπίσματα. Διὸ καὶ φοβερά τις ἠπείληται κόλασις τοῖς μὴ φυλάττουσιν ἀκριβῶς τὰ ὑπ' αὐτοῦ εἰρημένα. Εἰ γὰρ τῶν ἐπὶ γῆς ἀρχόντων ὁ παραβαίνων τοὺς νόμος ἀπαραίτητον ὑφίσταται κόλασιν, πόσῳ μᾶλλον ἀφορήτοις ἐκδοθήσεται βασάνοις ὁ τοῦ ἐπουρανίου Δεσπότου ἀθετῶν τὰ προστάγματα; Ἐπεὶ οὖν μέγας ἐστὶν ὁ τῆς ἀπροσεξίας κίνδυνος, μετὰ πολλῆς ἀκριβείας προσέχωμεν τῇ ἀκροάσει τῶν ἀρτίως ἀναγνωσθέντων ἡμῖν ἐκ τοῦ Εὐαγγελίου ῥημάτων. Τίνα δὲ ταῦτά ἐστι; «Στενή», φησίν, «ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν· καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν». Καὶ πάλιν· «πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ διερχόμενοι δι' αὐτῆς».

Τούτων ἐγὼ συνεχῶς ἀκούων τῶν λόγων, καὶ τῶν ἀνθρώπων τὴν ἐπὶ τὰ μάταια βλέπων σπουδήν, λίαν θαυμάζω

---

1. Ματθ. 7,14.
2. Ματθ. 7,13.

ΟΜΙΛΙΑ

ΠΕΡΙ ΣΥΜΦΩΝΗΣ ΜΕ ΤΟ ΘΕΛΗΜΑ ΤΟΥ ΘΕΟΥ ΖΩΗΣ

Ἐπίσης στὸ «Εἶναι στενὴ ἡ πύλη» καὶ τὰ ἑπόμενα, καὶ ἑρμηνεία τῆς προσευχῆς τοῦ «Πάτερ ἡμῶν»

1. Ἡ ἀνάγνωση ὅλης τῆς θεόπνευστης Γραφῆς γίνεται, σ' ἐκείνους ποὺ προσέχουν, ἐπίγνωση τῆς εὐσέβειας. Ἡ σεπτὴ ὅμως γραφὴ τῶν Εὐαγγελίων εἶναι ἀνώτερη σὲ ὑψηλότερα διδάγματα, γιατὶ τὰ ἀναφερόμενα σ' αὐτὰ λόγια εἶναι προστάγματα τοῦ ὕψιστου Βασιλιᾶ. Γι' αὐτὸ καὶ ἔχει ἀπειληθεῖ φοβερὴ τιμωρία γιὰ ὅσους δὲ φυλάγουν μὲ ἀκρίβεια τὰ λόγια του. Ἂν λοιπὸν ἐκεῖνος ποὺ παραβαίνει τοὺς νόμους τῶν ἀρχόντων τῆς γῆς τιμωρεῖται ὁπωσδήποτε, πόσο περισσότερο θὰ παραδοθεῖ σὲ ἀφόρητα βασανιστήρια ἐκεῖνος ποὺ παραβαίνει τὰ προστάγματα τοῦ Θεοῦ; Ἀφοῦ λοιπὸν εἶναι μεγάλος ὁ κίνδυνος τῆς ἀπροσεξίας, ἃς προσέχουμε μὲ πολλὴ ἀκρίβεια στὴν ἀκρόαση τῶν λόγων ποὺ πρὶν λίγο διαβάστηκαν σὲ μᾶς ἀπὸ τὸ Εὐαγγέλιο. Καὶ ποιοί εἶναι αὐτοί; «Στενή», λέγει, «εἶναι ἡ πύλη καὶ γεμάτος δυσκολίες ὁ δρόμος ποὺ ὁδηγεῖ στὴ ζωή, καὶ λίγοι εἶναι ἐκεῖνοι ποὺ τὸν βρίσκουν»[1]. Καὶ πάλι· «πλατιὰ εἶναι ἡ πύλη καὶ εὐρύχωρος ὁ δρόμος ποὺ ὁδηγεῖ στὴν καταστροφή, καὶ πολλοὶ εἶναι ἐκεῖνοι ποὺ βαδίζουν αὐτόν»[2].

Ἀκούοντας ἐγὼ συνέχεια αὐτὰ τὰ λόγια καὶ βλέποντας τὸ ἐνδιαφέρον τῶν ἀνθρώπων γιὰ τὰ μάταια, θαυμάζω πάρα πολὺ

τῶν εἰρημένων τὴν ἀλήθειαν. Πάντες γὰρ διὰ τῆς πλατείας βαδίζουσιν ὁδοῦ, πάντες εἰς τὰ παρόντα κεχήνασι πράγματα, καὶ τῶν μελλόντων οὐδέποτε λαμβάνουσιν ἔννοιαν· ἀλλ' εἰς μὲν τὰς σωματικὰς ἀπολαύσεις ἀδιαλείπτως ἐπείγονται, τὰς δὲ ψυχὰς ἐῶσιν ἐν λιμῷ κατατήκεσθαι· καὶ μυρία καθ' ἑκάστην ἡμέραν λαμβάνοντες τραύματα, οὐδέποτε αἴσθησιν ἔχουσι τῶν ἐν οἷς εἰσι κακῶν· καὶ τῶν μὲν τοῦ σώματος ἕνεκα παθημάτων, φοιτῶσι πρὸς τοὺς ταῦτα θεραπεύοντας· καὶ αὐτοὺς δὲ τούτους οἴκαδε παραπέμπονται, καὶ μισθοὺς παρέχουσιν ὅτι μάλιστα πλείστους, καὶ καρτερίαν ἐπιδείκνυνται πολλήν, καὶ τῆς ἐπιπόνου θεραπείας ἀνέχονται, ἵνα τὴν ἐκείνου ὑγείαν ὠνήσωνται· τῆς δὲ ψυχῆς κακῶς διακειμένης παντελῶς ἀμελοῦσι, καὶ τὴν ἀξιέραστον αὐτῆς ὑγείαν λαβεῖν οὐ σπουδάζουσι, καίτοι σαφῶς ἐπιστάμενοι, ὅτι τὸ μὲν σῶμα θνητόν ἐστι καὶ ἐπίκηρον, καὶ τοῖς ἐαρινοῖς προσέοικεν ἄνθεσιν· ὁμοίως γὰρ ἐκείνοις μαραίνεται καὶ σβέννυται, καὶ φθορᾷ παραδίδοται· τὴν δὲ ψυχὴν ἴσασιν ἀθανασίᾳ τετιμημένην, καὶ κατ' εἰκόνα θείαν γεγενημένην, καὶ τοῦ ζώου πεπιστευμένην τοὺς οἴακας.

Ὅπερ γάρ ἐστιν ἡνίοχος ἅρματι, καὶ κυβερνήτης πλοίῳ, καὶ μουσικὸς ὀργάνῳ, τοῦτο εἶναι τῷ γηΐνῳ τούτῳ σκεύει τὴν ψυχὴν ὁ πλάστης ἐνομοθέτησεν. Αὕτη γὰρ κατέχει τὰς ἡνίας, καὶ κινεῖ τὰ πηδάλια, καὶ τὰ χορδὰς ἀνακρούεται, καὶ εὖ μὲν τοῦτο πράττουσα, τὸ παναρμόνιον τῆς ἀρετῆς ἀνακρούεται μέλος· ὅταν δὲ ἢ χαλάσῃ τοὺς φθόγγους, ἢ διατείνῃ πέρα τοῦ δέοντος, καὶ τῇ τέχνῃ καὶ τῇ ἁρμονίᾳ λυμαίνεται. Ταύτης τοίνυν ἀμελοῦσιν οἱ πολλοὶ τῶν ἀνθρώπων, καὶ οὐδὲ βραχείας αὐτὴν ἐπιμελείας ἀξιοῦσιν, ἀλλ' ἅπαντα τῆς ζωῆς αὐτῶν τὸν χρόνον εἰς τὰς σωματικὰς ἀναλίσκουσι φροντίδας. Καὶ οἱ μὲν τὸν τῶν ναυτίλων ἀσπάζονται βίον, καὶ κύμασι καὶ πνεύμασι μάχονται, τὴν

τὴν ἀλήθεια αὐτῶν ποὺ λέχθηκαν. Γιατὶ ὅλοι βαδίζουν στὸν εὐρύχωρο δρόμο, ὅλοι εἶναι ἀπορροφημένοι ἀπὸ τὰ παρόντα πράγματα καὶ δὲ σκέπτονται ποτὲ τὰ μελλοντικά. Καὶ στὶς σωματικὲς βέβαια ἀπολαύσεις τρέχουν συνέχεια, ἐνῶ ἀφήνουν τὶς ψυχές τους νὰ λειώνουν στὴν πείνα. Καὶ μολονότι κάθε ἡμέρα δέχονται ἄπειρα τραύματα, ποτὲ δὲν καταλαβαίνουν τὰ κακὰ στὰ ὁποῖα βρίσκονται. Ἐπίσης γιὰ τὰ παθήματα τοῦ σώματος ἐπισκέπτονται ἐκείνους ποὺ τὰ θεραπεύουν, καὶ τοὺς καλοῦν καὶ τοὺς ἴδιους στὸ σπίτι τους, καὶ τοὺς ἀμείβουν ὅσο μποροῦν περισσότερο, καὶ ὑπομονὴ δείχνουν μεγάλη, καὶ τὴν κουραστικὴ θεραπεία ἀνέχονται γιὰ ν' ἀγοράσουν τὴν ὑγεία τοῦ σώματος. Τὴν ψυχὴ ὅμως, ἂν καὶ βρίσκεται σὲ κακὴ κατάσταση, τὴν παραμελοῦν τελείως, καὶ δὲ φροντίζουν ν' ἀποκτήσουν τὴν πολυπόθητη ὑγεία της, μολονότι γνωρίζουν καλὰ ὅτι τὸ σῶμα εἶναι θνητὸ καὶ φθαρτὸ καὶ εἶναι ὅμοιο μὲ τὰ ἀνοιξιάτικα ἄνθη –γιατὶ σὰν καὶ ἐκεῖνα μαραίνεται καὶ σβήνει καὶ παραδίνεται στὴ φθορά–, ἐνῶ ξέρουν ὅτι ἡ ψυχὴ ἔχει τιμηθεῖ μὲ ἀθανασία, ἔχει γίνει σύμφωνα μὲ τὴν εἰκόνα τοῦ Θεοῦ καὶ ἔχει ἀναλάβει τὴν καθοδήγηση τοῦ σώματος.

Γιατὶ ὅ,τι ἀκριβῶς εἶναι ὁ ἡνίοχος στὸ ἅρμα, καὶ ὁ κυβερνήτης στὸ πλοῖο, καὶ ὁ μουσικὸς στὸ ὄργανο, αὐτὸ ὅρισε ὁ δημιουργὸς νὰ εἶναι ἡ ψυχὴ στὸ γήινο αὐτὸ σκεῦος. Γιατὶ αὐτὴ κρατάει τὰ χαλινάρια καὶ κινεῖ τὰ πηδάλια καὶ ἀνακρούει τὶς χορδὲς καί, ὅταν τὸ κάνει αὐτὸ καλά, ἀνακρούει τὸ παναρμόνιο μέλος τῆς ἀρετῆς, ὅταν ὅμως ἢ χαλαρώσει τοὺς φθόγγους ἢ τοὺς αὐξήσει περισσότερο ἀπ' ὅσο πρέπει, καταστρέφει καὶ τὴν τέχνη καὶ τὴν ἁρμονία. Αὐτὴ λοιπὸν παραμελοῦν οἱ πολλοὶ ἄνθρωποι καὶ δὲν τὴ θεωροῦν ἄξια γιὰ λίγη φροντίδα, ἀλλὰ ξοδεύουν ὅλο τὸ χρόνο τῆς ζωῆς τους στὶς σωματικὲς φροντίδες. Καὶ ἄλλοι ἐπιδιώκουν τὴ ζωὴ τῶν ναυτικῶν καὶ μάχονται μὲ τὰ κύματα καὶ τοὺς ἀνέμους, φέρνοντας μαζί τους τὴ ζωὴ καὶ τὸ

ζωὴν καὶ τὸν θάνατον μεθ' ἑαυτῶν περιφέροντες, καὶ τὰς τῆς σωτηρίας ἐλπίδας ἐν ὀλίγαις σανίσι κατέχοντες· οἱ δὲ τὸν τῆς γεωπονίας ἀναδέχονται ἱδρῶτα, βοῦς ἀροτῆρας ζευγνύντες, καὶ τὴν γῆν ἀροτριῶντες, καὶ νῦν μὲν σπείροντες καὶ θερίζοντες, νῦν δὲ φυτεύοντες καὶ τρυφῶντες, καὶ ἅπας αὐτοῖς ὁ χρόνος μετὰ τῆς τοιαύτης ὁδεύει ταλαιπωρίας· οἱ δὲ τὰς ἐμπορίας ἐπέρχονται, καὶ ὑπὲρ τούτων τὰς ἐν τῇ γῇ τε καὶ θαλάττῃ ποιοῦνται ἀποδημίας, καὶ τῆς οἰκείας τὴν ἀλλοδαπὴν προτιμῶσι, καὶ πατρίδα, καὶ γένος καὶ φίλους καὶ ὁμοζύγους μετὰ παίδων καταλιμπάνοντες, ὀλίγων ἕνεκα κερδῶν τὴν ξένην ἀσπάζονται.

Καὶ τί δεῖ πάσας καταλέγειν τὰς τέχνας, ἃς ταῖς χρείαις τοῦ σώματος ἐξεῦρον οἱ ἄνθρωποι, ἐν αἷς διημερεύοντες καὶ διανυκτερεύοντες, τὴν μὲν ἐκείνου θεραπείαν ἑαυτοῖς περιποιοῦνται, τὴν δὲ ψυχὴν ὑπερορῶσι πεινῶσάν τε καὶ διψῶσαν καὶ αὐχμῶσαν καὶ ῥυπῶσαν, καὶ ὑπὸ μυρίων ἐνοχλουμένην κακῶν; Καὶ μετὰ πολλοὺς ἱδρῶτας καὶ πόνους οὐδὲ τὸ θνητὸν σῶμα θανάτου κρεῖττον ἐργάζονται, καὶ τὴν ἀθάνατον μετὰ τοῦ θνητοῦ ταῖς ἀθανάτοις ὑποβάλλουσι τιμωρίαις.

2. Διὰ τοῦτο λίαν ὀλοφυρόμενος τὴν περικεχυμένην ἄγνοιαν ταῖς τῶν ἀνθρώπων ψυχαῖς, καὶ τῆς ἐπικειμένης αὐτοῖς ἀχλύος τὴν παχύτητα, ἐβουλόμην μὲν εὑρεῖν σκοπιὰν ὑψηλὴν ὑποδεικνύουσάν μοι πάντα τὰ τῶν ἀνθρώπων γένη· ἐβουλόμην δὲ καὶ φωνῆς τυχεῖν, πάντα περιηχούσης τὰ πέρατα, καὶ πᾶσιν ἀρκούσης τοῖς ἐπὶ τῆς γῆς, καὶ στῆναι καὶ βοῆσαι, καὶ τὴν Δαυϊδικὴν ἐκείνην ἀνακράξαι φωνήν· «υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος», προτιμῶντες τῶν οὐρανίων τὰ φθειρόμενα; Ἕως πότε τοὺς ὀφθαλμοὺς μύετε, καὶ τὰ ὦτα βύετε, καὶ τῆς θείας φωνῆς οὐκ ἀκούετε, τῆς καθ' ἑκάστην ἡμέραν βοώσης· «αἰτεῖτε, καὶ δοθήσεται

3. Ψαλμ. 4,3.

θάνατο καὶ στηρίζοντας τὶς ἐλπίδες τῆς σωτηρίας τους σὲ λίγες σανίδες. Ἄλλοι προτιμοῦν τὸν ἱδρώτα τῆς γεωργίας, ζεύοντας στὸ ἄροτρο βόδια καὶ ὀργώνοντας τὴ γῆ, καὶ ἄλλοτε σπέρνοντας καὶ θερίζοντας, καὶ ἄλλοτε φυτεύοντας καὶ τρυγώντας, καὶ ὅλος τους ὁ χρόνος προχωρεῖ μὲ τέτοια ταλαιπωρία. Ἄλλοι ἀσχολοῦνται μὲ τὸ ἐμπόριο καὶ γι' αὐτὸ ταξιδεύουν στὴν ξηρὰ καὶ τὴ θάλασσα καὶ προτιμοῦν ἀπὸ τὴ δική τους τὴν ξένη χώρα, ἐγκαταλείποντας καὶ πατρίδα καὶ συγγένεια καὶ φίλους καὶ τὶς γυναῖκες τους μαζὶ μὲ τὰ παιδιά τους, καὶ ἐπιζητοῦν τὴν ξένη χώρα γιὰ λίγα κέρδη.

Καὶ γιατί πρέπει ν' ἀναφέρω ὅλες τὶς τέχνες, τὶς ὁποῖες ἀνακάλυψαν οἱ ἄνθρωποι γιὰ τὶς ἀνάγκες τοῦ σώματος, στὶς ὁποῖες περνοῦν ὅλη τους τὴν ἡμέρα καὶ τὴ νύχτα καὶ φροντίζουν γιὰ τὴν περιποίησή του, ἐνῶ ἀνέχονται νὰ πεινάει ἡ ψυχή τους καὶ νὰ διψάει καὶ νὰ εἶναι ξηρὴ καὶ ρυπαρὴ καὶ νὰ ἐνοχλεῖται ἀπὸ ἄπειρα κακά; Καὶ ὕστερα ἀπὸ πολλοὺς ἱδρῶτες καὶ κόπους οὔτε τὸ θνητὸ σῶμα δὲν τὸ κάνουν ἀνώτερο ἀπὸ τὸ θάνατο, καὶ τὴν ἀθάνατη ψυχὴ τὴν ὑποβάλλουν μαζὶ μὲ τὸ θνητὸ σῶμα στὶς αἰώνιες τιμωρίες.

2. Γι' αὐτό, θρηνώντας πάρα πολὺ γιὰ τὴν ἄγνοια ποὺ ἔχει καταπλημμυρισμένες τὶς ψυχὲς τῶν ἀνθρώπων καὶ γιὰ τὸ πυκνὸ σκοτάδι ποὺ ἁπλώνεται γύρω τους, ἤθελα βέβαια νὰ βρῶ κάποια ψηλὴ σκοπιὰ ποὺ νὰ μοῦ φανερώνει ὅλα τὰ γένη τῶν ἀνθρώπων· ἤθελα ἐπίσης νὰ ἔχω φωνή, ποὺ νὰ ἀντηχεῖ σὲ ὅλα τὰ πέρατα καὶ νὰ φθάνει σὲ ὅλους τοὺς ἀνθρώπους τῆς γῆς, καὶ νὰ σταθῶ καὶ νὰ φωνάξω καὶ νὰ βγάλω ἐκείνη τὴ φωνὴ τοῦ Δαβίδ· «ἄνθρωποι, μέχρι πότε θὰ ἔχετε σκληρὴ τὴν καρδιά σας; Γιατί ἀγαπᾶτε τὴ ματαιότητα καὶ ἐπιζητεῖτε τὸ ψεῦδος»[3], προτιμώντας τὰ φθαρτὰ ἀπὸ τὰ οὐράνια; Μέχρι πότε θὰ κλείνετε τὰ μάτια καὶ θὰ βουλλώνετε τὰ αὐτιά σας καὶ δὲ θ' ἀκοῦτε τὴ φωνὴ τοῦ Θεοῦ ποὺ κάθε μέρα φωνάζει, «ζητᾶτε καὶ θὰ σᾶς δοθεῖ,

ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε, κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν· πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται».

Ἐπειδὴ δέ τινες ἀτελέστερον διακείμενοι καὶ πρὸς τὰ βιωτικὰ μᾶλλον ἐπιρρεπῶς ἔχοντες, καὶ τοῖς φιλοσάρκοις ἐνηδυπαθοῦντες λογισμοῖς, οὐ καθηκόντως ποιοῦνται τὰς αἰτήσεις, τούτου χάριν ὁ κοινὸς Δεσπότης εὐχῆς ἡμῖν διδασκαλίαν ὑπέδειξεν, εἰπών· «ὅταν προσεύχεσθε, μὴ βαττολογεῖτε, ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γάρ, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται», βαττολογίαν ὀνομάζων τὴν φλυαρίαν, τὴν διὰ πολλῶν μὲν λόγων προσφερομένην, ὠφελείας δὲ πάσης ἐστερημένην.

Ὑπαινίττεται τοίνυν, ἀπαγορεύων τὴν βαττολογίαν ὁ Κύριος, μὴ χρῆναι τοὺς προσευχομένους αἰτεῖν τὰ δέοντα καὶ ἀπολλύμενα· μὴ σώματος ὡραιότητα, τὴν ὑπὸ χρόνου μαραινομένην, καὶ ὑπὸ νόσου δαπανωμένην, καὶ ὑπὸ θανάτου καλυπτομένην· τοιοῦτον γὰρ τὸ σωματικὸν κάλλος. Ἄνθος ἐστὶν ὀλιγοχρόνιον, πρὸς ὀλίγον μὲν φαινόμενον τῷ ἔαρι τῆς νεότητος, μετ' ὀλίγον δὲ φθειρόμενον ὑπὸ τῆς χρόνου παλαιότητος. Εἰ δὲ καὶ τὴν ὑπόστασιν αὐτοῦ τις ἐξετάζειν ἐθέλοι, τότε πλέον αὐτοῦ διαπτύειν δυνήσεται. Οὐδὲν γὰρ ἕτερόν ἐστιν, ἢ φλέγμα καὶ αἷμα καὶ ρεῦμα καὶ τροφῆς διαμασηθείσης χυλός. Ἐκ τούτου γὰρ καὶ ὀφθαλμοί, καὶ παρειαί, καὶ ρῖνες, καὶ ὀφρύες, καὶ χείλη, καὶ ὅλον ἀρδεύεται τὸ σῶμα· κἂν ἐπιλείψῃ ποτὲ ἡ τούτων ἀρδεία, συνεπιλείψει πάντως καὶ τοῦ προσώπου ἡ εὐμορφία.

Μὴ πλοῦτον χρημάτων τὸν καθ' ὁμοιότητα τῶν ποταμίων ὑδάτων ἐπιρρέοντά τε καὶ μεταρρέοντα, καὶ νῦν μὲν παρὰ τοῦτον, νῦν δὲ παρ' ἐκεῖνον πηδῶντα, καὶ τοὺς κατέχοντας φεύγοντα, καὶ τοῖς φιλοῦσιν αὐτὸν παραμένειν οὐκ ἀνεχόμενον, καὶ

---

4. Ματθ. 7,78.
5. Ματθ. 6,7.

ἐρευνᾶτε καὶ θὰ βρεῖτε, κτυπᾶτε καὶ θὰ σᾶς ἀνοιχθεῖ ἡ πόρτα· γιατὶ καθένας ποὺ ζητάει παίρνει, καὶ ὅποιος ἐρευνάει βρίσκει, καὶ σ' ἐκεῖνον ποὺ χτυπᾶ θὰ τοῦ ἀνοιχθεῖ ἡ πόρτα»[4];

Ἐπειδὴ ὅμως μερικοὶ βρίσκονται σὲ μειονεκτικότερη κατάσταση καὶ ρέπουν περισσότερο πρὸς τὶς βιοτικὲς φροντίδες καὶ ζοῦν μὲ τὶς φιλήδονες σκέψεις τῆς σάρκας καὶ δὲ διατυπώνουν ὅπως πρέπει τὰ αἰτήματά τους, γι' αὐτὸ ὁ κοινὸς Κύριος μᾶς παρέδωσε ὑπόδειγμα προσευχῆς λέγοντας· «ὅταν προσεύχεστε, μὴ φλυαρεῖτε ὅπως οἱ εἰδωλολάτρες· γιατὶ νομίζουν πὼς μὲ τὴν πολυλογία τους θὰ εἰσακουσθοῦν»[5], ὀνομάζοντας βαττολογία τὴ φλυαρία, ποὺ λέγεται μὲ πολλὰ λόγια, ἀλλ' εἶναι στερημένη ἀπὸ κάθε ὠφέλεια.

Ὑπαινίσσεται λοιπόν, ὅταν ὁ Κύριος ἀπαγορεύει τὴ φλυαρία, ὅτι δὲν πρέπει οἱ προσευχόμενοι νὰ ζητοῦν αὐτὰ ποὺ φεύγουν καὶ χάνονται, οὔτε τὴν ὀμορφιὰ τοῦ σώματος, ποὺ μαραίνεται ἀπὸ τὸ χρόνο καὶ καταστρέφεται ἀπὸ τὴν ἀρρώστια καὶ σκεπάζεται ἀπὸ τὸ θάνατο· γιατὶ τέτοιο εἶναι τὸ σωματικὸ κάλλος. Εἶναι ἄνθος ποὺ ζεῖ λίγο χρόνο, ποὺ φαίνεται γιὰ λίγο τὴν ἄνοιξη τῆς νεότητας καὶ ποὺ ὕστερα ἀπὸ λίγο καταστρέφεται ἀπὸ τὴν παλαιότητα τοῦ χρόνου. Ἂν ὅμως κάποιος θέλει νὰ ἐξετάσει καὶ τὴν ὑπόστασή του, τότε θὰ μπορέσει περισσότερο νὰ τὸ περιφρονήσει. Γιατὶ τίποτε ἄλλο δὲν εἶναι, παρὰ φλέγμα καὶ αἷμα καὶ ρεῦμα καὶ χυλὸς μασημένης τροφῆς. Γιατὶ ἀπ' αὐτὸν καὶ τὰ μάτια καὶ οἱ παρειὲς καὶ οἱ μύτες καὶ τὰ φρύδια καὶ τὰ χείλη καὶ ὅλο τὸ σῶμα ποτίζεται· καὶ ἂν σταματήσει κάποτε τὸ πότισμά τους, ὁπωσδήποτε θὰ λείψει μαζὶ καὶ ἡ ὀμορφιὰ τοῦ προσώπου.

Οὔτε νὰ ἐπιζητοῦν τὸν πλοῦτο χρημάτων, ποὺ σὰν τὰ νερὰ τῶν ποταμῶν ρέει πρὸς κάποια κατεύθυνση καὶ μετὰ πρὸς ἄλλη, καὶ πηδάει ἄλλοτε σ' αὐτὸν καὶ ἄλλοτε σ' ἐκεῖνον, καὶ φεύγει ἀπ' αὐτοὺς ποὺ τὸν ἔχουν καὶ δὲν ἀνέχεται νὰ παραμένει

μυρίους ἐπιβούλους ἔχοντα, καὶ σῆτας, καὶ λῃστάς, καὶ συκοφάντας, καὶ ἐμπρησμούς, καὶ ναυάγια, καὶ πολέμων ἐφόδους, καὶ δήμων ἐπαναστάσεις, καὶ κακουργίας οἰκετῶν, καὶ γραμμάτων ἀφαιρέσεις, καὶ προσθήκας, καὶ μειώσεις, καὶ τἄλλα ὅσα τοῖς ἐρῶσι χρημάτων ὑπὸ τῆς φιλοπλουτίας ἐπιφύεται δεινά. Μὴ δυναστείαν ἀξιωμάτων· πολλὰ γὰρ καὶ ταύτῃ ἀλγεινὰ παραφύεται, φροντίδων τηκεδόνες, ἀγρυπνίαι συνεχεῖς, ἐπιβουλαὶ παρὰ τῶν φθονούντων, κατασκευαὶ παρὰ τῶν μισούντων, στωμυλία ῥητόρων τοῖς κατευγλωττισμένοις λόγοις ὑποκλέπτουσα τὴν ἀλήθειαν καὶ πολὺν τοῖς δικάζουσι προξενοῦσα κίνδυνον.

Εἰσὶ γάρ, εἰσὶ βαττολόγοι τινὲς καὶ ματαιολόγοι, ταῦτά τε καὶ τὰ τοιαῦτα παρὰ τοῦ Θεοῦ τῶν ὅλων αἰτοῦντες, καὶ τῶν ὄντως ἀγαθῶν οὐδένα ποιούμενοι λόγον. Καὶ τὸν μὲν ἰατρὸν οὐχ οἱ νοσοῦντες διδάσκουσι τῶν φαρμάκων τὴν χρῆσιν, ἀλλὰ τῶν ὑπ' αὐτοῦ προσφερομένων ἀνέχονται μόνον, κἂν ἐπίπονος ᾖ ὁ τῆς θεραπείας τρόπος· καὶ τὸν κυβερνήτην οἱ πλέοντες οὐ κελεύουσι τοίωσδε κατέχειν τοὺς οἴακας καὶ τὸ σκάφος ἰθύνειν, ἀλλ' ἐπὶ τῶν καταστρωμάτων καθήμενοι, τῆς ἐκείνου ἐπιστήμης ἀνέχονται, οὐ μόνον ἐξ οὐρίων φερόμενοι, ἀλλὰ καὶ τὸν ἔσχατον ὑπομένοντες κίνδυνον· τῷ Θεῷ δὲ μόνον, τῷ τὸ συμφέρον ἡμῖν ἀκριβῶς ἐπισταμένῳ διδόναι, οἱ τὰς φρένας κακῶς διακείμενοι παραχωρεῖν οὐκ ἀνέχονται, ἀλλ' αἰτοῦσιν ὡς ὠφέλιμα τὰ ὀλέθρια, ὅμοιον ποιοῦντες ἀρρώστῳ, τὸν ἰατρὸν δοῦναι αὐτῷ παρακαλοῦντι, οὐχ ὅσα λύει τὴν νόσον, ἀλλ' ὅσα τρέφει τὴν ὕλην, τὴν τῆς νόσου μητέρα.

Ἀλλ' οὐκ ἀνέξεται ὁ ἰατρὸς τῆς τοῦ κάμνοντος ἱκεσίας, ἀλλὰ κἂν δακρύοντα ἴδῃ καὶ ὀλοφυρόμενον, τῷ νόμῳ τῆς τέ-

σ' αὐτοὺς πού τὸν ἀγαποῦν, καὶ ἔχει ἄπειρους ἐχθρούς, καὶ σκόρους καὶ ληστὲς καὶ συκοφάντες καὶ ἐμπρησμοὺς καὶ ναυάγια καὶ πολεμικὲς ἐπιθέσεις καὶ ἐπαναστάσεις λαῶν καὶ κακουργίες ὑπηρετῶν καὶ ἀφαιρέσεις ἐγγράφων καὶ προσθῆκες καὶ μειώσεις καὶ τὰ ἄλλα δεινὰ ὅσα γεννιοῦνται σ' αὐτοὺς πού ἀγαποῦν τὰ χρήματα ἀπὸ τὴ φιλοπλουτία τους. Οὔτε νὰ ἐπιζητοῦν τὴ δύναμη τῶν ἀξιωμάτων· γιατὶ καὶ σ' αὐτὴ γεννιοῦνται πολλὲς θλίψεις, φθοροποιὲς φροντίδες, συνεχεῖς ἀγρυπνίες, ἐπιβουλὲς ἀπὸ τοὺς φθονερούς, δολιότητες ἀπ' αὐτοὺς πού μισοῦν, πολυλογία ρητόρων πού μὲ τὰ πολὺ πειστικὰ λόγια ὑποκλέπτει τὴν ἀλήθεια καὶ προξενεῖ μεγάλο κίνδυνο στοὺς δικαστές.

Γιατὶ ὑπάρχουν, πραγματικὰ ὑπάρχουν μερικοὶ πού εἶναι φλύαροι καὶ λέγουν ἀνόητα, πού ζητοῦν αὐτὰ καὶ τὰ παρόμοια ἀπὸ τὸ Θεὸ τῶν ὅλων, γιὰ τὰ ἀληθινὰ ὅμως ἀγαθὰ δὲν κάνουν κανένα λόγο. Καὶ τὸ γιατρὸ βέβαια δὲν τὸν διδάσκουν τὴ χρήση τῶν φαρμάκων οἱ ἄρρωστοι, ἀλλὰ ἀνέχονται μόνο ὅσα τοὺς προσφέρει, ἔστω καὶ ἂν ἡ μέθοδος τῆς θεραπείας εἶναι ἐπίπονη. Τὸν κυβερνήτη ἐπίσης δὲν τὸν προστάζουν ὅσοι ταξιδεύουν πῶς νὰ κρατάει τὸ πηδάλι καὶ νὰ κατευθύνει τὸ σκάφος, ἀλλὰ κάθονται πάνω στὰ καταστρώματα καὶ ἀνέχονται τὴ δική του τέχνη, ὄχι μόνο ὅταν ὁδηγοῦνται ἀπὸ εὐνοϊκοὺς ἀνέμους, ἀλλὰ καὶ ὅταν βρίσκονται στὸν ἔσχατο κίνδυνο. Καὶ μόνο στὸ Θεό, πού γνωρίζει πάρα πολὺ καλὰ νὰ μᾶς δίνει ὅ,τι ἀκριβῶς μᾶς συμφέρει, δὲν ἀνέχονται οἱ ἄφρονες νὰ παραχωροῦν τὴν ψυχή τους, ἀλλὰ ζητοῦν ὡς ὠφέλιμα τὰ ὀλέθρια, κάνοντας ὅπως ὁ ἄρρωστος, πού παρακαλεῖ τὸ γιατρὸ νὰ τοῦ δώσει ὄχι ὅσα ἀπαλλάσσουν ἀπὸ τὴν ἀρρώστια, ἀλλ' ὅσα τρέφουν τὴν ὕλη, τὴ μητέρα τῆς ἀρρώστιας.

Καὶ βέβαια ὁ γιατρὸς δὲ θ' ἀνεχθεῖ τὴν παράκληση τοῦ ἀρρώστου, ἀλλὰ καὶ ἂν τὸν δεῖ νὰ χύνει δάκρυα καὶ νὰ θρηνεῖ,

χνης ἀκολουθεῖ μᾶλλον, ἢ τοῖς τούτου δάκρυσιν ἐπικάμπτεται, καὶ τὴν ἀπείθειαν οὐκ ἀπανθρωπίαν, ἀλλὰ φιλανθρωπίαν ὀνομάζομεν· πειθόμενος μὲν γὰρ τῷ νοσοῦντι καὶ τὰ πρὸς ἡδονὴν χαριζόμενος, τὰ πολεμίων εἰς αὐτὸν ἐργάζεται· ἀντιτείνων δὲ αὐτῷ καὶ τῇ ἐπιθυμίᾳ μαχόμενος, ἐλέῳ κέχρηται καὶ φιλανθρωπίᾳ· οὕτω καὶ ὁ τῶν ἡμετέρων ψυχῶν ἰατρὸς οὐκ ἀνέχεται δοῦναι τοῖς αἰτοῦσι τὰ εἰς βλάβην αὐτοῖς ἐσόμενα. Οὔτε γὰρ οἱ φιλόστοργοι πατέρες τοῖς κομιδῇ νηπίοις μαχαίρας ἐπιζητοῦσιν ἢ πυρὸς ἄνθρακας, ὀρέγειν ἀνέχονται· ἴσασι γὰρ σαφῶς βλαβερὰν αὐτοῖς οὖσαν τὴν τοιαύτην δόσιν· τινὲς δὲ τῶν εἰς ἐσχάτην ἀλογίαν ἐκπεπτωκότων, οὐ μόνον σώματος ὡραιότητα, καὶ πλοῦτον, καὶ δυναστείαν, καὶ ὅσα τοιαῦτα παρὰ τοῦ τῶν ὅλων Θεοῦ αἰτοῦσιν, ἀλλὰ καὶ τοῖς ἐχθροῖς αὐτῶν ἐπαρῶνται, καί τινα τιμωρίαν ἐπενεχθῆναι αὐτοῖς ἱκετεύουσι, καὶ ὃν ἑαυτοῖς ἥμερον εἶναι καὶ φιλάνθρωπον εὔχονται, τοῦτον τοῖς ἐχθροῖς ἀνήμερον γενέσθαι καὶ ἀπάνθρωπον βούλονται. Ταῦτα τοίνυν ὁ Δεσπότης προαναστέλλων, παρεγγυᾷ μὲν μὴ βαττολογεῖν· διδάσκει δὲ τίνα χρὴ λέγειν ἐν τῇ προσευχῇ, καὶ ἐν ὀλίγοις ῥήμασι πᾶσαν ἀρετὴν ἐκπαιδεύει· οὐ μόνον γὰρ εὐχῆς ἐστι διδασκαλία ἐκεῖνα τὰ ῥήματα, ἀλλὰ καὶ βίου τελείου παιδαγωγία.

3. Τίνα δέ ἐστι ταῦτα, καὶ τίς ἡ τούτων ἔννοια, μετὰ πολλῆς ἀκριβείας ἐξετάσωμεν, καὶ ὡς θείους νόμους ἀσφαλῶς τηρήσωμεν. «Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς». Ὢ πόση τῆς φιλανθρωπίας ἡ ὑπερβολή! ὢ πόση τῆς φιλοτιμίας ἡ ὑπεροχή! ποῖος ἀρκέσει λόγος πρὸς εὐχαριστίαν τοῦ τοσαῦτα πηγάζοντος ἡμῖν ἀγαθά; Σκόπησον, ἀγαπητέ, τῆς σῆς καὶ τῆς ἐμῆς φύσεως

---

6. Ἀκολουθεῖ ἑρμηνεία τῆς Κυριακῆς προσευχῆς (Ματθ. 6,9–13).

ἀκολουθεῖ τὴν ἐπιταγὴ τῆς ἐπιστήμης του περισσότερο, παρὰ λυγίζει ἀπὸ τὰ δάκρυά του, καὶ τὴν ἀπείθεια αὐτὴ δὲν τὴν ὀνομάζουμε ἀπανθρωπιὰ ἀλλὰ φιλανθρωπία. Γιατί, ὅταν ὑπακούει στὸν ἄρρωστο καὶ τοῦ χορηγεῖ ὅσα προκαλοῦν εὐχαρίστηση, συμπεριφέρεται σ' αὐτὸν ὅπως οἱ ἐχθροί του· ὅταν ὅμως ἀντιστέκεται σ' αὐτὸν καὶ πολεμάει τὴν ἐπιθυμία του, συμπεριφέρεται μὲ εὐσπλαχνία καὶ φιλανθρωπία. Ἔτσι καὶ ὁ γιατρὸς τῶν ψυχῶν μας δὲν δέχεται νὰ δώσει σ' αὐτοὺς ποὺ ζητοῦν ὅσα θ' ἀποβοῦν σὲ βλάβη τους. Οὔτε βέβαια οἱ φιλόστοργοι πατέρες δέχονται νὰ δώσουν μαχαίρια ἢ κάρβουνα ἀναμμένα στὰ πολὺ μικρὰ παιδιά τους ποὺ τὰ ἐπιζητοῦν, γιατὶ γνωρίζουν καλὰ ὅτι μιὰ τέτοια δόση εἶναι βλαβερὴ σ' αὐτά. Μερικοὶ μάλιστα ἀπ' αὐτοὺς ποὺ ἔπεσαν στὴ χειρότερη ἀνοησία, ὄχι μόνο ὀμορφιὰ τοῦ σώματος καὶ πλοῦτο καὶ ἐξουσία καὶ ὅλα τὰ παρόμοια ζητοῦν ἀπὸ τὸ Θεὸ τῶν ὅλων, ἀλλὰ καὶ καταριοῦνται τοὺς ἐχθρούς τους καὶ παρακαλοῦν νὰ πέσει ἐπάνω τους κάποια τιμωρία, καὶ ἐκεῖνον ποὺ μὲ τὴν προσευχή τους ζητοῦν νὰ γίνει γιὰ τὸν ἑαυτό τους ἥμερος καὶ φιλάνθρωπος, αὐτὸν θέλουν νὰ γίνει γιὰ τοὺς ἐχθρούς τους σκληρὸς καὶ ἀπάνθρωπος. Αὐτὰ λοιπὸν θέλοντας νὰ τὰ προλάβει ὁ Κύριος, προστάζει νὰ μὴ φλυαροῦμε· καὶ διδάσκει τί πρέπει νὰ λέμε στὴν προσευχὴ καὶ μὲ λίγα λόγια μᾶς διδάσκει κάθε ἀρετή. Γιατὶ τὰ λόγια ἐκεῖνα δὲν εἶναι μόνο διδασκαλία προσευχῆς, ἀλλὰ καὶ παιδαγωγία τέλειας ζωῆς.

3. Ποιά ὅμως εἶναι τὰ λόγια αὐτὰ καὶ ποιά ἡ σημασία τους, ἂς ἐξετάσουμε μὲ πολλὴ προσοχὴ καὶ ἂς τὰ τηρήσουμε μὲ ἀκρίβεια σὰν θείους νόμους. «Πατέρα μας, ποὺ βρίσκεσαι στοὺς οὐρανούς»[6]. Πόσο ὑπερβολικὴ εἶναι ἡ φιλανθρωπία του! Πόση εἶναι ἡ ὑπεροχὴ τῆς γενναιοδωρίας του! Ποιός λόγος θὰ ἀρκέσει γιὰ εὐχαριστία πρὸς τὸ Θεὸ ποὺ μᾶς δίνει τόσο πολλὰ ἀγαθά; Ἐξέτασε, ἀγαπητέ, τὴν εὐτέλεια τῆς δικῆς σου καὶ τῆς

τὴν εὐτέλειαν, ἐρεύνησον τὴν συγγένειαν, τὴν γῆν, τὸν χοῦν, τὸν πηλόν, τὴν πλίνθον, τὴν σποδόν· ἀπὸ γὰρ τῆς γῆς διαπλασθέντες, πάλιν εἰς τὴν γῆν μετὰ τέλος ἀναλύομεν. Ταῦτα οὖν ἐννοήσας ἐκπλάγηθι τὸν ἀνεξιχνίασον πλοῦτον τῆς πολλῆς περὶ ἡμᾶς τοῦ Θεοῦ ἀγαθότητος, ὅτι Πατέρα καλεῖν προσετάχθης αὐτόν, ὁ γήϊνος τὸν οὐράνιον, ὁ θνητὸς τὸν ἀθάνατον, ὁ φθαρτὸς τὸν ἄφθαρτον, ὁ πρόσκαιρος τὸν αἰώνιον, ὁ χθὲς καὶ πρώην πηλός, τὸν ὄντα πρὸ τῶν αἰώνων Θεόν.

Ἀλλ' οὐ μάτην ἐδιδάχθης ταύτην ἀφιέναι τὴν φωνήν, ἀλλ' ἵνα τὴν ὑπὸ τῆς γλώττης σου προφερομένην τοῦ Πατρὸς ὀνομασίαν αἰδούμενος, μιμῇ αὐτοῦ τὴν ἀγαθότητα, ὡς καὶ ἀλλαχοῦ φησι· «γίνεσθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Οὐ δύναται γὰρ Πατέρα καλεῖν τὸν φιλάνθρωπον Θεὸν ὁ τὴν γνώμην ἔχων θηριώδη καὶ ἀπάνθρωπον· οὐδὲ γὰρ σώζει τοὺς χαρακτῆρας τοὺς ἐν τῷ ἐπουρανίῳ Πατρὶ ἀγαθότητος, ἀλλ' εἰς τὸ θηριῶδες εἶδος ἑαυτὸν μετεμόρφωσε, καὶ τῆς θεϊκῆς εὐγενείας ἐξέπεσε, κατὰ τὸ ὑπὸ τοῦ Δαυῒδ εἰρημένον· «ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς». Ὅταν γάρ τις σκιρτᾷ μὲν ὡς ταῦρος, λακτίζῃ δὲ ὡς ὄνος, μνησικακῇ δὲ ὡς κάμηλος, καὶ γαστριμαργῇ μὲν ὡς ἄρκτος, ἁρπάζῃ δὲ ὡς λύκος, πλήττῃ δὲ ὡς σκορπίος, ὕπουλος δὲ ᾖ ὡς ἀλώπηξ, χρεμετίζῃ δὲ ἐπὶ γυναιξὶν ὡς ἵππος θηλυμανής, πῶς δύναται ὁ τοιοῦτος τὴν υἱῷ πρέπουσαν ἀναπέμψαι φωνὴν καὶ Πατέρα ἑαυτοῦ καλεῖν τὸν Θεόν;

Τί οὖν ὀνομάζεσθαι χρὴ τὸν τοιοῦτον; Θηρίον; Ἀλλὰ τὰ θηρία ἑνὶ τούτων τῶν ἐλαττωμάτων κατέχεται, οὗτος δὲ πάντα

---

7. Ματθ. 5,45.

8. Ψαλμ. 48,21.

δικῆς μου φύσης, ἐρεύνησε τὴ συγγένειά μας, τὴ γῆ, τὸ χῶμα, τὴ λάσπη, τὸ πλιθί, τὴ στάχτη· γιατί, ἀφοῦ πλασθήκαμε ἀπὸ τὴ γῆ, πάλι στὴ γῆ μετὰ τὸ θάνατο διαλυόμαστε. Σκεπτόμενος λοιπὸν ὅλα αὐτά, θαύμασε τὸν ἀνεξιχνίαστο πλοῦτο τῆς μεγάλης ἀγαθότητας τοῦ Θεοῦ γιὰ μᾶς, γιατὶ προστάχθηκες νὰ τὸν ὀνομάζεις Πατέρα, ὁ γήϊνος τὸν οὐράνιο, ὁ θνητὸς τὸν ἀθάνατο, ὁ φθαρτὸς τὸν ἄφθαρτο, ὁ πρόσκαιρος τὸν αἰώνιο, ὁ χθὲς καὶ προηγουμένως πηλός, τὸ Θεὸ ποὺ ὑπῆρχε πρὶν ἀπὸ τοὺς αἰῶνες.

Ὅμως δὲ διδάχθηκες μάταια νὰ ἀφήνεις αὐτὴ τὴ φωνή, ἀλλὰ γιὰ νὰ μιμεῖσαι τὴν ἀγαθότητά του, σεβόμενος τὴν ὀνομασία τοῦ Πατέρα ποὺ προφέρει ἡ γλώσσα σου, ὅπως καὶ σὲ ἄλλο σημεῖο λέγει· «γίνεστε ὅμοιοι μὲ τὸν οὐράνιο Πατέρα σας, γιατὶ αὐτὸς ἀνατέλλει τὸν ἥλιο του σὲ κακοὺς καὶ καλοὺς καὶ στέλνει τὴ βροχὴ σὲ δικαίους καὶ ἀδίκους»[7]. Γιατί ἐκεῖνος ποὺ ἔχει κτηνώδη καὶ ἀπάνθρωπη τὴ διάθεση δὲν μπορεῖ νὰ ὀνομάζει Πατέρα τὸ φιλάνθρωπο Θεό, οὔτε βέβαια διατηρεῖ τὰ γνωρίσματα τῆς ἀγαθότητας, ποὺ ὑπάρχουν στὸν ἐπουράνιο Πατέρα, ἀλλὰ μεταμόρφωσε τὸν ἑαυτό του στὸ γένος τῶν θηρίων καὶ ξέπεσε ἀπὸ τὴ θεϊκὴ καταγωγή, σύμφωνα μ' αὐτὸ ποὺ εἶπε ὁ Δαβίδ· «ὁ ἄνθρωπος, ἐνῶ εἶχε τιμή, δὲν τὸ κατανόησε, ἀλλ' ἔβαλε τὸν ἑαυτό του στὴ θέση τῶν ἀνόητων κτηνῶν καὶ ἔγινε ὅμοιος μ' αὐτά»[8]. Γιατί, ὅταν κάποιος πηδάει σὰν ταῦρος καὶ κλωτσάει σὰν ὄνος καὶ μνησικακεῖ σὰν καμήλα καὶ εἶναι λαίμαργος σὰν ἀρκούδα καὶ ἁρπάζει σὰν λύκος καὶ κεντάει σὰν σκορπιὸς καὶ εἶναι ὕπουλος σὰν ἀλεποὺ καὶ χλιμιντρίζει στὶς γυναῖκες σὰν ἄλογο ποὺ ποθεῖ μὲ μανία τὸ θηλυκό, πῶς μπορεῖ ἕνας τέτοιος ἄνθρωπος ν' ἀπευθύνει τὴ φωνὴ ποὺ ἁρμόζει σὲ υἱὸ καὶ νὰ ὀνομάζει τὸ Θεὸ Πατέρα του;

Τί λοιπὸν πρέπει νὰ ὀνομάζεται ἕνας τέτοιος ἄνθρωπος; Θηρίο; Ἀλλὰ τὰ θηρία κατέχονται ἀπὸ ἕνα ἀπ' αὐτὰ τὰ ἐλαττώ-

συναγαγὼν ἐν ἑαυτῷ, καὶ τῆς ἐκείνων ἀλογίας γέγονεν ἀλογώτερος. Καὶ τί λέγω θηρίον; Θηρί παντὸς χαλεπώτερός ἐστιν ὁ τοιοῦτος. Ἐκεῖνα μὲν γάρ, καίτοι κατὰ φύσιν ἄγρια ὄντα, ἀνθρωπίνης ἀπολαύσαντα τέχνης, ἥμερα πολλάκις γίνεται· οὗτος δέ, ἄνθρωπος ὤν, καὶ τὴν ἐκείνων ἀγριότητα τὴν κατὰ φύσιν εἰς τὴν ἡμεροτητα μεταβαλὼν τὴν παρὰ φύσιν, ποίαν ἕξει ἀπολογίαν, τὴν ἑαυτοῦ πραότητα τὴν κατὰ φύσιν εἰς ἀγριότητα ἐξάγων τὴν παρὰ φύσιν, καὶ τὸ μὲν ἄγριον φύσει ποιῶν ἥμερον, ἑαυτὸν δὲ τὸν ἥμερον φύσει ποιῶν ἄγριον; καὶ λέοντα μὲν τιθασσεύων καὶ χειροήθη ποιῶν, τὸν δὲ θυμὸν τὸν ἴδιον λέοντος κατασκευάζων ἀγριώτερον; Καίτοι ἐκεῖ δύο ἐστὶ κωλύματα, καὶ τὸ λογισμοῦ ἐστερῆσθαι τὸ θηρίον καὶ τὸ πάντων εἶναι θυμωδέστερον· ἀλλ' ὅμως διὰ τῆς παρὰ τοῦ Θεοῦ δοθείσης σοφίας, καὶ τῆς θηριώδους περιγίνεται φύσεως. Καὶ ὁ ἐπὶ τῶν θηρίων τὴν φύσιν νικῶν, ἐφ' ἑαυτοῦ μετὰ τῆς φύσεως καὶ τὸ τῆς προαιρέσεως ἀπόλλυσι καλόν· καὶ λέοντα μὲν ποιεῖ ἄνθρωπον, ἑαυτὸν δὲ περιορᾷ ἐξ ἀνθρώπου γιγόμενον λέοντα· καὶ ἐκείνῳ μὲν τὰ ὑπὲρ φύσιν χαρίζεται, ἑαυτῷ δὲ οὐδὲ τὰ κατὰ φύσιν πορίζεται. Πῶς τοίνυν ὁ τοιοῦτος δυνήσεται Πατέρα καλεῖν τὸν Θεόν;

Ὁ μέντοι περὶ τοὺς πλησίον ἥμερος καὶ φιλάνθρωπος, καὶ τοὺς εἰς αὐτὸν πλημμελοῦντας οὐκ ἀμυνόμενος, ἀλλ' εὐεργεσίαις τὰς ἀδικίας ἀμειβόμενος, οὐ κατακρίνεται Πατέρα καλῶν τὸν Θεόν. Πρόσεχε δὲ τῇ ἀκριβείᾳ τοῦ λόγου, πῶς ἡμῖν νομοθετεῖ τὸ φιλάλληλον καὶ εἰς ἀγαπητικὴν ἅπαντας συνάπτει διάθεσιν. Οὐ γὰρ ἐκέλευε λέγειν, 'Πάτερ μου, ὁ ἐν τοῖς οὐρανοῖς', ἀλλά, «Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς», ἵνα κοινὸν Πατέρα ἔχειν δι-

ματα· αὐτὸς ὅμως, συγκεντρώνοντας ὅλα στὸν ἑαυτό του, ἔγινε πιὸ παράλογος ἀπὸ τὴν ἀλογία ἐκείνων. Καὶ γιατί λέγω θηρίο; Ἕνας τέτοιος ἄνθρωπος εἶναι πιὸ φοβερὸς ἀπὸ κάθε θηρίο. Γιατὶ ἐκεῖνα, ἂν καὶ εἶναι ἄγρια ὡς πρὸς τὴ φύση τους, ὅταν ἀπολαύσουν τὴν ἀνθρώπινη τέχνη, γίνονται πολλὲς φορὲς ἥμερα· αὐτὸς ὅμως, ἂν καὶ εἶναι ἄνθρωπος, μεταφέροντας τὴ φυσικὴ ἀγριότητα ἐκείνων στὴν ἡμερότητα ποὺ εἶναι ἀντίθετη στὴ φύση, ποιά ἀπολογία θὰ ἔχει, ὅταν τὴ δική του φυσικὴ πραότητα τὴ μετατρέπει σὲ ἀγριότητα ποὺ εἶναι ἀντίθετη στὴ φύση του, καὶ τὸ ἄγριο βέβαια ἀπὸ τὴ φύση του τὸ κάνει ἥμερο, ἐνῶ τὸν ἑαυτό του ποὺ ἀπὸ τὴ φύση εἶναι ἥμερος τὸν κάνει ἄγριο; καὶ τὸ λιοντάρι ἐπίσης τὸ τιθασσεύει καὶ τὸ κάμνει ἥμερο, ἐνῶ τὸ δικό του θυμὸ τὸν κάνει πιὸ ἄγριο ἀπὸ τὸ λιοντάρι; Ἂν καὶ βέβαια ἐκεῖ ὑπάρχουν δύο ἐμπόδια, καὶ τὸ ὅτι τὸ θηρίο αὐτὸ ἔχει στερηθεῖ τὸ λογικὸ καὶ τὸ ὅτι εἶναι τὸ πιὸ ὀξύθυμο ἀπ' ὅλα, ἀλλ' ὅμως μὲ τὴ σοφία ποὺ τοῦ ἔδωσε ὁ Θεὸς νικάει καὶ τὴ θηριωδία τῆς φύσης. Καὶ ἐκεῖνος ποὺ στὴν περίπτωση τῶν θηρίων νικάει τὴ φύση, στὴν περίπτωση τοῦ ἑαυτοῦ του χάνει μαζὶ μὲ τὴ φύση καὶ τὸ καλὸ τῆς προαίρεσης. Καὶ τὸ λιοντάρι βέβαια τὸ κάμνει ἄνθρωπο, ἀλλὰ τὸν ἑαυτό του τὸν ἀνέχεται νὰ γίνεται ἀπὸ ἄνθρωπος λιοντάρι· καὶ σ' ἐκεῖνο χαρίζει αὐτὰ ποὺ εἶναι πάνω ἀπὸ τὴ φύση, ἐνῶ στὸν ἑαυτό του δὲν προσφέρει οὔτε αὐτὰ ποὺ εἶναι σύμφωνα μὲ τὴ φύση. Πῶς λοιπὸν θὰ μπορέσει ἕνας τέτοιος ἄνθρωπος νὰ ὀνομάσει Πατέρα τὸ Θεό;

Ἐκεῖνος ὅμως ποὺ εἶναι πρὸς τοὺς συνανθρώπους του ἥμερος καὶ φιλάνθρωπος καὶ δὲν ἐκδικεῖται, ἀλλὰ ἀμείβει μὲ εὐεργεσίες τὶς ἀδικίες, δὲν κατακρίνεται ὀνομάζοντας Πατέρα τὸ Θεό. Πρόσεχε τὴν ἀκρίβεια τοῦ λόγου, πῶς νομοθετεῖ σὲ μᾶς τὴ φιλαλληλία καὶ πῶς ἑνώνει ὅλους ὡς πρὸς τὴ διάθεση τῆς ἀγάπης. Γιατὶ δὲν πρόσταξε νὰ λέμε, 'Πατέρα μου, ποὺ βρίσκεσαι στοὺς οὐρανούς', ἀλλά, «Πατέρα μας, ποὺ βρίσκεσαι

δαχθέντες, ἀδελφικὴν πρὸς ἀλλήλους δεικνύωμεν εὔνοιαν. Εἶτα, *διδάσκων ἡμᾶς καταλιπεῖν τὴν γῆν καὶ τὰ περὶ γῆν καὶ μὴ κεχηνέναι κάτω, ἀλλὰ τῆς πίστεως λαβεῖν τὰ πτερὰ καὶ ἀναπτῆναι τὸν ἀέρα καὶ διαβῆναι τὸν αἰθέρα καὶ ζητῆσαι τὸν καλούμενον Πατέρα, προσέταξε λέγειν· «Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς»· οὐκ ἐπειδὴ ἐν τοῖς οὐρανοῖς μόνον ἐστὶν ὁ Θεός, ἀλλ' ἵνα ἡμᾶς κάτω περὶ γῆν καλινδουμένους ἀνανεῦσαι εἰς οὐρανοὺς παρασκευάσῃ, καὶ τῷ κάλλει τῶν ἐπουρανίων ἀγαθῶν περιλάμψας, τὴν ἐπιθυμίαν ἡμῶν πᾶσαν ἐκεῖ μετενέγκῃ.*

4. Εἶτα δευτέραν προσέθηκε ῥῆσιν, εἰπών· «ἁγιασθήτω τὸ ὄνομά σου». Καί μοι μηδεὶς ἀνοήτως ὑπολαμβανέτω ἁγιασμοῦ προσθήκην χαρίζεσθαι τῷ Θεῷ ἐν τῷ λέγειν· «ἁγιασθήτω τὸ ὄνομά σου»· ἅγιος γάρ ἐστι, καὶ πανάγιος, καὶ ἁγίων ἁγιώτατος. Καὶ ταύτην αὐτῷ ὑμνῳδίαν προσφέρει τὰ Σεραφεὶμ ἀσιγήτοις βοῶντα κραυγαῖς, «ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ». Ἀλλ' ὥσπερ οἱ τοῖς βασιλεῦσι τὰς εὐφημίας προσφέροντες, καὶ βασιλέας καλοῦντες καὶ αὐτοκράτορας, οὐχ ὃ μὴ ἔχουσι χαρίζονται, ἀλλ' ὅπερ ἔχουσιν εὐφημοῦσιν· οὕτω καὶ ἡμεῖς οὐ τὴν οὐκ οὖσαν ἁγιωσύνην προσφέρομεν τῷ Θεῷ, λέγοντες, «ἁγιασθήτω τὸ ὄνομά σου», ἀλλὰ τὴν οὖσαν δοξάζομεν· τὸ γὰρ «ἁγισθήτω», ἀντὶ τοῦ 'δοξασθήτω', εἴρηται. Διδασκόμεθα τοίνυν διὰ τῆς φωνῆς ταύτης τὸν κατ' ἀρετὴν μετιέναι βίον, ἵνα τοῦτον ὁρῶντες οἱ ἄνθρωποι, τὸν οὐράνιον ἡμῶν Πατέρα δοξάζωσιν· ὃ καὶ ἀλλαχοῦ φησι· «λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς».

---

9. Ἠσ. 6,3.
10. Ματθ. 5,16.

στοὺς οὐρανούς», γιὰ νὰ δείχνουμε ἀδελφικὴ μεταξύ μας συμπάθεια, ἀφοῦ διδαχθήκαμε νὰ ἔχουμε κοινὸ Πατέρα. Ἔπειτα διδάσκοντάς μας νὰ ἐγκαταλείπουμε τὴ γῆ καὶ τὰ γήινα καὶ νὰ μὴ ἀφοσιωνόμαστε στὰ κάτω, ἀλλὰ νὰ λάβουμε τὰ φτερὰ τῆς πίστης καὶ νὰ πετάξουμε στὸν ἀέρα καὶ νὰ περάσουμε τὸν αἰθέρα καὶ νὰ ζητήσουμε αὐτὸν ποὺ ὀνομάζουμε Πατέρα, πρόσταξε νὰ λέμε, «Πατέρα μας, ποὺ βρίσκεσαι στοὺς οὐρανούς». Ὄχι γιατὶ μόνο στοὺς οὐρανοὺς βρίσκεται ὁ Θεός, ἀλλὰ γιὰ νὰ κάνει ἐμᾶς, ἐνῶ κυλιόμαστε κάτω στὴ γῆ, νὰ κοιτάξουμε ψηλὰ πρὸς τοὺς οὐρανοὺς καὶ νὰ μεταφέρει ἐκεῖ ὅλη μας τὴν ἐπιθυμία, περιλάμποντάς μας μὲ τὸ κάλλος τῶν ἐπουράνιων ἀγαθῶν.

4. Ἔπειτα πρόσθεσε δεύτερο λόγο, λέγοντας· «ἂς ἁγιασθεῖ τὸ ὄνομά σου». Καὶ βέβαια, ἂς μὴ νομίσει κανεὶς σκεπτόμενος ἀνόητα, ὅτι χαρίζει περισσότερο ἁγιασμὸ στὸ Θεό, λέγοντας, «ἂς ἁγιασθεῖ τὸ ὄνομά σου», γιατὶ εἶναι ἅγιος καὶ πανάγιος καὶ ὁ ἁγιότατος τῶν ἁγίων. Καὶ αὐτὴ τὴν ὑμνωδία τοῦ προσφέρουν τὰ Σεραφὶμ κραυγάζοντας μὲ ἀσίγητες φωνές· «ἅγιος, ἅγιος, ἅγιος εἶναι ὁ Κύριος ὁ Παντροκράτορας· γεμάτος εἶναι ὁ οὐρανὸς καὶ ἡ γῆ ἀπὸ τὴ δόξα του»[9]. Ἀλλ' ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ἐπευφημοῦν βασιλεῖς τοὺς ὀνομάζουν καὶ βασιλεῖς καὶ αὐτοκράτορες, χωρὶς νὰ τοὺς χαρίζουν αὐτὸ ποὺ δὲν ἔχουν, ἀλλὰ ἐπευφημοῦν αὐτὸ ποὺ ἔχουν, ἔτσι καὶ μεῖς δὲν προσφέρουμε στὸ Θεὸ τὴν ἁγιωσύνη ποὺ δὲν ὑπάρχει, λέγοντας, «ἂς ἁγιασθεῖ τὸ ὄνομά σου», ἀλλὰ δοξάζουμε αὐτὴν ποὺ ὑπάρχει σ' αὐτόν. Γιατὶ τὸ «ἂς ἁγιασθεῖ» ἔχει λεχθεῖ ἀντὶ τοῦ 'ἂς δοξασθεῖ'. Διδασκόμαστε λοιπὸν μὲ τὴ φράση αὐτὴ νὰ ἐπιδιώκουμε τὴν ἐνάρετη ζωή, γιὰ νὰ τὴ βλέπουν οἱ ἄνθρωποι καὶ νὰ δοξάζουν τὸν οὐράνιο Πατέρα μας, πράγμα ποὺ καὶ σὲ ἄλλο σημεῖο λέγει· «ἂς λάμψει τὸ δικό σας φῶς μπροστὰ στοὺς ἀνθρώπους, γιὰ νὰ δοῦν τὰ καλά σας ἔργα καὶ νὰ δοξάζουν τὸν οὐράνιο Πατέρα σας»[10].

Μετὰ τοῦτο λέγειν ἐδιδάχθημεν· «ἐλθέτω ἡ βασιλεία σου»· τυραννούμενοι γὰρ ὑπὸ τῶν τοῦ σώματος παθημάτων καὶ μυρίας πειρασμῶν δεχόμενοι προσβολάς, τῆς τοῦ Θεοῦ χρῄζομεν βασιλείας, ἵνα μὴ βασιλεύσῃ ἡ ἁμαρτία ἐν τῷ θνητῷ σώματι ἡμῶν εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ, μηδὲ παριστάνωμεν τὰ μέλη ἡμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλ' ἵνα παραστήσωμεν ὅπλα δικαιοσύνης τῷ Θεῷ, καὶ στρατευώμεθα τῷ βασιλεῖ τῶν αἰώνων. Διδασκόμεθα δὲ πρὸς τούτοις, μὴ σφόδρα τῷ παρόντι βίῳ προστετηκέναι, ἀλλὰ καταφρονεῖν μὲν τῶν παρόντων, ἐπιθυμεῖν δὲ τῶν μελλόντων ὡς μενόντων, καὶ τὴν βασιλείαν ἐκείνην ζητεῖν τὴν οὐράνιον καὶ αἰώνιον, καὶ τοῖς ἐνταῦθα τερπνοῖς μὴ κατέχεσθαι, μὴ σωμάτων εὐμορφίᾳ, μὴ χρημάτων εὐπορίᾳ, μὴ κτημάτων εὐθηνίᾳ, μὴ λίθων πολυτελείαις, μὴ οἴκων μεγαλουργίαις, μὴ ἡγεμονίαις καὶ στρατηγίαις, μὴ ἁλουργίδι καὶ διαδήματι, μὴ ὀψοποιίαις καὶ καρυκείαις καὶ παντοδαπαῖς χλιδαῖς, μὴ ἄλλῳ τινὶ τῶν τὰς ἡμετέρας δελεαζόντων αἰσθήσεις, ἀλλὰ πᾶσι τούτοις ἐρρῶσθαι φράσαντες, τῆς τοῦ Θεοῦ βασιλείας ἀδιαλείπτως ὀρέγεσθαι.

Οὕτως ἡμᾶς καὶ ταύτην διδάξας τὴν ἀρετήν, ἐκέλευσε λέγειν· «γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς»· ἐντεθεικὼς γὰρ ἡμῖν τῶν μελλόντων τὸν ἔρωτα, καὶ τῆς ἐπουρανίου βασιλείας τὴν ἐπιθυμίαν, καὶ τρώσας ἡμᾶς ἐκείνῳ τῷ πόθῳ, παρασκευάζει λέγειν· «γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς». Δὸς ἡμῖν, φησί, Δέσποτα, τὴν ἐν οὐρανῷ μιμεῖσθαι πολιτείαν, ἵν', ἃ θέλεις αὐτός, καὶ ἡμεῖς θέλωμεν. Ἐπάρκεσον τοίνυν προαιρέσει καμνούσῃ, καὶ ποιεῖν μὲν ἐπιθυμούσῃ τὰ σά, ὑπὸ δὲ τῆς τοῦ σώματος ἀσθενείας κωλυομένῃ· ὄρεξον χεῖρα τοῖς τρέχειν μὲν ἐπειγομένοις, χωλεύειν δὲ

Ὕστερα ἀπ' αὐτὸ διδαχθήκαμε νὰ λέμε· «ἂς ἔρθει ἡ βασιλεία σου». Γιατί, ἀφοῦ βασανιζόμαστε ἀπὸ τὰ πάθη τοῦ σώματος καὶ δεχόμαστε τὶς ἄπειρες ἐπιθέσεις τῶν πειρασμῶν, χρειαζόμαστε τὴ βασιλεία τοῦ Θεοῦ, γιὰ νὰ μὴ βασιλέψει ἡ ἁμαρτία στὸ θνητὸ σῶμα μας, μὲ τὸ νὰ ὑπακοῦμε σ' αὐτὴν ἱκανοποιώντας τὶς ἐπιθυμίες τοῦ σώματος, οὔτε νὰ προσφέρουμε τὰ μέλη μας στὴν ἁμαρτία σὰν ὅπλα ἀδικίας, ἀλλὰ νὰ τὰ προσφέρουμε στὸ Θεὸ σὰν ὅπλα δικαιοσύνης καὶ νὰ ὑπηρετοῦμε σὰν στρατιῶτες στὸν αἰώνιο βασιλιά. Διδασκόμαστε ἀκόμα νὰ μὴν ἀφοσιωνόμαστε ὑπερβολικὰ στὴν παρούσα ζωή, ἀλλὰ νὰ περιφρονοῦμε τὰ παρόντα καὶ νὰ ἐπιθυμοῦμε τὰ μελλοντικὰ σὰν σταθερὰ καὶ νὰ ζητοῦμε τὴ βασιλεία ἐκείνη τὴν οὐράνια καὶ αἰώνια καὶ νὰ μὴν ἐξουσιαζόμαστε ἀπὸ τὰ ἐδῶ εὐχάριστα, οὔτε ἀπὸ τὴν ὀμορφιὰ τῶν σωμάτων, οὔτε ἀπὸ τὴν ἀφθονία τῶν χρημάτων, οὔτε ἀπὸ τὰ πολλὰ κτήματα, οὔτε ἀπὸ τὶς πολύτιμες πέτρες, οὔτε ἀπὸ τὰ μεγαλόπρεπα σπίτια, οὔτε ἀπὸ τὶς ἀρχηγίες καὶ τὶς στρατηγίες, οὔτε ἀπὸ τὴ βασιλικὴ πορφύρα καὶ τὸ στέμμα, οὔτε ἀπὸ τὰ φαγητὰ καὶ τὰ καρυκεύματα καὶ τὶς κάθε εἴδους ἀπολαύσεις, οὔτε ἀπὸ κάτι ἄλλο ἀπ' αὐτὰ ποὺ δελεάζουν τὶς αἰσθήσεις μας, ἀλλά, ἀφοῦ σὲ ὅλα αὐτὰ ποῦμε «χαῖρετε», νὰ ἐπιθυμοῦμε ἀδιάκοπα τὴ βασιλεία τοῦ Θεοῦ.

Ἀφοῦ μᾶς δίδαξε ἔτσι καὶ αὐτὴ τὴν ἀρετή, πρόσταξε νὰ λέμε· «ἂς γίνει τὸ θέλημά σου καὶ πάνω στὴ γῆ, ὅπως γίνεται στὸν οὐρανό». Ἀφοῦ λοιπὸν ἔβαλε μέσα μας τὸν ἔρωτα γιὰ τὰ μελλοντικὰ καὶ τὴν ἐπιθυμία τῆς ἐπουράνιας βασιλείας καὶ μᾶς πλήγωσε μ' ἐκεῖνον τὸν πόθο, μᾶς κάνει νὰ λέμε· «ἂς γίνει τὸ θέλημά σου καὶ πάνω στὴ γῆ, ὅπως γίνεται στὸν οὐρανό». Δῶσε μας, λέγει, Κύριε, νὰ μιμούμαστε τὴν οὐράνια ζωή, γιὰ νὰ θέλουμε καὶ μεῖς αὐτὰ ποὺ θέλεις καὶ σύ. Βοήθησε λοιπὸν τὴν κουρασμένη διάθεση, ποὺ θέλει νὰ κάνει τὰ δικά σου, ἀλλ' ἐμποδίζεται ἀπὸ τὴν ἀσθένεια τοῦ σώματος. Ἅπλωσε τὸ χέρι

ἠναγκασμένοις. Ὑπόπτερος ἡ ψυχή, ἀλλὰ βαρύνει ταύτην ἡ σάρξ· ὀξεῖα ἐκείνη πρὸς τὰ οὐράνια, ἀλλὰ βραδεῖα αὕτη πρὸς τὰ ἐπίγεια· τῆς δὲ σῆς βοηθείας παρούσης, ἔσται δυνατὰ καὶ τὰ λίαν ἀδύνατα. «Γενηθήτω» τοίνυν «τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς».

5. Καὶ ἐπειδὴ τῆς γῆς ἐμνημόνευσε, χρεία δὲ τοῖς ἐξ αὐτῆς γεγενημένοις καὶ ἐν αὐτῇ διαιτωμένοις, καὶ γηγενὲς σῶμα περικειμένοις, καὶ τῆς καταλλήλου τροφῆς, ἀναγκαίως ἐπήγαγε· «τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον». Ἄρτον ἐκέλευσεν αἰτεῖν ἐπιούσιον, οὐ τρυφήν, ἀλλὰ τροφήν, τὴν τὸ ἐλλεῖπον ἀναπληροῦσαν τõ σώματος, καὶ τὸν ἐκ λιμοῦ κωλύουσαν θάνατον· οὐ τραπέζας φλαγμαινούσας, οὐδὲ ὄψων ποικιλίας, καὶ ὀψοποιῶν μαγγανείας, καὶ ἀρτοποιῶν ἐπινοίας, καὶ οἴνους ἀνθοσμίας καὶ τἄλλα ὅσα τὸν μὲν λαιμὸν ἡδύνει, τὴν δὲ γαστέρα φορτίζει, τὴν δὲ διάνοιαν σκοτίζει καὶ σκιρτᾶν τὸ σῶμα κατὰ τῆς ψυχῆς παρασκευάζει καὶ δυσήνιον τῷ ἡνιόχῳ τὸν πῶλον ἐργάζεται. Οὐ ταῦτα ἡμᾶς αἰτεῖν ὁ λόγος ἐδίδαξεν, ἀλλ' «ἄρτον ἐπιούσιον», τοῦτ' ἔστιν, ἐπὶ τὴν οὐσίαν τοῦ σώματος διαβαίνοντα καὶ συγκροτῆσαι ταύτην δυνάμενον. Καὶ τοῦτον δὲ οὐκ εἰς πολὺν ἐτῶν ἀριθμὸν αἰτεῖν ἐκελεύσθημεν, ἀλλὰ τὸν σήμερον ἡμῖν ἀρκοῦντα μόνον. «Μὴ μεριμνήσητε» γάρ, φησίν, «εἰς τὴν αὔριον».

Τί δήποτε γὰρ περὶ τῆς αὔριον φροντίζει τις, ὁ τὴν αὔριον οὐ πάντως ὀψόμενος, ἀλλὰ τὸν μὲν πόνον δεχόμενος, τὸν δὲ καρπὸν οὐ δρεπόμενος; Θάρρησον τῷ Θεῷ «τῷ διδόντι τροφὴν πάσῃ σαρκί». Ὁ τὸ σῶμά σοι δεδωκώς, καὶ τὴν ψυχὴν ἐμφυσήσας, καὶ ζῶόν σε λογικὸν κατασκευάσας, καὶ πάντα σοι τὰ ἀγαθὰ πρὸ διαπλάσεως ἑτοιμάσας, πῶς σὲ διαπλασθέντα παρό-

11. Ματθ. 6,34.
12. Ψαλμ. 135,25.

σου σ' ἐκείνους ποὺ ἐπιθυμοῦν πολὺ νὰ τρέχουν, ἀλλ' εἶναι ἀναγκασμένοι νὰ κουτσαίνουν. Ἔχει φτερὰ ἡ ψυχή, ἀλλὰ τὴ βαραίνει ἡ σάρκα· εἶναι εὐκίνητη ἐκείνη πρὸς τὰ οὐράνια, ἀλλὰ αὐτὴ δυσκίνητη πρὸς τὰ ἐπίγεια. Ὅταν ὅμως ὑπάρχει ἡ δική σου βοήθεια, θὰ εἶναι δυνατὰ καὶ τὰ πάρα πολυ ἀδύνατα. «Ἂς γίνει» λοιπὸν «τὸ θέλημά σου καὶ πάνω στὴ γῆ, ὅπως γίνεται στὸν οὐρανό».

5. Καὶ ἐπειδὴ ἀνέφερε τὰ τῆς γῆς, καὶ ἔχουν ἀνάγκη ἀπὸ τὴν κατάλληλη τροφὴ ἐκεῖνοι ποὺ ἔγιναν ἀπ' αὐτὴν καὶ ζοῦν σ' αὐτὴν καὶ ἔχουν γήινο σῶμα, ἀναγκαστικὰ πρόσθεσε· «δῶσε μας σήμερα τὸν καθημερινὸ ἄρτο». Διέταξε νὰ ζητοῦμε τὸν καθημερινὸ ἄρτο, ὄχι καλοπέραση, ἀλλὰ τροφή, ποὺ ἀναπληρώνει τὶς ἀνάγκες τοῦ σώματος καὶ ἐμποδίζει τὸ θάνατο ἀπὸ πείνα· ὄχι ἐρεθιστικὰ τραπέζια, οὔτε ποικιλίες φαγητῶν καὶ τέχνες μαγείρων καὶ ἐπινοήσεις ἀρτοποιῶν καὶ μοσχάτα κρασιὰ καὶ τὰ ἄλλα ὅσα εὐχαριστοῦν τὸ λάρυγγα, ἀλλὰ φορτώνουν τὴν κοιλιά, σκοτίζουν τὸ νοῦ καὶ κάνουν τὸ σῶμα νὰ ξεσηκώνεται ἐναντίον τῆς ψυχῆς καὶ καθιστοῦν τὸ πουλάρι ἀπείθαρχο στὸν ἀναβάτη του. Δὲ μᾶς δίδαξε ὁ λόγος νὰ ζητοῦμε αὐτά, ἀλλὰ «τὸν «καθημερινὸ ἄρτο», δηλαδή, αὐτὸν ποὺ μεταβαίνει στὴν οὐσία τοῦ σώματος καὶ μπορεῖ νὰ τὴ στηρίξει. Καὶ αὐτὸν ὅμως δὲν πήραμε ἐντολὴ νὰ τὸν ζητοῦμε γιὰ πολλὰ χρόνια, ἀλλὰ τὸν ἄρτο ποὺ μᾶς ἀρκεῖ μόνο γιὰ τὸ σήμερα. Γιατὶ λέγει, «μὴν ἀγωνιᾶτε γιὰ τὸ αὔριο»[11].

Γιὰ ποιό λόγο λοιπὸν φροντίζει κάποιος γιὰ τὸ αὔριο, αὐτὸς ποὺ δὲ θὰ δεῖ ὁπωσδήποτε τὸ αὔριο, ἀλλὰ φορτώνεται βέβαια τὸν κόπο, δὲν ἀπολαμβάνει ὅμως τὸν καρπό; Ἔχε ἐμπιστοσύνη στὸ Θεὸ «ποὺ δίνει τροφὴ σὲ κάθε σάρκα»[12]. Αὐτὸς ποὺ σοῦ ἔδωσε τὸ σῶμα καὶ φύσησε μέσα σου τὴν ψυχὴ καὶ σὲ ἔκαμε ζῶο λογικὸ καὶ σοῦ ἑτοίμασε ὅλα τὰ ἀγαθὰ πρὶν τὴ διάπλασή σου, πῶς μετὰ τὴ διάπλασή σου θὰ σὲ παραβλέψει αὐτὸς

ψεται, «ὃς ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους»; Τούτῳ τοίνυν θαρρῶν τὴν ἐφήμερον μόνην αἴτει τροφήν, τῆς δὲ αὔριον αὐτῷ κατάλιπε τὴν φροντίδα, ὡς καὶ ὁ μακάριος ἔλεγε Δαυΐδ· «ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει». Οὕτω διὰ τῶν εἰρημένων τὴν ἄκραν ἐκπαιδεύσας φιλοσοφίαν, εἰδὼς ὅτι τῶν ἀδυνάτων ἐστίν, ἀνθρώπους ὄντας καὶ θνητὸν σῶμα περικειμένους, μὴ πταίειν, ἐδίδαξε λέγειν· «καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν».

Τρία κατ' αὐτὸν ἀγαθὰ διὰ τοῦδε τοῦ λόγου πραγματεύεται· τοὺς μὲν ἄκρους τὴν ἀρετὴν μετριότητα διδάσκει φρονήματος, καὶ παρακελεύεται μὴ θαρρεῖν τοῖς κατορθώμασιν, ἀλλὰ δεδιέναι καὶ τρέμειν καὶ τῶν προτέρων ἁμαρτημάτων μνημονεύειν· ὡς καὶ ὁ θεσπέσιος ποιεῖ Παῦλος, μετὰ μυρία κατορθώματα λέγων· «ὅτι Ἰησοῦς Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ»· οὐκ εἶπεν, 'ἤμην', ἀλλ', «εἰμί», δεικνὺς ὅτι ἄπαυστον εἶχε τῶν εἰργασμένων τὴν μνήμην. Τοῖς μὲν οὖν ἄκροις τὴν ἀρετὴν ἀπὸ τῆς ταπεινοφροσύνης ἀσφάλειαν διὰ τούτων τῶν λόγων ἐμηχανήσατο, τοὺς δὲ πταίσαντας μετὰ τὴν τοῦ ἁγίου βαπτίσματος χάριν οὐκ ἀφίησιν ἀπογινώσκειν τῆς ἑαυτῶν σωτηρίας, ἀλλ' αἰτεῖν διδάσκει παρὰ τοῦ ἰατροῦ τῶν ψυχῶν τῆς ἀφέσεως τὰ φάρμακα. Πρὸς δὲ τούτοις, καὶ φιλανθρωπίας διδασκαλίαν ὁ λόγος ὑποτίθεται. Βούλεται γὰρ ἡμᾶς ἡμέρους εἶναι περὶ τοὺς ὑπευθύνους, ἀμνησικάκους περὶ τοὺς εἰς ἡμᾶς πλημμελοῦντας, καὶ τῇ περὶ τούτους συγγνώμῃ ἑαυτοῖς δωρεῖσθαι συγγνώμην, καὶ ἡμᾶς αὐτοὺς προεισφέρειν τῆς φιλανθρωπίας τὰ μέτρα. Τοσοῦτον γὰρ αἰτοῦμεν

---

13. Ματθ. 5,45.
14. Ψαλμ. 54,23.
15. Α' Τιμ. 1,15.

«ποὺ ἀνατέλλει τὸν ἥλιο του σὲ καλοὺς καὶ κακοὺς καὶ στέλνει τὴ βροχὴ σὲ δικαίους καὶ ἀδίκους»[13]; Ἔχοντας λοιπὸν ἐμπιστοσύνη σ' αὐτόν, ζήτα μόνο τὴν καθημερινὴ τροφὴ καὶ ἄφησε τὴ φροντίδα γιὰ τὸ αὔριο σ' αὐτόν, ὅπως ἔλεγε καὶ ὁ μακάριος Δαβίδ· «ρίξε τὴ μέριμνά σου στὸν Κύριο καὶ αὐτὸς θὰ σὲ διαθρέψει»[14]. Ἔτσι, ἀφοῦ μὲ ὅσα λέχθηκαν μᾶς ἔμαθε τὴν ὕψιστη φιλοσοφία, γνωρίζοντας πὼς εἶναι ἀδύνατο νὰ μὴ σφάλλουμε, ἐπειδὴ εἴμαστε ἄνθρωποι καὶ ἔχουμε θνητὸ σῶμα, μᾶς δίδαξε νὰ λέμε· «καὶ συγχώρησέ μας τὰ χρέη τῶν ἁμαρτιῶν μας, ὅπως καὶ μεῖς τὰ συγχωροῦμε στοὺς δικούς μας ὀφειλέτες».

Τρία ἀγαθὰ διακηρύσσει μὲ τὰ λόγια αὐτά. Τοὺς ἄριστους στὴν ἀρετὴ τοὺς διδάσκει μετριοφροσύνη καὶ τοὺς συμβουλεύει νὰ μὴν ὑπερηφανεύονται γιὰ τὰ κατορθώματά τους, ἀλλὰ νὰ φοβοῦνται καὶ νὰ τρέμουν καὶ νὰ μνημονεύουν τὰ προηγούμενα ἁμαρτήματά τους, ὅπως κάνει καὶ ὁ θεσπέσιος Παῦλος λέγοντας ὕστερα ἀπὸ τὰ ἄπειρα κατορθώματά του· «ὁ Ἰησοῦς Χριστὸς ἦρθε στὸν κόσμο γιὰ νὰ σώσει τοὺς ἁμαρτωλοὺς καὶ πρῶτος ἀνάμεσά τους εἶμαι ἐγώ»[15]. Δὲν εἶπε 'ἤμουν', ἀλλὰ 'εἶμαι', ἀποδεικνύοντας πὼς πάντοτε θυμόταν ὅσα εἶχε διαπράξει. Τοὺς ἄριστους λοιπὸν στὴν ἀρετὴ τοὺς ἀσφάλισε μὲ τὴν ταπεινοφροσύνη, λέγοντας τὰ λόγια αὐτά. Ἐκείνους ὅμως ποὺ ἔσφαλαν ὕστερα ἀπὸ τὴ χάρη τοῦ ἁγίου βαπτίσματος δὲν τοὺς ἀφήνει νὰ ἀπελπίζονται γιὰ τὴ σωτηρία τους, ἀλλὰ τοὺς διδάσκει νὰ ζητοῦν ἀπὸ τὸν γιατρὸ τῶν ψυχῶν τὰ φάρμακα τῆς συγχώρησης. Μαζὶ ὅμως μ' αὐτὰ ὁ λόγος προϋποθέτει καὶ διδασκαλία φιλανθρωπίας. Γιατὶ μᾶς θέλει νὰ εἴμαστε ἥμεροι στοὺς ἐνόχους, ἀμνησίκακοι σ' αὐτοὺς ποὺ σφάλλουν σὲ μᾶς καὶ μὲ τὴ συγγνώμη μας σ' αὐτοὺς νὰ χαρίζουμε στὸν ἑαυτό μας συγγνώμη, καὶ ἐμεῖς οἱ ἴδιοι πρῶτα νὰ προσφέρουμε τὰ μέτρα τῆς φιλανθρωπίας. Γιατὶ τόσο ζητοῦμε νὰ λάβουμε, ὅσο παρέχουμε

λαβεῖν, ὅσον τοῖς πλησίον παρέχομεν, καὶ τοσαύτης ἀξιοῦμεν συγγνώμης τυχεῖν, ὅσην τοῖς ὀφείλουσι δωρούμεθα.

Πρὸς τούτοις ἐκελεύσθημεν λέγειν, «καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ρῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ». Πολλὰ μὲν γὰρ ἡμῖν ἐκ διαβολικῆς ἐνεργείας προσγίνεται λυπηρά, πολλὰ δὲ καὶ ἐξ ἀνθρώπων, ἢ προφανῶς ἐπηρεαζόντων, ἢ ἀφανῶς ἐπιβουλευόντων. Καὶ τὸ σῶμα ποτὲ μὲν ἐπανιστάμενον τῇ ψυχῇ, χαλεπὴν ἐργάζεται βλάβην· ποτὲ δὲ παντοδαποῖς ἀρρωστήμασι περιπῖπτον ὀδύνας ἡμῖν ἐπιφέρει καὶ ἀχθηδόνας. Ἐπειδὴ τοίνυν πολλὰ καὶ διάφορά ἐστι πολλαχόθεν προσπίπτοντα λυπηρά, ἐδιδάχθημεν παρὰ τοῦ Θεοῦ τῶν ὅλων αἰτεῖν τὴν τούτων ἀπαλλαγήν. Αὐτοῦ γὰρ ἐπαμύνοντος, πᾶσα μὲν κατασβέννυται ζάλη, ὁ δὲ κλύδων εἰς γαλήνην μεθίσταται, καὶ ὑποχωρεῖ κατησχυμμένος ὁ πονηρός, καθάπερ ποτὲ τοὺς ἀνθρώπους καταλείπων κατὰ τῶν χοίρων ἐχώρησεν, οὐδὲ ἐκεῖνο ποιῆσαι τολμήσας δίχα τοῦ κελεύσαντος. Ὁ δὲ κατὰ χοίρων ἐξουσίαν οὐκ ἔχων, πῶς ἀνθρώπων ἐγρηγορότων καὶ νηφόντων, καὶ ὑπὸ Θεοῦ φυλαττομένων, καὶ βασιλέα οἰκεῖον ἡγουμένων αὐτὸν κρατῆσαι δυνήσεται; Διὰ τοῦτο καὶ τῷ τέλει τῆς προσευχῆς, τοῦ Θεοῦ τὴν βασιλείαν καὶ τὴν δύναμιν καὶ τὴν δόξαν ὑπέδειξεν, εἰπών· «ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν». Ταῦτα γάρ, φησίν, αἰτῶ παρὰ σοῦ, ὅτι οἶδά σε βασιλέα πάντων, αἰώνιον κεκτημένον κράτος, καὶ πάντα δυνάμενον ὅσαπερ ἂν θέλῃς, καὶ δόξαν κεκτημένον ἀναφαίρετον.

Ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ τοσούτων ἡμᾶς ἀξιώσαντι ἀγαθῶν, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ κράτος, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

16. Βλ. Λουκᾶ 8,26–39.

στοὺς συνανθρώπους μας, καὶ ἀξιώνουμε νὰ ἐπιτύχουμε τόση συγγνώμη, ὅση χαρίζουμε στοὺς ὀφειλέτες μας.

Ἐκτὸς ἀπ' αὐτὰ διαταχθήκαμε νὰ λέμε, «καὶ μὴ μᾶς ἀφήσεις νὰ πέσουμε σὲ πειρασμό, ἀλλὰ σῶσε μας ἀπὸ τὸν πονηρό». Γιατὶ πολλὰ λυπηρὰ μᾶς συμβαίνουν ἀπὸ διαβολικὴ ἐνέργεια, καὶ πολλὰ καὶ ἀπὸ τοὺς ἀνθρώπους, ποὺ μᾶς βλάπτουν φανερὰ ἢ μᾶς ἐπιβουλεύονται στὰ κρυφά. Καὶ τὸ σῶμα ἄλλοτε, ὅταν ξεσηκώνεται ἐναντίον τῆς ψυχῆς, μᾶς προξενεῖ φοβερὴ βλάβη· ἄλλοτε πάλι πέφτοντας σὲ κάθε εἴδους ἀρρώστιες, μᾶς προκαλεῖ πόνους καὶ ἐνοχλήσεις. Ἐπειδὴ λοιπὸν πολλὰ καὶ διάφορὰ εἶναι τὰ λυπηρὰ ποὺ ἀπὸ πολλὰ σημεῖα μᾶς ἐπιτίθενται, διδαχθήκαμε ἀπὸ τὸ Θεὸ τῶν ὅλων νὰ ζητοῦμε τὴν ἀπαλλαγή μας ἀπ' αὐτά. Γιατί, ὅταν ὁ Θεὸς μᾶς ἐνισχύει, κάθε ζάλη σβήνει καὶ ἡ τρικυμία μετατρέπεται σὲ γαλήνη καὶ ὁ διάβολος ὑποχωρεῖ ντροπιασμένος, ὅπως ἀκριβῶς κάποτε ἐγκαταλείποντας τοὺς ἀνθρώπους μπῆκε μέσα στοὺς χοίρους, μὴν τολμώντας οὔτε ἐκεῖνο νὰ κάμει χωρὶς αὐτὸν ποὺ τὸν διέταξε[16]. Αὐτὸς λοιπὸν ποὺ δὲν ἔχει ἐξουσία ἐναντίον τῶν χοίρων, πῶς θὰ μπορέσει νὰ νικήσει ἀνθρώπους ποὺ εἶναι ξάγρυπνοι καὶ νηφάλιοι καὶ προστατεύονται ἀπὸ τὸ Θεὸ καὶ τὸν θεωροῦν δικό τους βασιλιά; Γι' αὐτὸ καὶ στὸ τέλος τῆς προσευχῆς ὑπέδειξε τοῦ Θεοῦ τὴ βασιλεία καὶ τὴ δύναμη καὶ τὴ δόξα, λέγοντας· «γιατὶ δική σου εἶναι ἡ βασιλεία καὶ ἡ δύναμη καὶ ἡ δόξα στοὺς αἰῶνες. Ἀμήν». Αὐτὰ λοιπόν, λέγει, ζητῶ ἀπὸ σένα, γιατὶ γνωρίζω ὅτι εἶσαι βασιλιὰς ὅλων, ὅτι ἔχεις αἰώνια δύναμη, ὅτι μπορεῖς ὅλα ὅσα θέλεις, καὶ ἔχεις ἀναφαίρετη δόξα.

Γιὰ ὅλα αὐτὰ λοιπὸν ἂς εὐχαριστήσουμε ἐκεῖνον ποὺ μᾶς ἔκρινε ἄξιους γιὰ τόσα ἀγαθά, γιατὶ σ' αὐτὸν ἁρμόζει κάθε δόξα, τιμὴ καὶ δύναμη, στὸν Πατέρα καὶ στὸν Υἱὸ καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟΝ ΠΑΡΑΛΥΤΙΚΟΝ ΔΙΑ ΤΗΣ ΣΤΕΓΗΣ ΧΑΛΑΣΘΕΝΤΑ, Ὅτι οὐκ αὐτός ἐστιν ὁ παρὰ τῷ Ἰωάννῃ κείμενος· καὶ περὶ τῆς τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ἰσότητος

1. Περιτυχόντες πρῴην τῷ παραλυτικῷ περὶ τὴν κολυμβήθραν ἐπὶ τῆς κλίνης κειμένῳ, πολὺν καὶ μέγαν εὑρήκαμεν θησαυρόν, οὐχὶ γῆν διορύξαντες, ἀλλὰ τὴν διάνοιαν αὐτοῦ διασκάψαντες· εὑρήκαμεν θησαυρὸν οὐχὶ ἀργύριον ἔχοντα καὶ χρυσίον καὶ λίθους τιμίους, ἀλλὰ καρτερίαν καὶ φιλοσοφίαν καὶ ὑπομονὴν καὶ πολλὴν τὴν πρὸς τὸν Θεὸν ἐλπίδα, ἣ παντὸς χρυσίου καὶ πάσης εὐπορίας ἐστὶ τιμιωτέρα. Ὁ μὲν γὰρ αἰσθητὸς πλοῦτος καὶ λῃστῶν ἐπιβουλαῖς πρόκειται καὶ συκοφαντῶν στόμασι καὶ τοιχωρύχων χερσὶ καὶ οἰκετῶν κακουργίαις, καὶ ὅταν ἅπαντα ταῦτα διαφύγῃ, τότε τοῖς κεκτημένοις μέγιστον ἐπάγει πολλάκις τὸν ὄλεθρον, βασκάνων ὀφθαλμοὺς διεγείρων καὶ μυρίους ἐκ τούτου τίκτων χειμῶνας. Ὁ δὲ πνευματικὸς πλοῦτος ἁπάσας ταύτας διέφυγε τὰς λαβάς, καὶ πάσης ἐπηρείας ἐστὶν ἀνώτερος τοιαύτης, καὶ λῃστῶν καὶ τοιχωρύχων καὶ βασκάνων καὶ συκοφαντῶν καὶ αὐτοῦ καταγελῶν τοῦ θανάτου. Οὐδὲ γὰρ θανάτῳ διαζεύγνυται τοῦ κεκτημένου, ἀλλὰ τότε μάλιστα ἀσφαλεστέρα ἡ κτῆσις αὐτοῦ τοῖς ἔχουσι γίνεται, καὶ συναποδημεῖ καὶ συμμε-

ΟΜΙΛΙΑ

ΣΤΟΝ ΠΑΡΑΛΥΤΙΚΟ ΠΟΥ ΤΟΝ ΚΑΤΕΒΑΣΑΝ ΑΠΟ ΤΗ ΣΤΕΓΗ

Ὅτι δὲν εἶναι ὁ ἴδιος μ' ἐκεῖνον ποὺ ἀναφέρει ὁ Ἰωάννης.
Καὶ γιὰ τὴν ἰσότητα τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα

1. Συναντώντας προηγουμένως τὸν παραλυτικὸ κατάκοιτο στὸ κρεβάτι του κοντὰ στὴ δεξαμενή, βρήκαμε πολὺ καὶ μεγάλο θησαυρό, ὄχι σκάβοντας τὴ γῆ, ἀλλὰ σκάβοντας τὴν ψυχή του. Βρήκαμε θησαυρό, ποὺ δὲν περιεῖχε ἀσήμι καὶ χρυσάφι καὶ πολύτιμες πέτρες, ἀλλὰ καρτερία καὶ πίστη καὶ ὑπομονὴ καὶ μεγάλη ἐλπίδα στὸ Θεό, ποὺ εἶναι πιὸ πολύτιμη ἀπ' ὅλο τὸ χρυσάφι καὶ ὅλα τὰ πλούτη. Γιατὶ ὁ ὑλικὸς πλοῦτος εἶναι ἐκτεθειμένος καὶ στὶς ἐπιβουλὲς τῶν ληστῶν καὶ στὰ στόματα τῶν συκοφαντῶν καὶ στὰ χέρια τῶν διαρρηκτῶν καὶ στὶς δολιότητες τῶν ὑπηρετῶν, καὶ ὅταν τὰ ξεφύγει ὅλα αὐτά, τότε στοὺς κατόχους του φέρνει πολλὲς φορὲς πολὺ μεγάλη τὴν καταστροφή, ἐπειδὴ προκαλεῖ τὰ βλέμματα τῶν φθονερῶν καὶ δημιουργεῖ ἀπ' αὐτὸ ἄπειρες συμφορές. Ὁ πνευματικὸς ὅμως πλοῦτος ξέφυγε ὅλες αὐτὲς τὶς παγίδες καὶ βρίσκεται ψηλότερα ἀπὸ κάθε τέτοια ζημία, περιφρονώντας καὶ τοὺς ληστὲς καὶ τοὺς διαρρῆκτες καὶ τοὺς φθονεροὺς καὶ τοὺς συκοφάντες καὶ τὸν ἴδιο ἀκόμα τὸ θάνατο. Γιατὶ οὔτε μὲ τὸ θάνατο χωρίζεται ἀπὸ τὸν κάτοχό του, ἀλλὰ τότε κυρίως γίνεται ἀσφαλέστερη ἡ κτήση του σ' αὐτοὺς ποὺ τὸν κατέχουν, καὶ ἀποδημεῖ μαζί τους, καὶ πηγαίνει

θίσταται πρὸς τὴν μέλλουσαν ζωὴν καὶ συνήγορος γίνεται θαυμαστός, οἷς ἂν ἐκεῖ συναπέλθῃ, καὶ ἵλεω καθίστησιν αὐτοῖς τὸν δικάζοντα.

Τοῦτον καὶ ἡμεῖς τὸν πλοῦτον μετὰ πολλῆς τῆς δαψιλείας εὑρήκαμεν ἐν τῇ τοῦ παραλυτικοῦ κατορωρυγμένον ψυχῇ. Καὶ μάρτυρες ὑμεις οἱ μετὰ πολλῆς αὐτὸν ἐξαντλήσαντες τῆς προθυμίας, οὐ κενώσαντες δέ. Τοιαύτη γὰρ ἡ τοῦ πνευματικοῦ πλούτου φύσις· τὰς τῶν ὑδάτων ἐπιρροίας μιμεῖται, μᾶλλον δὲ καὶ ἐκείνων νικᾷ τὴν ἀφθονίαν, τότε πλεονάζουσα μᾶλλον, ὅταν πολλοὺς ἔχῃ τοὺς ἀρυομένους αὐτήν. Εἰς γὰρ τὴν ἑκάστου ψυχὴν εἰσιών, οὐ μερίζεται, οὐδὲ ἐλαττοῦται, ἀλλ' ὁλόκληρος ἑκάστῳ παραγινόμενος ἀνάλωτος μένει διηνεκῶς, οὐδέποτε ἐπιλείπειν δυνάμενος, ὃ δὴ καὶ τότε συνέβαινε. Τοσούτων γὰρ ἐπιπεσόντων τῷ θησαυρῷ καὶ πάντων τὰ κατὰ δύναμιν ἀρυομένων ἐκεῖθεν· καὶ τί λέγω περὶ ὑμῶν, ὅπου γε ἐξ ἐκείνου τοῦ χρόνου μέχρι τῆς παρούσης ἡμέρας μυρίους ποιήσας εὐπόρους, ἐπὶ τῆς οἰκείας τελειότητος μένει;

Μὴ τοίνυν ἀποκάμωμεν πρὸς τὴν πνευματικὴν ταύτην εὐπορίαν· ἀλλ' ὅσον δυνατὸν καὶ νῦν ἐξαντλήσωμεν καὶ ἴδωμεν φιλάνθρωπον Δεσπότην, ἴδωμεν καρτερικὸν οἰκέτην. Τριάκοντα γοῦν καὶ ὀκτὼ ἔτη ἀρρωστίᾳ παλαίων ἀνιάτῳ καὶ μαστιζόμενος διηνεκῶς, οὐκ ἐδυσχέρανεν, οὐκ ἀφῆκε ρῆμα βλάσφημον, οὐ κατηγόρησε τοῦ πεποιηκότος, ἀλλὰ γενναίως καὶ μετὰ πολλῆς τῆς ἐπιεικείας τὴν συμφορὰν ἔφερεν ἐκείνην. Καὶ πόθεν τοῦτο δῆλον; φησίν· οὐδὲν γὰρ περὶ τῆς ἄνω ζωῆς αὐτοῦ σαφῶς ἡμᾶς ἐδίδαξεν ἡ Γραφή, ἀλλ' ὅτι μὲν τριάκοντα ὀκτὼ ἔτη εἶχεν ἐν τῇ ἀσθενείᾳ αὐτοῦ, δῆλον ἐποίησεν· ὅτι δὲ οὐκ ἐδυσχέρανεν οὐδὲ ἠγανάκτησεν οὐδὲ ἀπεδυσπέτησε, τοῦτο οὐκέτι προσέθη-

μαζί τους στὴ μέλλουσα ζωή, καὶ γίνεται θαυμάσιος συνήγορος σ' ἐκείνους, μὲ τοὺς ὁποίους πηγαίνει ἐκεῖ, καὶ κάνει τὸ δικαστὴ εὐνοϊκὸ γι' αὐτούς.

Αὐτὸν τὸν πλοῦτο τὸν βρήκαμε καὶ ἐμεῖς ἄφθονο καὶ κρυμμένο μέσα στὴν ψυχὴ τοῦ παραλυτικοῦ. Καὶ μάρτυρες εἶστε ἐσεῖς, ποὺ τὸν ἀντλήσατε μὲ μεγάλη προθυμία, ἀλλὰ δὲν τὸν ἐξαντλήσατε. Γιατὶ τέτοια εἶναι ἡ φύση τοῦ πνευματικοῦ πλούτου· μιμεῖται τὰ ρεύματα τῶν ὑδάτων ἢ καλύτερα ξεπερνάει καὶ τὴ δική τους ἀφθονία, γιατὶ τότε γίνεται πιὸ πλούσια, ὅταν πολλοὶ εἶναι ἐκεῖνοι ποὺ τὴν ἀντλοῦν. Ὅταν δηλαδὴ μπαίνει στὴν ψυχὴ τοῦ καθενός, δὲ διαμοιράζεται, δὲ λιγοστεύει, ἀλλὰ φθάνοντας στὸν καθένα ὁλόκληρη μένει πάντοτε ἀνεξάντλητη, χωρὶς νὰ μπορεῖ ποτὲ νὰ τελειώσει, πράγμα βέβαια ποὺ συνέβαινε καὶ τότε. Γιατί, ἂν καὶ ἔπεσαν τόσοι πολλοὶ στὸ θησαυρὸ καὶ ὅλοι ὅσο μποροῦσαν ἀντλοῦσαν ἀπὸ ἐκεῖ· καὶ γιατί λέγω γιὰ σᾶς, ἀφοῦ βέβαια ἀπὸ ἐκεῖνον τὸν καιρὸ μέχρι τὴ σημερινὴ ἡμέρα ἔκαμε πάρα πολλοὺς ἀνθρώπους πλούσιους καὶ παραμένει ἐντελῶς ὁλόκληρος;

Ἂς μὴν ἀποκάμουμε λοιπὸν γιὰ τὴν ἀπόκτηση τοῦ πνευματικοῦ αὐτοῦ πλούτου, ἀλλά, ὅσο μποροῦμε, ἂς ἀντλήσουμε καὶ τώρα, καὶ ἂς δοῦμε τὸν φιλάνθρωπο Κύριο, ἂς δοῦμε τὸν καρτερικὸ δοῦλο. Τριάντα ὀκτὼ λοιπὸν χρόνια πάλευε μὲ ἀρρώστια ἀνίατη καὶ μαστιζόταν διαρκῶς, καὶ ὅμως δὲ δυσανασχέτησε, δὲν εἶπε καμιὰ βλασφημία, δὲν κατηγόρησε τὸ δημιουργό του, ἀλλ' ὑπέφερε τὴ συμφορά του ἐκείνη μὲ γενναιότητα καὶ μὲ πολλὴ ἀνεκτικότητα. Καὶ ἀπὸ ποῦ, λέγει, εἶναι φανερὸ αὐτό; γιατὶ ἡ ἁγία Γραφὴ δὲ μᾶς δίδαξε μὲ σαφήνεια τίποτε γιὰ τὴν προηγούμενη ζωή του, ἀλλὰ μᾶς φανέρωσε μόνο ὅτι ἦταν ἄρρωστος τριάντα ὀκτὼ χρόνια· τὸ ὅτι ὅμως δὲ δυσανασχέτησε, δὲν ἀγανάκτησε, δὲν ἔχασε τὸ θάρρος του, αὐτὸ δὲν τὸ πρόσθεσε ἀκόμα. Καὶ ὅμως καὶ αὐτὸ τὸ ἔκαμε φανερό,

κεν. Καὶ μὴν καὶ τοῦτο δῆλον ἐποίησεν, εἴ τις ἀκριβῶς προσέχοι καὶ μὴ παρέργως, μηδὲ ἁπλῶς.

Ὅταν γὰρ ἀκούσῃς ὅτι ἐπιστάντι Χριστῷ καὶ οὐκ ὄντι γνωρίμῳ, ἀλλ' ἀνθρώπῳ νομιζομένῳ ψιλῷ, μετὰ τοσαύτης ἐπιεικείας διελέγετο αὐτῷ, καὶ τὴν ἔμπροσθεν αὐτοῦ φιλοσοφίαν δυνήσῃ θεάσασθαι. Εἰπόντι γὰρ αὐτῷ, «θέλεις ὑγιὴς γενέσθαι;» οὐδὲν εἶπεν οἷον εἰκὸς ἦν, 'ὅτι ὁρᾷς με παραλελυμένον χρόνον τοσοῦτον κατακείμενον, καὶ ἐρωτᾷς εἰ βούλομαι γενέσθαι ὑγιής; ἐπεμβῆναί μου τοῖς κακοῖς ἦλθες, ὀνειδίσαι καὶ καταγελάσαι καὶ κωμῳδῆσαι τὴν συμφοράν;' Οὐδὲν τοιοῦτον οὐδὲ εἶπεν, οὐδὲ ἐνενόησεν, ἀλλὰ μετ' ἐπιεικείας, «ναί, Κύριε», φησίν. Εἰ δὲ μετὰ τριάκοντα ὀκτὼ ἔτη οὕτω πρᾶος ἦν, οὕτως ἐπιεικής, τῆς εὐτονίας αὐτῷ καταβληθείσης ἁπάσης καὶ τῆς δυνάμεως τῶν λογισμῶν, ἐννόησον ὁποῖον εἰκὸς εἶναι τοῦτον ἐν τοῖς προοιμίοις τῶν δεινῶν. Ἴστε γὰρ δήπου πάντες, ὅτι οὐχ ὁμοίως εἰσὶ δυσάρεστοι οἱ νοσοῦντες ἐν ἀρχῇ τῆς ἀρρωστίας καὶ πολλοῦ προϊόντος τοῦ χρόνου· τότε γὰρ μάλιστα δυσχερεῖς γίνονται οἱ νοσοῦντες, ὅταν εἰς μῆκος ἐπιδῷ τὸ νόσημα, τότε πᾶσιν ἀφόρητοι. Ὁ δὲ μετὰ τοσαῦτα ἔτη οὕτω φιλοσοφῶν, οὕτως ἀνεξικάκως ἀποκρινόμενος, εὔδηλον ὅτι καὶ τὸν ἔμπροσθεν χρόνον μετὰ πολλῆς τῆς εὐχαριστίας τὴν συμφορὰν ἔφερεν ἐκείνην.

Ταῦτα οὖν καὶ ἡμεῖς λογιζόμενοι μιμώμεθα τὴν ὑπομονὴν τοῦ συνδούλου· ἱκανὴ γὰρ ἡ παράλυσις ἐκείνου τὰς ἡμετέρας ἐπισφίγξαι ψυχάς· οὐδεὶς γὰρ οὕτω νωθρὸς καὶ παρειμένος, ὡς τὸ μέγεθος τῆς συμφορᾶς ἐννοήσας ἐκείνης, μὴ πάντα γενναίως ἐνεγκεῖν τὰ προσπίπτοντα δεινά, κἂν ἁπάντων ἀφορητότερα ᾖ. Οὔτε γὰρ ἡ ὑγίεια αὐτοῦ μόνον, ἀλλὰ καὶ ἡ νόσος μεγίστης ἡμῖν ὠφελείας γέγονεν αἰτία· ἥ τε γὰρ θεραπεία πρὸς δοξολογίαν τοῦ

---

1. Ἰω. 5,6.

ἂν κανεὶς προσέχει μὲ ἀκρίβεια καὶ ὄχι ἐπιπόλαια καὶ ἀδιάφορα.

Ὅταν λοιπὸν ἀκούσεις πώς, συναντώντας τὸ Χριστὸ καὶ χωρὶς νὰ τοῦ εἶναι γνωστός, ἀλλὰ θεωροῦνταν ἕνας ἁπλὸς ἄνθρωπος, μὲ τόση μεγάλη πραότητα συνομίλησε μαζί του, θὰ μπορέσεις νὰ δεῖς καὶ τὴν προηγούμενη φιλοσοφική του διάθεση. Γιατί, ὅταν τοῦ εἶπε, «θέλεις νὰ γίνεις καλά;»[1], δὲν ἀπάντησε τίποτε ἀπ' αὐτὰ ποὺ ἦταν εὔλογο νὰ πεῖ, ὅτι δηλαδὴ 'μὲ βλέπεις παράλυτο καὶ κατάκοιτο τόσα χρόνια καὶ μ' ἐρωτᾶς ἂν θέλω νὰ γίνω καλά; ἦρθες νὰ περιγελάσεις, νὰ γελοιοποιήσεις τὴ δυστυχία μου;' Δὲν εἶπε τίποτε τέτοιο, οὔτε σκέφθηκε, ἀλλὰ μὲ πραότητα λέγει· «ναί, Κύριε». Καὶ ἂν ὕστερα ἀπὸ τριάντα ὀκτὼ χρόνια ἦταν τόσο πράος, τόσο ἀνεκτικός, τὴ στιγμὴ μάλιστα ποὺ εἶχε ἐξασθενίσει ὅλη του ἡ σωματικὴ ὑγεία καθὼς καὶ ἡ δύναμη τῶν λογισμῶν του, σκέψου ποιός εἶναι φυσικὸ νὰ ἦταν στὴν ἀρχὴ τῆς συμφορᾶς. Γνωρίζετε βέβαια ὅλοι πὼς οἱ ἄρρωστοι δὲν εἶναι τὸ ἴδιο ἐνοχλητικοὶ στὴν ἀρχὴ τῆς ἀρρώστιας τους, καὶ ὕστερα ὅταν περάσει πολὺς καιρός· γιατὶ οἱ ἄρρωστοι τότε κυρίως γίνονται δύσκολοι, ὅταν ἡ ἀρρώστια τους παρατείνεται, τότε γίνονται ἀνυπόφοροι σὲ ὅλους. Αὐτὸς ὅμως ποὺ ὕστερα ἀπὸ τόσα χρόνια δείχνει τέτοια καρτερικότητα καὶ ἀπαντάει τόσο ἀνεξίκακα, εἶναι φανερό, ὅτι καὶ τὸν προηγούμενο καιρὸ ὑπέφερε μὲ πολλὴ εὐγνωμοσύνη τὴ συμφορὰ ἐκείνη.

Αὐτὰ λοιπὸν ἀναλογιζόμενοι καὶ μεῖς, ἂς μιμούμαστε τὴν ὑπομονὴ τοῦ συνανθρώπου μας, γιατὶ ἡ παράλυσή του εἶναι ἱκανὴ νὰ στερεώσει τὶς δικές μας ψυχές. Γιατὶ κανεὶς δὲν εἶναι τόσο νωθρὸς καὶ παραλυμένος ὥστε, ἀφοῦ σκεφθεῖ τὸ μέγεθος τῆς συμφορᾶς ἐκείνης, νὰ μὴν ὑπομείνει μὲ γενναιότητα ὅλα τὰ κακὰ ποὺ θὰ τὸν βροῦν, καὶ ἂν ἀκόμα εἶναι τὰ πιὸ ἀφόρητα ἀπ' ὅλα. Ὅμως ὄχι μόνο ἡ ὑγεία του, ἀλλὰ καὶ ἡ ἀρρώστια του ἔγινε γιὰ μᾶς αἰτία πολὺ μεγάλης ὠφέλειας. Γιατὶ καὶ ἡ θεραπεία

Δεσπότου καὶ τὰς τῶν ἀκουόντων ἤγειρε ψυχάς· ἥ τε νόσος καὶ ἡ ἀρρωστία πρὸς ὑπομονὴν ὑμᾶς ἤλειψε, καὶ πρὸς τὸν ἴσον παρεκάλεσε ζῆλον· μᾶλλον δὲ καὶ αὐτὴν τοῦ Θεοῦ τὴν φιλανθρωπίαν ἐνεδείξατο. Καὶ γὰρ αὐτὸ τὸ παραδοῦναι τοιούτῳ νοσήματι, καὶ τὸν χρόνον ἐκτεῖναι τοσοῦτον τὴν ἀρρωστίαν, μεγίστης κηδεμονίας ἐστί. Καθάπερ γὰρ χρυσοχόος εἰς χωνευτήριον ἐμβαλὼν χρυσίον μέχρι τοσούτου ἐπιτρέπει βασανίζεσθαι τῷ πυρί, ἕως ἂν ἴδῃ γενόμενον καθαρώτερον, οὕτω δὴ καὶ ὁ Θεὸς μέχρι τοσούτου τὰς τῶν ἀνθρώπων ψυχὰς ἀφίησιν ἐξετάζεσθαι ἐν δεινοῖς, ἕως ἂν γένωνται καθαραὶ καὶ διειδεῖς, καὶ πολλὴν ἀπὸ τῆς βασάνου ταύτης τὴν ὠφέλειαν καρπωσάμεναι· ὥστε καὶ τοῦτο εὐεργεσίας εἶδός ἐστι τὸ μέγιστον.

2. Μὴ τοίνυν θορυβώμεθα, μηδὲ ἀλύωμεν, πειρασμῶν ἐμπιπτόντων ἡμῖν. Εἰ γὰρ ὁ χρυσοχόος εἶδε πόσον μὲν ἀφιέναι ἐν τῇ καμίνῳ χρόνον δεῖ τὸ χρυσίον, πότε δὲ ἀνασπάσαι, καὶ οὐκ ἀφίησι μέχρι τοῦ διαφθαρῆναι καὶ κατακαυθῆναι μένειν ἐν τῷ πυρί, πολλῷ μᾶλλον ὁ Θεὸς τοῦτο ἐπίσταται, καὶ ὅταν ἴδῃ καθαρωτέρους γενομένους, ἀφίησι τῶν πειρασμῶν, ὥστε μὴ τῷ πλεονασμῷ τῶν κακῶν ὑποσκελισθῆναι καὶ καταπεσεῖν. Μὴ τοίνυν δυσχεραίνωμεν, μηδὲ μικροψυχῶμεν, ἐπειδάν τι τῶν ἀδοκήτων ἐμπέσῃ· ἀλλὰ παραχωρῶμεν τῷ ταῦτα μετὰ ἀκριβείας εἰδότι, ἕως ἂν βούλοιτο, πυροῦν τὴν διάνοιαν τὴν ἡμετέραν· συμφερόντως γὰρ τοῦτο ποιεῖ καὶ ἐπὶ κέρδει τῶν πειραζομένων.

Διὰ τοῦτο σοφός τις παραινεῖ λέγων· «τέκνον, εἰ προσέρχῃ δουλεύειν τῷ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν, εὔθυνον τὴν καρδίαν σου, καὶ καρτέρησον, καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς». Αὐτῷ παραχώρησον, φησίν, ἁπάντων· οἶδε γὰρ ἀκριβῶς πότε ἡμᾶς ἀνελέσθαι ἐκ τῆς καμί-

---

2. Σοφ. Σειρ. 2,1–2.

του παρακίνησε τὶς ψυχὲς τῶν ἀκροατῶν σὲ δοξολογία τοῦ Κυρίου καὶ ἡ νόσος καὶ ἡ ἀρρώστια του σᾶς προετοίμασε γιὰ ὑπομονὴ καὶ σᾶς προέτρεψε σὲ ἀνάλογο ζῆλο· ἢ καλύτερα φανέρωσε καὶ τὴν ἴδια τὴ φιλανθρωπία τοῦ Θεοῦ. Γιατὶ πραγματικὰ τὸ νὰ τὸν παραδώσει σὲ τέτοια ἀρρώστια καὶ τὸ νὰ παρατείνει τὴν ἀρρώστια τόσο πολὺ καιρό, εἶναι ἀπόδειξη πολὺ μεγάλης φροντίδας. Ὅπως δηλαδὴ ὁ χρυσοχόος βάζει τὸ χρυσάφι στὸ χωνευτήρι καὶ τὸ ἀφήνει νὰ δοκιμάζεται στὴ φωτιὰ τόσο χρονικὸ διάστημα, μέχρι νὰ τὸ δεῖ νὰ γίνεται τελείως καθαρό, ἔτσι ἀκριβῶς καὶ ὁ Θεὸς ἐπιτρέπει τὶς ψυχὲς τῶν ἀνθρώπων νὰ δοκιμάζονται στὶς συμφορὲς τόσο, ὥσπου νὰ γίνουν καθαρὲς καὶ διάφανες καὶ νὰ ὠφεληθοῦν πάρα πολὺ ἀπὸ τὴ δοκιμασία αὐτή. Ὥστε καὶ αὐτὸ εἶναι ἕνα εἶδος εὐεργεσίας καὶ μάλιστα τὸ πιὸ μεγάλο.

2. Ἂς μὴ ἀνησυχοῦμε λοιπόν, ἂς μὴν ἀδημονοῦμε, ὅταν μᾶς ἔρχονται πειρασμοί. Γιατί, ἂν ὁ χρυσοχόος γνωρίζει πόσο χρόνο πρέπει ν' ἀφήσει τὸ χρυσάφι στὸ καμίνι καὶ πότε νὰ τὸ βγάλει καὶ δὲν τὸ ἀφήνει νὰ μένει στὴ φωτιὰ μέχρι νὰ καταστραφεῖ καὶ νὰ κατακαεῖ, πολὺ περισσότερο τὸ ξέρει αὐτὸ ὁ Θεὸς καί, ὅταν δεῖ ὅτι γίναμε πιὸ καθαροί, μᾶς ἐλευθερώνει ἀπὸ τοὺς πειρασμούς, ὥστε νὰ μὴν ἀνατραποῦμε καὶ νὰ μὴν πέσουμε ἀπὸ τὸ πλῆθος τῶν κακῶν. Ἂς μὴ δυσανασχετοῦμε λοιπόν, ἂς μὴ γινόμαστε μικρόψυχοι, ὅταν μᾶς ἔρθει κάτι ἀπὸ τὰ ἀπροσδόκητα, ἀλλὰ ἂς ἀφήνουμε αὐτὸν ποὺ τὰ ξέρει καλὰ αὐτὰ νὰ δοκιμάζει στὴ φωτιὰ τὴν ψυχή μας, ὅσο καιρὸ θέλει. Γιατὶ τὸ κάνει αὐτὸ γιὰ τὸ συμφέρον καὶ τὸ κέρδος ἐκείνων ποὺ δοκιμάζονται.

Γι' αὐτὸ καὶ κάποιος σοφὸς συμβουλεύει λέγοντας· «παιδί μου, ἂν ἔρχεσαι νὰ ὑπηρετήσεις τὸ Θεό, ἑτοίμασε τὴν ψυχή σου γιὰ πειρασμό, κάνε δίκαιη τὴν καρδιά σου, δεῖξε ὑπομονὴ καὶ μὴ ὑποχωρήσεις σὲ περίοδο δυσκολιῶν»[2]. Ἄφησε σ' αὐτόν, λέγει, τὰ πάντα· γιατὶ γνωρίζει καλὰ πότε πρέπει νὰ μᾶς

νου δεῖ τῶν κακῶν. Χρὴ τοίνυν αὐτῷ πανταχοῦ παραχωρεῖν, καὶ διὰ παντὸς εὐχαριστεῖν, καὶ πάντα φέρειν εὐγνωμόνως, κἂν εὐεργετῇ, κἂν κολάζῃ, ἐπεὶ καὶ τοῦτο εὐεργεσίας ἐστὶν εἶδος. Καὶ γὰρ ἰατρὸς οὐχ ὅταν λούῃ καὶ τρέφῃ καὶ εἰς παραδείσους ἐξάγῃ τὸν κάμνοντα μόνον, ἀλλ', ὅταν καὶ καίῃ καὶ τέμνῃ, ὁμοίως ἐστὶν ἰατρός· καὶ πατὴρ οὐχ ὅταν θεραπεύῃ τὸν υἱὸν μόνον, ἀλλὰ καὶ ὅταν ἐκβάλλῃ τῆς οἰκίας καὶ ὅταν ἐπιτιμᾷ καὶ μαστίζῃ, ὁμοίως ἐστὶ πατήρ, καὶ οὐχ ἧττον ἢ ὅταν ἐπαινῇ.

Εἰδὼς τοίνυν ὅτι καὶ ἰατρῶν ἁπάντων φιλοστοργότερος ὁ Θεός, μὴ περιεργάζου, μηδὲ ἀπαίτει τὰς εὐθύνας αὐτὸν τῆς ἰατρείας, ἀλλ' ἄν τε ἀνεῖναι βούληται, ἄν τε κολάζῃ, πρὸς ἑκάτερα ὁμοίως παρέχωμεν ἑαυτούς· δι' ἑκατέρων γὰρ πρὸς ὑγείαν ἡμᾶς ἐπανάγει, καὶ πρὸς τὴν οἰκείωσιν τὴν ἑαυτοῦ, καὶ οἶδεν ὧν ἕκαστος χρείαν ἔχομεν, καὶ τί συμφέρον ἑκάστῳ καὶ πῶς καὶ τίνι τρόπῳ σωθῆναι δεῖ, καὶ ταύτην ἡμᾶς ἄγει τὴν ὁδόν. Ἑπώμεθα τοίνυν οἷπερ ἂν αὐτὸς κελεύῃ, καὶ μηδὲν ἀκριβολογώμεθα, εἴτε διὰ ῥᾳδίας καὶ εὐκόλου, εἴτε διὰ χαλεπῆς καὶ τραχυτέρας ὁδοῦ βαδίζειν κελεύοι· ὥσπερ οὖν καὶ τὸν παράλυτον τοῦτον. Ἓν μὲν οὖν τοῦτο εὐεργεσίας εἶδος ἦν τὸ χρόνῳ τοσούτῳ τὴν ψυχὴν αὐτοῦ καθαίρειν, ὥσπερ χωνευτηρίῳ τινὶ τῇ πυρώσει τῶν πειρασμῶν αὐτὴν παραδόντα· ἕτερον δὲ οὐκ ἔλαττον τούτου, τὸ καὶ ἐν αὐτοῖς παρεῖναι τοῖς πειρασμοῖς, καὶ πολλὴν αὐτῷ παρέχειν τὴν παραμυθίαν. Αὐτὸς ἦν ὁ διακρατῶν αὐτὸν και συνέχων, καὶ χεῖρα ὀρέγων, καὶ οὐκ ἀφιεὶς καταπεσεῖν.

Ὅταν δὲ ἀκούσῃς ὅτι αὐτὸς ἦν, μὴ ἀποστερήσῃς τῶν ἐγ-

βγάλει ἀπὸ τὸ καμίνι τῶν συμφορῶν. Πρέπει λοιπὸν σὲ ὅλες τὶς περιπτώσεις νὰ τὰ ἀφήνουμε σ' αὐτὸν καὶ πάντοτε νὰ τὸν εὐχαριστοῦμε καὶ ὅλα νὰ τὰ ὑποφέρουμε μὲ εὐγνωμοσύνη, εἴτε μᾶς εὐεργετεῖ, εἴτε μᾶς τιμωρεῖ, ἐπειδὴ καὶ αὐτὸ εἶναι ἕνα εἶδος εὐεργεσίας. Γιατὶ καὶ ὁ γιατρὸς ὄχι μόνο ὅταν λούζει καὶ δίνει τροφὴ καὶ βγάζει τὸν ἄρρωστο στοὺς κήπους, ἀλλὰ καὶ ὅταν τὸν καυτηριάζει καὶ τὸν χειρουργεῖ, εἶναι τὸ ἴδιο γιατρός. Καὶ ὁ πατέρας ἐπίσης, ὄχι μόνο ὅταν φροντίζει τὸν υἱό του, ἀλλὰ καὶ ὅταν τὸν διώχνει ἀπὸ τὸ σπίτι καὶ ὅταν τὸν ἐπιτιμάει καὶ ὅταν τὸν χτυπάει, τὸ ἴδιο εἶναι πατέρας, καὶ μάλιστα ὄχι λιγότερο ἀπ' ὅ,τι εἶναι ὅταν τὸν ἐπαινεῖ.

Γνωρίζοντας λοιπὸν ὅτι ὁ Θεὸς εἶναι περισσότερο φιλόστοργος ἀπ' ὅλους τοὺς γιατρούς, μὴν ἐξετάζεις μὲ περιέργεια, οὔτε νὰ ζητᾶς ἀπ' αὐτὸν λόγο γιὰ τὴ θεραπεία, ἀλλ' εἴτε θέλει νὰ μᾶς ἀνακουφίσει εἴτε νὰ μᾶς τιμωρεῖ, ἂς τοῦ παραδίδουμε τὸν ἑαυτό μας τὸ ἴδιο καὶ στὰ δύο. Γιατὶ καὶ μὲ τὰ δύο μᾶς ἐπαναφέρει στὴν ὑγεία καὶ στὸ νὰ γίνουμε δικοί του, καὶ γνωρίζει αὐτὰ ποὺ ὁ καθένας μας ἔχουμε ἀνάγκη καὶ τί συμφέρει στὸν καθένα καὶ πῶς καὶ μὲ ποιό τρόπο πρέπει νὰ σωθοῦμε, καὶ μᾶς ὁδηγεῖ σ' αὐτὸν τὸ δρόμο. Ἂς ἀκολουθοῦμε λοιπὸν ἐκεῖνο ποὺ αὐτὸς προστάζει καὶ ἂς μὴν ἐξετάζουμε τίποτε μὲ λεπτομέρεια, εἴτε μᾶς προστάζει νὰ βαδίζουμε σὲ ἄνετο καὶ εὔκολο δρόμο εἴτε σὲ δύσκολο καὶ σκληρό, ὅπως ἀκριβῶς λοιπὸν ἔκαμε καὶ στὸν παράλυτο αὐτόν. Ἕνα λοιπὸν εἶδος εὐεργεσίας ἦταν αὐτό, τὸ ὅτι καθαρίζει δηλαδὴ τὴν ψυχή του τόσο πολὺ καιρό, ἀφοῦ τὴν παρέδωσε σὰν σὲ κάποιο χωνευτήρι στὴ φωτιὰ τῶν πειρασμῶν. Καὶ δεύτερο εἶδος, ὄχι μικρότερο ἀπὸ τὸ πρῶτο, τὸ ὅτι εἶναι ὁ ἴδιος παρὼν σ' αὐτοὺς τοὺς πειρασμούς, παρέχοντάς του πολλὴ παρηγοριά. Αὐτὸς ἦταν ποὺ τὸν στήριζε καὶ τὸν συγκρατοῦσε καὶ τὸν βοηθοῦσε καὶ δὲν τὸν ἄφηνε νὰ πέσει.

Ὅταν ὅμως ἀκούσεις πὼς ὁ Θεὸς ἦταν, μὴ στερήσεις τὰ

κωμίων τὸν παράλυτον, μήτε ἐκεῖνον, μήτε ἄλλον τινὰ πειραζόμενον ἄνθρωπον καὶ καρτεροῦντα. Κἂν γὰρ μυριάκις φιλοσοφῶμεν, κἂν ἁπάντων ὦμεν ἰσχυρότεροι καὶ δυνατώτεροι, τῆς παρ' αὐτοῦ ῥοπῆς ἀπούσης, οὐδὲ πρὸς τὸν τυχόντα ἀντιστῆναι δυνησόμεθα πειρασμόν. Καὶ τί λέγω περὶ ἡμῶν τῶν εὐτελῶν καὶ ἀπερριμμένων; Κἂν γὰρ Παῦλός τις ᾖ καὶ Πέτρος, κἂν Ἰάκωβος κἂν Ἰωάννης, τῆς ἄνωθεν βοηθείας ἀποστερηθεὶς ἐλέγχεται ῥᾳδίως καὶ ὑποσκελίζεται καὶ καταπίπτει.

Καὶ ὑπὲρ τούτων αὐτοῦ τοῦ Χριστοῦ φωνὴν ὑμῖν ἀναγνώσομαι· τῷ γὰρ Πέτρῳ φησίν· «ἰδοὺ ὁ σατανᾶς ᾐτήσατο, ἵνα σινιάσῃ ὑμᾶς ὡς τὸν σῖτον· κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου». Τί ἐστι, «σινιάσαι»; Ἀγαγεῖν, περιαγαγεῖν, σαλεῦσαι, κινῆσαι, διαδονῆσαι, βασανίσαι, ὅπερ ἐπὶ τῶν κοσκινιζομένων γίνεται· ἀλλ' ἐγώ, φησίν, ἐπέσχον, εἰδὼς ὅτι τὸν πειρασμὸν ἐνεγκεῖν οὐ δύνασθε· τὸ γὰρ εἰπεῖν, «ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου», δηλοῦντός ἐστιν, ὅτι εἰ συνεχώρησεν, ἐξέλιπεν ἂν αὐτοῦ ἡ πίστις. Εἰ δὲ Πέτρος ὁ θερμὸς ἐραστὴς τοῦ Χριστοῦ καὶ τὴν ψυχὴν ὑπὲρ αὐτοῦ μυριάκις ἐπιδούς, καὶ προπηδῶν ἀεὶ τοῦ χοροῦ τῶν ἀποστόλων, καὶ παρὰ τοῦ διδασκάλου μακαριζόμενος, καὶ διὰ τοῦτο Πέτρος κληθείς, ἐπειδὴ ἄσειστον εἶχε καὶ ἀπερίτρεπτον τὴν πίστιν, ἠνέχθη ἂν καὶ τῆς ὁμολογίας ἐξέπεσεν, εἰ συνεχώρησεν ὁ Χριστὸς τῷ διαβόλῳ πειράσαι ὅσον ἠβούλετο, τίς ἕτερος στῆναι δυνήσεται χωρὶς τῆς αὐτοῦ βοηθείας;

Διὰ τοῦτο καὶ Παῦλός φησι· «πιστὸς δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν». Οὐ

---

3. Λουκᾶ 22,31-32.

ἐγκώμια ἀπὸ τὸν παράλυτο, οὔτε ἐκεῖνον, οὔτε κάποιον ἄλλο ἄνθρωπο ποὺ δοκιμάζεται καὶ δείχνει ὑπομονή. Γιατὶ καὶ ἂν ἀκόμα δείχνουμε ἄπειρες φορὲς ἐγκαρτέρηση, καὶ ἂν ἀκόμα εἴμαστε ἀπ' ὅλους πιὸ ἰσχυροὶ καὶ πιὸ δυνατοί, ἂν ἀπουσιάζει ἡ δική του ἐνίσχυση, δὲ θὰ μπορέσουμε νὰ ἀντισταθοῦμε οὔτε στὸν παραμικρὸ πειρασμό. Καὶ γιατί λέγω γιὰ μᾶς τοὺς ἀσήμαντους καὶ τιποτένιους; Γιατί, εἴτε κανεὶς εἶναι Παῦλος καὶ Πέτρος εἴτε Ἰάκωβος εἴτε Ἰωάννης, ἂν στερηθεῖ τὴ βοήθεια τοῦ Θεοῦ, νικιέται εὔκολα καὶ ἀνατρέπεται καὶ πέφτει.

Καὶ γι' αὐτὰ θὰ σᾶς διαβάσω λόγο τοῦ ἴδιου τοῦ Χριστοῦ. Γιατὶ στὸν Πέτρο λέγει· «νά, ὁ σατανὰς ζήτησε νὰ σᾶς κοσκινίσει ὅπως τὸ σιτάρι, ἐγὼ ὅμως προσευχήθηκα γιὰ σένα νὰ μὴ σὲ ἐγκαταλείψει ἡ πίστη σου»[3]. Τί σημαίνει, «νὰ σᾶς κοσκινίσει»; Νὰ σᾶς φέρει ἀπὸ ἐδῶ, νὰ σᾶς φέρει ἀπὸ ἐκεῖ, νὰ σᾶς τραντάξει, νὰ σᾶς δονήσει, νὰ σᾶς κουνήσει πάνω–κάτω, νὰ σᾶς βασανίσει, πράγμα ποὺ γίνεται κατὰ τὸ κοσκίνισμα τοῦ σιταριοῦ. Ἀλλὰ ἐγώ, λέγει, τὸν ἐμπόδισα, ἐπειδὴ γνώριζα ὅτι δὲν μπορεῖτε νὰ ἀντέξετε τὸν πειρασμό. Γιατὶ τὸ νὰ πεῖ, «γιὰ νὰ μὴ σὲ ἐγκατελείψει ἡ πίστη σου», φανερώνει ὅτι, ἂν τὸν ἄφηνε, θὰ χανόταν ἡ πίστη του. Ἂν ὅμως ὁ Πέτρος, αὐτὸς ποὺ ἀγαποῦσε θερμὰ τὸ Χριστὸ καὶ ποὺ γιὰ χάρη του πρόσφερε ἄπειρες φορὲς τὴ ζωή του καὶ ποὺ ἐκδηλωνόταν πάντοτε πρῶτος ἀπ' ὅλους τοὺς ἀποστόλους ὑπὲρ τοῦ Χριστοῦ καὶ ποὺ μακαριζόταν ἀπὸ τὸ δάσκαλο καὶ ποὺ γι' αὐτὸ ὀνομάσθηκε Πέτρος, ἐπειδὴ εἶχε σταθερὴ καὶ ἀμετάτρεπτη πίστη, θὰ ὑπέκυπτε καὶ θὰ ἔχανε τὴν πίστη του, ἂν ὁ Χριστὸς ἄφηνε τὸ διάβολο νὰ τὸν πειράξει ὅσο ἤθελε, ποιός ἄλλος θὰ μπορέσει νὰ σταθεῖ χωρὶς τὴ βοήθειά του;

Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «ὁ Θεὸς κρατάει τὶς ὑποσχέσεις του καὶ δὲ θὰ σᾶς ἀφήσει νὰ δοκιμασθεῖτε περισσότερο ἀπ' ὅ,τι μπορεῖτε νὰ βαστάξετε, ἀλλὰ μαζὶ μὲ τὴ δοκιμασία θὰ

μόνον γάρ, φησί, πειρασμὸν ὑπὲρ δύναμιν οὐκ ἀφίησιν ἐπενεχθῆναι, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ κατὰ δύναμιν ἐπαγομένῳ πάρεστι διαβαστάζων ἡμᾶς καὶ συγκροτῶν, ὅταν ἡμεῖς πρότερον τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν, οἷον προθυμίαν, ἐλπίδα τὴν εἰς αὐτόν, εὐχαριστίαν, καρτερίαν, ὑπομονήν. Οὔτε γὰρ μόνον ἐν τοῖς ὑπὲρ δύναμιν κινδύνοις, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς κατὰ δύναμιν τῆς ἄνωθεν δεόμεθα βοηθείας, εἰ μέλλοιμεν ἑστάναι γενναίως· καὶ ἀλλαχοῦ γάρ φησι· «καθὼς περισσεύει τὰ παθήματα Χριστοῦ εἰς ἡμᾶς, οὕτω διὰ τοῦ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει διὰ τῆς παρακλήσεως, ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ». Ὥστε καὶ ὁ τοῦτον παρακαλέσας αὐτός ἐστιν ὁ τὸν πειρασμὸν συγχωρήσας ἐπενεχθῆναι.

Ὅρα δὲ καὶ μετὰ τὴν θεραπείαν πόσην κηδεμονίαν ἐπιδείκνυται. Οὐ γὰρ ἀφεὶς αὐτὸν ἀπῆλθεν, ἀλλ' εὑρὼν αὐτὸν ἐν τῷ ἱερῷ φησιν· «ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται». Εἰ γὰρ μισῶν συνεχώρησε τὴν κόλασιν, οὐκ ἂν ἀπήλλαξεν, οὐκ ἂν πρὸς τὸ μέλλον ἠσφαλίσατο· τὸ δὲ λέγειν, «ἵνα μὴ χεῖρόν τί σοι γένηται», τὰ μέλλοντά ἐστι προαναστέλλοντος δεινά. Ἔλυσε τὴν νόσον, καὶ οὐκ ἔλυσε τὴν ἀγωνίαν· ἀπήλασε τὴν ἀρρωστίαν, καὶ οὐκ ἀπήλασε τὸν φόβον, ὥστε ἀκίνητον εἶναι τὴν γενομένην εὐεργεσίαν. Τοῦτο ἰατροῦ κηδεμονικοῦ μὴ τὰ παρόντα λύειν μόνον, ἀλλὰ καὶ πρὸς τὰ μέλλοντα ἀσφαλίζεσθαι, ὅπερ καὶ ὁ Χριστὸς ἐποίησε τῇ μνήμῃ τῶν παρελθόντων συγκροτῶν ἐκείνου τὴν ψυχήν. Ἐπειδὴ γὰρ ἀπελθόντων τῶν ὀδυνώντων ἡμᾶς, συναπέρχεται καὶ ἡ μνήμη πολ-

4. Α' Κορ. 10,13.
5. Β' Κορ. 1,5. 4.
6. Ἰω. 5,14.

δώσει καὶ τὴ διέξοδο, ὥστε νὰ μπορέσετε νὰ τὴν ἀντέξετε»[4]. Ὄχι μόνο, λέγει, δὲν ἀφήνει νὰ ἔρθει ἐπάνω μας δοκιμασία ἀνώτερη ἀπὸ τὶς δυνάμεις μας, ἀλλὰ καὶ σ' αὐτὴ τὴ σύμφωνη μὲ τὶς δυνάμεις μας δοκιμασία εἶναι παρών, ὑποστηρίζοντας καὶ ἐνισχύοντάς μας, ὅταν πρῶτα ἐμεῖς προσφέρουμε τὰ δικά μας, δηλαδὴ προθυμία, ἐλπίδα σ' αὐτόν, εὐχαριστία, καρτερία, ὑπομονή. Γιατὶ ὄχι μόνο στοὺς κινδύνους ποὺ εἶναι ἀνώτεροι ἀπὸ τὶς δυνάμεις μας, ἀλλὰ καὶ σ' αὐτοὺς ποὺ εἶναι σύμφωνοι μὲ τὶς δυνάμεις μας χρειαζόμαστε τὴ βοήθεια τοῦ Θεοῦ, ἂν θέλουμε νὰ σταθοῦμε γενναῖα. Καὶ ἀλλοῦ πάλι λέγει· «ὅπως συμμετέχουμε μὲ τὸ παραπάνω στὰ παθήματα τοῦ Χριστοῦ, ἔτσι καὶ ἡ ἐνίσχυση τοῦ Χριστοῦ γίνεται σὲ μᾶς μὲ τὸ παραπάνω, γιὰ νὰ μποροῦμε καὶ μεῖς μὲ τὸν ἴδιο τρόπο, ποὺ μᾶς ἐνισχύει ὁ Θεός, νὰ ἐνθαρρύνουμε ὅσους περνοῦν κάθε εἴδους θλίψη»[5]. Ὥστε ἐκεῖνος ποὺ τὸν ἐνίσχυσε καὶ αὐτὸν εἶναι ὁ ἴδιος ποὺ ἐπέτρεψε τὸν πειρασμὸ νὰ ἔρθει ἐναντίον του.

Πρόσεχε ὅμως καὶ μετὰ τὴ θεραπεία πόση φροντίδα δείχνει. Γιατὶ δὲν τὸν ἄφησε καὶ ἔφυγε, ἀλλά, ὅταν τὸν βρῆκε στὸ ναό, τοῦ λέγει· «βλέπεις, ἔχεις γίνει καλά, μὴν ἁμαρτάνεις πιά, γιὰ νὰ μὴν πάθεις τίποτε χειρότερο»[6]. Ἂν λοιπὸν ἐπέτρεψε τὴν τιμωρία, ἐπειδὴ τὸν μισοῦσε, δὲ θὰ τὸν ἐλευθέρωνε ἀπ' αὐτή, δὲ θὰ τὸν ἐξασφάλιζε γιὰ τὸ μέλλον. Καὶ τὸ νὰ πεῖ, «γιὰ νὰ μὴν πάθεις τίποτε χειρότερο», τὸν προφυλάσσει ἀπὸ τὰ μελλοντικὰ δεινά. Κατάργησε τὴν ἀρρώστια, ἀλλὰ δὲν κατάργησε τὴν ἀγωνία· ἀπομάκρυνε τὴν ἀσθένεια, ἀλλὰ δὲν ἀπομάκρυνε τὸ φόβο, γιὰ νὰ εἶναι ἀκίνητη ἡ εὐεργεσία ποὺ τοῦ ἔγινε. Αὐτὸ ταιριάζει σὲ γιατρὸ προνοητικό, νὰ μὴν καταργεῖ δηλαδὴ μόνο τὰ παρόντα, ἀλλὰ καὶ νὰ ἐξασφαλίζει καὶ γιὰ τὰ μελλοντικά, πράγμα ποὺ καὶ ὁ Χριστὸς ἔκαμε, ἐνισχύοντας τὴν ψυχή του μὲ τὴν ἀνάμνηση τῶν περασμένων. Ἐπειδὴ λοιπόν, ὅταν περάσουν ὅσα μᾶς προκαλοῦσαν πόνο, περνάει μαζί τους πολλὲς φορὲς

λάκις, βουλόμενος αὐτὴν μένειν διηνεκῆ, φησί· «μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται».

3. Οὐκ ἀπὸ τούτου δὲ μόνον τὴν πρόνοιαν αὐτοῦ καὶ τὴν ἐπιείκειαν αὐτοῦ ἐστιν ἰδεῖν, ἀλλὰ καὶ ἀπὸ αὐτῆς τῆς δοκούσης εἶναι ἐπιτιμήσεως. Οὐδὲ γὰρ ἐξεπόμπευσεν αὐτοῦ τὰ ἁμαρτήματα, ἀλλ' ὅτι μὲν δι' ἁμαρτήματα ἔπαθεν, ἅπερ ἔπαθεν, εἶπε· τίνα δὲ ἦν τὰ ἁμαρτήματα οὐκ ἐδήλωσεν, οὐδὲ εἶπε, 'τὸ καὶ τὸ ἥμαρτες', οὐδέ, 'τὸ καὶ τὸ ἐπλημμέλησας', ἀλλ' ἑνὶ ψιλῷ ρήματι τοῦτο ἐνδειξάμενος τῷ, «μηκέτι ἁμάρτανε», καὶ τοσοῦτον εἰπών, ὅσον ἀναμνῆσαι μόνον, σπουδαιότερον αὐτὸν πρὸς τὸ μέλλον εἰργάσατο· καὶ τὴν μὲν ὑπομονὴν αὐτοῦ καὶ τὴν ἀνδρείαν καὶ τὴν φιλοσοφίαν πᾶσαν δήλην ἡμῖν ἐποίησεν εἰς ἀνάγκην αὐτὸν καταστήσας τοῦ πᾶσαν ἐκτραγῳδῆσαι τὴν συμφορὰν καὶ τὴν σπουδὴν ἐπιδειξάμενος τὴν ἑαυτοῦ, «ἐν ᾧ», γάρ, φησίν, «ἐγὼ ἔρχομαι, ἄλλος πρὸ ἐμοῦ καταβαίνει», τὰ δὲ ἁμαρτήματα οὐκ ἐξεπόμπευσεν.

Ὥσπερ γὰρ ἡμεῖς βουλόμεθα τὰ ἡμέτερα συσκιάζεσθαι, οὕτω καὶ ὁ Θεὸς πολλῷ πλέον ἢ ἡμεῖς· διὰ τοῦτο τὴν μὲν θεραπείαν ἐπὶ πάντων ἐποιήσατο, τὴν δὲ παραίνεσιν ἢ τὴν συμβουλὴν κατιδίαν ποιεῖται. Οὐδέποτε γὰρ ἡμῶν ἐκπομπεύει τὰ ἁμαρτήματα, πλὴν εἰ μή ποτε ἴδοι ἀναισθήτως ἔχοντας πρὸς αὐτά. Καὶ γὰρ ὅταν λέγῃ, «πεινῶντά με εἴδετε, καὶ οὐκ ἐθρέψατε· καὶ διψῶντα, καὶ οὐκ ἐποτίσατε», διὰ τοῦτο λέγει κατὰ τὸν παρόντα καιρόν, ἵνα μὴ κατὰ τὸν μέλλοντα τούτων ἀκουσώμεθα τῶν ρημάτων. Ἀπειλεῖ, ἐκπομπεύει ἐνταῦθα, ἵνα μὴ ἐκπομπεύσῃ ἐκεῖ· ὥσπερ οὖν καὶ καταστρέψαι διὰ τοῦτο ἠπείλησε τὴν τῶν Νινευιτῶν πόλιν, ἵνα μὴ καταστρέψῃ. Εἰ γὰρ ἠβούλετο δημοσιεύειν ἡμῶν τὰ ἁμαρτήματα, οὐκ ἂν προεῖπεν, ὅτι δημο-

7. Ἰω. 5,7.

8. Ματθ. 25,12.

καὶ ἡ ἀνάμνησή τους, θέλοντας νὰ παραμείνει αὐτὴ ἡ ἀνάμνηση παντοτινή, λέγει· «μὴν ἁμαρτάνεις πιά, γιὰ νὰ μὴν πάθεις κάτι χειρότερο».

3. Καὶ ὄχι μόνο ἀπ' αὐτὸ εἶναι δυνατὸ νὰ δοῦμε τὴν πρόνοιά του καὶ τὴν καλωσύνη του, ἀλλὰ καὶ ἀπὸ τὴ φαινομενικὴ ἐπιτίμηση. Γιατὶ δὲν ἐπέκρινε δημόσια τὰ ἁμαρτήματά του, ἀλλὰ εἶπε ὅτι ὅσα ἔπαθε τὰ ἔπαθε ἐξ αἰτίας τῶν ἁμαρτημάτων του. Ποιά ὅμως ἦταν τὰ ἁμαρτήματα δὲν τὰ φανέρωσε, οὔτε εἶπε, 'ἔκαμες αὐτὴ καὶ αὐτὴ τὴν ἁμαρτία', οὔτε, 'ἔκαμες αὐτὸ καὶ αὐτὸ τὸ σφάλμα', ἀλλά, ἀφοῦ τὸ φανέρωσε αὐτὸ μὲ μία ἁπλῆ φράση, μὲ τὴ φράση «μὴν ἁμαρτάνεις πιά», καὶ ἀφοῦ εἶπε τόσα, ὅσα ἦταν ἀρκετὰ γιὰ νὰ τοῦ θυμίσει μόνο, τὸν ἔκαμε πιὸ προσεκτικὸ γιὰ τὸ μέλλον, καὶ μᾶς φανέρωσε τὴν ὑπομονή του καὶ τὴν ἀνδρεία του καὶ τὴ φιλοσοφία του ὅλη, ἀφοῦ τὸν ἀνάγκασε νὰ διεκτραγωδήσει ὅλη του τὴ συμφορὰ καὶ ἔδειξε ὅλη του τὴν προσπάθεια· γιατί, λέγει, «ἐνῶ ἐγὼ προσπαθῶ νὰ κατεβῶ, κάποιος ἄλλος κατεβαίνει πρὶν ἀπὸ μένα»[7]· τὰ ἁμαρτήματά του ὅμως δὲν τὰ ἀποκάλυψε δημόσια.

Ὅπως λοιπὸν ἐμεῖς θέλουμε νὰ καλύπτουμε τὰ δικά μας, ἔτσι καὶ ὁ Θεὸς πολὺ περισσότερο ἀπὸ ὅ,τι ἐμεῖς. Γι' αὐτὸ τὴ θεραπεία βέβαια τὴν ἔκαμε μπροστὰ σὲ ὅλους, τὴν παραίνεση ὅμως ἢ τὴ συμβουλὴ τὴν κάμνει ἰδιαίτερα. Γιατὶ ποτὲ δὲν ἀποκαλύπτει δημόσια τὰ ἁμαρτήματά μας, ἐκτὸς ἂν δεῖ καμιὰ φορὰ πὼς εἴμαστε ἀναίσθητοι ἀπέναντι σ' αὐτά. Ἔτσι καὶ ὅταν λέγει, «μὲ εἴδατε πεινασμένο καὶ δὲ μὲ θρέψατε, διψασμένο καὶ δὲ μὲ ποτίσατε»[8], γι' αὐτὸ τὰ λέγει στὴν παροῦσα ζωή, γιὰ νὰ μὴν ἀκούσουμε τὰ λόγια αὐτὰ στὴ μέλλουσα. Ἀπειλεῖ, ἀποκαλύπτει δημόσια ἐδῶ, γιὰ νὰ μὴν ἀποκαλύψει ἐκεῖ. Ὅπως λοιπὸν γι' αὐτὸ ἀπείλησε νὰ καταστρέψει καὶ τὴν πόλη τῶν Νινευϊτῶν, γιὰ νὰ μὴν τὴν καταστρέψει. Γιατί, ἂν ἤθελε νὰ κάνει γνωστὰ σὲ ὅλους τὰ ἁμαρτήματά μας, δὲ θὰ ἔλεγε ἀπὸ πρὶν ὅτι θὰ τὰ

σιεύσει· νῦν δὲ διὰ τοῦτο προλέγει, ἵνα τῷ φόβῳ τῆς δημοσιεύσεως ἐκείνης, εἰ καὶ μὴ τῷ φόβῳ τῆς κολάσεως σωφρονισθέντες, ἀπονιψώμεθα ἅπαντα.

Τοῦτο καὶ ἐπὶ τοῦ βαπτίσματος γίνεται· καὶ γὰρ ἄγει πρὸς τὴν κολυμβήθραν τῶν ὑδάτων τὸν ἄνθρωπον, οὐδενὶ δῆλα ποιήσας αὐτοῦ τὰ ἁμαρτήματα, ἀλλὰ τὴν μὲν δωρεὰν πᾶσι καθίστησι φανεράν, καὶ ποιεῖ δήλην, τὰ δὲ ἁμαρτήματα πλὴν αὐτοῦ καὶ τοῦ τὴν ἄφεσιν λαμβάνοντος οὐδεὶς ἕτερος οἶδε. Τοῦτο καὶ ἐπὶ τούτου γέγονε, καὶ ἀμάρτυρον ποιεῖται τὸν ἔλεγχον, μᾶλλον δὲ οὐκ ἔλεγχος μόνον, ἀλλὰ καὶ ἀπολογία τὸ εἰρημένον ἐστίν, ὥσπερ ὑπὲρ τῆς τοσαύτης κακώσεως ἀπολογούμενος καὶ λέγων αὐτῷ καὶ δεικνύς, ὅτι οὐ μάτην οὐδὲ εἰκῇ τοσοῦτον αὐτὸν ἐπέτρεψε κακωθῆναι χρόνον, τῶν ἁμαρτημάτων ἀνέμνησεν αὐτόν, καὶ τὴν αἰτίαν εἶπε τῆς ἀρρωστίας. «Εὑρὼν γὰρ αὐτόν», φησίν, «ἐν τῷ ἱερῷ, εἶπεν αὐτῷ· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται».

Ἐπεὶ οὖν τοσαῦτα ἐκαρπωσάμεθα ἐκ τοῦ προτέρου παραλύτου, φέρε ἔλθωμεν καὶ ἐφ' ἕτερον τὸν παρὰ τῷ Ματθαίῳ κείμενον. Καὶ γὰρ καὶ ἐν τοῖς μετάλλοις ὅπουπερ ἂν εὕροι τις χρυσίον, πλέον ἐκεῖ διασκάπτει πάλιν· καὶ οἶδα μὲν ὅτι πολλοὶ τῶν ἁπλῶς ἀναγινωσκόντων ἕνα καὶ τὸν αὐτὸν εἶναι νομίζουσι παράλυτον παρὰ τοῖς τέσσαρσιν εὐαγγελισταῖς κείμενον· οὐκ ἔστι δέ. Διὸ χρὴ διαναστῆναι καὶ προσέχειν μετὰ ἀκριβείας. Οὐ γὰρ ὑπὲρ τῶν τυχόντων ἡ ζήτησίς ἐστιν, ἀλλὰ καὶ πρὸς Ἕλληνας καὶ πρὸς Ἰουδαίους καὶ πρὸς πολλοὺς τῶν αἱρετικῶν χρήσιμος ὁ λόγος οὗτος ἔσται, τὴν προσήκουσαν λύσιν λαβών. Καὶ γὰρ οὕτω πάντες τοῖς εὐαγγελισταῖς ἐγκαλοῦσιν ὡς μαχομένοις καὶ διαφωνοῦσιν· οὐκ ἔστι δέ, μὴ γένοιτο, ἀλλ' εἰ καὶ διάφορα τὰ

---

9. Ἰω. 5,14.

10. Βλ. Ματθ. 9,1–8. Γιὰ τὴ θεραπεία τοῦ παραλυτικοῦ αὐτοῦ κάνει λόγο καὶ ὁ Μάρκος (2,1–12), καθὼς καὶ ὁ Λουκᾶς (5,17–26).

φανερώσει. Τώρα ὅμως γι' αυτὸ λέγει ἀπὸ πρίν, ὥστε νὰ καθαρισθοῦμε ἀπὸ ὅλα, ἀφοῦ σωφρονισθοῦμε ἀπὸ τὸ φόβο τῆς ἀποκάλυψης αὐτῆς, ἂν ὄχι καὶ ἀπὸ τὸ φόβο τῆς τιμωρίας.

Αὐτὸ γίνεται καὶ στὸ βάπτισμα. Γιατὶ πραγματικὰ ὁδηγεῖ στὴν κολυμβήθρα τῶν ὑδάτων τὸν ἄνθρωπο, χωρὶς νὰ φανερώσει σὲ κανένα τὰ ἁμαρτήματά του, ἀλλὰ τὴ δωρεὰ τὴ ἀποκαλύπτει σὲ ὅλους καὶ τὴν κάνει ὁλοφάνερη, ἐνῶ τὰ ἁμαρτήματα ἐκτὸς ἀπὸ τὸν ἴδιο καὶ ἀπ' αὐτὸν ποὺ παίρνει τὴν ἄφεση δὲν τὰ γνωρίζει κανεὶς ἄλλος. Αὐτὸ ἔγινε καὶ στὸν παραλυτικό, καὶ χωρὶς μάρτυρες κάνει τὸν ἔλεγχο, ἢ καλύτερα αὐτὸ ποὺ λέχθηκε δὲν εἶναι μόνο ἔλεγχος ἀλλὰ καὶ ἀπολογία, εἶναι σὰν νὰ ἀπολογεῖται γιὰ τὴν τόσο μεγάλη ταλαιπωρία του καὶ λέγοντας καὶ δείχνοντάς του ὅτι δὲν τὸν ἄφησε νὰ ταλαιπωρηθεῖ τόσα χρόνια στὰ χαμένα καὶ χωρὶς λόγο, τοῦ θύμισε τὰ ἁμαρτήματά του καὶ τοῦ εἶπε τὴν αἰτία τῆς ἀρρώστιας του. Γιατί, λέγει, «ὅταν λοιπὸν τὸν βρῆκε στὸ ναό, τοῦ εἶπε· 'μὴν ἁμαρτάνεις πιά, γιὰ νὰ μὴν πάθεις τίποτε χειρότερο»[9].

Ἀφοῦ λοιπὸν κερδίσαμε τόσα πολλὰ ἀπὸ τὸν προηγούμενο παράλυτο, ἐμπρὸς ἂς ἔρθουμε καὶ σὲ ἄλλον, ποὺ ἀναφέρεται ἀπὸ τὸ Ματθαῖο[10]. Γιατὶ καὶ στὰ ὀρυχεῖα, ἐκεῖ ποὺ θὰ βρεῖ κανεὶς χρυσάφι, ἐκεῖ πάλι σκάβει περισσότερο. Καὶ ξέρω βέβαια ὅτι πολλοὶ ἀπ' αὐτοὺς ποὺ διαβάζουν ἐπιπόλαια θεωροῦν πὼς εἶναι ἕνας καὶ ὁ ἴδιος παράλυτος ποὺ ἀναφέρεται ἀπὸ τοὺς τέσσερις εὐαγγελιστές, ἀλλὰ δὲν εἶναι. Γι' αὐτὸ πρέπει νὰ συγκεντρωθεῖτε καὶ νὰ προσέχετε μὲ ἀκρίβεια. Γιατὶ τὸ ζητούμενο δὲν εἶναι γιὰ ἀσήμαντα πράγματα, ἀλλὰ καὶ σὲ εἰδωλολάτρες καὶ σὲ Ἰουδαίους καὶ σὲ πολλοὺς αἱρετικοὺς θὰ εἶναι χρήσιμος ὁ λόγος αὐτός, ἂν λάβει τὴ λύση ποὺ πρέπει. Γιατὶ πραγματικὰ ὅλοι ἔτσι κατηγοροῦν τοὺς εὐαγγελιστὲς πὼς τάχα συγκρούονται καὶ διαφωνοῦν μεταξύ τους. Ὅμως δὲν εἶναι ἔτσι, μακριὰ μιὰ τέτοια σκέψη, ἀλλά, παρ' ὅλο ποὺ τὰ πρόσωπα εἶναι διαφο-

πρόσωπα, μία τοῦ Πνεύματος ἡ χάρις ἐστίν, ἡ τὴν ἑκάστου κινοῦσα ψυχήν· ὅπου δὲ τοῦ Πνεύματος χάρις, ἀγάπη, χαρά, εἰρήνη· πόλεμος καὶ ἀμφισβήτησις οὐκ ἔστι, καὶ μάχη καὶ φιλονεικία τις.

Πῶς οὖν ποιήσομεν φανερόν, ὅτι οὐκ ἔστιν ὁ παράλυτος οὗτος ἐκεῖνος, ἀλλ' ἕτερος παρ' ἐκεῖνον; Ἀπὸ πολλῶν σημείων, καὶ τόπου, καὶ χρόνου, καὶ καιρῶν, καὶ ἡμέρας, καὶ ἀπὸ τοῦ τρόπου τῆς θεραπείας, καὶ ἀπὸ τῆς παρουσίας τοῦ ἰατροῦ, καὶ ἀπὸ τῆς ἐρημίας τοῦ θεραπευθέντος. Καὶ τί τοῦτο, φησί; καὶ γὰρ ἕτερα σημεῖα οὐχὶ διαφόρως ἀπήγγειλαν πολλοὶ τῶν εὐαγγελιστῶν; Ἀλλ' ἕτερόν ἐστι διαφόρως εἰπεῖν, καὶ ἕτερον ἐναντίως· ἐκεῖνο μὲν γὰρ διαφωνίαν οὐ ποιεῖ τινα οὐδὲ μάχην, τοῦτο δὲ τὸ νῦν προκείμενον ἡμῖν πολλὴν ἔχει τὴν ἐναντίωσιν, εἰ μὴ δειχθείη ἕτερος ὢν ὁ ἐν τῇ κολυμβήθρᾳ παραλυτικὸς παρ' ἐκεῖνον τὸν ἐν τοῖς τρισὶν ἀναγεγραμμένον.

Καὶ ἵνα μάθητε τί ποτέ ἐστι διαφόρως, καὶ τί ποτέ ἐστιν ἐναντίως εἰπεῖν, τῶν εὐαγγελιστῶν ὁ μὲν ὅτι ὁ Χριστὸς τὸν σταυρὸν ἐβάσταζεν εἶπεν, ὁ δὲ ὅτι Σίμων ὁ Κυρηναῖος· τοῦτὸ δὲ ἐναντίωσίν τινα οὐ ποιεῖ οὐδὲ μάχην. Καὶ πῶς οὐκ ἔστιν ἐναντίον, φησί, τὸ βαστάζειν τῷ μὴ βαστάζειν; Ὅτι ἀμφότερα γέγονε. Καὶ ἐξελθόντων μὲν ἐκ τοῦ πραιτωρίου, ὁ Χριστὸς ἐβάσταζε· προϊόντων δέ, ὁ Σίμων ἔλαβεν ἀπ' αὐτοῦ καὶ ἔφερε. Πάλιν ἐπὶ τῶν λῃστῶν, ὁ μέν φησιν, ὅτι οἱ δύο αὐτὸν ἐβλασφήμουν· ὁ δὲ ὅτι ὁ εἷς ἐπεστόμιζε τὸν κατηγοροῦντα. Ἀλλ' οὐδὲ τοῦτο πάλιν ἐναντίον. Διατί; Ὅτι καὶ ἐνταῦθα ἀμφότερα γέγονε· καὶ παρὰ μὲν τὴν ἀρχὴν ἀμφότεροι ἦσαν οἱ πονηρευόμενοι· μετὰ δὲ ταῦτα

11. Βλ. Ματθ. 27,32 καὶ Ἰω. 19,17.

12. Βλ. Ματθ. 17,44 καὶ Λουκᾶ 23, 39–43.

ρετικά, μία εἶναι ἡ χάρη τοῦ Πνεύματος, ποὺ ἐμπνέει τὴν ψυχὴ τοῦ καθενός. Καὶ ὅπου ὑπάρχει ἡ χάρη τοῦ Πνεύματος ὑπάρχει ἀγάπη, χαρά, εἰρήνη· δὲν ὑπάρχει σύγκρουση καὶ ἀμφισβήτηση, οὔτε διαμάχη καὶ κάποια φιλονεικία.

Πῶς λοιπὸν θὰ κάνομε φανερὸ ὅτι δὲν εἶναι αὐτὸς ὁ παράλυτος ἐκεῖνος, ἀλλὰ ἄλλος, διαφορετικὸς ἀπὸ ἐκεῖνον; Ἀπὸ πολλὰ σημεῖα, καὶ ἀπὸ τὸν τόπο καὶ ἀπὸ τὸ χρόνο καὶ ἀπὸ τὶς περιστάσεις καὶ ἀπὸ τὴν ἡμέρα καὶ ἀπὸ τὸν τρόπο τῆς θεραπείας καὶ ἀπὸ τὴν παρουσία τοῦ γιατροῦ καὶ ἀπὸ τὴν ἀπομόνωση ἐκείνου ποὺ θεραπεύθηκε. Καὶ τί σημασία ἔχει αὐτό, λέγει; μήπως καὶ ἄλλα θαύματα δὲν τὰ ἀνέφεραν μὲ διαφορετικὸ τρόπο κάποιοι ἀπὸ τοὺς εὐαγγελιστές; Ὅμως εἶναι ἄλλο πράγμα νὰ τὸ πεῖ κανεὶς μὲ διαφορετικὸ τρόπο καὶ ἄλλο μὲ ἀντίθετο. Γιατὶ τὸ πρῶτο δὲ δημιουργεῖ καμιὰ διαφωνία οὔτε διαμάχη, ἐνῶ τὸ δεύτερο ποὺ μᾶς ἀπασχολεῖ τώρα ἀποτελεῖ μεγάλη ἀντίθεση, ἂν δεν ἀποδειχθεῖ ὅτι εἶναι ἄλλος ὁ παραλυτικὸς ποὺ βρισκόταν στὴν δεξαμενή, διαφορετικὸς ἀπὸ ἐκεῖνον ποὺ ἀναφέρουν οἱ τρεῖς εὐαγγελιστές.

Καὶ γιὰ νὰ μάθετε τί σημαίνει νὰ τὸ πεῖ κανεὶς μὲ διαφορετικὸ τρόπο καὶ τί μὲ ἀντίθετο, ὁ ἕνας ἀπὸ τοὺς εὐαγγελιστὲς εἶπε ὅτι ὁ Χριστὸς βάσταζε τὸ σταυρὸ καὶ ὁ ἄλλος ὅτι τὸν βάσταζε ὁ Σίμων ὁ Κυρηναῖος[11]· αὐτὸ ὅμως δὲ δημιουργεῖ καμιὰ ἀντίθεση οὔτε διαμάχη. Καὶ πῶς δὲν εἶναι ἀντίθετο, λέγει, τὸ νὰ τὸν βαστάζει ἀπὸ τὸ νὰ μὴ τὸν βαστάζει; Ἐπειδὴ καὶ τὰ δύο ἔγιναν. Ὅταν δηλαδὴ βγῆκαν ἀπὸ τὸ πραιτώριο τὸν βάσταζε ὁ Χριστός, προχωρώντας ὅμως τὸν πῆρε ἀπ' αὐτὸν ὁ Σίμων καὶ τὸν μετέφερε. Πάλι στοὺς ληστές, ὁ ἕνας λέγει ὅτι τὸν βλασφημοῦσαν καὶ οἱ δύο, ἐνῶ ὁ ἄλλος ὅτι ὁ ἕνας ληστὴς ἀποστόμωνε ἐκεῖνον ποὺ κατηγοροῦσε[12]. Ἀλλ' οὔτε αὐτὸ πάλι εἶναι ἀντίθετο. Γιατί; Ἐπειδὴ καὶ ἐδῶ ἔγιναν καὶ τὰ δύο· στὴν ἀρχὴ δηλαδὴ καὶ οἱ δύο φέρονταν μὲ κακία, ἐνῶ ἀργότερα, ὅταν ἔγιναν ἐντυ-

σημείων γενομένων καὶ τῆς γῆς κλονουμένης καὶ τῶν πετρῶν σχιζομένων καὶ ἡλίου κρυπτομένου, θάτερος αὐτῶν μετεβλήθη καὶ σωφρονέστερος γέγονε καὶ τὸν ἐσταυρωμένον ἐπέγνω καὶ τὴν βασιλείαν ὡμολόγησε τὴν ἐκείνου. Ἵνα γὰρ μὴ νομίσῃς, ὅτι ἀνάγκῃ τινὶ καὶ βίᾳ τινὸς ἔνδοθεν ὠθοῦντος αὐτὸν τοῦτο γίνεται, μηδὲ διαπορῇς, δείκνυσί σοι καὶ ἐν τῷ σταυρῷ τὴν πονηρίαν αὐτοῦ ἔτι διατηροῦντα τὴν προτέραν, ἵνα εἰδῇς, ὅτι οἴκοθεν καὶ παρ' ἑαυτοῦ μεταβαλόμενος καὶ τῆς τοῦ Θεοῦ χάριτος ἀπολαύσας, οὕτω βελτίων ἐγένετο.

4. Καὶ ἕτερα πολλὰ τοιαῦτά ἐστιν ἐκ τῶν εὐαγγελίων ἀναλέγεσθαι, ἃ δοκεῖ μὲν ἐναντιώσεως ὑποψίαν ἔχειν, οὐκ ἔστιν δὲ ἐναντίωσις, ἀλλὰ καὶ τὰ παρὰ τούτου καὶ τὰ παρ' ἐκείνου εἰρημένα γεγένηται· εἰ δὲ μὴ κατὰ τὴν αὐτὴν ὥραν, καὶ ὁ μὲν πρότερον, ὁ δὲ τὸ δεύτερον εἴρηκεν· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν· ἀλλὰ τὸ πλῆθος τῶν εἰρημένων σημείων δείκνυσι καὶ τοῖς ὁπωσοῦν προσέχουσιν, ὅτι ἕτερος μὲν αὐτὸς ἦν, ἕτερος δὲ ἐκεῖνος. Οὐ μικρὰ δὲ καὶ αὕτη γένοιτ' ἂν ἀπόδειξις πρὸς τὸ δεῖξαι τοὺς εὐαγγελιστὰς συμφωνοῦντας ἀλλήλοις, καὶ οὐ μαχομένους. Ἂν μὲν γὰρ αὐτὸς ᾖ, πολλὴ ἡ μάχη· ἂν δὲ ἕτερος ἐκεῖνος, πᾶσα ἀμφισβήτησις λέλυται.

Φέρε οὖν αὐτὰς τὰς αἰτίας εἴπωμεν, δι' ἃς οὔ φαμεν τοῦτον εἶναι ἐκεῖνον. Τίνες οὖν εἰσιν αὗται; Ὁ μὲν ἐν Ἱεροσολύμοις θεραπεύεται, οὗτος δὲ ἐν Καπερναούμ· καὶ ὁ μὲν παρὰ τὴν κολυμβήθραν τῶν ὑδάτων, οὗτος δὲ ἐν οἰκίσκῳ τινί· ἰδοὺ ἀπὸ τοῦ τόπου· κἀκεῖνος μὲν ἐν ἑορτῇ· ἰδοὺ ἀπὸ τοῦ καιροῦ· κἀκεῖνος μὲν τριάκοντα καὶ ὀκτὼ ἔτη εἶχεν ἐν τῇ ἀσθενείᾳ· περὶ τούτου δὲ οὐδὲν τοιοῦτον ὁ εὐαγγελιστής· ἰδοὺ καὶ ἀπὸ τοῦ χρόνου· κἀκεῖνος μὲν ἐθεραπεύθη ἐν σαββάτῳ· ἰδοὺ καὶ ἀπὸ ἡμέρας· εἰ

πωσιακὰ πράγματα καὶ ἡ γῆ σειόταν καὶ οἱ πέτρες σχίζονταν καὶ ὁ ἥλιος κρυβόταν, ὁ ἕνας ἀπ' αὐτοὺς τοὺς δύο ἄλλαξε καὶ ἔγινε πιὸ συνετὸς καὶ ἀναγνώρισε τὸν σταυρωμένο καὶ ὁμολόγησε τὴ βασιλεία του. Γιὰ νὰ μὴ νομίσεις λοιπὸν ὅτι αὐτὸ γίνεται ἀπὸ κάποια ἀνάγκη καὶ βία κάποιου ποὺ τὸν ὡθοῦσε ἀπὸ μέσα του, καὶ γιὰ νὰ μὴν ἔχεις ἀμφιβολία, σοῦ δείχνει καὶ στὸ σταυρὸ ἀκόμα νὰ διατηρεῖ τὴν προηγούμενη κακία του, γιὰ νὰ μάθεις ὅτι ἔτσι ἔγινε καλύτερος, ἀφοῦ ἀπὸ μόνος του καὶ μὲ τὴ θέλησή του ἄλλαξε καὶ ἀφοῦ ἀπόλαυσε τὴ χάρη τοῦ Θεοῦ.

4. Καὶ ἄλλα πολλὰ τέτοια εἶναι δυνατὸ ἀπὸ τὰ εὐαγγέλια νὰ μαζέψει κανείς, τὰ ὁποῖα φαίνονται πὼς ἔχουν τὴν ὑποψία τῆς ἀντίθεσης, στὴν πραγματικότητα ὅμως δὲν ὑπάρχει ἀντίθεση, ἀλλ' ἔγιναν καὶ ἐκεῖνα ποὺ εἶπε ὁ ἕνας καὶ ἐκεῖνα ποὺ εἶπε ὁ ἄλλος· μόνο ποὺ δὲν ἔγιναν τὴν ἴδια ὥρα, καὶ ὁ ἕνας εἶπε τὸ πρῶτο καὶ ὁ ἄλλος τὸ δεύτερο. Ἐδῶ ὅμως δὲ συμβαίνει τίποτε τέτοιο, ἀλλὰ τὸ πλῆθος τῶν σημείων ποὺ λέχθηκαν ἀποδεικνύει καὶ σ' αὐτοὺς ποὺ προσέχουν ἔστω καὶ λίγο ὅτι ἄλλος ἦταν αὐτὸς καὶ ἄλλος ἐκεῖνος. Καὶ αὐτὴ δὲ θὰ ἦταν μικρὴ ἀπόδειξη στὸ νὰ δείξει πὼς οἱ εὐαγγελιστὲς συμφωνοῦν μεταξύ τους καὶ δὲν ἀλληλοσυγκρούονται. Γιατί, ἂν εἶναι ὁ ἴδιος, ὑπάρχει μεγάλη σύγκρουση· ἂν ὅμως ἄλλος εἶναι ἐκεῖνος, κάθε ἀμφισβήτηση ἔχει λυθεῖ.

Ἐμπρὸς λοιπὸν ἂς ποῦμε τοὺς λόγους, γιὰ τοὺς ὁποίους ἰσχυριζόμαστε ὅτι αὐτὸς δὲν εἶναι ἐκεῖνος. Ποιοί λοιπὸν εἶναι αὐτοί; Ὁ ἕνας θεραπεύεται στὰ Ἱεροσόλυμα, ἐνῶ αὐτὸς στὴν Καπερναούμ· καὶ ὁ πρῶτος στὴ δεξαμενὴ τῶν ὑδάτων, ἐνῶ αὐτὸς σὲ κάποιο μικρὸ σπίτι. Νὰ οἱ λόγοι ὡς πρὸς τὸν τόπο. Ἐπίσης ἐκεῖνος θεραπεύεται σὲ ἡμέρα γιορτῆς· νὰ ὁ λόγος καὶ ἀπὸ τὸν καιρό. Καὶ ἐκεῖνος ἦταν ἄρρωστος τριάντα ὀκτὼ χρόνια, ἐνῶ γι' αὐτὸν δὲ λέγει τίποτε τέτοιο ὁ εὐαγγελιστής· νὰ ὁ λόγος καὶ ἀπὸ τὸ χρόνο. Ἐπίσης ἐκεῖνος θεραπεύθηκε Σάββατο· νὰ ὁ

γὰρ ἐν σαββάτῳ ἐθεραπέθη καὶ οὗτος, οὐδ' ἂν τοῦτο παρεσιώπησεν ὁ Ματθαῖος, οὐδ' ἂν ἡσύχασαν οἱ παρόντες Ἰουδαῖοι· οἱ γὰρ καὶ μὴ ἐν σαββάτῳ θεραπεθέντος αὐτοῦ δυσχεράναντες δι' ἄλλην αἰτίαν, πολλῷ μᾶλλον εἰ καὶ τὴν ἀπὸ τοῦ καιροῦ λαβὴν ἔσχον, οὐκ ἂν ἐφείσαντο τῶν ἐγκλημάτων τῶν κατὰ τοῦ Χριστοῦ. Καὶ οὗτος μὲν πρὸς τὸν Χριστὸν φέρεται· πρὸς ἐκεῖνον δὲ αὐτὸς ὁ Χριστὸς παραγίνεται· κἀκείνῳ μὲν οὐδεὶς ἄνθρωπος ἦν ὁ βοηθήσων· «Κύριε» γάρ, φησίν, «ἄνθρωπον οὐκ ἔχω»· οὗτος δὲ πολλοὺς εἶχε τοὺς προσήκοντας, οἳ καὶ διὰ τοῦ στέγους αὐτὸν ἐχάλασαν. Κἀκείνου μὲν πρὸ τῆς ψυχῆς τὸ σῶμα διώρθωσε· πρότερον γὰρ αὐτοῦ τὴν παράλυσιν σφίγξας, τότε φησίν, «ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε», ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ πρότερον αὐτοῦ τὴν ψυχὴν ἰασάμενος (φησὶ γὰρ αὐτῷ· «θάρσει, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου»), τότε τὴν παράλυσιν διώρθωσεν.

Ὅτι μὲν οὖν οὐκ ἔστιν οὗτος ἐκεῖνος, ἀπὸ τούτων ἡμῖν σαφῶς ἀποδέδεικται· δεῖ δὲ λοιπὸν ἐπὶ τὴν ἀρχὴν τοῦ διηγήματος ἐλθόντας ἰδεῖν, πῶς μὲν τοῦτον, πῶς δὲ ἐκεῖνον ἐθεράπευσεν ὁ Χριστός, καὶ διατί διαφόρως· διατί τὸν μὲν ἐν σαββάτῳ, ἐκεῖνον δὲ οὐκ ἐν σαββάτῳ· καὶ πρὸς ἐκεῖνον μὲν αὐτὸς ἦλθε, τοῦτον δὲ ἀνέμεινε πρὸς αὐτὸν κομισθῆναι· καὶ διατί ἐκείνου μὲν τὸ σῶμα πρότερον, τούτου δὲ τὴν ψυχὴν πρότερον ἰᾶται. Οὐ γὰρ ἁπλῶς οὐδὲ εἰκῇ ταῦτα ποιεῖ, σοφὸς ὢν καὶ προνοητικός. Προσέχωμεν τοίνυν καὶ ἴδωμεν αὐτὸν θεραπεύοντα.

Εἰ γὰρ ἐπὶ τῶν ἰατρῶν, ἐπειδὰν τέμνωσιν ἢ καίωσιν ἢ καὶ ἄλλῳ τρόπῳ πεπηρωμένον καὶ ἐξησθενηκότα ἀνατέμνωνται καὶ κατατέμνωσι μέλος, πολλοὶ περιστοιχίζονται τόν τε ἄρρωστον καὶ τὸν ταῦτα ποιοῦντα ἰατρόν, πολλῷ μᾶλλον ἡμᾶς ἐν-

---

13. Ματθ. 9,2.

λόγος καὶ ἀπὸ τὴν ἡμέρα. Γιατί, ἂν καὶ αὐτὸς θεραπευόταν Σάββατο, δὲ θὰ τὸ παρασιωποῦσε αὐτὸ ὁ Ματθαῖος, δὲ θὰ ἡσύχαζαν οἱ Ἰουδαῖοι ποὺ ἦταν παρόντες. Γιατὶ αὐτοὶ ποὺ δυσανασχέτισαν γιὰ ἄλλη αἰτία, ἂν καὶ δὲ θεραπεύθηκε Σάββατο, πολὺ περισσότερο δὲ θὰ παρέλειπαν τὶς κατηγορίες ἐναντίον τοῦ Χριστοῦ, ἂν εἶχαν τὴν ἀφορμὴ καὶ ἀπὸ τὴν ἡμέρα. Καὶ αὐτὸς μεταφέρεται στὸ Χριστό, ἐνῶ σ' ἐκεῖνον πηγαίνει ὁ ἴδος ὁ Χριστός. Ἐπίσης σ' ἐκεῖνον δὲν ὑπῆρχε κανεὶς ἄνθρωπος νὰ τὸν βοηθήσει (γιατὶ λέγει, «Κύριε, ἄνθρωπο δὲν ἔχω»), ἐνῶ αὐτὸς εἶχε πολλοὺς συγγενεῖς, ποὺ τὸν κατέβασαν ἀπὸ τὴ στέγη. Καὶ σ' ἐκεῖνον πρὶν ἀπὸ τὴν ψυχὴ θεράπευσε τὸ σῶμα (γιατί, ἀφοῦ πρῶτα θεράπευσε τὴν παράλυσή του, ὕστερα λέγει· «κοίταξε, ἔχεις γίνει καλά· μὴν ἁμαρτάνεις πιά»), ἐδῶ ὅμως δὲν ἔγινε τὸ ἴδιο, ἀλλὰ πρῶτα θεράπευσε τὴν ψυχή του (γιατὶ τοῦ λέγει, «ἔχε θάρρος, παιδί μου, σοῦ συγχωροῦνται οἱ ἁμαρτίες»[13]), καὶ ὕστερα ἀποκατέστησε τὴν παράλυσή του.

Ὅτι λοιπὸν δὲν εἶναι αὐτὸς ὁ παράλυτος ἐκεῖνος, μᾶς ἀποδείχθηκε καθαρὰ ἀπ' αὐτά. Πρέπει ὅμως στὴ συνέχεια νὰ ἔρθουμε στὴν ἀρχὴ τῆς διήγησης καὶ νὰ δοῦμε πῶς ὁ Χριστὸς θεράπευσε τὸν ἕνα καὶ πῶς τὸν ἄλλο καὶ γιατί μὲ διαφορετικὸ τρόπο. Γιατί τὸν ἕνα Σάββατο καὶ τὸν ἄλλον ὄχι Σάββατο, καὶ γιατί στὸν ἕνα πῆγε ὁ ἴδιος, ἐνῶ αὐτὸν πρίμενε νὰ τὸν φέρουν σ' αὐτόν, καὶ γιατί τοῦ ἑνὸς θεραπεύει πρῶτα τὸ σῶμα καὶ τοῦ ἄλλου πρῶτα τὴν ψυχή. Γιατὶ δὲν τὰ κάνει αὐτὰ κατὰ τύχη καὶ χωρὶς λόγο, ἐπειδὴ εἶναι σοφὸς καὶ προνοητικός. Ἂς προσέχουμε λοιπὸν καὶ ἂς τὸν δοῦμε πῶς θεραπεύει.

Ἂν λοιπὸν στὴν περίπτωση τῶν γιατρῶν, ὅταν κάνουν ἐγχειρήσεις ἢ καυτηριάζουν ἢ καὶ μὲ ἄλλο τρόπο ἀνατέμνουν ἀνάπηρο καὶ ἄρρωστο καὶ ἀποκόβουν ἕνα μέλος, περιστοιχίζουν πολλοὶ καὶ τὸν ἄρρωστο καὶ τὸ γιατρὸ ποὺ κάμνει αὐτά, πολὺ περισσότερο ἐμεῖς πρέπει νὰ κάμνουμε αὐτὸ ἐδῶ καὶ

ταῦθα τοῦτο ποιεῖν χρή, ὅσῳ καὶ ἰατρὸς μείζων καὶ τὸ νόσημα χαλεπώτερον, οὐκ ἀνθρωπίνῃ τέχνῃ, ἀλλὰ θείᾳ κατορθούμενον χάριτι. Κἀκεῖ μὲν καὶ δέρμα ἐστὶν ἰδεῖν τεμνόμενον, καὶ ἰχῶρα ῥέοντα, καὶ σηπεδόνα κινουμένην, καὶ πολλὴν ἀηδίαν ἀπὸ τῆς θεωρίας ἐγγινομένην καὶ πολλὴν ὀδύνην καὶ λύπην, οὐκ ἀπὸ τῆς ὄψεως τῶν τραυμάτων μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς ἀλγηδόνος τῶν καιομένων καὶ τῶν τεμνομένων· οὐδεὶς γὰρ οὕτω λίθινος, ὡς παρεστὼς τοῖς ταῦτα πάσχουσι καὶ ἀκούων ὀλολυζόντων, οὐχὶ κατακλᾶται καὶ συγχεῖται καὶ πολλὴν τῇ ψυχῇ δέχεται τὴν ἀθυμίαν· ἀλλ' ὅμως διὰ τὴν ἐπιθυμίαν τῆς θεωρίας ταῦτα πάντα ὑπομένομεν.

Ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν ἰδεῖν, οὐ πῦρ προσαγόμενον, οὐ σίδηρον βαπτιζόμενον, οὐχ αἷμα ῥέον, οὐ τὸν κάμνοντα ὀδυνώμενον, οὐκ ὀλολύζοντα· τὸ δὲ αἴτιον, ἡ σοφία τοῦ ἰατρεύοντος, οὐδενὸς δεομένη τούτων τῶν ἔξωθεν, ἀλλ' αὐτὴ ἑαυτῇ αὐτάρκης οὖσα. Ἀρκεῖ γὰρ ἐπιτάξαι μόνον, καὶ πάντα λύεται τὰ δεινά. Οὐ τοῦτο δέ ἐστι τὸ θαυμαζόμενον, ὅτι μετ' εὐκολίας τοσαύτης ποιεῖται τὴν ἰατρείαν, ἀλλ' ὅτι καὶ ἀνωδύνως, οὐδένα πόνον ἐπάγων τοῖς θεραπευομένοις. Ἐπεὶ οὖν καὶ μεῖζον τὸ θαῦμα καὶ πλείων ἡ θεραπεία καὶ καθαρὰ πάσης ἀθυμίας ἡ ἡδονὴ τοῖς θεωμένοις, φέρε μετὰ ἀκριβείας θεασώμεθα θεραπεύοντα τὸν Χριστόν.

«Καὶ ἐμβὰς εἰς πλοῖον διεπέρασε, καὶ ἦλθεν εἰς ἰδίαν πόλιν, καὶ ἰδοὺ προσήνεγκεν αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον, καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν εἶπε τῷ παραλυτικῷ· 'θάρσει, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου'». Τοῦ μὲν ἑκατοντάρχου ἐλάττους εἰσὶ κατὰ τὴν πίστιν, τοῦ δὲ ἐν τῇ κολυμβήθρᾳ μείζους. Ἐκεῖνος μὲν γὰρ οὔτε τὸν ἰατρὸν εἵλκυσεν,

---

14. Ματθ. 9,1–2.

15. Γιὰ τὴ θεραπεία τοῦ δούλου τοῦ ἑκατόνταρχου βλ. Ματθ. 8,5–13· Λουκᾶ 7,1–10 καὶ Ἰω. 4,43–54.

τόσο, ὅσο καὶ ὁ γιατρὸς εἶναι μεγαλύτερος καὶ τὸ νόσημα πιὸ φοβερό, ποὺ θεραπεύεται ὄχι μὲ ἀνθρώπινη τέχνη, ἀλλὰ μὲ θεία χάρη. Καὶ ἐκεῖ βέβαια εἶναι δυνατὸ νὰ δεῖ κανεὶς καὶ δέρμα νὰ κόβεται καὶ πύο νὰ τρέχει καὶ σαπίλα νὰ καθαρίζεται καὶ νὰ αἰσθανθεῖ μεγάλη ἀηδία ἀπ' αὐτὰ ποὺ βλέπει καὶ πολὺ πόνο καὶ λύπη, ὄχι μόνο ἀπὸ τὴ θέα τῶν τραυμάτων, ἀλλὰ καὶ ἀπὸ τοὺς πόνους τῶν ἀνθρώπων ποὺ καυτηριάζονται καὶ ἐγχειρίζονται. Γιατὶ κανεὶς δὲν εἶναι τόσο ἀναίσθητος, ὥστε, βρισκόμενος κοντὰ σ' αὐτοὺς ποὺ πάσχουν αὐτὰ καὶ ἀκούοντάς τους νὰ φωνάζουν ἀπὸ τὸν πόνο, νὰ μὴν συντρίβεται, νὰ μὴν ταράζεται καὶ νὰ μὴ νιώθει πολλὴ λύπη στὴν ψυχή του.

Ἐδῶ ὅμως τίποτε τέτοιο δὲν εἶναι δυνατὸ νὰ δεῖ κανείς, οὔτε φωτιὰ νὰ προσκομίζεται, οὔτε νυστέρι νὰ βυθίζεται, οὔτε αἷμα νὰ τρέχει, οὔτε τὸν ἄρρωστο νὰ πονάει καὶ νὰ φωνάζει. Καὶ ἡ αἰτία εἶναι ἡ σοφία τοῦ γιατροῦ, ποὺ δὲν ἔχει ἀνάγκη τίποτε ἀπ' αὐτὰ τὰ ἐξωτερικὰ μέσα, ἀλλ' εἶναι ἡ ἴδια αὐτάρκης γιὰ τὸν ἑαυτό της. Γιατὶ ἀρκεῖ νὰ διατάξει μόνο καὶ ὅλα τὰ δεινὰ ἐξαφανίζονται. Καὶ δὲν εἶναι αὐτὸ τὸ θαυμαστό, ὅτι δηλαδὴ μὲ τόσο μεγάλη εὐκολία κάνει τὴ θεραπεία, ἀλλὰ καὶ ὅτι τὴν κάνει ἀνώδινα, χωρὶς νὰ προκαλεῖ κανένα πόνο σ' αὐτοὺς ποὺ θεραπεύει. Ἀφοῦ λοιπὸν καὶ τὸ θαῦμα εἶναι μεγαλύτερο καὶ ἡ θεραπεία περισσότερη καὶ ἡ εὐχαρίστηση γι' αὐτοὺς ποὺ παρακολουθοῦν καθαρὴ ἀπὸ κάθε λύπη, ἐμπρὸς ἂς παρακολουθήσουμε μὲ προσοχὴ τὸ Χριστὸ ποὺ θεραπεύει.

«Καὶ ἀφοῦ ἐπιβιβάσθηκε σὲ πλοῖο, πέρασε ἀπέναντι καὶ ἦρθε στὴν πόλη του. Καὶ τότε τοῦ ἔφεραν ἕναν παράλυτο, ξαπλωμένο σὲ κρεβάτι, καὶ βλέποντας ὁ Ἰησοῦς τὴν πίστη τους, εἶπε στὸν παράλυτο· 'ἔχε θάρρος, παιδί μου, σοῦ συγχωροῦνται οἱ ἁμαρτίες'»[14]. Αὐτοὶ εἶναι κατώτεροι στὴν πίστη ἀπὸ τὸν ἑκατόνατρχο[15] καὶ ἀνώτεροι ἀπ' αὐτὸν ποὺ ἦταν στὴ δεξαμενή. Γιατὶ ἐκεῖνος οὔτε τὸ γιατρὸ ὁδήγησε στὸν ἄρρωστο, οὔτε τὸν

οὔτε τὸν ἄρρωστον πρὸς τὸν ἰατρὸν ἤγαγεν· ἀλλ' ὡς Θεῷ προσῆλθε, καί φησιν· «εἰπὲ λόγῳ μόνον, καὶ ἰαθήσεται ὁ παῖς μου».

Οὗτοι δὲ τὸν μὲν ἰατρὸν εἰς τὴν οἰκίαν οὐχ εἵλκυσαν, καὶ κατὰ τοῦτό εἰσιν ἴσοι τῷ ἑκατοντάρχῃ· τὸν δὲ ἄρρωστον πρὸς τὸν ἰατρὸν ἐκόμισαν, καὶ κατὰ τοῦτό εἰσιν ἐλάττους, ὅτι οὐκ εἶπον, «εἰπὲ λόγῳ μόνον». Τοῦ μέν τοι κειμένου πολὺ βελτίους οὗτοι. Ἐκεῖνος μὲν γὰρ λέγει· «Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν»· οὗτοι δὲ ᾔδεισαν, ὅτι οὐδὲν δεῖ τῷ Χριστῷ, οὐχ ὑδάτων, οὐ κολυμβήθρας, οὐκ ἄλλου τοιούτου τινός· ἀλλ' ὅμως ὁ Χριστὸς οὐχὶ τὸν τοῦ ἑκατοντάρχου μόνον, ἀλλὰ καὶ τοῦτον κἀκεῖνον τῶν νοσημάτων ἀπήλλαξε, καὶ οὐκ εἶπεν· 'ἐπειδὴ πίστιν ἐλάττονα προσήνεγκας, καὶ τὴν θεραπείαν ὡσαύτως λήψῃ'· ἀλλὰ τὸν μείζονα ἐπιδειξάμενον, μετ' ἐγκωμίων καὶ στεφάνων ἀπέπεμψεν εἰπών· «οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον».

Τὸν δὲ ἐλάττονα προσενεγκάμενον ἐκείνου οὐκ ἐπήνεσεν οὐδέν, οὐ μὴν τῆς ὑγείας ἀπεστέρησεν, ἀλλ' οὐδὲ ἐκεῖνον τὸν οὐδεμίαν ἐπιδειξάμενον πίστιν. Ἀλλὰ καθάπερ ἰατροὶ τὸ αὐτὸ νόσημα θεραπεύοντες παρὰ μὲν τῶν ἑκατὸν χρυσίνους ἔλαβον, παρὰ δὲ τῶν ἡμίσεις, παρὰ τῶν ἐλάσσους, παρ' ἐνίων δὲ οὐδὲν ὅλως· οὕτω δὴ καὶ ὁ Χριστός· παρὰ μὲν τοῦ ἑκατοντάρχου πολλὴν καὶ ἄφατον ἐδέξατο πίστιν, παρὰ δὲ τούτου ἐλάττονα, παρ' ἐκείνου δὲ οὐδὲ τὴν τυχοῦσαν, καὶ ὅμως ἅπαντας ἐθεράπευσε. Τίνος οὖν ἕνεκεν καὶ τὸν οὐδὲν καταβαλόντα τῆς εὐεργεσίας ἠξίωσεν; Ὅτι οὐδὲ παρὰ ῥᾳθυμίαν, οὐδὲ παρὰ ἀναισθησίαν ψυχῆς, ἀλλὰ παρὰ τὸ ἀγνοεῖν τὸν Χριστὸν καὶ μηδὲν μηδέποτε μήτε μικρὸν μήτε μέγα ἀκηκοέναι περὶ αὐτοῦ θαῦμα, τὴν πίστιν οὐκ ἐπεδείξατο. Διὰ τοῦτο οὖν καὶ συγγνώμης ἀπήλαυσεν· ὅπερ οὖν καὶ ὁ εὐαγγελιστὴς αἰνιττόμενος ἔλεγεν· «οὐδὲ γὰρ ᾔδει,

16. Λουκᾶ 7,7.

17. Ἰω. 5,7.

18. Λουκᾶ 7,10.

ἄρρωστο ἔφερε στὸ γιατρό, ἀλλὰ πλησίασε σὰν σὲ Θεὸ καὶ λέγει· «πὲς ἕνα λόγο μόνο καὶ θὰ θεραπευθεῖ ὁ δοῦλος μου»[16]. Αὐτοὶ βέβαια δὲν ὁδήγησαν τὸ γιατρὸ στὸ σπίτι, καὶ ὡς πρὸς αὐτὸ εἶναι ἴσοι μὲ τὸν ἑκατόνταρχο, ἀλλὰ ἔφεραν τὸν ἄρρωστο στὸ γιατρό, καὶ ὡς πρὸς αὐτὸ εἶναι κατώτεροι, γιατὶ δὲν εἶπαν, «πὲς ἕνα λόγο μόνο». Ὅμως αὐτοὶ εἶναι πολὺ καλύτεροι ἀπὸ τὸν κατάκοιτο στὴ δεξαμενή, γιατὶ ἐκεῖνος λέγει, «Κύριε, ἄνθρωπο δὲν ἔχω νὰ μὲ βάλει στὴ δεξαμενή, ὅταν ἀναταραχθοῦν τὰ νερά»[17], ἐνῶ αὐτοὶ ἤξεραν ὅτι τίποτε δὲν ἔχει ἀνάγκη ὁ Χριστός, οὔτε νερά, οὔτε δεξαμενή, οὔτε κάτι ἄλλο τέτοιο. Ἀλλ' ὅμως ὁ Χριστὸς ὄχι μόνο τὸν δοῦλο τοῦ ἑκατόνταρχου, ἀλλὰ καὶ αὐτὸν καὶ ἐκεῖνον τοὺς ἀπάλλαξε ἀπὸ τὶς ἀρρώστιες τους καὶ δὲν εἶπε, 'ἐπειδὴ πρόσφερες μικρότερη πίστη θὰ ἔχεις καὶ ἀνάλογη θεραπεία', ἀλλὰ ἐκεῖνον ποὺ ἔδειξε μεγαλύτερη πίστη τὸν ἔστειλε πίσω μὲ ἐγκώμια καὶ τιμές, ἀφοῦ εἶπε· «τόσο μεγάλη πίστη δὲ βρῆκα οὔτε ἀνάμεσα στοὺς Ἰσραηλίτες»[18].

Ἐπίσης αὐτὸν ποὺ πρόσφερε μικρότερη πίστη ἀπὸ ἐκεῖνον δὲν τὸν ἐπαίνεσε βέβαια καθόλου, ὅμως δὲν τοῦ στέρησε τὴν ὑγεία, οὔτε καὶ ἐκεῖνον ποὺ δὲν ἔδειξε καμιὰ πίστη. Ἀλλ' ὅπως οἱ γιατροί, θεραπεύοντας τὴν ἴδια ἀρρώστια, ἀπ' ἄλλους παίρνουν ἑκατὸ χρυσὰ νομίσματα, ἀπ' ἄλλους τὰ μισά, ἀπ' ἄλλους λιγότερα καὶ ἀπὸ μερικοὺς ἐντελῶς τίποτε, ἔτσι καὶ ὁ Χριστὸς ἀπὸ τὸν ἑκατόνταρχο δέχθηκε μεγάλη καὶ ἀνέκφραστη πίστη, ἀπ' αὐτὸν λιγότερη, ἀπὸ ἐκεῖνον οὔτε τὴν παραμικρή, καὶ ὅμως τοὺς θεράπευσε ὅλους. Γιὰ ποιό λοιπὸν λόγο ἔκρινε ἄξιο γιὰ τὴν εὐεργεσία καὶ αὐτὸν ποὺ δὲν πλήρωσε τίποτε; Γιατὶ δὲν ἔδειξε τὴν πίστη οὔτε ἀπὸ ἀδιαφορία, οὔτε ἀπὸ ἀναισθησία τῆς ψυχῆς, ἀλλὰ ἀπὸ τὸ ὅτι ἀγνοοῦσε τὸ Χριστὸ καὶ δὲν εἶχε ἀκούσει γι' αὐτὸν ποτὲ κανένα θαῦμα οὔτε μικρὸ οὔτε μεγάλο. Γι' αὐτὸ λοιπὸν ἀπόλαυσε καὶ συγχώρηση, πράγμα ἀκριβῶς ποὺ καὶ ὁ εὐαγγελιστὴς ὑπονοεῖ λέγοντας, «γιατὶ δὲν ἤξερε ποιός

ὅστις ποτὲ ἦν», ἀλλ' ἐξ ὄψεως αὐτὸν μόνης ἐπέγνω, ὅτε ἐκ δευτέρου συνέτυχεν.

5. Τινὲς μὲν οὖν φασιν, ὅτι τῶν προσενεγκάντων πιστευσάντων μόνον, οὗτος ἐθεραπεύετο· ἀλλ' οὐκ ἔστι τοῦτο. «Ἰδὼν γὰρ τὴν πίστιν αὐτῶν», οὐχὶ τῶν προσενεγκάντων μόνον, ἀλλὰ καὶ τοῦ προσενεχθέντος. Τί οὖν; ἑτέρου πιστεύσαντος ἕτερος οὐ θεραπεύεται; φησίν. Οὐκ ἔγωγε οἶμαι, πλὴν εἰ μή τι ἢ διὰ ἡλικίας ἄωρον ἢ διὰ ὑπερβάλλουσαν ἀσθένειαν ἀδυνάτως ἔχει πρὸς τὸ πιστεῦσαι. Πῶς οὖν ἐπὶ τῆς Χαναναίας, φησίν, ἐπίστευσε μὲν ἡ μήτηρ, ἐθεραπεύετο δὲ ἡ θυγάτηρ; καὶ τοῦ ἑκατοντάρχου δὲ ἀπιστήσαντος πῶς ὁ παῖς ἀνίστατο καὶ διεσώζετο; Ὅτι οὐκ ἠδύνατο πιστεύειν οἱ νοσοῦντες. Ἄκουσον οὖν τί φησιν ἡ Χαναναία· «ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται, καὶ ποτὲ μὲν πίπτει εἰς τὸ ὕδωρ, ποτὲ δὲ εἰς τὸ πῦρ»· ἡ δὲ σκοτουμένη καὶ δαιμονῶσα καὶ μηδὲ ἐν ἑαυτῇ δυναμένη γενέσθαι ποτέ, μηδὲ ὑγιαίνουσα, πῶς ἂν ἠδυνήθη πιστεῦσαι;

Ὡς οὖν ἐπὶ τῆς Χαναναίας οὕτω καὶ ἐπὶ τοῦ ἑκατοντάρχου· ἐν τῇ οἰκίᾳ ἐβέβλητο ὁ παῖς, οὐδὲ αὐτὸς εἰδὼς τὸν Χριστόν, οὐδὲ ὅστις ποτὲ ἦν, πῶς οὖν ἤμελλε τῷ ἀγνοουμένῳ πιστεύειν καὶ οὗ μηδεμίαν οὐδέπω πεῖραν εἰλήφει; Ἀλλ' οὐκ ἐπὶ τούτου ἐστὶ τοῦτο εἰπεῖν· ἀλλ' ἐπίστευσεν ὁ παράλυτος. Πόθεν τοῦτο δῆλον; Ἀπ' αὐτοῦ τοῦ τρόπου τῆς προσαγωγῆς. Μὴ γὰρ δὴ ἁπλῶς ἀκούσῃς, ὅτι καθῆκαν αὐτὸν διὰ τοῦ στέγους· ἀλλ' ἐννόησον, ὅσον ἐστὶν ἀρρωστοῦντα τοῦτο παθεῖν ἀνέχεσθαι. Ἴστε γὰρ δήπου τοῦτο, ὅτι οὕτω μικρόψυχοι καὶ δυσάρεστοι νοσοῦντές εἰσιν, ὡς καὶ ἐπὶ κλίνης θεραπείας διακρούεσθαι πολλάκις,

19. Ἰω. 5,13.
20. Ματθ. 15,22 καὶ 17,15.

ἦταν»[19], ἀλλὰ τὸν ἀναγνώρισε ἀπὸ τὴν ὄψη μόνο, ὅταν τὸν συνάντησε γιὰ δεύτερη φορά.

5. Μερικοὶ λοιπὸν ἰσχυρίζονται ὅτι αὐτὸς θεραπεύθηκε, ἐπειδὴ πίστεψαν αὐτοὶ ποὺ τὸν μετέφεραν μόνο. Ἀλλὰ δὲν εἶναι αὐτό. «Γιατὶ ὅταν εἶδε τὴν πίστη τους», ὄχι αὐτῶν ποὺ τὸ μετέφεραν μόνο, ἀλλὰ καὶ ἐκείνου ποὺ μεταφέρθηκε. Τί λοιπόν; Ὅταν ἄλλος, λέγει, πιστέψει, ἄλλος δὲ θεραπεύεται; Ἐγὼ βέβαια δὲν τὸ νομίζω, ἐκτὸς ἂν ἢ ἐξ αἰτίας τῆς μικρῆς ἡλικίας ἢ ἐξ αἰτίας τῆς ὑπερβολικῆς ἀσθένειας ἀδυνατεῖ νὰ πιστέψει. Πῶς λοιπόν, λέγει, στὴν περίπτωση τῆς Χαναναίας, πίστεψε ἡ μητέρα καὶ θεραπεύθηκε ἡ θυγατέρα της; Καὶ ἂν ὁ ἑκατόνταρχος δὲν πίστευε, πῶς θὰ ἀνασταινόταν ὁ δοῦλος του; Ἐπειδὴ οἱ ἄρρωστοι δὲν μποροῦσαν νὰ πιστέψουν. Ἄκουσε λοιπὸν τί λέγει ἡ Χαναναία· «ἡ θυγατέρα μου πάσχει ἀπὸ δαιμόνιο, καὶ ἄλλοτε πέφτει στὸ νερὸ καὶ ἄλλοτε στὴ φωτιά»[20]. Πῶς θὰ μποροῦσε νὰ πιστέψει ἐκείνη ποὺ καταλαμβάνεται ἀπὸ σκοτοδίνη καὶ κατέχεται ἀπὸ τοὺς δαίμονες καὶ ποὺ δὲν μπορεῖ νὰ συνέλθει ποτέ, οὔτε νὰ γίνει καλά;

Ὅπως λοιπὸν στὴν περίπτωση τῆς Χαναναίας, ἔτσι ἔγινε καὶ στὴν περίπτωση τοῦ ἑκατόνταρχου. Στὸ σπίτι ἦταν κατάκοιτος ὁ δοῦλος, χωρὶς νὰ γνωρίζει ὁ ἴδιος τὸ Χριστό, οὔτε ποιός ἦταν· πῶς λοιπὸν ἦταν δυνατὸ νὰ πιστέψει σ' αὐτὸν τὸν ἄγνωστο, ποὺ δὲν τὸν εἶχε γνωρίσει καθόλου μέχρι τώρα; Στὴν περίπτωση αὐτὴ ὅμως δὲν εἶναι δυνατὸ νὰ πεῖ κανεὶς τὸ ἴδιο, ἀλλ' ὁ παράλυτος πίστεψε. Ἀπὸ ποῦ εἶναι φανερὸ αὐτό; Ἀπὸ τὸν ἴδιο τὸν τρόπο τῆς προσαγωγῆς του. Γιατὶ μὴν ἀκούσεις ἁπλῶς καὶ μόνο πὼς τὸν κατέβασαν ἀπὸ τὴ στέγη, ἀλλὰ σκέψου πόσο μεγάλο πράγμα εἶναι νὰ ἀνέχεται ἕνας ἄρρωστος νὰ τὸ πάθει αὐτό. Γιατὶ βέβαια τὸ ξέρετε αὐτό, ὅτι δηλαδὴ οἱ ἄρωστοι εἶναι τόσο δειλοὶ καὶ στενόχωροι, ὥστε πολλὲς φορὲς νὰ μὴ δέχονται οὔτε καὶ τὶς θεραπεῖες στὸ κρεβάτι καὶ νὰ προτι-

καὶ αἱρεῖσθαι τὰς ἀπὸ τῶν νοσημάτων φέρειν ὀδύνας, ἢ τὴν ἀπὸ τῶν βοηθημάτων ὑπομένειν ἐπάχθειαν. Οὗτος δὲ καὶ τῆς οἰκίας προελθεῖν ἠνέσχετο, καὶ εἰς ἀγορὰν ἐμβαλεῖν βασταζόμενος, καὶ τοσούτων παρόντων ἑαυτὸν ἐπιδεῖξαι. Καὶ τοῦτο δὲ ἔθος τοῖς ἀρρωστοῦσιν ἐναποθανεῖν, ἢ τὰς οἰκείας ἐκκαλύψαι συμφοράς.

Ἀλλ' οὐχ ὁ ἄρρωστος οὗτος οὕτως, ἀλλ' ἰδὼν τὸ θέατρον πεπληρωμένον, τὰς εἰσόδους ἀποτετειχισμένας, τὸν λιμένα ἀποκεκλεισμένον, διὰ τοῦ στέγους ἠνέσχετο χαλασθῆναι. Οὕτως εὐμήχανον ὁ πόθος καὶ εὔπορον ἡ ἀγάπη. Καὶ γὰρ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. Οὐκ εἶπε πρὸς τοὺς προσήκοντας αὐτῷ· 'τί ποτε τοῦτό ἐστιν; τί θορυβεῖσθε; τί δὲ ἐπείγεσθε; Ἀνασχώμεθα κενωθῆναι τὸ δωμάτιον, διαλυθῆναι τὸ θέατρον· ἀναχωρήσουσιν οἱ συνειλεγμένοι, δυνησόμεθα κατιδίαν αὐτῷ προσελθεῖν, καὶ περὶ τούτων ἀνακοινώσασθαι. Τί δεῖ πάντων ὁρώντων εἰς μέσον προτεθῆναι τὰς ἐμὰς συμφοράς, καὶ ἄνωθεν χαλᾶσθαι, καὶ ἀσχημονεῖν;' Τούτων οὐδὲν ἐκεῖνος οὔτε πρὸς ἑαυτόν, οὔτε πρὸς τοὺς κομίζοντας εἶπεν, ἀλλὰ κόσμον εἶναι ἐνόμιζε τὸ μάρτυρας τοσούτους ποιήσασθαι τῆς ἑαυτοῦ θεραπείας.

Οὐκ ἀπὸ τούτου δὲ μόνον αὐτοῦ τὴν πίστιν ἦν ἰδεῖν, ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν τοῦ Χριστοῦ ρημάτων. Ἐπειδὴ γὰρ ἐχαλάσθη καὶ προσηνέχθη, φησὶν αὐτῷ ὁ Χριστός· «θάρσει, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι». Καὶ ταῦτα ἀκούσας οὐκ ἠγανάκτησεν, οὐκ ἐδυσχέρανεν, οὐκ εἶπε πρὸς τὸν ἰατρόν· 'τί ποτε τοῦτό ἐστιν; Ἕτερον ἦλθον θεραπευθῆναι πάθος, καὶ ἕτερον αὐτὸς θεραπεύει; Σκῆψις ταῦτα καὶ πρόφασις, καὶ ἀσθενείας προκαλύμματα. Ἁμαρτίας ἀφίεις τὰς οὐχ ὁρωμένας;' Οὐδὲν τούτων

---

21. Ματθ. 9,2.

μοῦν νὰ ὑποφέρουν τοὺς πόνους ἀπὸ τὶς ἀσθένειες, παρὰ νὰ ὑπομένουν τὴν ἐνόχληση ἀπὸ τὰ φάρμακα. Αὐτὸς ὅμως ἀνέχθηκε καὶ ἀπὸ τὸ σπίτι νὰ βγεῖ καὶ στὴν ἀγορὰ νὰ περάσει βασταζόμενος καὶ νὰ παρουσιασθεῖ μπροστὰ σὲ τόσους ἀνθρώπους. Καὶ αὐτὸ εἶναι σύνηθες φαινόμενο τῶν ἀρρώστων, νὰ προτιμοῦν δηλαδὴ νὰ πεθάνουν παρὰ νὰ φανερώσουν τὶς συμφορές τους.

Ὅμως ὁ ἄρρωστος αὐτὸς δὲ συμπεριφέρθηκε μ' αὐτὸν τὸν τρόπο, ἀλλά, ὅταν εἶδε τὸ θέατρο γεμάτο, τὶς πόρτες τειχισμένες, τὸ λιμάνι ἀποκλεισμένο, δέχθηκε νὰ τὸν κατεβάσουν ἀπὸ τὴ στέγη. Τόσο πολυμήχανος εἶναι ὁ πόθος καὶ τόσο ἐφευρετικὴ ἡ ἀγάπη. Γιατὶ πραγματικὰ ὅποιος ζητάει βρίσκει καὶ σ' ὅποιον κτυπάει τοῦ ἀνοίγεται ἡ πόρτα. Δὲν εἶπε στοὺς συγγενεῖς του· τί συμβαίνει ἐδῶ; Τί ἀνησυχεῖτε; καὶ γιατί βιάζεστε; Ἂς περιμένουμε νὰ ἀδειάσει τὸ δωμάτιο, νὰ διαλυθοῦν οἱ ἄνθρωποι. Θὰ ἀναχωρήσουν οἱ συγκεντρωμένοι, θὰ μπορέσουμε νὰ τὸν πλησιάσουμε ἰδιαιτέρως καὶ νὰ τοῦ τὰ ποῦμε ὅλα αὐτά. Γιατί πρέπει, ἐνῶ ὅλοι βλέπουν, νὰ κάνουμε γνωστὲς σ' ὅλους τὶς συμφορές μου, νὰ μὲ κατεβάσετε ἀπὸ τὴ στέγη καὶ νὰ φερόμαστε μὲ ἀπρέπεια; Ἀπ' αὐτὰ ἐκεῖνος δὲν εἶπε τίποτε οὔτε στὸν ἑαυτό του οὔτε σ' αὐτοὺς ποὺ τὸν μετέφεραν, ἀλλὰ θεωροῦσε πὼς εἶναι στολίδι τὸ νὰ κάμει τόσους ἀνθρώπους μάρτυρες τῆς θεραπείας του.

Καὶ ὄχι μόνο ἀπ' αὐτὸ μπορεῖ κανεὶς νὰ δεῖ τὴν πίστη του, ἀλλὰ καὶ ἀπὸ τὰ ἴδια τὰ λόγια τοῦ Χριστοῦ. Γιατί, ὅταν τὸν κατέβασαν καὶ τὸν ἔφεραν κοντά του, τοῦ λέγει ὁ Χριστός· «ἔχε θάρρος, παιδί μου, σοῦ συγχωροῦνται οἱ ἁμαρτίες»[21]. Καὶ ὅταν τὰ ἄκουσε αὐτά, δὲν ἀγανάκτησε, δὲ δυσανασχέτησε, δὲν εἶπε πρὸς τὸ γιατρό, 'τί σημαίνει αὐτό; Ἦρθα νὰ μοῦ θεραπεύσει ἄλλη πάθηση καὶ αὐτὸς μοῦ θεραπεύει ἄλλη; Αὐτὰ εἶναι πρόφαση καὶ δικαιολογία καὶ προσχήματα ἀδυναμίας. Συγχωρεῖς

οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλ' ἀνέμενεν ἐπιτρέπων τὸν ἰατρὸν ὁδῷ χρήσασθαι θεραπείας, ἧσπερ ἐβούλετο. Διὰ τοῦτο καὶ ὁ Χριστὸς οὐκ ἀπῆλθε πρὸς αὐτόν, ἀλλ' ἀνέμεινεν αὐτὸν ἐλθεῖν, ἵνα ἐπιδείξῃ αὐτοῦ τὴν πίστιν πᾶσι. Μὴ γὰρ οὐκ ἠδύνατο τὴν εἴσοδον ποιῆσαι εὔκολον; Ἀλλ' οὐδὲν τούτων ἐποίησεν, ἵνα πᾶσιν αὐτοῦ τὴν σπουδὴν ἐπιδείξῃ καὶ τὴν ζέουσαν πίστιν.

Καθάπερ γὰρ πρὸς ἐκεῖνον τὸν τριάκοντα ὀκτὼ ἔτη ἔχοντα ἀπῄει διὰ τὸ μηδένα αὐτῷ παρεῖναι· οὕτω τοῦτον, ἐπειδὴ πολλοὺς εἶχε τοὺς προσήκοντας, ἀνέμεινεν ἐλθεῖν πρὸς αὐτόν, ἵνα καὶ τούτου τὴν πίστιν ποιήσῃ δήλην διὰ τοῦ προσενεχθῆναι, κἀκείνου τὴν ἐρημίαν ἡμᾶς διδάξῃ διὰ τοῦ πρὸς αὐτὸν ἀπελθεῖν, καὶ τούτου τὴν σπουδὴν κἀκείνου τὴν ὑπομονὴν ἐκκαλύψῃ πᾶσι, καὶ μάλιστα τοῖς τότε παροῦσιν.

Ἐπειδὴ γὰρ εἰώθασιν Ἰουδαῖοι βάσκανοί τινες καὶ μισάνθρωποι ταῖς τῶν πλησίον εὐεργεσίαις φθονεῖν, καὶ νῦν ἀπὸ καιροῦ τοῖς θαύμασιν ἐπισκήπτειν λέγοντες, ὅτι ἐν σαββάτῳ θεραπεύει, νῦν δὲ ἀπὸ τοῦ βίου τῶν εὐεργετουμένων λέγονες· «εἰ ἦν προφήτης οὗτος, ᾔδει τίς ἦν ἡ γυνὴ ἡ ἁπτομένη αὐτοῦ»· οὐκ εἰδότες, ὅτι ἰατροῦ μάλιστα τοῦτό ἐστι, τὸ τοῖς ἀρρωστοῦσιν ἀναμίγνυσθαι καὶ παρὰ τοὺς νοσοῦντας ἀεὶ φαίνεσθαι, ἀλλὰ μὴ φυγεῖν αὐτοὺς μηδὲ ἀποπηδᾶν. Ὅπερ οὖν καὶ πρὸς ἐκείνους ἀποτεινόμενος ἔλεγεν· «οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες». Ἵνα οὖν μὴ τὰ αὐτὰ πάλιν ἐγκαλῶσι, πρότερον δείκνυσιν ὡς ἄξιοι τῆς θεραπείας εἰσὶν οἱ προσιόντες διὰ τὴν πίστιν, ἣν ἐκδείκνυνται. Διὰ τοῦτο κἀκείνου τὴν ἐρη-

22. Λουκᾶ 7,39.
23. Ματθ. 9,12.

ἁμαρτίες ποὺ δὲ βλέπονται;' Τίποτε ἀπ' αὐτὰ δὲν εἶπε, οὔτε σκέφθηκε, ἀλλὰ περίμενε ἀφήνοντας τὸ γιατρὸ νὰ χρησιμοποιήσει τὸν τρόπο θεραπείας ποὺ ἤθελε. Γι' αὐτὸ καὶ ὁ Χριστὸς δὲν πῆγε σ' αὐτόν, ἀλλὰ τὸν περίμενε νὰ ἔρθει, γιὰ νὰ φανερώσει τὴν πίστη του σὲ ὅλους. Μήπως λοιπὸν δὲν μποροῦσε νὰ κάμει εὔκολη τὴν εἴσοδο; 'Αλλὰ δὲν ἔκαμε τίποτε ἀπ' αὐτά, γιὰ νὰ φανερώσει σὲ ὅλους τὴν προσπάθειά του καὶ τὴ φλογερή του πίστη.

Ὅπως δηλαδὴ πῆγε σ' ἐκεῖνον ποὺ ἦταν τριάντα ὀκτὼ χρόνια παράλυτος ἐξ αἰτίας τοῦ ὅτι δὲν εἶχε κανένα νὰ τὸν βοηθήσει, ἔτσι αὐτόν, ἐπειδὴ εἶχε πολλοὺς συγγενεῖς, τὸν περίμενε νὰ ἔρθει κοντά του, γιὰ νὰ κάμει φανερὴ καὶ αὐτοῦ τὴν πίστη μὲ τὸ ὅτι τὸν μετέφεραν, καὶ νὰ μᾶς διδάξει καὶ ἐκείνου τὴν ἀπομόνωση μὲ τὸ ὅτι πῆγε σ' αὐτόν, καὶ νὰ φανερώσει καὶ αὐτοῦ τὴν προσπάθεια καὶ ἐκείνου τὴν ὑπομονὴ σὲ ὅλους, καὶ ἰδιαίτερα σ' αὐτοὺς ποὺ ἦταν παρόντες τότε.

Γιατὶ συνήθως οἱ 'Ιουδαῖοι, μερικοὶ φθονεροὶ καὶ μισάνθρωποι, φθονοῦσαν τοὺς συνανθρώπους τους γιὰ τὶς εὐεργεσίες ποὺ τοὺς γίνονταν καὶ κατηγοροῦσαν τὰ θαύματα, ἄλλοτε ἀπὸ τὴν ἡμέρα, λέγοντας πὼς θεραπεύει Σάββατο, καὶ ἄλλοτε ἀπὸ τὸν τρόπο ζωῆς τῶν εὐεργετημένων, λέγοντας, «ἂν ἦταν προφήτης αὐτός, θὰ γνώριζε τί εἴδους γυναίκα εἶναι αὐτὴ ποὺ τὸν ἀγγίζει»[22], χωρὶς νὰ ξέρουν πὼς γνώρισμα τοῦ γιατροῦ κυρίως εἶναι αὐτό, τὸ νὰ ἀναμιγνύεται μὲ τοὺς ἀρρώστους καὶ νὰ βρίσκεται πάντοτε κοντὰ στοὺς ἀσθενεῖς, καὶ ὄχι νὰ τοὺς ἀποφεύγει οὔτε ν' ἀπομακρύνεται ἀπ' αὐτούς. Αὐτὸ τὸ πράγμα ἀκριβῶς ἔλεγε καὶ ὁ ἴδιος ἀπευθυνόμενος σ' ἐκείνους· «δὲν ἔχουν ἀνάγκη ἀπὸ γιατρὸ οἱ ὑγιεῖς ἀλλὰ οἱ ἄρρωστοι»[23]. Γιὰ νὰ μὴν κατηγοροῦν λοιπὸν τὰ ἴδια πάλι, πρῶτα δείχνει ὅτι εἶναι ἄξιοι γιὰ τὴ θεραπεία ὅσοι τὸν πλησιάζουν ἐξ αἰτίας τῆς πίστης ποὺ φανερώνουν. Γι' αὐτὸ ἔδειξε καὶ ἐκείνου τὴν ἀπομόνωση καὶ αὐτοῦ

μίαν, καὶ τούτου τὴν ζέουσαν πίστιν καὶ προθυμίαν ἔδειξε· διὰ τοῦτο ἐκεῖνον μὲν ἐν σαββάτῳ ἐθεράπευσε, τοῦτον δὲ οὐκ ἐν σαββάτῳ· ἵν', ὅταν ἴδῃς καὶ ἐν ἑτέρᾳ ἡμέρᾳ ἐγκαλοῦντας καὶ ἐπιτιμῶντας τῷ Χριστῷ, μάθῃς, ὅτι καὶ τότε οὐ διὰ τὴν τοῦ νόμου παρατήρησιν ἐνεκάλουν, ἀλλὰ τὴν οἰκείαν βασκανίαν φέρειν οὐκ ἔχοντες.

Διὰ τί δὲ οὐκ ἐπὶ τὸ τὴν παράλυσιν ὀρθῶσαι πρότερον ἦλθεν, ἀλλά φησι· «θάρσει, τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι»; Καὶ τοῦτο σφόδρα σοφῶς. Καὶ γὰρ τοῖς ἰατροῖς ἔθος ἐστὶ μὴ πρότερον τὰ νοσήματα λύειν, ἀλλὰ τὰς πηγὰς αὐτῶν ἀναιρεῖν. Οἷον πολλάκις ὑπὸ πονηροῦ χυμοῦ καὶ διεφθαρμένου ρεύματος ἐνοχλουμένων ὀφθαλμῶν, ἀφεὶς ὁ ἰατρὸς τὴν νοσοῦσαν θεραπεῦσαι κόρην, τῆς κεφλῆς ἐπεμελήσατο, ἔνθα ἡ ρίζα καὶ ἡ πηγὴ τῆς ἀρρωστίας ἦν· οὕτω καὶ ὁ Χριστὸς ἐποίησε, τὴν πηγὴν ἀναστέλλει τῶν κακῶν πρότερον. Πηγὴ γὰρ κακῶν καὶ ρίζα καὶ μήτηρ πάντων ἐστὶ τῆς ἁμαρτίας ἡ φύσις. Αὕτη τὰ σώματα ἡμῶν παραλύει· αὕτη τὰς νόσους ἐπάγει· διὰ τοῦτο καὶ ἐνταῦθά φησι· «θάρσει, τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι»· κἀκεῖ φησιν· «ἰδοὺ ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται», δηλῶν ἀμφοτέροις, ὅτι ἐξ ἁμαρτημάτων ἐτέχθησαν αὗται αἱ νόσοι.

Καὶ ἐν ἀρχῇ καὶ ἐν προοιμίοις τῆς κτίσεως ἐξ ἁμαρτίας ἡ νόσος εἰς τὸ τοῦ Κάϊν κατέσκηψε σῶμα. Καὶ γὰρ ἐκεῖνος μετὰ τὴν ἀδελφοκτονίαν, μετὰ τὴν παρανομίαν ἐκείνην, τότε παρελύθη τὸ σῶμα. Τὸ γὰρ τρέμειν οὐδὲν ἕτερόν ἐστιν ἢ παράλυσις. Καὶ γὰρ ὅταν ἡ τὸ ζῶον οἰκονομοῦσα δύναμις ἀσθενεστέρα γένηται, οὐκέτι δυναμένη πάντα διαβαστάζειν τὰ μέλη, ἀφίησιν αὐτὰ τῆς οἰκείας προνοίας, εἶτα χαλασθέντα ἐκεῖνα τρέμει καὶ περιφέρεται.

---

24. Βλ. Γεν. 4,9-15.

τὴ φλογερὴ πίστη καὶ προθυμία. Γι' αὐτό, ἐκεῖνον τὸν θεράπευσε Σάββατο καὶ αὐτὸν ὄχι Σάββατο, ὥστε ὅταν δεῖς νὰ κατηγοροῦν καὶ νὰ ἐπιτιμοῦν τὸ Χριστὸ καὶ σὲ ἄλλη ἡμέρα, νὰ μάθεις πὼς καὶ τότε δὲν τὸν κατηγοροῦσαν γιὰ τὴν παράβαση τοῦ νόμου, ἀλλὰ γιατὶ δὲν μποροῦσαν νὰ συγκρατήσουν τὸ δικό τους φθόνο.

Γιατὶ ὅμως δὲν ἄρχισε ἀπὸ τὴ θεραπεία τῆς παράλυσης, ἀλλὰ λέγει, «ἔχε θάρρος, παιδί μου, σοῦ συγχωροῦνται οἱ ἁμαρτίες»; Καὶ αὐτὸ τὸ ἔκαμε πάρα πολὺ σοφά. Γιατὶ καὶ οἱ γιατροὶ συνηθίζουν νὰ μὴ θεραπεύουν πρῶτα τὶς ἀρρώστιες, ἀλλὰ νὰ ἐξαλείφουν τὶς αἰτίες τους. Ὅπως πολλὲς φορές, ὅταν ἐνοχλοῦνται τὰ μάτια ἀπὸ κακὸ χυμὸ καὶ βλαβερὸ συνάχι, ὁ γιατρὸς ἀφήνοντας τὴ θεραπεία τῆς ἄρρωστης κόρης τῶν ματιῶν φροντίζει γιὰ τὸ κεφάλι, ὅπου βρίσκεται ἡ ρίζα καὶ ἡ πηγὴ τῆς ἀρρώστιας· ἔτσι ἔκαμε καὶ ὁ Χριστός· ἐξουδετερώνει πρῶτα τὴν πηγὴ τῶν κακῶν. Γιατὶ πηγὴ τῶν κακῶν καὶ ρίζα καὶ μητέρα ὅλων εἶναι ἡ φύση τῆς ἁμαρτίας. Αὐτὴ παραλύει τὰ σώματά μας, αὐτὴ φέρνει τὶς ἀρρώστιες. Γι' αὐτὸ καὶ ἐδῶ λέγει, «ἔχε θάρρος, παιδί μου, σοῦ συγχωροῦνται οἱ ἁμαρτίες», καὶ ἐκεῖ λέγει, «βλέπεις, ἔχεις γίνει καλά, μὴν ἁμαρτάνεις πιά, γιὰ νὰ μὴν πάθεις τίποτε χειρότερο», δηλώνοντας καὶ στοὺς δύο, ὅτι αὐτὲς οἱ ἀρρώστιες γεννήθηκαν ἀπὸ ἁμαρτήματα.

Καὶ στὴν ἀρχὴ τῆς δημιουργίας ἡ ἀρρώστια πρόσβαλε τὸ σῶμα τοῦ Κάιν ἀπὸ ἁμαρτία. Γιατὶ καὶ ἐκεῖνος μετὰ τὴν ἀδελφοκτονία, μετὰ τὴν παρανομία ἐκείνη, τότε ἔπαθε παράλυση στὸ σῶμα[24]. Γιατὶ τὸ νὰ τρέμει κανεὶς τίποτε ἄλλο δὲν εἶναι παρὰ παράλυση. Πραγματικά, ὅταν ἡ δύναμη ποὺ κατευθύνει τὸν ὀργανισμὸ γίνει ἀσθενέστερη, μὴ μπορώντας πλέον νὰ συγκρατεῖ ὅλα τὰ μέλη, τὰ ἀφήνει ἔξω ἀπὸ τὴ φροντίδα της, καὶ ἐκεῖνα τότε ἐξ αἰτίας τῆς χαλάρωσης τρέμουν καὶ δὲν εἶναι σταθερά.

6. Τοῦτο καὶ Παῦλος ἐδήλωσεν· ἁμαρτίαν γάρ τινα Κορινθίοις ἐγκαλῶν φησι· «διὰ τοῦτο πολλοὶ ἐν ὑμῖν ἀσθενεῖς καὶ ἄρρωστοι»· διὰ τοῦτο καὶ ὁ Χριστὸς πρότερον τὴν αἰτίαν ἀναιρεῖ τῶν κακῶν, καὶ εἰπών, «θάρσει, τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι», ἀνίστησιν αὐτοῦ τὸ φρόνημα, διεγείρει καταβεβλημένην τὴν ψυχήν· ὁ γὰρ λόγος ἔργον ἐγίνετο, καὶ εἰς τὸ συνειδὸς εἰσελθὼν αὐτῆς ἥπτετο τῆς ψυχῆς, καὶ πᾶσαν ἀγωνίαν ἐξέβαλεν. Οὐδὲν γὰρ οὕτως ἡδονὴν ποιεῖ καὶ παρέχει θαρρεῖν, ὡς τὸ μηδὲν ἑαυτοῦ κατηγορεῖν. «Θάρσει, τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι». Ὅπου γὰρ ἁμαρτημάτων ἄφεσις, ἐκεῖ υἱοθεσία. Οὕτω γοῦν καὶ ἡμεῖς οὐ πρότερον δυνάμεθα καλέσαι Πατέρα, ἕως ἐν τῇ κολυμβήθρᾳ τῶν ὑδάτων τῶν ἁγίων ἀπονιψώμεθα τὰ ἁμαρτήματα. Ὅταν γοῦν ἐκεῖθεν ἀνέλθωμεν τὸ πονηρὸν ἐκεῖνο φορτίον ἀποθέμενοι, τότε λέγομεν, «Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς».

Ἀλλὰ τίνος ἕνεκεν ἐπὶ τοῦ τριάκοντα ὀκτὼ ἔχοντος οὐχ οὕτως ἐποίησεν, ἀλλὰ τὸ σῶμα αὐτοῦ διώρθωσε πρότερον; Ὅτι ἐκείνῳ μὲν τῷ μήκει τοῦ χρόνου τὰ ἁμαρτήματα δεδαπάνητο· δύναται γὰρ πειρασμοῦ μέγεθος τὸ τῶν ἁμαρτημάτων φορτίον κοῦφον ποιεῖν· ὥσπερ οὖν καὶ ἐπὶ τοῦ Λαζάρου φησίν, ὅτι ἀπέλαβε τὰ κακὰ αὐτοῦ, καὶ ἐνταῦθα παρακαλεῖται· καὶ πάλιν ἀλλαχοῦ φησι· «παρακαλεῖτε τὸν λαόν μου, λαλήσατε εἰς τὴν καρδίαν Ἰερουσαλήμ, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς». Καὶ πάλιν ὁ προφήτης, «Κύριε, εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν», ἐμφαίνων, ὅτι αἱ τιμωρίαι καὶ αἱ κολάσεις ἁμαρτημάτων συγχώρησιν ποιοῦσι, καὶ πολλαχόθεν τοῦτό ἐστι φανερὸν ποιῆσαι.

Ἐμοὶ τοίνυν δοκεῖ μηδὲν ἐκείνῳ περὶ ἀφέσεως διαλεχθῆ-

---

25. Α΄ Κορ. 11,30. 27. Βλ. Λουκᾶ 16,19–31.
26. Ματθ. 6,9. 28. Ἡσ. 40,1–2. 29. Ἡσ. 26,12.

6. Αὐτὸ καὶ ὁ Παῦλος τὸ φανέρωσε· γιατὶ κατηγορώντας τοὺς Κορινθίους γιὰ κάποια ἁμαρτία λέγει· «γι' αὐτὸ εἶναι ἀνάμεσά σας πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι»[25]. Γι' αὐτὸ καὶ ὁ Χριστὸς πρῶτα ἐξαλείφει τὴν αἰτία τῶν κακῶν, καί, ἀφοῦ εἶπε, «ἔχε θάρρος, παιδί μου, σοῦ συγχωροῦνται οἱ ἁμαρτίες», ἐξυψώνει τὸ φρόνημά του, διεγείρει τὴν καταβεβλημένη του ψυχή. Γιατὶ ὁ λόγος του ἔγινε ἔργο καὶ μπαίνοντας στὴ συνείδηση ἄγγιξε τὴν ἴδια τὴν ψυχὴ καὶ ἔδιωξε κάθε ἀγωνία. Πραγματικὰ τίποτε δὲν προκαλεῖ τόση εὐχαρίστηση καὶ δὲν παρέχει θάρρος, ὅσο τὸ νὰ μὴν κατηγορεῖ κανεὶς καθόλου τὸν ἑαυτό του. «Ἔχε θάρρος, παιδί μου, σοῦ συγχωροῦνται οἱ ἁμαρτίες». Γιατί, ὅπου ὑπάρχει συγχώρηση ἁμαρτημάτων, ἐκεῖ ὑπάρχει υἱοθεσία. Ἔτσι λοιπὸν καὶ ἐμεῖς δὲν μποροῦμε προηγουμένως νὰ τὸν ὀνομάσουμε Πατέρα, ὥσπου νὰ πλύνουμε τὰ ἁμαρτήματά μας μέσα στὴν κολυμβήθρα τῶν ἁγιασμένων ὑδάτων. Ὅταν λοιπὸν ἀνεβοῦμε ἀπὸ ἐκεῖ, ἀποβάλλοντας τὸ πονηρὸ ἐκεῖνο φορτίο, τότε λέμε· «Πατέρα μας, ποὺ βρίσκεσαι στοὺς οὐρανούς»[26].

Ἀλλὰ γιὰ ποιό λόγο σ' ἐκεῖνον ποὺ ἦταν τριάντα ὀκτὼ χρόνια ἄρρωστος δὲν ἔκαμε τὸ ἴδιο, ἀλλὰ θεράπευσε πρῶτα τὸ σῶμα του; Γιατὶ σ' ἐκεῖνον ἀπὸ τὰ πολλὰ χρόνια τὰ ἁμαρτήματα εἶχαν ἐξαλειφθεῖ. Γιατὶ μπορεῖ τὸ μέγεθος τοῦ πειρασμοῦ νὰ κάνει ἐλαφρὸ τὸ φορτίο τῶν ἁμαρτημάτων, ὅπως λοιπὸν λέγει στὴ περίπτωση τοῦ Λαζάρου, ὅτι ἀπόλαυσε τὴ δυστυχία του στὸν κόσμο καὶ ἐδῶ παρηγοριέται[27]. Καὶ πάλι ἀλλοῦ λέγει· «παρηγορεῖτε τὸ λαό μου, μιλῆστε στὴν καρδιὰ τῆς Ἰερουσαλήμ, γιατὶ δέχθηκε ἀπὸ τὸ χέρι τοῦ Κυρίου διπλὴ τιμωρία γιὰ τὰ ἁμαρτήματά της»[28]. Καὶ πάλι ὁ προφήτης λέγει, «Κύριε, δῶσε μας εἰρήνη, γιατὶ ὅλα μᾶς τὰ ἔχεις δώσει»[29], φανερώνοντας ὅτι οἱ ποινὲς καὶ οἱ τιμωρίες φέρνουν τὴ συγχώρηση τῶν ἁμαρτημάτων, καὶ αὐτὸ μπορεῖ νὰ τὸ κάμει κανεὶς φανερὸ ἀπὸ πολλὰ σημεῖα.

Ἐμένα λοιπὸν μοῦ φαίνεται πὼς τίποτε δὲν ἀνέφερε σ'

ναι, ἀλλὰ πρὸς τὸ μέλλον αὐτὸν ἀσφαλίσασθαι, ὡς τῶν ἤδη πλημμεληθέντων τῷ μήκει τῆς ἀρρωστίας· ἢ εἰ μὴ τοῦτο, διὰ τὸ μηδὲν αὐτὸν μηδέπω περὶ τοῦ Χριστοῦ πεπεῖσθαι μέγα, διὰ τοῦτο ἐπὶ τὸ ἔλαττον πρότερον ἦλθε, καὶ τὸ φανερὸν καὶ δῆλον, τὴν τοῦ σώματος ὑγείαν· ἐπὶ δὲ τούτου οὐχ οὕτως, ἀλλ' ἐπειδὴ μᾶλλον ἐπίστευσε, καὶ ὑψηλοτέραν εἶχε ψυχήν, διὰ τοῦτο αὐτῷ περὶ τῆς χαλεπωτέρας πρότερον διελέχθη νόσου· καὶ πρὸς τούτοις δὲ ἅπασιν, ἵνα τὴν εἰς τὸν Πατέρα ἰσοτιμίαν ἐπιδείξηται. Ὥσπερ γὰρ ἐκεῖ ἐν σαββάτῳ ἐθεράπευσε, βουλόμενος αὐτοὺς τῆς παρατηρήσεως ἀπαγαγεῖν τῆς ἰουδαϊκῆς, καὶ ἐκ τῶν ἐγκλημάτων τῶν αὐτῶν λαβεῖν ἀφορμὴν τοῦ δεῖξαι ἑαυτὸν ἴσον τῷ γεγεννηκότι, οὕτω δὴ καὶ ἐνταῦθα προειδώς, ὅπερ ἤμελλον ἐρεῖν, εἶπε ταῦτα τὰ ῥήματα, ἵν' ἐντεῦθεν λαβὼν ἀρχὴν καὶ πρόφασιν δείξῃ τῷ γεγεννηκότι ὁμότιμον ὄντα ἑαυτόν.

Οὐ γὰρ ἴσον μηδενὸς ἐγκαλοῦντος μηδὲ αἰτιωμένου, ἀφ' ἑαυτοῦ εἰς τὸν περὶ τούτων καθεῖναι λόγον, καὶ ἑτέρων παρεχόντων τὰς αἰτίας ἐν ἀπολογίας τάξει καὶ σχήματι τοῦτο αὐτὸ κατασκευάσαι. Ἐκείνης μὲν γὰρ τῆς ἀποδείξεως ὁ τρόπος ἀντέκρουε τοῖς ἀκούουσιν· οὗτος δὲ ἀνεπαχθέστερος ἦν καὶ εὐπαράδεκτος μᾶλλον, καὶ πανταχοῦ δὲ ὁρῶμεν τοῦτο αὐτὸν ποιοῦντα, καὶ οὐχ οὕτω διὰ ῥημάτων, ὡς διὰ πραγμάτων ἐπιδεικνύμενον τὴν ἰσότητα. Τοῦτο γοῦν καὶ ὁ εὐαγγελιστὴς αἰνιττόμενος ἔλεγεν, ὅτι ἐδίωκον αὐτὸν οἱ Ἰουδαῖοι, οὐχ ὅτι μόνον ἔλυε τὸ σάββατον, ἀλλ' ὅτι καὶ Πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ, ὃ πολλῷ μεῖζόν ἐστιν· διὰ γὰρ τῆς τῶν πραγμάτων ἀποδείξεως τοῦτο αὐτὸ κατεσκεύαζε.

Τί οὖν οἱ βάσκανοι καὶ πονηροὶ καὶ τοῖς ἀλλοτρίοις τηκό-

ἐκεῖνον γιὰ συγχώρηση, ἀλλὰ τὸν ἀσφάλισε γιὰ τὸ μέλλον, ἐπειδὴ τὰ προηγούμενα σφάλματά του εἶχαν ἐξαλειφθεῖ ἀπὸ τὸ μάκρος τῆς ἀρρώστιας. Ἤ, ἂν δὲν εἶναι αὐτό, ἐπειδὴ ἐκεῖνος δὲν εἶχε πιστέψει ποτὲ μέχρι τώρα τίποτε τὸ μεγάλο γιὰ τὸ Χριστό, γι' αὐτὸ ἦρθε πρῶτα στὸ μικρότερο καὶ τὸ φανερὸ καὶ πρόδηλο, δηλαδὴ στὴν ὑγεία τοῦ σώματος. Σ' αὐτὸν ὅμως ἐδῶ δὲν ἔγινε ἔτσι, ἀλλ' ἐπειδὴ πίστεψε περισσότερο καὶ εἶχε ἀνώτερη ψυχή, γι' αὐτὸ πρῶτα τοῦ ἀνέφερε γιὰ τὴν πιὸ φοβερὴ ἀσθένεια, καὶ μαζὶ μὲ ὅλα αὐτά, γιὰ νὰ φανερώσει τὴν ἰσοτιμία του πρὸς τὸν Πατέρα. Γιατὶ ὅπως ἐκεῖ θεράπευσε Σάββατο, ἐπειδὴ ἤθελε νὰ τοὺς ἀπομακρύνει ἀπὸ τὴν ἰουδαϊκὴ διάκριση καὶ νὰ λάβει ἀφορμὴ ἀπὸ τὶς ἴδιες τὶς κατηγορίες γιὰ νὰ δείξει τὸν ἑαυτό του ἴσο πρὸς τὸν Πατέρα του, ἔτσι ἀκριβῶς καὶ ἐδῶ, ἐπειδὴ ἤξερε ἀπὸ πρὶν αὐτὸ ποὺ ἐπρόκειτο νὰ ἐρωτήσουν, εἶπε αὐτὰ τὰ λόγια, ὥστε, λαμβάνοντας ἀπὸ ἐδῶ ἀρχὴ καὶ πρόφαση, νὰ δείξει τὸν ἑαυτό του πὼς εἶναι ἰσότιμος πρὸς τὸν Πατέρα του.

Γιατὶ δὲν εἶναι τὸ ἴδιο, ὅταν χωρὶς νὰ κατηγορεῖ κανεὶς οὔτε νὰ ἐπικρίνει, νὰ φέρνει τότε ἀπὸ μόνος του τὸ λόγο σ' αὐτὰ τὰ θέματα, καί, ὅταν ἄλλοι δίνουν τὶς ἀφορμές, ν' ἀποδείξει ἀκριβῶς τὸ ἴδιο ὑπὸ μορφὴ καὶ τάξη ἀπολογίας. Γιατὶ ὁ τρόπος τῆς πρώτης ἀπόδειξης ἐναντιωνόταν στοὺς ἀκροατές, ἐνῶ ὁ δεύτερος ἦταν λιγότερο ἐνοχλητικὸς καὶ περισσότερο εὐπρόσδεκτος· καὶ παντοῦ τὸν βλέπουμε νὰ κάνει αὐτό, καὶ ὄχι τόσο μὲ λόγια, ὅσο μὲ ἔργα νὰ φανερώνει τὴν ἰσότητα. Αὐτὸ λοιπὸν καὶ ὁ εὐαγγελιστὴς ὑπονοώντας ἔλεγε πὼς τὸν καταδίωκαν οἱ Ἰουδαῖοι, ὄχι μόνο γιατὶ καταργοῦσε τὸ Σάββατο, ἀλλὰ καὶ γιατὶ ἔλεγε δικό του Πατέρα τὸ Θεό, κάνοντας τὸν ἑαυτό του ἴσο μὲ τὸ Θεό, πράγμα ποὺ εἶναι πολὺ μεγαλύτερο. Γιατὶ μὲ τὴν ἀπόδειξη ἀπὸ τὰ πράγματα αὐτὸ ἀκριβῶς κατόρθωνε.

Τί λοιπὸν λέγουν οἱ φθονεροὶ καὶ κακοί, ποὺ λειώνουν

μενοι καλοῖς καὶ πανταχόθεν λαβὰς ζητοῦντες εὑρεῖν, «Τί οὗτος», φησί, «βλασφημεῖ; Οὐδεὶς γὰρ δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ μόνος ὁ Θεός». Ὥσπερ ἐκεῖ ἐδίωκον αὐτὸν ὅτι ἔλυε τὸ σάββατον, καὶ παρὰ τῶν ἐγκλημάτων αὐτῶν λαβὼν ἀφορμὴν τὴν ἰσότητα ἐν ἀπολογίας τάξει τὴν πρὸς τὸν γεγεννηκότα ἐδήλωσεν εἰπών, «ὁ Πατήρ μο ἐργάζεται, κἀγὼ ἐργάζομαι», οὕτω δὴ καὶ ἐνταῦθα, ἀφ' ὧν ἐγκαλοῦσιν, ἀπὸ τούτων τὸ πρὸς τὸν Πατέρα ἀπαράλλακτον δείκνυσι. Τί γάρ φησιν; «Οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός». Ἐπεὶ οὖν αὐτοὶ τὸν ὅρον ἔθηκαν τοῦτον, αὐτοὶ τὸν κανόνα εἰσήνεγκαν, αὐτοὶ τὸν νόμον ἔγραψαν, ἐκ τῶν οἰκείων αὐτοὺς λοιπὸν συμποδίζει ῥημάτων. "Ὑμεῖς', φησίν, 'ὡμολογήσατε ὅτι Θεοῦ μόνον ἐστι τὸ ἀφιέναι ἁμαρτίας'· ἀναμφισβήτητός ἐστιν ἰσότης. Καὶ οὐχ οὗτοι δὲ τοῦτο μόνον φασίν, ἀλλὰ καὶ ὁ προφήτης οὕτω λέγων· «τίς Θεὸς ὥσπερ σύ;»· εἶτα δεικνὺς τί ἴδιον, ἐπήγαγεν, «ἐξαίρων ἀνομίας, καὶ ὑπερβαίνων ἀδικίας». Ἂν τοίνυν φανῇ τις ἕτερος οὕτω τὸ αὐτὸ τοῦτο ποιῶν, καὶ Θεός ἐστιν, καὶ Θεὸς ὥσπερ ἐκεῖνος.

Ἀλλ' ἴδωμεν πῶς αὐτοῖς ὁ Χριστὸς συλλογίζεται, πῶς πράως καὶ ἐπιεικῶς καὶ μετὰ κηδεμονίας ἁπάσης. «Καὶ ἰδού τινες τῶν γραμματέων εἶπον ἐν ἑαυτοῖς· οὗτος βλασφημεῖ». Οὐκ ἐξήνεγκαν τὸ ῥῆμα, οὐ προήνεγκαν διὰ γλώσσης, ἀλλ' ἐν τοῖς ἀπορρήτοις τῆς διανοίας ἐλογίζοντο. Τί οὖν ὁ Χριστός; Ἤνεγκεν εἰς τὸ μέσον τὰ ἀπόρρητα ἐκείνων βουλεύματα πρὸ τῆς ἀποδείξεως τῆς κατὰ τὴν ἴασιν τοῦ σώματος τοῦ παραλυτικοῦ, βουλόμενος αὐτοῖς δεῖξαι τῆς αὐτοῦ θεότητος τὴν ἰσχύν. Ὅτι γὰρ Θεοῦ μόνον ἐστὶ τὰ ἀπόρρητα τῆς διανοίας δεῖξαι τῆς αὐτοῦ θεότητος, «σὺ ἐπίστασαι καρδίας μονώτατος», φησίν. Ὁρᾷς ὅτι

30. Μάρκ. 2,7.
31. Ἰω. 5,17.
32. Μιχ. 7,18.
33. Ματθ. 9,3.
34. Γ' Βασ. 8,39.

γιὰ τὰ ξένα καλὰ καὶ ζητοῦν ἀπὸ παντοῦ νὰ βροῦν ἀφορμές; «Τί βλασφημεῖ αὐτός;» λέγει· «γιατὶ κανεὶς δὲν μπορεῖ νὰ συγχωρεῖ ἁμαρτίες παρὰ μόνο ὁ Θεός»[30]. Ὅπως ἐκεῖ τὸν κατηγοροῦσαν ὅτι καταργοῦσε τὸ Σάββατο καὶ ἀπὸ τὶς ἴδιες τὶς κατηγορίες πῆρε ἀφορμὴ καὶ φανέρωσε ὑπὸ μορφὴ ἀπολογίας τὴν ἰσότητά του πρὸς τὸν Πατέρα λέγοντας, «ὁ Πατέρας μου ἐργάζεται καὶ ἐγὼ ἐργάζομαι»[31], ἔτσι ἀκριβῶς καὶ ἐδῶ, ἀπ' αὐτὰ ποὺ τὸν κατηγοροῦν ἀποδεικνύει τὴν πανομοιότητα πρὸς τὸν Πατέρα. Τί λοιπὸν λέγει; «Κανεὶς δὲν μπορεῖ νὰ συγχωρεῖ ἁμαρτίες παρὰ μόνο ὁ Θεός». Ἀφοῦ λοιπὸν αὐτοὶ ἔθεσαν τὸν ὅρο αὐτόν, αὐτοὶ παρουσίασαν τὸν κανόνα, αὐτοὶ θέσπισαν τὸ νόμο, ἀπὸ τὰ δικά τους λόγια τοὺς ἀποστομώνει στὴ συνέχεια. 'Εσεῖς', λέγει, 'ὁμολογήσατε ὅτι τοῦ Θεοῦ μόνο ἔργο εἶναι τὸ νὰ συγχωρεῖ ἁμαρτίες'. Ἀναμφισβήτητη εἶναι ἡ ἰσότητα. Καὶ ὄχι μόνο αὐτοὶ τὸ λέγουν τοῦτο, ἀλλὰ καὶ ὁ προφήτης λέγοντας αὐτό· «ποιός ἄλλος Θεὸς εἶναι ὅπως ἐσύ;»[32]. Ἔπειτα, δείχνοντας τὸ ἰδιαίτερό του γνώρισμα, πρόσθεσε· «ἐσὺ συγχωρεῖς τὶς ἀνομίες καὶ παραβλέπεις τὶς ἀδικίες». Ἂν λοιπὸν παρουσιασθεῖ κάποιος ἄλλος ποὺ κάμνει ὅμοια τὸ ἴδιο πράγμα, καὶ Θεὸς εἶναι, καὶ Θεὸς ὅπως ἀκριβῶς ἐκεῖνος.

Ἂς δοῦμε ὅμως πῶς ὁ Χριστὸς ἀντιμετωπίζει αὐτούς, μὲ πόση πραότητα καὶ ἐπιείκεια καὶ μὲ κάθε φροντίδα. «Καὶ τότε μερικοὶ ἀπὸ τοὺς γραμματεῖς εἶπαν μέσα τους· 'αὐτὸς βλασφημεῖ'»[33]. Δὲν ἔβγαλαν ἀπὸ τὸ στόμα τους τὴ φράση, δὲν τὴν πρόφεραν μὲ τὴ γλώσσα, ἀλλὰ σκέπτονταν μέσα στὰ ἀπόρρητα τοῦ νοῦ τους. Τί λοιπὸν ἔκαμε ὁ Χριστός; Ἔφερε στὴ μέση τὶς μυστικὲς σκέψεις τους πρὶν ἀπὸ τὴν ἀπόδειξη ποὺ ἔδωσε κατὰ τὴ θεραπεία τοῦ σώματος τοῦ παραλυτικοῦ, ἐπειδὴ ἤθελε ν' ἀποδείξει σ' αὐτοὺς τὴ δύναμη τῆς θεότητάς του. Γιὰ τὸ ὅτι εἶναι μόνο τοῦ Θεοῦ, τῆς θεότητος του, νὰ φανερώνει τὰ μυστικὰ τοῦ νοῦ, λέγει· «ἐσύ, καὶ μόνο ἐσύ, γνωρίζεις τὶς καρδιές»[34]. Βλέ-

τὸ «μόνος» πάλιν οὐ πρὸς τὴν ἀντιδιαστολὴν τοῦ Υἱοῦ λέγεται; Εἰ γὰρ ὁ Πάτηρ ἐπίσταται καρδίας μονώτατος, πῶς ὁ Υἱὸς οἶδε τὰ ἀπόρρητα τῆς διανοίας; «Αὐτὸς γὰ ᾔδει», φησί, «τί ἦν ἐν τῷ ἀνθρώπῳ»· καὶ ὁ Παῦλος δεικνύς, ὅτι ἴδιον Θεοῦ τοῦτό ἐστι, τὸ τὰ ἀπόρρητα εἰδέναι, φησίν· «ὁ δὲ ἐρευνῶν τὰς καρδίας», δεικνύς, ὅτι τῇ Θεὸς προσηγορίᾳ τὴν αὐτὴν ἰσχὺν ἔχει τοῦτο.

Ὥσπερ γὰρ ἐὰν εἴπω 'ὁ βρέχων', οὐδένα ἄλλο δηλῶ ἢ τὸν Θεὸν διὰ τοῦ πράγματος, ἐπειδὴ αὐτοῦ μόνον τοῦτό ἐστι· καὶ ἐὰν εἴπω, 'ὁ ἀνατέλλων τὸν ἥλιον', καὶ μὴ πρισθῶ τὸ 'Θεός', ὅμως αὐτὸν δηλῶ διὰ τοῦ πράγματος· οὕτω δὴ καὶ ὁ Παῦλός φησιν εἰπών, «ὁ ἐρευνῶν τὰς καρδίας», ἔδειξεν, ὅτι αὐτοῦ μόνον ἐστὶ τὸ ἐρευνᾶν τὰς καρδίας. Εἰ γὰρ μὴ τὴν αὐτὴν ἰσχὺν εἶχε τοῦτο τῷ Θεῷ ὀνόματι πρὸς τὸ δεῖξαι ἡμῖν τὸν δηλούμενον, οὐκ ἂν αὐτὸ κατ' αὐτὸ τέθεικεν. Καὶ γὰρ εἰ κοινὸν ἦν αὐτῷ καὶ πρὸς τὴν κτισιν τοῦτο, οὐκ ἂν ἔγνωμεν τὸν δηλούμενον, τῆς κοινωνίας σύγχυσιν ἐμποιησάσης τῇ διανοίᾳ τῶν ἀκροατῶν. Ὅταν οὖν φαίνηται ἴδιον Πατρὸς τοῦτο, φαίνηται δὲ καὶ τῷ Υἱῷ, πρὸς ὃν ἀναμφισβήτητος καὶ ἐντεῦθεν ἡ ἰσότης, διὰ τοῦτο, «τί», φησί, «διαλογίζεσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; Τί γὰρ εὐκοπώτερον εἰπεῖν, ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, ἔγειραι καὶ περιπάτει;».

7. Ἰδοὺ καὶ δευτέραν ἀπόδειξιν ποιεῖται τῆς τῶν ἁμαρτημάτων ἀφέσεως. Τὸ μὲν γὰρ ἁμαρτίας ἀφιέναι τοῦ σῶμα θεραπεῦσαι πολλῷ μᾶλλον μεῖζόν ἐστι, καὶ τοσοῦτον μεῖζον, ὅσον ψυχὴ σώματος. Ὥσπερ γὰρ τοῦ σώματος νόσος ἡ παράλυσις, οὕτω καὶ τῆς ψυχῆς νόσος ἡ ἁμαρτία· ἀλλ' ἐκεῖνο εἰ καὶ μεῖζον ἦν,

35. Ἰω. 2,25.
36. Ρωμ. 8,27.
37. Ματθ. 9,4–5.

πεις ὅτι τὸ «μόνος» πάλι δὲ λέγεται ἀντιδιαστέλλοντάς τον ἀπὸ τὸν Υἱό; Γιατί, ἂν ὁ Πατέρας καὶ μόνο αὐτὸς γνωρίζει τὶς καρδιές, πῶς ὁ Υἱὸς γνωρίζει τὰ ἀπόρρητα τοῦ νοῦ; «Γιατὶ αὐτὸς γνωρίζει», λέγει, «τί εἶχε μέσα του ὁ καθένας»[35]. Καὶ ὁ Παῦλος, γιὰ νὰ δείξει ὅτι γνώρισμα τοῦ Θεοῦ εἶναι αὐτό, τὸ ὅτι γνωρίζει δηλαδὴ τὰ ἀπόρρητα, λέγει, «αὐτὸς ποὺ βλέπει τὰ βάθη τῆς καρδιᾶς»[36], ἀποδεικνύοντας ὅτι αὐτὸ ἔχει τὴν ἴδια δύναμη μὲ τὸ ὄνομα Θεός.

Ὅπως δηλαδὴ ἂν πῶ 'αὐτὸς ποὺ βρέχει', δὲν ἐννοῶ μ' αὐτὸ κανέναν ἄλλον παρὰ μόνο τὸ Θεό, ἐπειδὴ μόνο τοῦ Θεοῦ γνώρισμα εἶναι αὐτό, καὶ ἂν πῶ 'αὐτὸς ποὺ ἀνατέλλει τὸν ἥλιο' καὶ δὲν προσθέσω τὴ λέξη 'Θεός', πάλι αὐτὸν ἐννοῶ μὲ τὸ πράγμα αὐτό, ἔτσι ἀκριβῶς καὶ ὁ Παῦλος λέγοντας, «αὐτὸς ποὺ ἐρευνᾶ τὰ βάθη τῆς καρδιᾶς», ἀπέδειξε πὼς ἐκείνου μόνο γνώρισμα εἶναι τὸ νὰ ἐρευνᾶ τὶς καρδιές. Γιατί, ἂν αὐτὸ δὲν εἶχε τὴν ἴδια δύναμη μὲ τὸ ὄνομα «Θεός» στὸ νὰ μᾶς φανερώσει ἐκεῖνον ποὺ ἤθελε νὰ δηλώσει, δὲ θὰ τὸ χρησιμοποιοῦσε αὐτὸ μόνο του. Καὶ πραγματικά, ἂν τοῦτο ἦταν κοινὸ σ' αὐτὸν καὶ στὴν κτίση, δὲ θὰ γνωρίζαμε ποιόν ἤθελε νὰ δηλώσει, ἀφοῦ ἡ κοινὴ συμμετοχὴ θὰ προκαλοῦσε σύγχυση στὸ νοῦ τῶν ἀκροατῶν. Ὅταν λοιπὸν αὐτὸ φαίνεται πὼς εἶναι γνώρισμα τοῦ Πατέρα, φαίνεται ὅμως πὼς εἶναι γνώρισμα καὶ τοῦ Υἱοῦ, πρὸς τὸν ὁποῖο καὶ ἀπὸ ἐδῶ ἀποδεικνύεται ἀναμφισβήτητη ἡ ἰσότητα, γι' αὐτὸ λέγει, «γιατί κάμνετε πονηρὲς σκέψεις μέσα σας; Τί εἶναι πιὸ εὔκολο νὰ πῶ, 'σοῦ συγχωροῦνται οἱ ἁμαρτίες', ἢ νὰ πῶ, 'σήκω καὶ περπάτα;»[37].

7. Νὰ καὶ δεύτερη ἀπόδειξη παρέχει γιὰ τὴ συγχώρηση τῶν ἁμαρτιῶν. Γιατὶ τὸ νὰ συγχωρεῖ ἁμαρτίες εἶναι κατὰ πολὺ μεγαλύτερο ἀπὸ τὸ νὰ θεραπεύσει σῶμα, καὶ τόσο μεγαλύτερο, ὅσο ἡ ψυχὴ ἀπὸ τὸ σῶμα. Ὅπως δηλαδὴ ἡ παράλυση εἶναι ἀρρώστια τοῦ σώματος, ἔτσι καὶ ἡ ἁμαρτία εἶναι ἀρρώστια τῆς ψυ-

ἄδηλον ἦν· τοῦτο δὲ εἰ καὶ ἔλαττον ἦν, φανερὸν ἦν. Ἐπειδὴ τοίνυν μέλλει πρὸς ἀπόδειξιν τοῦ μείζονος τῷ ἐλάττονι κεχρῆσθαι, δεικνύς, ὅτι διὰ τὴν ἀσθένειαν τὴν ἐκείνων οὕτως ἐποίησε, καὶ συγκαταβαίνων αὐτῶν τῇ ταπεινότητι, φησί· «τί ἐστιν εὐκοπώτερον εἰπεῖν, ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, ἔγειραι καὶ περιπάτει;».

Τίνος οὖν ἕνεκεν ἐπὶ τὸ ἔλαττον ἔρχῃ δι' ἐκείνους; Ἐπειδὴ τὸ φανερὸν τοῦ ἀφανοῦς τρανοτέραν παρέχεται τὴν ἀπόδειξιν. Διὰ τοῦτο οὐ πρότερον αὐτὸν ἀνέστησεν, ἕως οὗ εἶπεν αὐτοῖς· «ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς, τότε φησὶ τῷ παραλυτικῷ, 'ἔγειραι καὶ περιπάτει», ὡσανεὶ ἔλεγε μεῖζον μέν ἐστι σημεῖον ἡ τῶν ἁμαρτημάτων ἄφεσις· διὰ δὲ ὑμᾶς καὶ τὸ ἔλαττον προστίθημι, ἐπειδὴ τοῦτο ὑμῖν ἀπόδειξις ἐκείνου εἶναι δοκεῖ. Ὥσπερ γὰρ ἐκεῖ τὸν ἑκατοντάρχην ἐπαινέσας εἰπόντα, «εἰπὲ λόγῳ μόνον, καὶ ἰαθήσεται ὁ παῖς μου· καὶ γὰρ ἐγὼ λέγω τούτῳ, πορεύου, καὶ πορεύεται· καὶ τῷ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται», ἐκύρωσεν αὐτοῦ τὴν γνώμην διὰ τῶν ἐγκωμίων· καὶ πάλιν τοῖς Ἰουδαίοις ἐγκαλέσας ἐπὶ τοῦ σαββάτου μεμφομένοις αὐτῷ, ὅτι πάλιν παραλύει τὸν νόμον, ἔδειξε ὅτι κύριός ἐστι μεταθεῖναι νόμους· οὕτω δὴ καὶ ἐνταῦθα εἰπόντα τοῦτον, ἴσον ἑαυτὸν ποιεῖ τῷ Θεῷ, ἐπαγγελλόμενος ἃ τοῦ Πατέρος ἐστὶ μόνον, μεμψάμενος αὐτοὺς καὶ αἰτιασάμενος, καὶ διὰ τῶν ἔργων ἐπιδείξας ὅτι οὐ βλασφημεῖ, ἀναντίρρητον ἡμῖν παρέσχεν ἀπόδειξιν, ὅτι ταῦτα δύναται, ἃ καὶ ὁ γεγεννηκώς. Ὅρα γοῦν πῶς τοῦτο κατασκευάσαι βούλεται, ὅτι ἃ τοῦ Πατρός ἐστι μόνον, ταῦτα καὶ αὐτοῦ· οὐ γὰρ ἁπλῶς ἀνέστησε τὸν παραλυτικόν, ἀλλ' εἰπών· «ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν

χῆς. Ἀλλὰ ἐκεῖνο, ἂν καὶ ἦταν μεγαλύτερο, δὲν ἦταν φανερό, ἐνῶ αὐτό, ἂν καὶ ἦταν μικρότερο, ἦταν φανερό. Ἐπειδὴ λοιπὸν πρόκειται νὰ χρησιμοποιήσει τὸ μικρότερο γιὰ νὰ ἀποδείξει τὸ μεγαλύτερο, γιὰ νὰ δείξει ὅτι ἐνέργησε ἔτσι ἐξ αἰτίας τῆς ἀδυναμίας ἐκείνων καὶ ἀπὸ συγκατάβαση πρὸς τὴν ταπεινότητά τους, λέγει· «τί εἶναι πιὸ εὔκολο νὰ πῶ, 'σοῦ συγχωροῦνται οἱ ἁμαρτίες', ἢ νὰ πῶ, 'σήκω καὶ περπάτα;'»

Γιὰ ποιό λόγο λοιπὸν ἔρχεσαι ἐξ αἰτίας ἐκείνων στὸ μικρότερο; Ἐπειδὴ αὐτὸ ποὺ φαίνεται παρέχει μεγαλύτερη ἀπόδειξη ἀπ' αὐτὸ ποὺ δὲ φαίνεται. Γι' αὐτὸ δὲν τὸν σήκωσε ἀπὸ τὸ κρεβάτι του πρὶν τοὺς πεῖ· «γιὰ νὰ μάθετε λοιπὸν πὼς ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔχει τὴν ἐξουσία νὰ συγχωρεῖ ἁμαρτίες ἐπάνω στὴ γῆ, τότε λέγει στὸν παραλυτικό, 'σήκω καὶ περπάτα'»[38]. Σὰν νὰ τοὺς ἔλεγε· μεγαλύτερο βέβαια θαῦμα εἶναι ἡ συγχώρηση τῶν ἁμαρτιῶν, ἀλλὰ γιὰ σᾶς προσθέτω καὶ τὸ μικρότερο, ἐπειδὴ αὐτὸ σᾶς φαίνεται πὼς εἶναι ἀπόδειξη ἐκείνου. Ὅπως δηλαδὴ ἐκεῖ ἐπαίνεσε τὸν ἑκατόνταρχο, γιατὶ εἶπε, «πὲς ἕνα μόνο λόγο, καὶ θὰ θεραπευθεῖ ὁ δοῦλος μου· γιατὶ καὶ ἐγὼ στὸν ἕνα λέγω 'πήγαινε', καὶ πηγαίνει, καὶ στὸν ἄλλο, 'ἔλα', καὶ ἔρχεται»[39], καὶ μὲ ἐπαίνους ἐπικύρωσε τὴ γνώμη του· καὶ ὅπως πάλι, ὅταν κατηγόρησε τοὺς Ἰουδαίους, γιατὶ τὸν κατέκριναν γιὰ τὸ Σάββατο, πὼς πάλι καταργεῖ τὸ νόμο, ἔδειξε πὼς ἔχει τὴ δύναμη νὰ διορθώνει νόμους, ἔτσι ἀκριβῶς καὶ ἐδῶ, ὅταν εἶπε πὼς κάνει τὸν ἑαυτό του ἴσο μὲ τὸ Θεό, λέγοντας ἐκεῖνα ποὺ ἀνήκουν στὸν Πατέρα μόνο, ἀφοῦ τοὺς ἐπέκρινε καὶ τοὺς κατηγόρησε, καὶ ἀφοῦ φανέρωσε μὲ τὰ ἔργα του ὅτι δὲ βλασφημεῖ, μᾶς ἔδωσε ἀναντίρρητη ἀπόδειξη, ὅτι μπορεῖ αὐτὰ τὰ ὁποῖα καὶ ὁ Πατέρας του μπορεῖ. Πρόσεχε λοιπὸν πῶς θέλει νὰ ἀποδείξει αὐτό, ὅτι δηλαδὴ ὅσα ἀνήκουν μόνο στὸν Πατέρα, αὐτὰ ἀνήκουν καὶ σ' αὐτόν. Γιατὶ δὲ σήκωσε ἁπλῶς τὸν παραλυτικό, ἀλλ' ἀφοῦ εἶπε· «γιὰ νὰ μάθετε λοιπὸν πὼς ὁ Υἱὸς τοῦ ἀνθρώ-

ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας»· οὕτω ἔργον ἦν αὐτῷ καὶ σπουδὴ τοῦτο μάλιστα δεῖξαι, ὅτι τὴν αὐτὴν αὐθεντίαν ἔχει τῷ Πατρί.

8. Ταῦτα οὖν ἅπαντα καὶ τὰ πρῴην καὶ τὰ πρὸ ἐκείνης εἰρημένα τῆς ἡμέρας μετὰ ἀκριβείας κατέχωμεν, καὶ τὸν Θεὸν παρακαλῶμεν ἀκίνητα μένειν ἐν τῇ διανοίᾳ τῇ ἡμετέρᾳ, καὶ τὴν παρ' ἑαυτῶν εἰσάγωμεν σπουδήν, καὶ συνεχῶς ἐνταῦθα ἀπαντῶμεν. Οὕτω γὰρ καὶ τὰ πρόσθεν εἰρημένα φυλάξομεν καὶ ἕτερα προσκτησόμεθα πάλιν· κἂν ἀπορρυῇ τι τῷ χρόνῳ, ῥᾳδίως αὐτὰ ἀνακτήσασθαι δυνησόμεθα τῇ συνεχεῖ διδασκαλίᾳ. Καὶ οὐ τὰ δόγματα μόνον ὑγιῆ καὶ ἄφθορα μενεῖ, ἀλλὰ καὶ ὁ βίος πολλῆς ἀπολαύσεται τῆς ἐπιμελείας, καὶ μεθ' ἡδονῆς καὶ μετ' εὐθυμίας τὴν παροῦσαν δυνησόμεθα διανύσαι ζωήν. Ὁποῖον γὰρ ἐνοχλεῖ πάθος τὴν ψυχὴν ἐνταῦθα παραγινομένων ἡμῶν, ῥᾳδίως διαλυθῆναι δυνήσεται· ἐπεὶ καὶ νῦν ὁ Χριστὸς πάρεστι, καὶ ὁ μετὰ πίστεως αὐτῷ προσιὼν δέξεται τὴν ἰατρείαν εὐκόλως.

Πενίᾳ τις πυκτεύει διηνεκεῖ καὶ τῆς ἀναγκαίας ἀπορεῖ τροφῆς καὶ πεινῶν ἐκαθεύδησε πολλάκις, εἰσελθὼν δὲ ἐνταῦθα καὶ ἀκούσας Παύλου λέγοντος, ὅτι ἐν λιμῷ καὶ ἐν δίψει καὶ γυμνότητι διῆγε, καὶ ὅτι οὐκ ἐν μιᾷ καὶ δύο καὶ τρισὶν ἡμέραις, ἀλλὰ διηνεκῶς τοῦτο ὑπέμεινε (τοῦτο γοῦν ἐνδεικνύμενος ἔλεγεν· «ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν»), λήψεται παραμυθίαν ἱκανήν, μαθὼν διὰ τῶν εἰρημένων, ὅτι οὐχὶ μισῶν αὐτὸν ὁ Θεὸς οὐδὲ ἐγκαταλιμπάνων συνεχώρησεν εἶναι ἐν πενίᾳ· οὐ γὰρ ἂν εἰ μισοῦντος τοῦτο ἦν, ἐπὶ τοῦ Παύλου, τοῦ φίλου μάλιστα πάντων ἀνθρώπων ὄντος αὐτῷ, τοῦτο συνεχώρησεν· ἀλλὰ κηδόμενος καὶ προνοῶν καὶ εἰς πλείονα ἄγων φιλοσοφίαν. Ἄλλος τις ὑπὸ νόσου καὶ μυρίων

---

40. Α' Κορ. 4,11.

που ἔχει τὴν ἐξουσία νὰ συγχωρεῖ ἁμαρτίες ἐπάνω στὴ γῆ»· αὐτὸ δηλαδὴ τὸν ἀπασχολοῦσε καὶ αὐτὸ τὸν ἐνδιέφερε κυρίως ν' ἀποδείξει, ὅτι δηλαδὴ ἔχει τὴν ἴδια ἐξουσία μὲ τὸν Πατέρα.

8. Αὐτὰ λοιπὸν ὅλα καὶ τὰ προηγούμενα καὶ ὅσα λέχθηκαν πρὶν ἀπὸ τὴν ἡμέρα ἐκείνη ἂς τὰ κατέχουμε μὲ ἀκρίβεια καὶ ἂς παρακαλοῦμε τὸ Θεὸ νὰ μένουν ἀμετακίνητα στὸ νοῦ μας, καὶ ἂς δείχνουμε καὶ τὸ δικό μας ἐνδιαφέρον καὶ ἂς ἐρχόμαστε συνέχεια ἐδῶ. Γιατὶ ἔτσι καὶ ὅσα λέχθηκαν προηγουμένως θὰ τὰ φυλάξουμε καὶ ἄλλα θ' ἀποκτήσουμε πάλι· καὶ ἂν κάτι ξεφύγει μὲ τὸ πέρασμα τοῦ καιροῦ, θὰ μπορέσουμε εὔκολα νὰ τὸ ἀποκτήσουμε πάλι μὲ τὴν ἀδιάκοπη διδασκαλία. Καὶ ὄχι μόνο τὰ δόγματα θὰ μείνουν ὑγιὴ καὶ ἄφθορα, ἀλλὰ καὶ ὁ βίος μας θ' ἀπολαύσει πολλὴ φροντίδα καὶ θὰ μπορέσουμε νὰ περάσουμε τὴν παρούσα ζωὴ μὲ εὐχαρίστηση καὶ μὲ εὐθυμία. Γιατί, ὅποιο πάθος κι ἂν ἐνοχλεῖ τὴν ψυχή, ὅταν ἐρχόμαστε ἐδῶ, εὔκολα θὰ μπορέσει νὰ διαλυθεῖ. Ἐπειδὴ καὶ τώρα ὁ Χριστὸς εἶναι παρὼν καὶ ἐκεῖνος ποὺ μὲ πίστη τὸν πλησιάζει θὰ δεχθεῖ εὔκολα τὴ θεραπεία.

Παλεύει κάποιος μὲ παντοτινὴ φτώχεια καὶ στερεῖται τὴν ἀναγκαία τροφὴ καὶ κοιμήθηκε πολλὲς φορὲς πεινασμένος· ὅταν ὅμως μπεῖ ἐδῶ μέσα καὶ ἀκούσει τὸν Παῦλο νὰ λέγει ὅτι ζοῦσε μὲ πείνα καὶ δίψα καὶ γύμνια καὶ ὅτι δὲν τὸ ὑπέμεινε αὐτὸ μία καὶ δύο καὶ τρεῖς ἡμέρες, ἀλλὰ συνέχεια (καὶ αὐτὸ ἀποδεικνύοντας ἔλεγε, «ὣς αὐτὴ τὴν ὥρα πεινᾶμε, διψᾶμε καὶ εἴμαστε γυμνοί»[40]), θὰ παρηγορηθεῖ ἀρκετά, γιατὶ μ' αὐτὰ ποὺ λέχθηκαν θὰ μάθει πὼς ὁ Θεὸς δὲν τὸν ἄφησε νὰ εἶναι μέσα στὴ φτώχεια μισώντας τον καὶ ἐγκαταλείποντάς τον (γιατί, ἂν αὐτὸ ἦταν δεῖγμα ἐκείνου ποὺ μισεῖ, δὲ θὰ τὸ ἐπέτρεπε στὸν Παῦλο, ποὺ τοῦ ἦταν ὁ πιὸ ἀγαπητὸς ἀπ' ὅλους τοὺς ἀνθρώπους), ἀλλὰ φροντίζοντας γι' αὐτὸν καὶ προνοώντας καὶ ὁδηγώντας τον σὲ περισσότερη ἀρετή. Ἐπίσης κάποιος ἄλλος ἔχει

κακῶν τὸ σῶμα ἔχει πολιουρκούμενον; Ἱκανὴ τούτῳ παραμυθία γένοιτ' ἂν τῶν παραλυτικῶν τούτων τὰ σώματα, καὶ μετὰ τούτων ὁ μακάριος καὶ γενναῖος τοῦ Παύλου μαθητής, ὃς διηνεκῶς ἐν ἀρρωστίαις ἦν, καὶ οὐδέποτε ἀνέπνει ἐκ τῆς μακρᾶς ἀσθενείας, ὅπερ οὖν καὶ ὁ Παῦλος ἔλεγεν· «οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας», καὶ οὐχ ἁπλῶς ἀσθενείας.

Ἕτερος συκοφαντηθεὶς παρὰ τοῖς πολλοῖς πονηρὰν ἐκτήσατο δόξαν, καὶ τοῦτο αὐτὸ τὴν ψυχὴν ὀδυνᾷ καὶ κατεσθίει διηνεκῶς· εἰσελθὼν καὶ ἀκούσας, ὅτι «μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ εἴπωσι καθ' ὑμῶν πᾶν πονηρὸν πρᾶγμα ψευδόμενοι· χαίρετε, καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς», ἀποθήσεται πᾶσαν ἀθυμίαν, καὶ δέξεται πᾶσαν ἡδονήν· «σκιρτᾶτε γὰρ καὶ ἀγαλλιᾶσθε», φησίν, «ὅταν ἐκβάλλωσιν ὑμῖν ὄνομα πονηρόν». Καὶ τοὺς μὲν κακῶς ἀκούοντας τούτῳ παραμυθεῖται τῷ τρόπῳ, τοὺς δὲ κακῶς λέγοντας ἑτέρως φοβεῖ λέγων, ὅτι «πᾶν ῥῆμα ἀργόν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, δώσουσι περὶ αὐτοῦ λόγον, εἴτε ἀγαθόν, εἴτε κακόν».

Ἄλλος τις θυγάτριον ἀπέβαλεν ἢ υἱὸν ἤ τινα τῶν προσηκόντων, καὶ οὗτος ἐνταῦθα παραγενόμενος Παύλου στενάζοντος ἐπὶ τῇ παρούσῃ ζωῇ καὶ τὴν μέλλουσαν ἐπιθμοῦντος ἰδεῖν, καὶ βαρυνομένου τῇ ἐνταῦθα διατριβῇ, καὶ αὐτὸς λαβὼν ἱκανὸν φάρμακον ἀπελεύσεται ἀκούσας αὐτοῦ λέγοντος· «περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ἵνα μὴ λυπῆσθε ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα». Οὐκ εἶπε 'περὶ τῶν ἀποθνησκόντων', ἀλλὰ «περὶ τῶν κεκοιμημένων», δεικνὺς ὅτι ὕπνος ἐστὶν ὁ θάνατος. Ὥσπερ οὖν ἂν ἴδωμέν τινα καθεύδοντα, οὐ θορυβούμεθα, οὐδὲ ἀλύομεν προσδοκῶντες αὐτὸν ἀναστήσεσθαι πάντως· οὕτως ὅταν ἴδωμέν τινα ἀποθανόντα, μὴ θορυβώ-

41. Α' Τιμ. 5,23.
42. Ματθ. 5,11–12.
43. Λουκᾶ 6,22–23.
44. Ματθ. 12,36.
45. Α' Θεσ. 4,13.

τὸ σῶμα του βασανιζόμενο ἀπὸ ἀρρώστια καὶ ἀπὸ ἄπειρα κακά; Θὰ τοῦ ἦταν ἀρκετὴ παρηγοριὰ τὰ σώματα τῶν παραλυτικῶν αὐτῶν καὶ μαζί τους ὁ μακάριος καὶ γενναῖος μαθητὴς τοῦ Παύλου, ποὺ διαρκῶς ἦταν ἄρρωστος καὶ ποτὲ δὲ συνερχόταν ἀπὸ τὴ μακροχρόνια ἀρρώστια του, πράγμα λοιπὸν ποὺ καὶ ὁ Παῦλος ἔλεγε, «νὰ χρησιμοποιεῖς λίγο κρασὶ γιὰ τὸ στομάχι σου καὶ τὶς συχνές σου ἀσθένειες»[41], καὶ ὄχι ἁπλῶς ἀσθένειες.

Ἄλλος συκοφαντήθηκε ἀπὸ τοὺς πολλοὺς καὶ ἀπέκτησε κακὴ φήμη, καὶ αὐτὸ ἀκριβῶς προξενεῖ πόνο στὴν ψυχή του καὶ τὴν κατατρώγει ἀδιάκοπα· ὅταν μπεῖ ἐδῶ μέσα καὶ ἀκούσει, «μακάριοι εἶστε ὅταν σᾶς χλευάσουν καὶ σᾶς κακολογήσουν μὲ ψεύτικες συκοφαντίες· νὰ αἰσθάνεστε χαρὰ καὶ ἀγαλλίαση, γιατὶ ἡ ἀμοιβή σας θὰ εἶναι μεγάλη στοὺς οὐρανούς»[42], θὰ διώξει κάθε στενοχώρια καὶ θὰ νιώσει κάθε εὐχαρίστηση. «Νὰ πηδᾶτε ἀπὸ χαρὰ καὶ νὰ αἰσθάνεστε ἀγαλλίαση», λέγει, «ὅταν σᾶς βγάλουν κακὸ ὄνομα»[43]. Καὶ ἐκείνους ποὺ τοὺς κακολογοῦν τοὺς φοβίζει διαφορετικά, λέγοντας· «οἱ ἄνθρωποι, γιὰ κάθε ἄχρηστο λόγο ποὺ θὰ ποῦν, θὰ λογοδοτήσουν γι' αὐτόν, εἴτε εἶναι καλὸς εἴτε κακός»[44].

Κάποιος ἄλλος ἔχασε τὴ μικρή του θυγατέρα ἢ τὸν γιό του ἢ κάποιον ἀπὸ τοὺς συγγενεῖς του· καὶ αὐτὸς ἐρχόμενος ἐδῶ καὶ βλέποντας τὸν Παῦλο νὰ στενάζει γιὰ τὴν παροῦσα ζωὴ καὶ νὰ ἐπιθυμεῖ τὴ μέλλουσα καὶ νὰ δυσανασχετεῖ γιὰ τὴν παραμονή του ἐδῶ, καὶ αὐτὸς θὰ φύγει παίρνοντας ἀρκετὸ φάρμακο, ἀκούντάς τον νὰ λέγει· «καὶ γι' αὐτοὺς ποὺ ἔχουν κοιμηθεῖ θέλω νὰ μὴν ἔχετε ἄγνοια, ἀδελφοί, γιὰ νὰ μὴ λυπᾶστε ὅπως καὶ οἱ ἄλλοι, ποὺ δὲν ἔχουν ἐλπίδα»[45]. Δὲν εἶπε 'γι' αὐτοὺς ποὺ πεθαίνουν', ἀλλὰ «γι' αὐτοὺς ποὺ ἔχουν κοιμηθεῖ», δείχνοντας ὅτι ὁ θάνατος εἶναι ὕπνος. Ὅπως λοιπόν, ὅταν δοῦμε κάποιον νὰ κοιμᾶται, δὲν ἀνησυχοῦμε οὔτε ἀδημονοῦμε, γιατὶ περιμένουμε ὁπωσδήποτε νὰ σηκωθεῖ, ἔτσι, ὅταν δοῦμε κά-

μεθα, μηδὲ καταπίπτωμεν· καὶ γὰρ καὶ τοῦτο ὕπνος μακρότερος μέν, ὕπνος δὲ ὅμως. Τῷ μὲν οὖν ὀνόματι τῆς κοιμήσεως παρεμυθήσατο τοὺς πενθοῦντας, τὴν δὲ κατηγορίαν τῶν ἀπίστων ἀνέτρεψεν. Ἐὰν πενθῇς, φησί, τὸν ἀπελθόντα ἀφορήτως, κατ' ἐκεῖνον ἔσῃ τὸν ἄπιστον τὸν οὐκ ἔχοντα ἐλπίδα ἀναστάσεως. Ἐκεῖνος καλῶς θρηνεῖ, ἅτε περὶ τῶν μελλόντων μηδὲν δυνάμενος φιλοσοφεῖν· σὺ δὲ ὁ τοσαύτας λαβὼν ἀποδείξεις περὶ τῆς μετὰ ταῦτα ζωῆς, τίνος ἕνεκεν εἰς τὴν αὐτὴν ἀσθένειαν ἐκείνῳ καταπίπτεις; Διὰ τοῦτό φησι, «περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα».

Οὐκ ἀπὸ τῆς Καινῆς δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς Παλαιᾶς ἱκανήν ἐστι λαβεῖν παραμυθίαν. Ὅταν γὰρ ἀκούσῃς τοῦ Ἰὼβ μετὰ τὴν τῶν χρημάτων ἀποβολήν, μετὰ τὴν τῶν βουκολίων ἀπώλειαν, οὐχ ἕνα καὶ δύο καὶ τρεῖς, ἀλλ' ὁλόκληρον χορὸν ἀποβαλόντα παίδων ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει, μετὰ τοσαύτην ψυχῆς ἀρετήν, κἂν ἁπάντων ἀσθενέστερος ᾖς, δυνήσῃ ῥᾳδίως ἑαυτὸν ἀνακτήσασθαι καὶ ἀνενεγκεῖν. Σὺ μὲν γάρ, ἄνθρωπε, καὶ παρηκολούθησας ἀρρωστοῦντι τῷ παιδί, καὶ κατακλινόμενον ἐπὶ τῆς κλίνης εἶδες, καὶ ἔσχατα φθεγγόμενον ῥήματα ἤκουσας, καὶ τὰς τελευταίας ἀναπνέοντα παρέστης ἀναπνοάς, καὶ καθεῖλες ὀφθαλμούς, καὶ συνέκλεισας στόμα· ἐκεῖνος δὲ οὐδὲ παρέστη ψυχορραγοῦσι, οὐκ εἶδεν ἐκπνέοντας, ἀλλ' εἷς ἐγένετο τάφος πᾶσιν ἡ οἰκία, καὶ ἐπὶ τῆς αὐτῆς τραπέζης ἐγκέφαλος ὁμοίως καὶ αἷμα ἐκέχυτο, καὶ ξύλα καὶ κέραμος καὶ κόνις καὶ σάρκες διατετμημέναι καὶ πάντα ὁμοίως ἐφύρετο.

Ἀλλ' ὅμως μετὰ τοιαῦτα καὶ τοσαῦτα οὐκ ἐθρήνησεν, οὐκ ἀπεδυσπέτησεν, ἀλλὰ τί φησιν; «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος

ποιον νὰ πεθάνει, ἃς μὴν ἀνησυχοῦμε καὶ ἃς μὴν ἀπελπιζόμαστε· γιατὶ πραγματικὰ καὶ αὐτὸ εἶναι ὕπνος ποὺ διαρκεῖ περισσότερο, ἀλλ' ὅμως εἶναι ὕπνος. Μὲ τὸ ὄνομα λοιπὸν τῆς κοίμησης παρηγόρησε ἐκείνους ποὺ πενθοῦν καὶ ἀνέτρεψε τὴν κατηγορία τῶν ἀπίστων. Ἂν πενθεῖς, λέγει, ἀφόρητα αὐτὸν ποὺ πέθανε, θὰ εἶσαι σὰν ἐκεῖνον τὸν ἄπιστον, ποὺ δὲν ἔχει ἐλπίδα γιὰ ἀνάσταση. Ἐκεῖνος σωστὰ θρηνεῖ, ἐπειδὴ δὲν μπορεῖ νὰ σκεφθεῖ τίποτε γιὰ τὰ μελλοντικά. Ἐσὺ ὅμως ποὺ ἔλαβες τόσες ἀποδείξεις γιὰ τὴ μελλοντικὴ ζωή, γιὰ ποιό λόγο πέφτεις στὴν ἴδια μ' ἐκεῖνον ἀσθένεια; Γι' αὐτὸ λέγει, «καὶ γι' αὐτοὺς ποὺ ἔχουν κοιμηθεῖ θέλω νὰ μὴ ἔχετε ἄγνοια, γιὰ νὰ μὴ λυπᾶστε ὅπως καὶ οἱ ἄλλοι, ποὺ δὲν ἔχουν ἐλπίδα».

Καὶ ὄχι μόνο ἀπὸ τὴν Καινὴ Διαθήκη, ἀλλὰ καὶ ἀπὸ τὴν Παλαιὰ εἶναι δυνατὸ νὰ λάβει κανεὶς ἀρκετὴ παρηγοριά. Γιατί, ὅταν ἀκούσεις πὼς ὁ Ἰώβ, μετὰ τὴν ἀπώλεια τῶν χρημάτων του, μετὰ τὴν καταστροφὴ τῶν ποιμνίων του, ὄχι ἕνα καὶ δύο καὶ τρία, ἀλλὰ ὁλόκληρη ὁμάδα παιδιῶν ἔχασε πάνω στὸ ἄνθος τῆς ἡλικίας τους, μετὰ ἀπὸ τόσο μεγάλη ἀρετὴ ψυχῆς, καὶ ἂν ἀκόμα εἶσαι ὁ πιὸ ἀδύνατος ἀπ' ὅλους τοὺς ἀνθρώπους, θὰ μπορέσεις εὔκολα νὰ ξαναβρεῖς τὸν ἑαυτό σου καὶ νὰ συνέλθεις. Γιατὶ ἐσύ, ἄνθρωπε, καὶ παρακολούθησες τὸ παιδί σου ἐνῶ ἦταν ἄρρωστο, καὶ τὸ εἶδες νὰ ξαπλώνει στὸ κρεβάτι, καὶ τὸ ἄκουσες νὰ λέγει τὰ τελευταῖα του λόγια, καὶ στάθηκες κοντά του στὴν τελευταία του ἀναπνοή, καὶ τοῦ ἔκλεισες τὰ μάτια, καὶ τοῦ σφράγισες τὸ στόμα. Ἐκεῖνος ὅμως δὲν ἦταν κοντά τους ὅταν ψυχορραγοῦσαν, δὲν τὰ εἶδε νὰ ξεψυχοῦν, ἀλλὰ γιὰ ὅλα ἔγινε κοινὸς τάφος τὸ σπίτι, καὶ πάνω στὸ ἴδιο τραπέζι χύθηκε μαζὶ μυαλὸ καὶ αἷμα, καὶ ὅλα μαζὶ ἀνακατεύθηκαν, καὶ ξύλα καὶ κεραμίδια καὶ σκόνη καὶ σάρκες κομματιασμένες.

Ἀλλ' ὅμως μετὰ ἀπὸ τέτοιες καὶ τόσες συμφορὲς δὲ θρήνησε, δὲν ἀπελπίσθηκε, ἀλλὰ τί λέγει; «Ὁ Κύριος τὰ ἔδωσε, ὁ

ἀφείλετο, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα τοῦ Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας». Ταύτην καὶ ἡμεῖς ἐφ' ἑκάστῳ τῶν συμβαινόντων ἡμῖν φθεγγώμεθα τὴν φωνήν, κἂν ζημία χρημάτων, καὶ σωμάτων ἀρρωστία, καὶ ἐπήρεια, καὶ συκοφαντία, κἂν ὁτιοῦν τῶν ἀνθρωπίνων συμβαίνῃ κακῶν, ταῦτα λέγωμεν· «ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας».

Ἂν οὕτω φιλοσοφήσωμεν, οὐδὲν οὐδέποτε πεισόμεθα κακόν, κἂν μυρία πάσχωμεν· ἀλλ' ἔσται μεῖζον τῆς ζημίας τὸ κέρδος, πλείω τῶν κακῶν τὰ ἀγαθά, διὰ τῶν ρημάτων τούτων ἵλεω τὸν Θεὸν σεαυτῷ ποιῶν, τὴν τυραννίδα ἀποκρουόμενος. Ὁμοῦ γὰρ ἐφθέγξατο ἡ γλῶσσα τὰ ρήματα ταῦτα, καὶ εὐθέως ἀπεπήδησεν ὁ διάβολος· ἐκείνου δὲ ἀποπηδήσαντος, καὶ τὸ τῆς ἀθυμίας νέφος ἀπελαύνεται, καὶ οἱ θλίβοντες ἡμᾶς δραπετεύουσι λογισμοί, συνεκπηδῶντες ἐκείνῳ, καὶ πρὸς τούτοις πᾶσι καὶ τῶν ἐνταῦθα ἀγαθῶν, καὶ τῶν ἐν οὐρανῷ ἐπιτεύξῃ πάντων. Καὶ τὸ ὑπόδειγμα ἀσφαλὲς ἀπὸ τοῦ Ἰώβ, ἀπὸ τῶν ἀποστόλων, οἳ διὰ τὸν Θεὸν καταφρονήσαντες τῶν ἐνταῦθα δεινῶν, τῶν αἰωνίων ἐπέτυχον ἀγαθῶν.

Πειθώμεθα τοίνυν καὶ ἐν πᾶσι τοῖς συμβαίνουσι χαίρωμεν καὶ εὐχαριστῶμεν τῷ φιλανθρώπῳ Θεῷ, ἵνα καὶ τὸν παρόντα μετ' εὐκολίας διάγωμεν βίον καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, τιμὴ καὶ κράτος πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

46. Ἰὼβ 1,21.

Κύριος τὰ ἀφαίρεσε· ὅπως στὸν Κύριο φάνηκε καλό, ἔτσι καὶ ἔγινε. Ἂς εἶναι δοξασμένο τὸ ὄνομα τοῦ Κυρίου στοὺς αἰῶνες»[46]. Αὐτὴ τὴ φράση ἂς λέμε καὶ μεῖς σὲ καθετὶ ποὺ μᾶς συμβαίνει, εἴτε αὐτὴ εἶναι χρηματικὴ ζημία, σωματικὴ ἀρρώστια καὶ βλάβη καὶ συκοφαντία, εἴτε ὁτιδήποτε ἀπὸ τὰ ἀνθρώπινα κακὰ μᾶς συμβαίνει, ἂς λέμε αὐτά· «ὁ Κύριος τὰ ἔδωσε, ὁ Κύριος τὰ ἀφαίρεσε· ὅπως φάνηκε στὸν Κύριο καλό, ἔτσι καὶ ἔγινε. Ἂς εἶναι δοξασμένο τὸ ὄνομα τοῦ Κυρίου στοὺς αἰῶνες».

Ἂν ἔτσι φιλοσοφήσουμε, δὲ θὰ πάθουμε ποτὲ κανένα κακό, κι ἂν ἀκόμα ὑποφέρουμε ἄπειρα κακά. Ἀλλὰ τὸ κέρδος θὰ εἶναι μεγαλύτερο ἀπὸ τὴ ζημία, τὰ ἀγαθὰ περισσότερα ἀπὸ τὰ κακά, ὅταν μὲ τὰ λόγια αὐτὰ κάνεις τὸ Θεὸ εὐνοϊκὸ γιὰ σένα καὶ ἀποκρούσεις τὴν τυραννία τοῦ διαβόλου. Γιατὶ μόλις πεῖ ἡ γλώσσα τὰ λόγια αὐτά, ἀμέσως ἀπομακρύνεται ὁ διάβολος. Καὶ ἀφοῦ ἐκεῖνος ἀπομακρυνθεῖ καὶ τὸ σύννεφο τῆς λύπης διώχνεται, καὶ οἱ σκέψεις ποὺ μᾶς στενοχωροῦν δραπετεύουν, ἀπομακρυνόμενες μαζὶ μ' ἐκεῖνον, καὶ μαζὶ μὲ ὅλα αὐτὰ θὰ ἐπιτύχεις ὅλα τὰ ἀγαθὰ καὶ τὰ γήϊνα καὶ τὰ οὐράνια. Καὶ τὸ παράδειγμα εἶναι σίγουρο ἀπὸ τὸν Ἰώβ, ἀπὸ τοὺς ἀποστόλους, ποὺ γιὰ χάρη τοῦ Θεοῦ περιφρόνησαν τὰ ἐδῶ κακὰ καὶ ἐπέτυχαν τὰ αἰώνια ἀγαθά.

Ἂς πιστεύουμε λοιπὸν ὅλα αὐτὰ καὶ ἂς χαιρόμαστε γιὰ ὅλα ποὺ μᾶς συμβαίνουν καὶ ἂς εὐχαριστοῦμε τὸ φιλάνθρωπο Θεό, γιὰ νὰ περάσουμε μ' εὐκολία καὶ τὴν παρούσα ζωὴ καὶ νὰ ἐπιτύχουμε τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα, ἡ τιμὴ καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΠΡΟΣ ΤΟΥΣ ΕΓΚΑΤΑΛΕΙΨΑΝΤΑΣ ΤΗΝ ΣΥΝΑΞΙΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ, Καὶ εἰς τὸ μὴ παρατρέχειν τὰς ἐπιγραφὰς τῶν θείων Γραφῶν, καὶ εἰς τὸ ἐπίγραμμα τοῦ βωμοῦ, καὶ εἰς τοὺς νεοφωτίστους

1. Τί τοῦτο; ὅσον προΐασιν ἡμῖν αἱ ἑορταί, τοσοῦτον καὶ αἱ συνάξεις ἐλάττους γίνονται. Ἀλλὰ μὴ ῥᾳθυμῶμεν ἡμεῖς οἱ παρόντες· ἐλάττους μὲν γίνονται τῷ πλήθει, οὐκ ἐλάττους δὲ τῇ προθυμίᾳ· ἐλάττους τῷ ἀριθμῷ, οὐκ ἐλάττους δὲ τῷ πόθῳ. Ἐλάττους γίνονται, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν, καὶ μάθωμεν, τίνες μὲν συνηθείᾳ, τίνες δὲ ἐπιθυμίᾳ θείων λογίων παραγίνονται δι' ἐνιαυσίου ἑορτῆς, τίνες ἐπιθυμίᾳ ἀκροάσεως πνευματικῆς. Πᾶσα ἡ πόλις ἦν ἐνταῦθα τῇ προτέρᾳ Κυριακῇ, μεστοὶ οἱ περίβολοι, καὶ κύματα ἀπιόντα καὶ ἐπανιόντα ἐμιμεῖτο τὸ πλῆθος· ἀλλ' ἐμοὶ τῶν κυμάτων ἐκείνων ποθεινοτέρα ἡ ὑμετέρα γαλήνη, ἐμοὶ τοῦ θορύβου καὶ τῆς ταραχῆς ἐκείνης τιμιωτέρα ὑμῶν ἡ ἡσυχία. Τότε τὰ σώματα ἦν ἀριθμεῖν παρόντα, νῦν τὰ φρονήματα εὐλαβείας γέμοντα. Εἴ τις τὴν σύναξιν ταύτην τὴν ὀλιγάνθρωπον καὶ τὸ πλέον ἐκ πενήτων συνεστηκυῖαν, κἀκεί-

ΟΜΙΛΙΑ

ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΕΓΚΑΤΕΛΕΙΨΑΝ ΤΗ ΣΥΝΑΞΗ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

Ἐπισης στὸ νὰ μὴν ἐξετάζουμε ἐπιπόλαια τὶς ἐπιγραφὲς τῶν θείων Γραφῶν, στὸ ἐπίγραμμα τοῦ βωμοῦ καὶ στοὺς νεοφώτιστους

1. Τί εἶναι αὐτό; Ὅσο προχωροῦν οἱ γιορτές μας, τόσο καὶ οἱ συνάξεις γίνονται μικρότερες. Ἐμεῖς ὅμως οἱ παρόντες ἂς μὴν ἀδιαφοροῦμε. Γίνονται μικρότερες στὸ πλῆθος, ἀλλὰ δὲ γίνονται κατώτερες στὴν προθυμία· γίνονται μικρότερες στὸν ἀριθμό, ἀλλὰ δὲ γίνονται κατώτερες στὸν πόθο. Γίνονται μικρότερες, γιὰ νὰ γίνουν φανεροὶ ἀνάμεσά σας οἱ δόκιμοι καὶ νὰ μάθουμε ποιοί προσέρχονται κατὰ τὴ διάρκεια τῆς ἐτήσιας γιορτῆς ἀπὸ συνήθεια, ποιοί ἀπὸ ἐπιθυμία τῶν θείων λόγων, καὶ ποιοί ἀπὸ ἐπιθυμία ἀκρόασης πνευματικῆς. Ὅλη ἡ πόλη ἦταν ἐδῶ τὴν προηγούμενη Κυριακή, γεμάτοι οἱ περίβολοι καὶ τὸ πλῆθος ἦταν ὅμοιο μὲ τὰ κύματα ποὺ ἀποτραβιοῦνται καὶ ξαναέρχονται. Ἀλλ' ἡ δική σας γαλήνη μοῦ εἶναι πιὸ ποθητὴ ἀπὸ τὰ κύματα ἐκεῖνα, ἡ δική σας ἡσυχία μοῦ εἶναι πιὸ πολύτιμη ἀπὸ τὸ θόρυβο καὶ τὴν ταραχή. Τότε μποροῦσε ν' ἀριθμήσει κανεὶς τὰ παρόντα σώματα, τώρα τὰ γεμάτα εὐλάβεια φρονήματα. Ἂν κάποιος θελήσει σὰν σὲ ζυγαριὰ νὰ ζυγίσει αὐτὲς τὶς δύο συνάξεις, αὐτὴ δηλαδὴ τὴ σύναξη τὴν ὀλιγάνθρωπη καὶ

νην τὴν σύναξιν τὴν πολυάνθρωπον καὶ τὸ πλεῖον ἀπὸ πλουσίων συγκεκροτημένην, εἴ τις ἀμφοτέρας τὰς συνάξεις ταύτας ὥσπερ ἐν ζυγῷ καὶ σταθμῷ θελήσει σταθμῆσαι, εὕρῃ ἂν ταύτην καθέλκουσαν. Εἰ γὰρ ἐλάττους τῷ ἀριθμῷ, ἀλλὰ τιμιώτεροί ἐστε τῇ ἐπιθυμίᾳ.

Οὕτω καὶ ἐπὶ τῶν σταθμητῶν γίνεται· ἐὰν δέκα τις στατῆρας χρυσίου λαβὼν εἰς μίαν κατάθηται πλάστιγγα, εἶτα εἰς τὴν ἑτέραν πλάστιγγα χαλκοὺς ἑκατόν, οἱ μὲν ἑκατὸν χαλκοὶ πρὸς ἑαυτοὺς καθέλκουσι τὴν τρυτάνην· οἱ δὲ δέκα χρυσοὶ τῇ τῆς φύσεως ὑπεροχῇ μειζόνως ἀνθέλκουσι, βαρύτεροι καὶ τιμιώτεροι ὄντες κατὰ τὸν τῆς οὐσίας λόγον. Ὥστε ἔστιν ὀλίγους ὄντας τῷ ἀριθμῷ, τῶν πολλῶν εἶναι τιμιωτέρους καὶ ἀναγκαιοτέρους. Ἀλλὰ τί ὑμῖν τὰ παραδείγματα ἀπὸ τῶν ἐν τῇ συνηθείᾳ φέρω πραγμάτων, δέον αὐτὴν τοῦ Θεοῦ τὴν ψῆφον περὶ τούτων παραγαγεῖν ἀποφαινομένην; Τί οὖν αὕτη φησί; «Κρείσσων εἷς ποιῶν τὸ θέλημα τοῦ Κυρίου, ἢ μυρίοι παράνομοι». Ἔστι γάρ, ἔστι πολλάκις ἄνθρωπος εἷς μυρίων ἀντάξιος μόνος; ἀλλὰ καὶ τῆς οἰκουμένης ἀναγκαιότερος καὶ τιμιώτερος. Καὶ τούτου τὴν μαρτυρίαν ἀπὸ τῶν Παύλου ρημάτων ποιήσομαι. Ἀνθρώπων γὰρ μνησθεὶς πενήτων, ἐλαυνομένων, θλιβομένων, κακουχουμένων, οὕτω φησί· «περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος».

Τί λέγεις; τῶν ὑστερουμένων, τῶν κακουχουμένων, τῶν οὐκ ἐχόντων πατρίδα οὐκ ἦν ἄξιος ὁ κόσμος; Οὐχ ὁρᾷς πόσους πόσοις ἀντέστησας; Ὁρῶ μέν, φησί, καὶ διὰ τοῦτο εἶπον ὅτι οὐκ

1. Σοφ. Σειρ. 16,3.
2. Ἑβρ. 11,37–38.

ποὺ ἀποτελεῖται κατὰ τὸ περισσότερο μέρος ἀπὸ φτωχούς, καὶ ἐκείνη τὴ σύναξη τὴν πολυάνθρωπη καὶ ποὺ ἀποτελοῦνταν κατὰ τὸ περισσότερο μέρος ἀπὸ πλουσίους, θὰ βρεῖ αὐτὴ τὴ σύναξη νὰ βαραίνει. Γιατί, ἂν καὶ εἶστε μικρότεροι στὸν ἀριθμό, εἶστε ὅμως πιὸ πολύτιμοι ὡς πρὸς τὴν ἐπιθυμία.

Ἔτσι γίνεται καὶ μ' αὐτοὺς ποὺ ζυγίζουν. Ἂν κάποιος πάρει δέκα στατῆρες χρυσάφι καὶ τοὺς βάλει σὲ μία πλάστιγγα, ἔπειτα βάλει στὴν ἄλλη πλάστιγα ἑκατὸ στατῆρες χάλκινους, οἱ ἑκατὸ βέβαια θὰ γείρουν πρὸς τὴ μεριά τους τὸ ζυγό· ὅμως οἱ δέκα χρυσοὶ μὲ τὴν ὑπεροχὴ τῆς φύσης τὸν τραβοῦν μὲ μεγαλύτερη δύναμη πρὸς τὴ μεριά τους, γιατὶ ὡς πρὸς τὴν οὐσία τοῦ πράγματος εἶναι βαρύτεροι καὶ πολυτιμότεροι. Ὥστε εἶναι δυνατὸ οἱ λίγοι στὸν ἀριθμὸ νὰ εἶναι πολυτιμότεροι καὶ ἀναγκαιότεροι ἀπὸ τοὺς πολλούς. Ἀλλὰ γιατί σᾶς φέρνω τὰ παραδείγματα ἀπὸ τὰ συνηθισμένα πράγματα, ἐνῶ πρέπει νὰ σᾶς παρουσιάσω τὴν ἴδια τὴν ἀπόφαση τοῦ Θεοῦ ποὺ ἀποφαίνεται γι' αὐτά; Τί λοιπὸν λέγει αὐτή; «Εἶναι προτιμότερος ἕνας ποὺ κάνει τὸ θέλημα τοῦ Κυρίου, παρὰ χίλιοι ἀσεβεῖς»[1]. Γιατὶ μπορεῖ, πραγματικὰ μπορεῖ πολλὲς φορὲς ἕνας ἄνθρωπος νὰ ἀξίζει ὅσο χίλιοι. Καὶ τί λέγω, μπορεῖ ἕνας ἄνθρωπος μόνο νὰ ἀξίζει ὅσο χίλιοι; ἀλλὰ μπορεῖ νὰ εἶναι καὶ ἀπὸ ὅλη τὴν οἰκουμένη ἀναγκαιότερος καὶ πολυτιμότερος. Καὶ τὴν ἐπιβεβαίωση γι' αὐτὸ θὰ τὴν πάρω ἀπὸ τὰ λόγια τοῦ Παύλου. Γιατί, ὅταν θυμήθηκε ἀνθρώπους φτωχούς, διωγμένους, πονεμένους, ταλαιπωρημένους, λέγει τὸ ἑξῆς· «περιπλανήθηκαν ντυμένοι μὲ προβιὲς καὶ κατσικίσια δέρματα, ἔζησαν μὲ στερήσεις, ὑπέφεραν θλίψεις καὶ κακουχίες ἐκεῖνοι κοντὰ στοὺς ὁποίους δὲν ἦταν ἄξιος ὅλος ὁ κόσμος»[2].

Τί λέγεις; Ὁ κόσμος δὲν ἦταν ἄξιος ὅσο οἱ ἀνθρώποι ἐκεῖνοι ποὺ ἔζησαν μὲ στερήσεις καὶ μὲ κακουχίες καὶ δὲν εἶχαν πατρίδα; Δὲ βλέπεις πόσους μὲ πόσους ἀντιπαρέβαλες;

ἣν ὁ κόσμος ἄξιος αὐτῶν· ἐγὼ γὰρ τῶν νομισμάτων τούτων τὴν φύσιν οἶδα σαφῶς. Καὶ γῆν, καὶ θάλατταν, καὶ βασιλεῖς, καὶ ἐπάρχους, καὶ πᾶσαν ἁπλῶς τῶν ἀνθρώπων τὴν φύσιν τιθείς, καὶ δύο ἢ τρεῖς πένητας τούτοις ἀντιστήσας, θαρρῶν ἂν εἴποιμι, ὅτι οὗτοι μᾶλλον κατάγουσιν οἱ πένητες. Εἴπερ ἐκεῖνοι ἀπηλαύνοντο πατρίδος, ἀλλ' εἶχον πατρίδα τὴν ἄνω Ἱερουσαλήμ. Ἐν πενίᾳ διῆγον· ἀλλ' ἐπλούτουν κατὰ τὴν εὐσέβειαν. Ἀνθρώπων ἦσαν ἐχθροί· ἀλλὰ τῷ Θεῷ φίλοι. Καὶ τίνες εἰσὶν οὗτοι; Ὁ Ἠλίας, ὁ Ἐλισσαῖος, καὶ οἱ κατ' ἐκείνους ἅπαντες. Μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι οὐδὲ τῆς ἀναγκαίας ηὐπόρουν τροφῆς, ἀλλ' ὅτι τὸ στόμα Ἠλίου τὸν οὐρανὸν ἔκλεισε καὶ ἀνέῳξε, καὶ ἡ μηλωτὴ αὐτοῦ τὸν Ἰορδάνην ἀπέστρεψε.

Καὶ ταῦτα ἐννοῶν χαίρω, καὶ ἀλγῶ· χαίρω μὲν δι' ὑμᾶς τοὺς παρόντας, ἀλγῶ δὲ δι' ἐκείνους τοὺς μὴ παρόντας· ἀλγῶ σφόδρα καὶ ὀδυνῶμαι καὶ συντέτριμμαι τὴν καρδίαν. Τίς γὰρ καὶ τῶν σφόδρα ἀναλγήτων οὐκ ἂν ἀλγήσειε τὰ τοῦ διαβόλου πλείονος ἀπολαύοντα σπουδῆς ὁρῶν; Καίτοι εἰ καὶ ἴσης ἀπήλαυσεν, οὐδεμία ἡμῖν ἦν ἡ συγγνώμη, οὐδὲ ἀπολογία· ὅταν δὲ καὶ πλεονεκτῇ, τίς ἡμῖν ἐλλείπεται λόγος; Θέατρα καθ' ἑκάστην καλεῖ τὴν ἡμέραν, καὶ οὐδεὶς ὁ ὀκνῶν, οὐδεὶς ὁ ἀναδυόμενος, οὐδεὶς ἀσχολίαν προβάλλεται πραγμάτων· ἀλλ' ὥσπερ εὔζωνοι καὶ λελυμένοι φροντίδος ἁπάσης, οὕτω τρέχουσιν ἅπαντες· οὐχ ὁ γέρων τὴν πολιὰν αἰδεῖται, οὐχ ὁ νέος ὑφορᾶται τὴν φλόγα τῆς φύσεως καὶ τῆς ἐπιθυμίας, οὐχ ὁ πλούσιος τὸ ἀξίωμα τὸ ἑαυτοῦ καταισχύνειν ἡγεῖται. Ἀλλ' ἐὰν μὲν εἰς ἐκκλησίαν ἀπαντῆσαι δέῃ, καθάπερ ἐξ ὑπεροχῆς τινος καὶ ἀξιώματος καταβαίνων, οὕτω ναρκᾷ καὶ ὀκνεῖ, καὶ μετὰ ταῦτα φυσᾶται, ὥσπερ τι τῷ

---

3. Βλ. Γ' Βασ. 17,1–18,46 καὶ Δ' Βασ. 2,8.

Ἀσφαλῶς βλέπω, λέγει, καὶ γι' αὐτὸ εἶπα ὅτι ὁ κόσμος δὲν ἦταν ἄξιος μὲ αὐτούς, γιατὶ ἐγὼ ξέρω καλὰ τὴ φύση αὐτῶν τῶν νομισμάτων. Καὶ ἂν πάρω τὴ γῆ καὶ τὴ θάλασσα καὶ τοὺς βασιλεῖς καὶ τοὺς ἐπάρχους καὶ γενικὰ ὅλο τὸ ἀνθρώπινο γένος καὶ ἀντιπαραβάλω σ' αὐτοὺς δυὸ ἢ τρεῖς φτωχούς, θὰ μποροῦσα μὲ πεποίθηση νὰ πῶ, πὼς αὐτοὶ οἱ φτωχοὶ βαραίνουν περισσότερο. Ἂν καὶ βέβαια ἐκεῖνοι διώχνονταν ἀπὸ τὴν πατρίδα τους, εἶχαν ὅμως πατρίδα τὴν ἄνω Ἱερουσαλήμ. Ζοῦσαν σὲ φτώχεια, πλούτιζαν ὅμως ὡς πρὸς τὴν εὐσέβεια. Ἦταν ἐχθροὶ τῶν ἀνθρώπων, ὅμως ἦταν φίλοι μὲ τὸ Θεό. Καὶ ποιοί ἦταν αὐτοί; Ὁ Ἠλίας, ὁ Ἐλισσαῖος καὶ ὅλοι ἐκεῖνοι ποὺ ἦταν ὅμοιοι μ' αὐτούς. Γιατὶ μὴ δεῖς τοῦτο, ὅτι δηλαδὴ δὲν εἶχαν οὔτε τὴν ἀναγκαία τροφή, ἀλλὰ τὸ ὅτι τὸ στόμα τοῦ Ἠλία ἔκλεισε καὶ ἄνοιξε τὸν οὐρανὸ καὶ ἡ προβιά του ἔστρεψε πίσω τὰ νερὰ τοῦ Ἰορδάνη[3].

Σκεπτόμενος αὐτὰ αἰσθάνομαι καὶ χαρὰ καὶ πόνο· χαρά, γιὰ σᾶς τοὺς παρόντες· πόνο, γιὰ ἐκείνους τοὺς ἀπόντες· πονῶ πάρα πολὺ καὶ αἰσθάνομαι ὀδύνη καὶ συντριβὴ στὴν καρδιά μου. Γιατὶ ποιός καὶ ἀπὸ τοὺς ὑπερβολικὰ ἀναίσθητους δὲ θὰ πονοῦσε, ἂν ἔβλεπε τὰ πράγματα τοῦ διαβόλου νὰ κερδίζουν περισσότερο ἐνδιαφέρον; Ἂν καὶ βέβαια δὲ θὰ ὑπῆρχε γιὰ μᾶς καμιὰ συγνώμη οὔτε δικαιολογία, κι ἂν ἀκόμα κέρδιζαν τὸ ἴδιο ἐνδιαφέρον· ὅταν ὅμως βρίσκονται σὲ πιὸ πλεονεκτικὴ θέση, ποιά δικαιολογία μᾶς ἀπομένει; Τὰ θέατρα καλοῦν κάθε ἡμέρα, καὶ κανεὶς δὲ διστάζει, κανεὶς δὲν ἀρνεῖται, κανεὶς δὲν προβάλλει κάποια ἀσχολία του· ἀλλὰ σὰν νὰ εἶναι ζωσμένοι γιὰ πορεία καὶ ἀπαλλαγμένοι ἀπὸ κάθε φροντίδα, ἔτσι τρέχουν ὅλοι. Δὲν σέβεται ὁ γέρος τὰ ἄσπρα του μαλλιά, δὲν ὑποπτεύεται ὁ νέος τὴ φλόγα τῆς φύσης καὶ τῆς ἐπιθυμίας, δὲ νομίζει ὁ πλούσιος πὼς ντροπιάζει τὸ ἀξίωμά του. Ἀλλά, ἂν πρέπει νὰ ἔρθει στὴν ἐκκλησία, σὰν νὰ κατεβαίνει ἀπὸ κάποια ἀνώτερη θέση καὶ ἀξίωμα, ἔτσι εἶναι νωθρὸς καὶ διστάζει, καὶ ὕστερα ἀλαζονεύε-

Θεῷ χαρισάμενος· εἰς δὲ θέατρον σπεύδων, ἔνθα ἀσελγῆ θεάματα καὶ ἀκούσματα, οὐ νομίζει καταισχῦναι ἑαυτόν, οὐ τὸν πλοῦτον, οὐδὲ τὴν εὐγένειαν.

Ἐβουλόμην εἰδέναι, ποῦ νῦν εἰσιν οἱ κατὰ τὴν ἡμέραν ἐκείνην ἡμῖν ἐνοχλήσαντες· ἐνόχλησις γὰρ ἦν αὐτῶν ἡ παρουσία· ἐβουλόμην εἰδέναι τί πράττουσι, τί τῶν παρόντων αὐτοὺς ἀναγκαιότερον ἀπεσχόλησεν. Ἀλλ' ἀσχολία οὐδεμία, τῦφος δὲ μόνος. Καὶ τί γένοιτ' ἂν μανικώτερον; Τίνος γὰρ ἕνεκεν, ἄνθρωπε, μεγαλοφρονεῖς καὶ νομίζεις ἡμῖν χαρίζεσθαι, ἐὰν παραγενόμενος ἐνταῦθα προσέχῃς καὶ ἀκούσῃς τὰ πρὸς σωτηρίαν τῆς σῆς ψυχῆς; τίνος ἕνεκεν, εἰπέ μοι, καὶ διὰ τί ἀλαζονεύῃ; διὰ τὰ ἱμάτια τὰ σηρικά; Εἶτα οὐκ ἐννοεῖς, ὅτι σκωλήκων εἰσὶν ἐκεῖνα νήματα καὶ βαρβάρων ἀνθρώπων εὑρέματα; ὅτι πόρναι ἐκείνοις κέχρηνται καὶ μαλακοὶ καὶ τυμβωρύχοι καὶ λῃσταί;

Ἐπίγνωθι τὸν δίκαιον πλοῦτον καὶ κατάβηθί ποτε ἀπὸ τοῦ φυσήματος ἐκείνου τοῦ ὑψηλοῦ καὶ κενοῦ· διάσκεψαι τῆς φύσεως τὸ εὐτελές. Γῆ καὶ σποδὸς εἶ, τέφρα καὶ κόνις, καπνὸς καὶ σκιά, χόρτος καὶ ἄνθος χόρτου. Τοιαύτῃ φύσει μεγαλοφρονεῖς, εἰπέ μοι; Καὶ τί τούτου γένοιτ' ἂν καταγελαστότερον; Ἀλλὰ πολλῶν ἄρχεις ἀνθρώπων; Καὶ τί τοῦτο ὄφελος, ὅταν ἀνθρώπων μὲν ἄρχεις, τῶν δὲ παθῶν αἰχμάλωτος εἶ καὶ δοῦλος; Ὥσπερ ἄν τις οἴκοι μὲν ὑπὸ τῶν οἰκετῶν τύπτοιτο καὶ τραύματα λαμβάνοι, ἔξω δὲ εἰς τὴν ἀγορὰν ἐμβάλλων μέγα φρονῇ ἐπὶ τῇ τῶν ἄλλων ἀρχῇ, οὕτω τύπτει σε κενοδοξία, τραύματά σοι ἐπάγει ἡ ἀσέλγεια, πάντων τῶν παθῶν δοῦλος εἶ, καὶ μέγα φρονεῖς ὅτι τῶν ὁμοφύλων ἄρχεις; Εἴθε ἐκείνων ἦρχες, ἐκείνων ἧς ἰσότιμος.

ται, σὰν νὰ χάρισε κάτι στὸ Θεό. Ὅταν ὅμως τρέχει στὸ θέατρο, ὅπου ὑπάρχουν αἰσχρὰ θεάματα καὶ ἀκούσματα, δὲ νομίζει πὼς ντροπιάζει τὸν ἑαυτό του, οὔτε τὸν πλοῦτο, οὔτε τὴν εὐγενική του καταγωγή.

Ἤθελα νὰ ξέρω ποῦ εἶναι τώρα ὅσοι μᾶς ἐνόχλησαν τὴν ἡμέρα ἐκείνη, γιατὶ ἐνόχληση ἦταν ἡ παρουσία τους. Ἤθελα νὰ ξέρω τί κάνουν, τί τοὺς ἀπασχόλησε πιὸ ἀναγκαῖο ἀπὸ τὰ παρόντα. Ὅμως δὲν ὑπάρχει καμιὰ ἀσχολία, ἀλλὰ μόνο ἀλαζονεία. Καὶ τί θὰ μποροῦσε νὰ γίνει πιὸ ἀνόητο; Γιατὶ γιὰ ποιό λόγο, ἄνθρωπε, ὑπερηφανεύεσαι καὶ νομίζεις πὼς μᾶς κάνεις χάρη, ἂν ἔρθεις ἐδῶ καὶ προσέχεις καὶ ἀκούσεις τὰ ἀπαραίτητα γιὰ τὴ σωτηρία τῆς ψυχῆς σου; Γιὰ ποιό λόγο, πές μου, καὶ γιατί ἀλαζονεύεσαι; Γιὰ τὸν πλοῦτο; γιὰ τὰ μεταξωτὰ ἐνδύματα; Ἔπειτα δὲ σκέπτεσαι ὅτι αὐτὰ εἶναι νήματα ἀπὸ σκουλήκια καὶ ἐφευρέσεις βαρβάρων ἀνθρώπων; ὅτι αὐτὰ τὰ χρησιμοποιοῦν οἱ πόρνες καὶ οἱ θηλυπρεπεῖς καὶ οἱ τυμβωρύχοι καὶ οἱ ληστές;

Γνώρισε καλὰ τὸν δίκαιο πλοῦτο καὶ κατέβα κάποτε ἀπὸ ἐκεῖνο τὸ ψηλὸ καὶ κενὸ φούσκωμα. Σκέψου καλὰ πόσο ἀσήμαντη εἶναι ἡ φύση τοῦ ἀνθρώπου. Εἶσαι χῶμα καὶ στάχτη, τέφρα καὶ σκόνη, καπνὸς καὶ σκιά, χορτάρι καὶ ἄνθος χορταριοῦ. Γιὰ τέτοια φύση, πές μου, ὑπερηφανεύεσαι; Καὶ τί θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ καταγέλαστο ἀπ' αὐτό; Μήπως ἐξουσιάζεις πολλοὺς ἀνθρώπους; Καὶ ποιό εἶναι τὸ ὄφελος αὐτό, ὅταν ἐξουσιάζεις βέβαια ἀνθρώπους, ἀλλ' εἶσαι αἰχμάλωτος καὶ δοῦλος τῶν παθῶν σου; Ὅπως ἂν κάποιος ἐνῶ στὸ σπίτι του δέχεται χτυπήματα καὶ τραύματα ἀπὸ τοὺς ὑπηρέτες, ἔξω ὅμως μπαίνοντας στὴν ἀγορὰ ὑπερηφανεύεται γιὰ τὴν ἐξουσία του στοὺς ἄλλους· ἔτσι καὶ σένα σὲ χτυπάει ἡ κενοδοξία, σὲ τραυματίζει ἡ ἀσέλγεια, εἶσαι δοῦλος σὲ ὅλα τὰ πάθη, καὶ ὑπερηφανεύεσαι ὅτι ἐξουσιάζεις τοὺς συνανθρώπους σου; Μακάρι νὰ ἐξουσίαζες ἐκεῖνα καὶ νὰ ἦσουν ἰσότιμος μ' ἐκείνους.

2. Οὐ τῶν πλουτούντων κατηγορῶν ταῦτα λέγω, ἀλλὰ τῶν κακῶς τῷ πλούτῳ κεχρημένων. Οὐ γὰρ ὁ πλοῦτος κακόν, ἐὰν εἰς δέον βουλώμεθα αὐτῷ χρήσασθαι, ἀλλ' ἡ ἀπόνοια καὶ ἡ ἀλαζονεία. Εἰ κακὸν ἦν ὁ πλοῦτος, οὐκ ἂν πάντες ηὐξάμεθα εἰς κόλπους Ἀβραὰμ ἀπελθεῖν τοῦ ἔχοντος τριακοσίους δέκα καὶ ὀκτὼ οἰκέτας οἰκογενεῖς. Οὐ τοίνυν ὁ πλοῦτος κακόν, ἀλλ' ἡ παράνομος αὐτοῦ χρῆσις κακόν. Καὶ ὥσπερ πρῴην περὶ μέθης λέγων, οὐ τὸν οἶνον διέβαλλον (πᾶν γὰρ κτίσμα Θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον, μετ' εὐχαριστίας λαμβανόμενον), οὕτω καὶ νῦν οὐ τῶν πλουτούντων κατηγορῶ, οὐδὲ τὰ χρήματα διαβάλλω, ἀλλὰ τὴν κακὴν τῶν χρημάτων χρῆσιν καὶ εἰς ἀσωτίαν δαπανωμένην. Διὰ τοῦτο χρήματα λέγεται, ἵνα ἡμεῖς αὐτοῖς χρησώμεθα, καὶ μὴ ἐκεῖνα ἡμῖν· διὰ τοῦτο κτήματα λέγεται, ἵνα ἡμεῖς αὐτὰ κτησώμεθα, καὶ μὴ ἐκεῖνα ἡμᾶς. Τί οὖν τὸν δοῦλον ἔχεις δεσπότην; τί ἀντέστρεψας τὴν τάξιν;

Ἀλλ' ἐβουλόμην μαθεῖν, τί νῦν ποιοῦσιν οἱ τὴν σύναξιν ἐγκαταλείψαντες, καὶ ἐν τίσιν εἰσίν. Ἀλλὰ ἢ κυβεύουσιν ἢ πάντως πράγματα ἀνακινοῦσι βιωτικά, ταραχῆς ἐμπεπλησμένα. Ἐνταῦθα εἰ παρῆς, ἄνθρωπε, ἐν γαλήνῃ ἧς καὶ ἐν λιμένι· οὐκ οἰκονόμος εἰσελθὼν ἐτάραττεν, οὐκ ἐπίτροπος ἐθορύβει, οὐκ οἰκέτης ὑπὲρ πραγμάτων βιωτικῶν ἠνόχλει, οὐκ ἄλλος τις παρώξυνεν· ἀλλ' ἐν ἡσυχίᾳ διάγων ἀπήλαυες θείων ἀκροάσεων. Οὐδαμοῦ κύματα ἐνταῦθα, οὐδαμοῦ ταραχή· ἀλλ' εὐλογία καὶ εὐχαὶ καὶ ὁμιλία πνευματικὴ καὶ μετάστασις εἰς τὸν οὐρανόν· καὶ ἐντεῦθεν ἤδη τὸν ἀρραβῶνα τῆς βασιλείας τῶν οὐρανῶν λαβὼν ἀπῄεις.

Τίνος ἕνεκεν τὴν πλουσίαν ταύτην τράπεζαν ἀφείς, εἰς ἑτέραν φορτικωτέραν ἑαυτὸν μετήγαγες, καὶ τὸν λιμένα καταλιπών, ταραχὴν ἀντικαταλλάττῃ γαλήνης; Τὸ μὴ παραγενέσθαι

2. Δὲν τὰ λέγω αὐτὰ γιὰ νὰ κατηγορήσω τοὺς πλουσίους, ἀλλ' ἐκείνους ποὺ χρησιμοποιοῦν κακῶς τὸν πλοῦτο. Γιατὶ ὁ πλοῦτος δὲν εἶναι κακό, ἂν θέλουμε νὰ τὸν χρησιμοποιήσουμε ὅπως πρέπει, ἀλλὰ ἡ ἀνοησία καὶ ἡ ἀλαζονεία. Ἂν ἦταν κακὸ ὁ πλοῦτος, δὲ θὰ εὐχόμαστε ὅλοι νὰ πᾶμε στοὺς κόλπους τοῦ Ἀβραάμ, ποὺ εἶχε τριακόσιους δεκαοκτὼ ὑπηρέτες ποὺ γεννήθηκαν στὸ σπίτι του. Δὲν εἶναι λοιπὸν ὁ πλοῦτος κακό, ἀλλὰ κακὸ εἶναι ἡ παράνομη χρήση του. Καὶ ὅπως προηγουμένως, ὅταν μιλοῦσα γιὰ τὴ μέθη, δὲν κατηγοροῦσα τὸ κρασὶ (γιατὶ κάθε δημιούργημα τοῦ Θεοῦ εἶναι καλὸ καὶ τίποτε δὲν εἶναι ἀπόβλητο, ὅταν λαμβάνεται μὲ εὐχαριστία πρὸς τὸ Θεό), ἔτσι καὶ τώρα δὲν κατηγορῶ τοὺς πλουσίους, οὔτε τὰ χρήματα συκοφαντῶ, ἀλλὰ τὴν κακὴ χρήση τῶν χρημάτων ποὺ ξοδεύονται σὲ ἀσωτία. Γι' αὐτὸ λέγονται χρήματα, γιὰ νὰ τὰ χρησιμοποιοῦμε ἐμεῖς καὶ ὄχι ἐκεῖνα ἐμᾶς· γι' αὐτὸ λέγονται κτήματα, γιὰ νὰ τὰ ἀποκτήσουμε ἐμεῖς καὶ ὄχι ἐκεῖνα ἐμᾶς. Γιατί λοιπὸν ἔχεις κύριο τὸ δοῦλο; γιατί ἀντέστρεψες τὴν τάξη;

Ἤθελα ὅμως νὰ μάθω τί κάνουν τώρα ὅσοι ἐγκατέλειψαν τὴ σύναξη καὶ μὲ ποιούς εἶναι. Ἀλλὰ ἢ παίζουν ζάρια, ἢ ὁπωσδήποτε ἀσχολοῦνται μὲ βιοτικὰ πράγματα, γεμάτα ταραχή. Ἂν ἦσουν ἐδῶ, ἄνθρωπε, θὰ ἦσουν σὲ γαλήνη καὶ σὲ λιμάνι. Οὔτε ὁ οἰκονόμος μπαίνοντας θὰ σὲ τάραζε, οὔτε ὁ ἐπιστάτης θὰ σὲ ἀνησυχοῦσε, οὔτε ὁ ὑπηρέτης θὰ σὲ ἐνοχλοῦσε γιὰ βιοτικὰ πράγματα, οὔτε κάποιος ἄλλος θὰ σὲ ἐξόργιζε, ἀλλὰ μὲ ἡσυχία θὰ ἀπολάμβανες τὰ θεῖα ἀκούσματα. Πουθενὰ δὲν ὑπάρχουν κύματα ἐδῶ, πουθενὰ ταραχή, ἀλλ' εὐλογία καὶ εὐχὲς καὶ ὁμιλία πνευματικὴ καὶ μετάβαση στὸν οὐρανό· καὶ φεύγεις, ἀφοῦ ἤδη πάρεις ἀπὸ ἐδῶ τὴν ὑπόσχεση τῆς βασιλείας τῶν οὐρανῶν.

Γιὰ ποιό λόγο ἀφήνοντας τὸ πλούσιο αὐτὸ τραπέζι μετέφερες τὸν ἑαυτό σου σὲ ἄλλο πολὺ χυδαῖο, καί, ἐγκαταλείποντας τὸ λιμάνι, ἀντικαθιστᾶς τὴ γαλήνη μὲ τὴν ταραχή; Τὸ νὰ

πένητας τοὺς τότε παρόντας, δεινὸν μέν, ἀλλ' οὐδὲ οὕτω δεινόν, ὡς τὸ μὴ παραγενέσθαι πλουσίους. Τίνος ἕνεκεν; Ὅτι οἱ μὲν πένητες ἔχουσι τὴν ἀναγκαίαν ἀσχολίαν, τὴν φροντίδα τῆς καθημερινῆς ἐργασίας, ἀπὸ τῶν χειρῶν ποιούμενοι τὸν βίον· παιδοτροφίας ἐπιμελοῦνται, γυναικὸς προεστήκασι, κἂν μὴ κάμωσι, τὰ τῆς ζωῆς αὐτοῖς οἰχήσεται. Ταῦτα λέγω, οὐχὶ ἀπολογίαν ὑπὲρ ἐκείνων συντιθείς, ἀλλὰ δεικνὺς πῶς μείζονος κατηγορίας οἱ πλουτοῦντές εἰσιν ἄξιοι. Ὅσον πλείονος ἀπολαύουσιν ἀδείας, τοσοῦτον καὶ κατακρίσεως, ὅτι οὐδενὶ τούτων κατέχονται.

Οὐχ ὁρᾶτε τοὺς Ἰουδαίους, τοὺς θεομάχους, τοὺς ἀντιπίπτοντας τῷ ἁγίῳ Πνεύματι, τοὺς σκληροτραχήλους; Τούτων οἱ μὴ παραγενόμενοι πάντων χείρους εἰσίν. Ἐκείνοις ἐὰν εἴπωσιν οἱ ἱερεῖς ἑπτὰ ἡμέρας ἀργῆσαι, καὶ δέκα, καὶ εἴκοσι, καὶ τριάκοντα, οὐκ ἀντιλέγουσι· καίτοι τί τῆς ἀργίας ἐκείνης χαλεπώτερον; Τὰς θύρας ἀποκλείουσι, καὶ οὔτε πῦρ καίουσιν, οὐχ ὕδωρ φέρουσιν, οὐκ ἄλλο τι πρὸς τὴν χρείαν τὴν τοιαύτην μεταχειρίζειν ἐφίενται· ἀλλ' ἔστιν ἅλυσις αὐτοῖς ἡ ἀργία, καὶ οὐδὲ οὕτως ἀντιλέγουσιν. Ἐγὼ δὲ οὐδὲν τοιοῦτον λέγω, ὅτι 'ἑπτὰ ἡμέρας ἄργησον, οὐδὲ δέκα ἡμέρας· ἀλλὰ δύο μοι δάνεισον ὥρας τῆς ἡμέρας, καὶ τὰς λοιπὰς αὐτὸς ἔχε'· καὶ οὐδὲ τοῦτό μοι τὸ μέτρον εἰσφέρεις. Μᾶλλον δὲ μὴ ἐμοὶ δανείσῃς τὰς δύο ὥρας, ἀλλ' ἑαυτῷ· ἵνα παράκλησίν τινα εὐχῆς δέξῃ πατέρων, ἵνα εὐλογιῶν πεπληρωμένος ἀναχωρήσῃς, ἵνα πανταχόθεν ἀσφαλὴς ἀπέλθῃς, ἵνα τὰ ὅπλα λαβὼν τὰ πνευματικὰ ἀκαταγώνιστος γένῃ, ἀχείρωτος τῷ διαβόλῳ.

Τί ἡδύτερον, εἰπέ μοι, τῆς ἐνταῦθα διαγωγῆς; Εἰ γὰρ διημερεύειν ἐνταῦθα ἐχρῆν, τί σεμνότερον; τί ἀσφαλέστερον, ὅπου ἀδελφοὶ τοσοῦτοι, ὅπου τὸ Πνεῦμα τὸ ἅγιον, ὅπου Ἰησοῦς μέσος καὶ ὁ τούτου Πατήρ; Ποίαν ἑτέραν ζητεῖς συναγωγὴν τοιαύτην;

μὴν ἔρχονται οἱ φτωχοὶ ποὺ ἦταν τότε παρόντες εἶναι βέβαια κακό, ἀλλὰ δὲν εἶναι τόσο κακό, ὅσο τὸ νὰ μὴν ἔρθουν οἱ πλούσιοι. Γιὰ ποιό λόγο; Γιατὶ οἱ φτωχοὶ ἔχουν τὴν ἀναγκαία ἀσχολία, τὴ φροντίδα τῆς καθημερινῆς ἐργασίας, ἀφοῦ ἀπὸ τὰ χέρια τους κερδίζουν τὰ τῆς ζωῆς· φροντίζουν γιὰ τὴ διατροφὴ τῶν παιδιῶν, προστατεύουν τὴ γυναίκα, καὶ ἂν δὲν κουρασθοῦν, τὰ ἀναγκαῖα γιὰ τὴ ζωή τους θὰ τοὺς λείψουν. Τὰ λέγω αὐτά, ὄχι ἀπολογούμενος ὑπὲρ ἐκείνων, ἀλλὰ γιὰ νὰ δείξω πῶς οἱ πλούσιοι εἶναι ἄξιοι γιὰ μεγαλύτερη κατηγορία. Ὅσο περισσότερη ἄνεση ἀπολαμβάνουν, τόσο περισσότερο θ' ἀπολαύσουν καὶ κατάκριση, γιατὶ μὲ κανένα ἀπ' αὐτὰ δὲν συγκρατοῦνται.

Δὲ βλέπετε τοὺς Ἰουδαίους, τοὺς θεομάχους, ποὺ ξεσηκώνονται ἐναντίον τοῦ ἁγίου Πνεύματος, τοὺς σκληροτράχηλους; Ὅσοι δὲν ἦρθαν εἶναι χειρότεροι ἀπ' ὅλους αὐτούς. Σ' ἐκείνους ἂν ποῦν οἱ ἱερεῖς νὰ ἀργήσουν ἑπτὰ ἡμέρες καὶ δέκα καὶ εἴκοσι καὶ τρίαντα, δὲν ἀντιλέγουν· ἂν καὶ βέβαια τί πιὸ φοβερὸ ὑπάρχει ἀπὸ τὴν ἀργία ἐκείνη; Κλείνουν τὶς πόρτες καὶ οὔτε φωτιὰ ἀνάβουν, οὔτε νερὸ φέρνουν, οὔτε ἐπιτρέπεται νὰ μεταχειρίζονται κάτι ἄλλο γιὰ τὴν ἀνάγκη αὐτή· ἀλλὰ ἡ ἀργία εἶναι γι'αὐτοὺς ἁλυσίδα, καὶ οὔτε ἔτσι ἀντιλέγουν. Ἐγὼ ὅμως δὲ λέγω τίποτε τέτοιο, 'ἄργησε ἑπτὰ ἡμέρες, οὔτε δέκα ἡμέρες, ἀλλὰ δάνεισέ μου δυὸ ὧρες τὴν ἡμέρα καὶ τὶς ὑπόλοιπες κράτησέ τες ἐσύ'· καὶ οὔτε αὐτὸ τὸ μέτρο μοῦ προσφέρεις. Ἢ καλύτερα μὴ δανείσεις τὶς δύο ὧρες σ' ἐμένα ἀλλὰ στὸν ἑαυτό σου, γιὰ νὰ ἀναχωρήσεις γεμάτος εὐλογίες, γιὰ νὰ φύγεις ἀπὸ παντοῦ ἀσφαλής, γιὰ νὰ πάρεις τὰ πνευματικὰ ὅπλα καὶ νὰ γίνεις ἀκαταμάχητος, ἀπόρθητος ἀπὸ τὸ διάβολο.

Τί εἶναι πιὸ εὐχάριστο, πές μου, ἀπὸ τὴν ἐδῶ παραμονή; Ἂν λοιπὸν ἔπρεπε νὰ περνᾶμε τὴν ἡμέρα ἐδῶ, τί πιὸ σεμνό; τί πιὸ ἀσφαλές, ὅπου ὑπάρχουν τόσοι ἀδελφοί, ὅπου τὸ ἅγιο Πνεῦμα, ὅπου βρίσκεται στὴ μέση ὁ Ἰησοῦς καὶ ὁ Πατέρας του;

ποῖον ἕτερον βουλευτήριον; ποίαν σύνοδον; Τοσαῦτα ἀγαθὰ ἐν τῇ τραπέζῃ, ἐν τῇ ἀκροάσει, ἐν ταῖς εὐλογίαις, ἐν ταῖς εὐχαῖς, ἐν ταῖς συνουσίαις· καὶ σὺ πρὸς ἑτέρας βλέπεις διατριβάς; Καὶ ποίαν ἔχεις συγγνώμην;

Ταῦτα οὐχ ἵνα ὑμεῖς ἀκούσητε εἶπον· οὐ γὰρ χρείαν ἔχετε τῶν φαρμάκων τούτων ὑμεῖς, οἱ διὰ τῶν ἔργων ἐπιδειξάμενοι τὴν ὑγίειαν, τὴν ὑπακοήν, οἱ διὰ τῆς σπουδῆς τὸν πόθον ἁπλώσαντες· ἀλλ' εἶπον ταῦτα πρὸς ὑμᾶς, ἵνα ἀκούσωσιν ὁ μὴ παρόντες δι' ὑμῶν. Μὴ εἴποιτε, ὅτι κατηγόρησα τῶν μὴ παραγενομένων ἁπλῶς, ἀλλ' ὅλον ἄνωθεν αὐτοῖς διηγήσασθε τὸν λόγον. Ἀναμνήσατε αὐτοὺς τῶν Ἰουδαίων, ἀναμνήσατε αὐτοὺς τῶν βιωτικῶν πραγμάτων· εἴπατε πόσῳ βελτίων ἡ ἐνταῦθα σύναξις, εἴπατε πόσην σπουδὴν περὶ τὰ τοῦ κόσμου πράγματα ἐπιδείκνυνται, εἴπατε πόσος μισθὸς ἕπεται τοῖς ἐνταῦθα συλλεγομένοις. Ἂν γὰρ μόνον εἴπητε, ὅτι κατηγόρησα, τὸν μὲν θυμὸν ἠγείρατε, καὶ τραῦμα εἰργάσασθε, τὸ δὲ φάρμακον οὐκ ἐπεθήκατε· ἂν δὲ διδάξητε αὐτούς, ὅτι οὐχ ὡς ἐχθρὸς κατηγόρησα, ἀλλ' ὡς φίλος ὀδυνώμενος, καὶ πείσητε αὐτούς, ὅτι «ἀξιοπιστότερα τραύματα φίλων, ἢ ἑκούσια φιλήματα ἐχθρῶν», δέξονται μετὰ πολλῆς ἡδονῆς τὴν κατηγορίαν· οὐ γὰρ τοῖς ῥήμασιν, ἀλλὰ τῇ γνώμῃ τοῦ λέγοντος προσέξουσιν.

Οὕτω θεραπεύετε τοὺς ἀδελφοὺς τοὺς ὑμετέρους. Ἡμεῖς τῆς σωτηρίας ὑπεύθυνοι τῶν παρόντων ὑμῶν, ὑμεῖς τῆς τῶν ἀπολειφθέντων. Οὐ δυνάμεθα αὐτοῖς συγγενέσθαι δι' ἑαυτῶν· συγγενώθεμα αὐτοῖς δι' ὑμῶν καὶ τῆς ὑμετέρας διδασκαλίας· γέφυρά τις ἡμῖν γενέσθω πρὸς ἐκείνους ἡ ὑμετέρα ἀγάπη· ποιήσατε τοὺς ἡμετέρους λόγους διὰ τῆς ὑμετέρας γλώττης διαβῆναι πρὸς τὴν ἐκείνων ἀκρόασιν. Τάχα αὐτάρκως εἴρηται ἕνεκεν τῶν ἀπολειφθέντων τὰ εἰρημένα, καὶ οὐδὲν δεῖ πλέον προσθεῖναι. Ἐνῆν μὲν γὰρ πλείονα εἰπεῖν, ἀλλ' ἵνα μὴ τὸν καιρὸν ἅπαντα εἰς τοῦτο καταδαπανήσωμεν κατηγοροῦντες, ὑμᾶς δὲ μηδὲν

4. Παροιμ. 27,6.

Ποιά ἄλλη τέτοια συγκέντρωση ζητᾶς; ποιό ἄλλο βουλευτήριο; ποιά σύνοδο; Τόσα ἀγαθὰ ὑπάρχουν στὸ τραπέζι, στὴν ἀκρόαση, στὶς εὐλογίες, στὶς εὐχές, στὶς συναστροφές· καὶ σὺ βλέπεις σὲ ἄλλες διασκεδάσεις; Καὶ ποιά συγγνώμη θὰ ἔχεις;

Δὲν τὰ εἶπα αὐτὰ γιὰ νὰ τὰ ἀκοῦστε ἐσεῖς. Γιατὶ δὲν ἔχετε ἀνάγκη ἀπ' αὐτὰ τὰ φάρμακα ἐσεῖς, ποὺ μὲ τὰ ἔργα ἀποδείξατε τὴν ὑγεία, τὴν ὑπακοή, ποὺ μὲ τὸ ἐνδιαφέρον σας μεγαλώσατε τὸν πόθο. Ἀλλὰ τὰ εἶπα σὲ σᾶς γιὰ νὰ τὰ ἀκούσουν οἱ ἀπόντες ἀπὸ σᾶς. Μὴν πεῖτε μόνο ὅτι κατηγόρησα αὐτοὺς ποὺ δὲν ἦρθαν, ἀλλὰ νὰ τοὺς διηγηθεῖτε ὅλο τὸ λόγο ἀπὸ τὴν ἀρχή. Θυμῆστε τους τοὺς Ἰουδαίους, θυμῆστε τους τὰ βιοτικὰ πράγματα. Πέστε πόσο καλύτερη εἶναι ἡ ἐδῶ σύναξη, πόσο ἐνδιαφέρον δείχνουν γιὰ τὰ πράγματα τοῦ κόσμου, πέστε πόσος μισθὸς ἀκολουθεῖ αὐτοὺς ποὺ συγκεντρώνονται ἐδῶ. Γιατί, ἂν πεῖτε μόνο ὅτι τοὺς κατηγόρησα, ἐρεθίζετε τὸ θυμὸ καὶ τοὺς τραυματίζετε, ἀλλὰ δὲν ἐπιθέτετε τὸ φάρμακο· ἂν ὅμως τοὺς διδάξετε ὅτι τοὺς κατηγόρησα ὄχι σὰν ἐχθρός, ἀλλὰ σὰν φίλος ποὺ πονάει, καὶ τοὺς πείσετε ὅτι «προτιμότερα εἶναι τὰ τραύματα τῶν φίλων, παρὰ τὰ αὐθόρμητα φιλήματα τῶν ἐχθρῶν»[4], θὰ δεχθοῦν μὲ πολλὴ εὐχαρίστηση τὴν κατηγορία· γιατὶ δὲ θὰ προσέξουν τὰ λόγια αὐτὰ ἀλλὰ τὴ διάθεση τοῦ ὁμιλητῆ.

Ἔτσι νὰ θεραπεύετε τοὺς ἀδελφούς σας. Ἐμεῖς εἴμαστε ὑπεύθυνοι γιὰ τὴ σωτηρία τὴ δική σας, τῶν παρόντων, ἐσεῖς γιὰ τὴ σωτηρία τῶν ἀπόντων. Δὲν μπορῶ νὰ τοὺς συναντήσω ὁ ἴδιος· ἂς τοὺς συναντήσω μὲ σᾶς καὶ μὲ τὴ διδασκαλία σας. Ἂς γίνει ἡ ἀγάπη σας κάποια γέφυρα ἀπὸ μένα σ' ἐκείνους· κάμετε τὰ δικά μου λόγια μὲ τὴ δική σας γλώσσα ν' ἀκουσθοῦν ἀπὸ ἐκείνους. Ἴσως εἶναι ἀρκετὰ αὐτὰ ποὺ λέχθηκαν ἐξ αἰτίας τῶν ἀπόντων καὶ δὲν πρέπει νὰ προσθέσω τίποτε περισσότερο. Γιατὶ μποροῦσα νὰ πῶ περισσότερα, ἀλλὰ γιὰ νὰ μὴ ξοδέψουμε ὅλο τὸν καιρὸ σ' αὐτὸ κατηγορώντας, χωρὶς νὰ ὠφελοῦμε κα-

ὠφελοῦντες παραγενομένους αὐτούς, φέρε τι καὶ ὑμῖν παραθῶμεν ξένον ὄψον καὶ καινόν· ξένον δὲ καὶ καινὸν λέγω οὐ κατὰ τὴν πνευματικὴν τράπεζαν, ἀλλὰ ξένον κατὰ τὴν ὑμετέραν ἀκρόασιν.

3. Διελέχθημεν ὑμῖν ἀπὸ τῶν ἀποστολικῶν ρημάτων ἐν ταῖς ἔμπροσθεν ἡμέραις, καὶ ἀπὸ τῶν εὐαγγελικῶν, ὅτε περὶ τοῦ Ἰούδα διελεγόμεθα· διελέχθημεν ὑμῖν καὶ ἀπὸ προφητικῶν· σήμερον βουλόμεθα ἀπὸ τῶν Πράξεων τῶν ἀποστόλων εἰπεῖν. Διὰ τοῦτο εἶπον τὸ ὄψον ξένον, καὶ οὐ ξένον. Οὐ ξένον μέν, ὅτι τῆς ἀκολουθίας ἐστὶ τῶν θείων Γραφῶν, ξένον δέ, διότι τάχα ἀήθης ὑμῖν ἡ ἀκοὴ πρὸς τὴν τοιαύτην ἀκρόασιν. Πολλοῖς γοῦν τὸ βιβλίον τοῦτο οὐδὲ γνώριμόν ἐστι, πολλοῖς δὲ δοκοῦν σαφὲς εἶναι, πάλιν παροραται· καὶ γίνεται τοῖς μὲν ἡ γνῶσις, τοῖς δὲ ἡ ἄγνοια ρᾳθυμίας ὑπόθεσις. Ἵν' οὖν καὶ οἱ ἀγνοοῦντες μάθωσι, καὶ οἱ νομίζοντες σαφῶς εἰδέναι, ὅτι πολὺ βάθος νοημάτων ἔχει, ἀναγκαῖον ἀμφοτέρων διορθώσασθαι τὴν ρᾳθυμίαν τήμερον. Δεῖ δὲ πρότερον μαθεῖν, τίς τὸ βιβλίον ἔγραψεν. Αὕτη γὰρ ἀρίστης ἐρεύνης ἀκολουθία, πρότερον τὸν γράψαντα ἰδεῖν, εἰ ἄνθρωπός ἐστιν, ἢ ὁ Θεός· κἂν μὲν ἄνθρωπος, παρακρουσώμεθα· «μὴ καλέσητε γάρ», φησί, «διδάσκαλον ἐπὶ τῆς γῆς»· ἂν δὲ Θεός, δεξώμεθα· ἄνωθεν γάρ ἐστι τὸ διδασκαλεῖον τὸ ἡμέτερον· καὶ γὰρ τοιοῦτον τὸ ἀξίωμα τοῦ θεάτρου τούτου, μηδὲν παρὰ ἀνθρώπων μανθάνειν, ἀλλὰ παρὰ Θεοῦ δι' ἀνθρώπων.

Δεῖ τοίνυν ἐξετάσαι, τίς ὁ γράψας, καὶ πότε ἔγραψε, καὶ περὶ τίνων, καὶ τίνος ἕνεκεν τῇ ἑορτῇ ταύτῃ νενομοθέτηται αὐτὸ ἀναγινώσκεσθαι. Τάχα γὰρ οὐκ ἀκούετε διὰ παντὸς τοῦ ἔτους ἀναγινωσκομένου τοῦ βιβλίου. Καὶ γὰρ καὶ τοῦτο χρήσιμον· καὶ μετὰ τοῦτο ζητῆσαι χρή, τίνος ἕνεκεν ταύτην ἔχει τὴν ἐπιγρα-

---

5. Ματθ. 23,8.
6. Δηλ. τῆς Ἐκκλησίας

θόλου ἐσᾶς τοὺς ἴδιους ποὺ ἤρθατε, ἐμπρὸς ἂς σᾶς παραθέσω κάποια τροφὴ ἀσυνήθιστη καὶ καινούρια. Καὶ λέγω ἀσυνήθιστη καὶ καινούρια ὄχι ὡς πρὸς τὸ πνευματικὸ τραπέζι, ἀλλὰ ἀσυνήθιστη γιὰ τὴ δική σας ἀκρόαση.

3. Τὶς προηγούμενες ἡμέρες σᾶς μίλησα ἀπὸ τὰ ἀποστολικὰ λόγια καὶ ἀπὸ τὰ εὐαγγελικά, ὅταν μιλοῦσα γιὰ τὸν Ἰούδα· σᾶς μίλησα καὶ ἀπὸ τὰ προφητικά. Σήμερα θέλω νὰ σᾶς μιλήσω ἀπὸ τὶς Πράξεις τῶν ἀποστόλων. Γι' αὐτὸ ὀνόμασα τὴν τροφὴ ἀσυνήθιστη, καὶ ὄχι ἀσυνήθιστη. Ὄχι ἀσυνήθιστη, γιατὶ ἀνήκει στὴ συνέχεια τῶν θείων Γραφῶν, καὶ ἀσυνήθιστη, γιατὶ ἴσως ἡ ἀκοή σας δὲν εἶναι συνηθισμένη σὲ τέτοια ἀκρόαση. Πολλοὶ λοιπὸν τὸ βιβλίο αὐτὸ οὔτε κὰν τὸν γνωρίζουν, ἐνῶ πολλοί, μολονότι τὸ θεωροῦν γνωστό, πάλι τὸ παραβλέπουν· ἔτσι γίνεται στοὺς πρώτους ἡ γνώση καὶ στοὺς ἄλλους ἡ ἄγνοια ἀφορμὴ ἀδιαφορίας. Γιὰ νὰ μάθουν λοιπὸν καὶ ὅσοι τὸ ἀγνοοῦν καὶ ὅσοι νομίζουν πὼς τὸ ξέρουν καλά, ὅτι περιέχει μεγάλο βάθος νοημάτων, εἶναι ἀνάγκη νὰ διορθώσουμε σήμερα καὶ τῶν δύο τὴν ἀδιαφορία. Πρῶτα λοιπὸν πρέπει νὰ μάθουμε ποιός ἔγραψε τὸ βιβλίο. Γιατὶ αὐτὴ εἶναι ἡ ἄριστη ἀκολουθία ἔρευνας, πρῶτα νὰ δοῦμε τὸ συγγραφέα, ἂν εἶναι ἄνθρωπος ἢ ὁ Θεός. Καὶ ἂν βέβαια εἶναι ἄνθρωπος, ἂς τὸ ἀποφύγουμε, γιατὶ λέγει, «μὴν ὀνομάσετε κανένα «διδάσκαλο» στὴ γῆ»[5]. Ἂν ὅμως εἶναι ὁ Θεός, ἂς τὸν δεχθοῦμε, γιατὶ τὸ δικό μας διδασκαλεῖο εἶναι ἀπὸ τὸν οὐρανό· γιατί τέτοια εἶναι ἡ ἀρχὴ αὐτοῦ τοῦ θεάτρου[6], νὰ μὴ μαθαίνει τίποτε ἀπὸ τοὺς ἀνθρώπους, ἀλλὰ ἀπὸ τὸ Θεὸ μέσω ἀνθρώπων.

Πρέπει λοιπὸν νὰ ἐξετάσουμε ποιός ἦταν ὁ συγγραφέας καὶ πότε τὸ ἔγραψε καὶ γιὰ ποιούς καὶ γιὰ ποιό λόγο ἔχει ορισθεῖ νὰ διαβάζεται αὐτὴ τὴ γιορτή. Ἴσως βέβαια δὲν ἀκοῦτε νὰ διαβάζεται τὸ βιβλίο αὐτὸ κατὰ διάρκεια ὅλου τοῦ ἔτους. Γιατὶ πραγματικὰ καὶ αὐτὸ εἶναι χρήσιμο. Καὶ ὕστερα ἀπ' αὐτὸ πρέ-

φήν, «πράξεις ἀποστόλων». Οὐδὲ γὰρ τὰς ἐπιγραφὰς ἁπλῶς παριέναι χρή, οὐδὲ εὐθέως εἰς τὴν ἀρχὴν ἐμβαλεῖν τῆς συγγραφῆς, ἀλλὰ πρότερον ὁρᾶν τὴν προσηγορίαν τοῦ βιβλίου. Καθάπερ γὰρ ἐφ' ἡμῶν ἡ κεφαλὴ γνωριμώτερον ποιεῖ τὸ λοιπὸν σῶμα, καὶ ἡ ὄψις ἄνωθεν ἐπικειμένη φανερὸν αὐτὸ ἐργάζεται, οὕτω καὶ ἡ ἐπιγραφὴ ἄνωθεν πρὸ τῆς ὑφῆς ἐπικειμένη ἐπὶ τοῦ μετώπου καταφανέστερον ἡμῖν ποιεῖ τὸ λοιπὸν τῆς γραφῆς. Οὐχ ὁρᾶτε καὶ ἐπὶ τῶν εἰκόνων τοῦτο τῶν βασιλικῶν, ὅτι ἄνω κεῖται μὲν ἡ εἰκών, καὶ τὸν βασιλέα ἔχει ἐγγεγραμμένον· κάτω δὲ ἐν τῇ χοίνικι ἐπιγέγραπται τοῦ βασιλέως τὰ τρόπαια, ἡ νίκη, τὰ κατορθώματα;

Οὕτω δὴ καὶ ἐπὶ τῶν Γραφῶν ἔστιν ἰδεῖν. Γέγραπται μὲν ἡ εἰκὼν ἡ βασιλικὴ ἄνωθεν· κάτωθεν δὲ ἐπιγέγραπται ἡ νίκη, τὰ τρόπαια, τὰ κατορθώματα. Οὕτω καὶ ἐπιστολὴν ὅταν δεξώμεθα, ποιοῦμεν· οὐκ εὐθέως διαλύομεν τὸν δεσμόν, οὐδὲ εὐθέως τὰ ἐγκείμενα ἔνδοθεν ἀναγινώσκομεν· ἀλλὰ πρότερον τὴν ἔξωθεν ἐπιγραφὴν ἐπερχόμεθα, καὶ ἐξ ἐκείνης μανθάνομεν καὶ τὸν πέμψαντα, καὶ τὸν ὀφείλοντα ὑποδέξασθαι. Καὶ πῶς οὖν οὐκ ἄτοπον ἐν μὲν τοῖς βιωτικοῖς τοσαύτῃ κεχρῆσθαι σπουδῇ καὶ μὴ θορυβεῖσθαι μηδὲ ταράττεσθαι ἀλλὰ κατὰ τάξιν ἕκαστον ἐπιέναι, ἐνταῦθα δὲ ἀσχάλλειν καὶ εὐθέως ἐπιπηδᾶν τῇ ἀρχῇ;

Βούλεσθε μαθεῖν ὅση τῆς ἐπιγραφῆς ἡ ἰσχύς; ὅση δύναμις; ὅσος ἀπόκειται θησαυρὸς ἐν ταῖς ἀρχαῖς τῶν Γραφῶν; Ἀκούσατε, ἵνα μὴ καταφρονῆτε τῆς ἐπιγραφῆς τῶν θείων Βιβλίων. Εἰσῆλθεν εἰς τὰς Ἀθήνας ὁ Παῦλός ποτε· ἐν αὐτῷ τῷ βιβλίῳ γέγραπται ἡ ἱστορία αὕτη· εὗρεν ἐν τῇ πόλει οὐχὶ βιβλίον θεῖον, ἀλλὰ βωμὸν εἰδώλων· εὗρεν ἐπιγραφὴν οὕτως ἔχουσαν, «ἀγνώστῳ Θεῷ»· καὶ οὐ παρέδραμεν, ἀλλ' ἀπὸ τῆς ἐπιγραφῆς τοῦ βωμοῦ τὸν βωμὸν καθεῖλε. Παῦλος ὁ ἅγιος, ὁ Πνεύματος

7. Πράξ. 17,23.

πει νὰ ἀναζητήσουμε γιὰ ποιό λόγο ἔχει αὐτὴ τὴν ἐπιγραφή, «Πράξεις τῶν ἀποστόλων». Γιατὶ δὲν πρέπει νὰ προσπερνᾶμε ἁπλῶς τὶς ἐπιγραφές, οὔτε νὰ ρίχνουμε τὰ μάτια μας στὴν ἀρχὴ τῆς συγγραφῆς, ἀλλὰ νὰ βλέπουμε πρῶτα τὸν τίτλο τοῦ βιβλίου. Γιατὶ ὅπως σὲ μᾶς τὸ κεφάλι κάνει γνωστότερο τὸ ὑπόλοιπο σῶμα καὶ τὸ πρόσωπο ποὺ βρίσκεται ψηλὰ καθιστᾶ αὐτὸ φανερό, ἔτσι καὶ ἡ ἐπιγραφὴ ποὺ βρίσκεται ψηλὰ καὶ τοποθετημένη στὸ μέτωπο πρὶν ἀπὸ τὸ περιεχόμενο μᾶς κάμνει φανερότερο τὸ ὑπόλοιπο τῆς συγγραφῆς. Δὲν τὸ βλέπετε αὐτὸ καὶ στὶς βασιλικὲς εἰκόνες, ὅτι ἐπάνω βρίσκεται ἡ εἰκόνα καὶ ἔχει ζωγραφισμένο τὸ βασιλιά, ἐνῶ κάτω στὸ περιθώριο εἶναι γραμμένα τὰ τρόπαια τοῦ βασιλιᾶ, ἡ νίκη, τὰ κατορθώματα;

Τὸ ἴδιο λοιπὸν μπορεῖ νὰ δεῖ κανεὶς καὶ στὶς Γραφές. Ἐπάνω εἶναι ζωγραφισμένη ἡ εἰκόνα τοῦ βασιλιᾶ καὶ ἀπὸ κάτω εἶναι γραμμένη ἡ νίκη, τὰ τρόπαια, τὰ κατορθώματα. Τὸ ἴδιο κάνουμε καὶ ὅταν λάβουμε μία ἐπιστολή· δὲ σχίζουμε ἀμέσως τὸ φάκελο, οὔτε διαβάζουμε ἀμέσως ὅσα ὑπάρχουν μέσα, ἀλλὰ πρῶτα ἐξετάζουμε τὴν ἐξωτερικὴ ἐπιγραφὴ καὶ ἀπ' αὐτὴ μαθαίνουμε καὶ τὸν ἀποστολέα καὶ τὸν παραλήπτη. Καὶ πῶς δὲν εἶναι παράλογο γιὰ τὰ βιοτικὰ πράγματα νὰ δείχνουμε τόσο μεγάλο ἐνδιαφέρον καὶ νὰ μὴν ἀνησυχοῦμε, οὔτε νὰ ταραζόμαστε, ἀλλὰ νὰ κάνουμε τὸ καθένα μὲ τὴ σειρά, ἐνῶ ἐδῶ νὰ ἀδημονοῦμε καὶ νὰ προχωροῦμε ἀμέσως στὴν ἀρχή;

Θέλετε νὰ μάθετε πόση εἶναι ἡ ἰσχὺς τῆς ἐπιγραφῆς; πόση εἶναι ἡ δύναμή της; πόσος θησαυρὸς βρίσκεται στὶς ἀρχὲς τῶν Γραφῶν; Ἀκοῦστε, γιὰ νὰ μὴν περιφρονεῖτε τὴν ἐπιγραφὴ τῶν θείων βιβλίων. Πῆγε στὴν Ἀθήνα κάποτε ὁ Παῦλος (σ' αὐτὸ τὸ βιβλίο εἶναι γραμμένη αὐτὴ ἡ ἱστορία)· βρῆκε στὴν πόλη ὄχι θεῖο βιβλίο, ἀλλὰ ἕνα βωμὸ εἰδώλων· βρῆκε ἐπιγραφὴ ποὺ ἔλεγε, «στὸν Ἄγνωστο Θεό»[7], καὶ δὲν τὴν παρέβλεψε, ἀλλὰ ἀπὸ τὴν ἐπιγραφὴ τοῦ βωμοῦ γκρέμισε τὸ βωμό. Ὁ ἅγιος

χάριν ἔχων, οὐ παρέδραμε βωμοῦ ἐπίγραμμα, καὶ σὺ ἐπιγραφὴν Γραφῶν παρατρέχεις; ἐκεῖνος οὐκ ἀφῆκεν ἅπερ ἔγραψαν Ἀθηναῖοι εἰδωλολάτραι, καὶ σὺ ἅπερ ἔγραψε τὸ Πνεῦμα τὸ ἅγιον οὐ νομίζεις εἶναι ἀναγκαῖα; καὶ ποίαν ἔχεις συγγνώμην;

Ἀλλὰ γὰρ ἴδωμεν πόσον τὸ κέρδος ἀπὸ τοῦ ἐπιγράμματός ἐστιν. Ὅταν οὖν ἴδῃς ἐπίγραμμα βωμῷ ἐγκεχαραγμένον τοσαύτην παρασχὸν τὴν ἰσχύν, μαθήσῃ ὅτι πολλῷ μᾶλλον τὰ ἐπιγράμματα τῶν θείν Γραφῶν τοῦτο ποιῆσαι δυνήσεται. Εἰσῆλθεν εἰς τὴν πόλιν ὁ Παῦλος, εὗρε βωμὸν ἐν ᾧ ἐπεγέγραπτο, «ἀγνώστῳ Θεῷ». Τί ἔδει ποιῆσαι; Ἕλληνες πάντες ἦσαν, ἀσεβεῖς πάντες. Τί οὖν ἐχρῆν ποιῆσαι; Ἀπὸ Εὐαγγελίων διαλεχθῆναι; Ἀλλὰ καταγέλων. Ἀλλ' ἀπὸ προφητικῶν καὶ τοῦ νόμου γραμμάτων; Ἀλλ' οὐκ ἐπίστευον. Τί οὖν ἐποίησεν; Ἐπὶ τὸν βωμὸν ἔδραμε καὶ ἀπὸ τῶν ὅπλων τῶν πολεμίων αὐτοὺς ἐχειρώσατο. Καὶ τοῦτό ἐστιν, ὃ λέγει· «ἐγενόμην τοῖς πᾶσι τὰ πάντα, τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ἀνόμοις ὡς ἄνομος». Εἶδε τὸν βωμόν, εἶδε τὸ ἐπίγραμμα, ἀνέστη τῷ Πνεύματι. Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος χάρις· πάντοθεν ποιεῖ κερδαίνειν τοὺς ὑποδεχομένους αὐτήν· τοιαῦτα ἡμῶν τὰ ὅπλα τὰ πνευματικά. «Αἰχμαλωτίζοντες» γάρ, φησί, «πᾶν νόημα πρὸς τὴν ὑπακοὴν τοῦ Χριστοῦ».

Εἶδε τοίνυν τὸν βωμόν, καὶ οὐκ ἐδειλίασεν· ἀλλὰ μετέστησε τὸν βωμὸν πρὸς ἑαυτόν· μᾶλλον δὲ τὰ γράμματα ἀφείς, μετέθηκεν αὐτοῦ τὰ νοήματα· καὶ καθάπερ ἐν πολέμῳ στατηγὸς ἰδὼν στρατιώτην ἐν τῇ παρατάξει τῶν πολεμίων γενναῖον, εἶτα λαβόμενος ἀπὸ τῆς κόμης τοῦ στρατιώτου, πρὸς τὴν ἑαυτοῦ τάξιν αὐτὸν μεταστήσειε καὶ παρασκευάσειεν ὑπὲρ αὐτοῦ πολεμεῖν· οὕτω καὶ ὁ Παῦλος ἐποίησε, καθάπερ ἐν παρατάξει πολεμίων τὸ ἐπίγραμμα εὑρὼν ἐν τῷ βωμῷ γεγραμμένον, πρὸς τὴν

8. Α' Κορ. 9,22. 21. 20.
9. Β' Κορ. 10,5.

Παῦλος, αὐτὸς ποὺ εἶχε τὴ χάρη τοῦ Πνεύματος, δὲν παρέβλεψε τὴν ἐπιγραφὴ τοῦ βωμοῦ, καὶ σὺ παραβλέπεις τὴν ἐπιγραφὴ τῶν Γραφῶν; Ἐκεῖνος δὲν ἄφησε αὐτὰ ποὺ ἔγραψαν οἱ εἰδωλολάτρες Ἀθηναῖοι, καὶ σὺ αὐτὰ ποὺ ἔγραψε τὸ ἅγιο Πνεῦμα δὲ νομίζεις πὼς εἶναι ἀναγκαῖα; Καὶ ποιά συγγνώμη θὰ ἔχεις;

Ἀλλὰ ἃς δοῦμε πόσο εἶναι τὸ κέρδος ἀπὸ τὴν ἐπιγραφή. Ὅταν λοιπὸν δεῖς νὰ παρέχει τόση μεγάλη δύναμη μιὰ ἐπιγραφὴ ποὺ εἶναι χαραγμένη σὲ βωμό, θὰ μάθεις ὅτι πολὺ περισσότερο θὰ μπορέσουν νὰ τὸ κάνουν αὐτὸ οἱ ἐπιγραφὲς τῶν θείων Γραφῶν. Ἦρθε στὴν πόλη ὁ Παῦλος, βρῆκε ἕνα βωμὸ μὲ τὴν ἐπιγραφὴ «στὸν Ἄγνωστο Θεό». Τί ἔπρεπε νὰ κάνει; Ὅλοι ἦταν Ἕλληνες, ὅλοι ἀσεβεῖς. Τί ἔπρεπε λοιπὸν νὰ κάνει; Νὰ τοὺς μιλήσει ἀπὸ τὰ Εὐαγγέλια; Ἀλλὰ θὰ τὸν περιγελοῦσαν. Μήπως ἀπὸ τὰ προφητικὰ καὶ τὰ βιβλία τοῦ νόμου; Ἀλλὰ δὲ θὰ πίστευαν. Τί λοιπὸν ἔκανε; Ἔτρεξε στὸ βωμὸ καὶ ἀπὸ τὰ ὅπλα τῶν ἐχθρῶν αἰχμαλώτισε αὐτούς. Καὶ αὐτὸ σημαίνει ἐκεῖνο ποὺ λέγει· «γιὰ ὅλους ἔγινα τὰ πάντα· στοὺς Ἰουδαίους συμπεριφέρθηκα σὰν Ἰουδαῖος, στοὺς ἐθνικοὺς σὰν ἄνομος»[8]. Εἶδε τὸ βωμό, εἶδε τὴν ἐπιγραφή, παρακινήθηκε ἀπὸ τὸ ἅγιο Πνεῦμα. Γιατὶ τέτοια εἶναι ἡ χάρη τοῦ Πνεύματος· ἀπὸ παντοῦ κάνει νὰ κερδίζουν αὐτοὶ ποὺ τὴν ὑποδέχονται. Τέτοια εἶναι τὰ πνευματικά μας ὅπλα. Γιατὶ λέγει· «μ' αὐτὰ αἰχμαλωτίζουμε κάθε σκέψη καὶ τὴν κάνουμε νὰ ὑπακούει στὸ Χριστό»[9].

Εἶδε λοιπὸν τὸ βωμὸ καὶ δὲ δείλιασε, ἀλλὰ μετέφερε τὸ βωμὸ πρὸς τὸν ἑαυτό του· ἢ καλύτερα, ἀφήνοντας τὰ γράμματα, ἄλλαξε τὰ νοήματά του. Καὶ ὅπως στὸν πόλεμο ἕνας στρατηγὸς ὅταν δεῖ στὴν παράταξη τῶν ἐχθρῶν ἕνα γενναῖο στρατιώτη, ἀφοῦ τὸν ἁρπάξει ἀπὸ τὰ μαλλιὰ στὴ συνέχεια τὸν μεταφέρει στὴ δική του παράταξη καὶ τὸν κάνει νὰ πολεμάει γι' αὐτόν, ἔτσι καὶ ὁ Παῦλος ἔκαμε· ἀφοῦ βρῆκε τὴ γραμμένη ἐπιγραφὴ στὸ βωμὸ σὰν σὲ παράταξη ἐχθρῶν, τὴ μετέφερε στὴ δική του

ἑαυτοῦ τάξιν μετέστησεν, ἵνα μετὰ Παύλου τοῖς Ἀθηναίοις πολεμῇ, ἀλλ' οὐ μετὰ Ἀθηναίων τὸν Παῦλον βάλλῃ· ξίφος γὰρ ἦν τῶν Ἀθηναίων, μάχαιρα ἦν τῶν πολεμίων τὸ ἐπίγραμμα ἐκεῖνο, ἀλλ' αὕτη ἡ μάχαιρα τῶν πολεμίων τὴν κεφαλὴν ἐξέτεμεν. Οὐκ ἦν οὕτω θαυμαστόν, εἰ τοῖς οἰκείοις αὐτοῦ ὅπλοις ἐχειρώσατο· τοῦτο γὰρ κατὰ λόγον συμβαίνει· τὸ γὰρ καινὸν καὶ παράδοξον, ὅταν τὰ τῶν πολεμίων ὅπλα ταῦτα μηχανήματα τοῖς πολεμίοις προσάγηται· ὅταν τὸ ξίφος, ὃ καθ' ἡμῶν βαστάζουσι, τοῦτο αὐτοῖς τὴν καιρίαν ἐπαγάγῃ πληγήν.

4. Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος δύναμις. Οὕτω καὶ ὁ Δαυῒδ ἐποίησέ ποτέ· ἐξῆλθε γυμνὸς τῶν ὅπλων, ἵνα φανῇ γυμνὴ ἡ τοῦ Θεοῦ χάρις. Μηδὲν γάρ, φησίν ἀνθρώπινον ἔστω, ὅταν Θεὸς ὑπὲρ ἡμῶν πολεμῇ. Ἐξῆλθε τοίνυν γυμνὸς τῶν ὅπλων, καὶ κατήνεγκε τὸν πύργον ἐκεῖνον. Εἶτα, ἐπειδὴ ὅπλα οὐκ εἶχε, δραμὼν ἥρπασε τὴν μάχαιραν τοῦ Γολιάθ, καὶ οὕτω τὴν κεφαλὴν ἐξέτεμε τὴν τοῦ βαρβάρου· οὕτω καὶ Παῦλος ἐποίησεν ἐπὶ τοῦ ἐπιγράμματος τούτου. Καὶ ἵνα σαφέστερος γένηται ὁ τῆς νίκης τρόπος καὶ τὴν δύναμιν ὑμῖν τοῦ ἐπιγράμματος ἐρῶ.

Εὗρε τοίνυν ὁ Παῦλος ἐν Ἀθήναις βωμόν, ἐν ᾧ ἐπεγέγραπτο, «ἀγνώστῳ Θεῷ». Τίς δὲ ἦν ὁ ἀγνοούμενος, ἀλλ' ἢ ὁ Χριστός; Εἶδες πῶς ἐξηχμαλώτισε τὸ ἐπίγραμμα, οὐκ ἐπὶ κακῷ τῶν γραψάντων, ἀλλ' ἐπὶ σωτηρίᾳ αὐτῶν καὶ προνοίᾳ; Τί οὖν; Οἱ Ἀθηναῖοι διὰ τὸν Χριστὸν ἔγραψαν τοῦτο, φησίν; Εἰ διὰ τὸν Χριστὸν ἔγραψαν οἱ Ἀθηναῖοι, οὐκ ἦν οὕτω θαυμαστόν· ἀλλὰ τοῦτό ἐστι τὸ θαυμαστόν, ὅτι ἐκεῖνοι μὲν ἄλλως ἔγραψαν, οὗτος δὲ ἴσχυσεν ἄλλως αὐτὸ μεταβαλεῖν. Πρότερον ἀναγκαῖον εἰπεῖν τίνος ἕνεκεν οἱ Ἀθηναῖοι ἔγραψαν, «ἀγνώστῳ Θεῷ». Τίνος οὖν

---

10. Γιὰ τὴ νίκη τοῦ Δαβὶδ ἐπὶ τοῦ Γολιὰθ βλ. Α' Βασ. 17,1–54.

παράταξη, γιὰ νὰ πολεμάει μαζὶ μὲ τὸν Παῦλο τοὺς Ἀθηναίους, ἀλλὰ νὰ μὴ βάλλει μαζὶ μὲ τοὺς Ἀθηναίους ἐναντίον τοῦ Παύλου. Γιατὶ ἡ ἐπιγραφὴ ἐκείνη ἦταν ξίφος τῶν Ἀθηναίων, μαχαίρι τῶν ἐχθρῶν, ἀλλὰ τὸ μαχαίρι αὐτὸ ἔκοψε τὸ κεφάλι τῶν ἐχθρῶν. Δὲ θὰ ἦταν τόσο θαυμαστὸ ἂν τοὺς αἰχμαλώτιζε μὲ τὰ δικά του ὅπλα· γιατὶ αὐτὸ εἶναι λογικὸ νὰ συμβαίνει. Ἀλλὰ τὸ πρωτάκουστο καὶ παραδόξο εἶναι, ὅταν τὰ ἴδια τὰ ὅπλα τῶν ἐχθρῶν ὁδηγοῦνται σὰν πολεμικὲς μηχανὲς ἐναντίον τους, ὅταν τὸ ξίφος ποὺ βαστάζουν ἐναντίον μας, αὐτὸ τὸ ἴδιο τοὺς ἐπιφέρει τὸ θανάσιμο χτύπημα.

4. Γιατὶ τέτοια εἶναι ἡ δύναμη τοῦ Πνεύματος. Ἔτσι ἔκαμε καὶ ὁ Δαβὶδ κάποτε. Βγῆκε χωρὶς ὅπλα νὰ πολεμήσει, γιὰ νὰ φανεῖ καθαρὰ ἡ χάρη τοῦ Θεοῦ. Γιατὶ τίποτε τὸ ἀνθρώπινο, λέγει, ἂς μὴν ὑπάρχει, ὅταν ὁ Θεὸς πολεμάει γιὰ μᾶς. Βγῆκε λοιπὸν χωρὶς ὅπλα καὶ ἔριξε κάτω τὸν πύργο ἐκεῖνον. Ἔπειτα, ἐπειδὴ δὲν εἶχε ὅπλα, ἔτρεξε καὶ πῆρε τὸ μαχαίρι τοῦ Γολιάθ, καὶ ἔτσι ἔκοψε τὸ κεφάλι τοῦ βαρβάρου[10]. Τὸ ἴδιο καὶ ὁ Παῦλος ἔκαμε μὲ τὴν ἐπιγραφὴ αὐτή. Καὶ γιὰ νὰ γίνει πιὸ κατανοητὸς ὁ τρόπος τῆς νίκης, θὰ σᾶς πῶ καὶ τὴ δύναμη τῆς ἐπιγραφῆς.

Βρῆκε λοιπὸν ὁ Παῦλος στὴν Ἀθήνα βωμό, ἐπάνω στὸν ὁποῖο εἶχε τεθεῖ ἡ ἐπιγραφὴ «στὸν Ἄγνωστο Θεό». Ποιός ὅμως ἦταν ἐκεῖνος τὸν ὁποῖο ἀγνοοῦσαν, παρὰ μόνο ὁ Χριστός; Εἶδες πῶς αἰχμαλώτισε τελείως τὴν ἐπιγραφή, ὄχι γιὰ κακὸ ἐκείνων ποὺ τὴν ἔγραψαν, ἀλλὰ γιὰ δική τους σωτηρία καὶ πρόνοια; Τί λοιπόν; Οἱ Ἀθηναῖοι, λέγει, ἔγραψαν τὴν ἐπιγραφὴ αὐτὴ γιὰ τὸ Χριστό; Ἂν οἱ Ἀθηναῖοι τὴν ἔγραφαν γιὰ τὸ Χριστό, δὲ θὰ ἦταν τόσο θαυμαστό· ἀλλὰ τοῦτο εἶναι τὸ θαυμαστό, ὅτι δηλαδὴ ἐκεῖνοι τὴν ἔγραψαν μὲ ἄλλο νόημα, αὐτὸς ὅμως μπόρεσε νὰ τῆς ἀλλάξει νόημα. Πρῶτα εἶναι ἀνάγκη νὰ ποῦμε γιὰ ποιό λόγο οἱ Ἀθηναῖοι ἔγραψαν, «στὸν Ἄγνωστο Θεό».

ἕνεκεν ἔγραψαν; Πολλοὺς εἶχον θεοὺς ἐκεῖνοι, μᾶλλον δὲ πολλοὺς δαίμονας· «πάντες γὰρ οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια». Εἶχον καὶ ἐπιχωρίους, καὶ ξένους. Ὁρᾶτε ὅσος ὁ κατάγελως. Εἰ γὰρ Θεός ἐστιν, οὐκ ἔστι ξένος· τῆς γὰρ οἰκουμένης ἁπάσης Δεσπότης ἐστί. Τούτων τοίνυν τοὺς μὲν παρὰ πατέρων εἶχον δεξάμενοι, τοὺς δὲ ἀπὸ τῶν πλησίον ἐθνῶν, οἷον ἀπὸ Σκυθῶν, ἀπὸ Θρᾳκῶν, ἀπὸ Αἰγυπτίων· καὶ εἰ τῆς ἔξωθεν παιδεύσεως ἦτε ἔμπειροι, καὶ ταύτας ἂν ὑμῖν ἀνέγνων τὰς ἱστορίας πάσας.

Ἐπεὶ οὖν οὐκ ἐξ ἀρχῆς πάντας ἐδέξαντο, ἀλλὰ κατὰ μικρὸν εἰσηνέχθησαν αὐτοῖς, οἱ μὲν ἐπὶ τῶν πατέρων, οἱ δὲ ἐπὶ τῆς γενεᾶς τῆς ἑαυτῶν, συνελθόντες εἶπον πρὸς ἀλλήλους· ὅτι 'ὥσπερ τούτους ἠγνοοῦμεν, φασίν, ἔπειτα ὕστερον αὐτοὺς ἐδεξάμεθα καὶ ἐγνωρίσαμεν, οὕτω συμβαίνει καὶ ἄλλον εἶναι ἀγνοούμενον, καὶ ὄντα μὲν Θεόν, οὐ γνωριζόμενον δὲ ὑφ' ἡμῶν· καὶ διὰ τοῦτο λανθάνει ἀμελούμενος καὶ μηδὲ θεραπευόμενος'. Τί οὖν ἵνα γένηται; Ἔστησαν βωμὸν καὶ ἔγραψαν, «ἀγνώστῳ Θεῷ», τοῦτο λέγοντες διὰ τοῦ ἐπιγράμματος· ὅτι 'καὶ εἴ τίς ἐστι θεὸς ἕτερος οὐδέπω γνωρισθεὶς ἡμῖν, κακεῖνον θεραπεύσωμεν'. Ὅρα ὑπερβολὴν δεισιδαιμονίας. Διὰ τοῦτο ὁ Παῦλος ἀρχόμενος ἔφη, «κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς ὁρῶ»· οὐ γὰρ τοὺς γνωρίμους ὑμῖν δαίμονας θεραπεύετε μόνον, ἀλλὰ καὶ τοὺς οὐδέπω γνωρισθέντας ὑμῖν. Ἐκεῖνοι μὲν διὰ τοῦτο ἐπέγραψαν, «ἀγνώστῳ Θεῷ», ὁ δὲ Παῦλος ἡρμήνευσεν. Οἱ μὲν γὰρ τοῦτο περὶ ἄλλων ἔλεγον, αὐτὸς δὲ αὐτὸ μετέστησεν ἐπὶ τὸν Χριστόν, αἰχμαλωτίσας τὸ νόημα καὶ μεθ' ἑαυτοῦ στήσας ἐν τῇ παρατάξει τῇ ἑαυτοῦ· «ὃν γὰρ ἀγνοοῦντες εὐσεβεῖτε ὑμεῖς, τοῦτον ἐγὼ

11. Ψαλμ. 95,5.
12. Πράξ. 17,22.

Γιὰ ποιό λοιπὸν λόγο ἔγραψαν; Ἐκεῖνοι εἶχαν πολλοὺς θεούς, ἢ καλύτερα πολλοὺς δαίμονες. Γιατὶ «ὅλοι οἱ θεοὶ τῶν ἐθνικῶν εἶναι δαιμόνια»[11]. Εἶχαν καὶ τοπικούς, εἶχαν καὶ ξένους. Βλέπετε πόσος εἶναι ὁ ἐμπαιγμός. Ἂν πραγματικὰ εἶναι θεός, δὲν εἶναι ξένος, γιατὶ εἶναι Κύριος ὅλης τῆς οἰκουμένης. Ἀπ' αὐτοὺς λοιπὸν τοὺς θεοὺς ἄλλους τοὺς δέχθηκαν ἀπὸ τοὺς πατέρες τους, ἄλλους ἀπὸ τοὺς γειτονικοὺς λαούς, ὅπως ἀπὸ τοὺς Σκύθες, ἀπὸ τοὺς Θράκες, ἀπὸ τοὺς Αἰγυπτίους· καὶ ἂν κατείχατε τὴν ἑλληνικὴ παιδεία, θὰ μποροῦσα νὰ σᾶς διαβάσω ὅλες αὐτὲς τὶς ἱστορίες.

Ἐπειδὴ λοιπὸν δὲν τοὺς δέχθηκαν ὅλους ἀπὸ τὴν ἀρχή, ἀλλὰ σιγὰ-σιγὰ ἐμφανίσθηκαν σ' αὐτούς, ἄλλοι στὴν ἐποχὴ τῶν πατέρων τους καὶ ἄλλοι στὴ γενιὰ τὴ δική τους, συγκεντρώθηκαν καὶ εἶπαν μεταξύ τους· 'ὅπως ἀκριβῶς ἀγνοούσαμε αὐτούς', λέγουν, 'καὶ στὴ συνέχεια τοὺς δεχθήκαμε καὶ τοὺς γνωρίσαμε, ἔτσι συμβαίνει νὰ ὑπάρχει καὶ ἄλλος ἄγνωστος, ὁ ὁποῖος εἶναι βέβαια Θεός, ἀλλὰ δὲν τὸν γνωρίζουμε ἐμεῖς· καὶ γι' αὐτὸ μένει παραμελημένος καὶ χωρὶς νὰ λατρεύεται'. Τί λοιπὸν ἔπρεπε νὰ γίνει; Ἔστησαν ἕνα βωμὸ καὶ ἔγραψαν, «στὸν Ἄγνωστο Θεό», λέγοντας αὐτὸ μὲ τὴν ἐπιγραφή· ὅτι δηλαδή, 'καὶ ἂν ὑπάρχει κάποιος ἄλλος θεὸς ποὺ δὲν τὸν γνωρίσαμε ἀκόμη, ἂς τὸν λατρεύσουμε καὶ ἐκεῖνον. Πρόσεχε ὑπερβολικὴ εὐλάβεια. Γι' αὐτὸ ὁ Παῦλος στὴν ἀρχὴ τοῦ λόγου του εἶπε, «σᾶς βλέπω εὐλαβέστατους ἀπὸ κάθε ἄποψη»[12], γιατὶ δὲ λατρεύετε μόνο τοὺς γνωστούς σας θεούς, ἀλλὰ καὶ αὐτοὺς ποὺ δὲ γνωρίσατε ἀκόμη. Ἐκεῖνοι βέβαια γι' αὐτὸ ἔγραψαν τὴν ἐπιγραφή, «στὸν Ἄγνωστο Θεό», ἐνῶ ὁ Παῦλος τὴν ἐξήγησε. Γιατὶ οἱ Ἀθηναῖοι ἔλεγαν αὐτὸ γιὰ ἄλλους, αὐτὸς ὅμως τὸ μετέφερε στὸ Χριστό, αἰχμαλωτίζοντας τὸ νόημα καὶ τοποθετώντας το μαζί του στὴ δική του παράταξη. «Γιατί», λέγει, «αὐτὸν ποὺ ἐσεῖς λατρεύετε χωρὶς νὰ τὸν γνωρίζετε, αὐτὸν ἐγὼ τώρα σᾶς

καταγγέλλω», φησίν· ἄγνωστος γὰρ Θεὸς οὐδεὶς ἄλλος ἐστὶν ἢ ὁ Χριστός.

Καὶ ὅρα σύνεσιν πνευματικήν. Ἔμελλον αὐτῷ μετὰ ταῦτα ἐγκαλεῖν, ὅτι 'ξενίζοντα εἰσφέρεις δόγματα εἰς τὰς ἀκοὰς ἡμῶν, ὅτι κανοτομεῖς, ὅτι θεὸν εἰσφέρεις, ὃν οὐκ ἴσμεν'. Βουλόμενος τοίνυν ἀπαλλαγῆναι τῆς ὑποψίας τῆς κατὰ τὴν καινοτομίαν καὶ δεῖξαι ὅτι οὐ ξένον κηρύττει θεόν, ἀλλ' ὃν προλαβόντες διὰ τῆς θεραπείας ἐτίμησαν, ἐπήγαγε καὶ εἶπεν· ὅτι «ὃν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν». Ὑμεῖς με προελάβετε, φησίν· ἔφθασεν ὑμῶν ἡ θεραπεία τὸ ἐμὸν κήρυγμα. Μὴ τοίνυν ἐγκαλεῖτε, ὅτι ξένον εἰσφέρω θεόν· τοῦτον γὰρ καταγγέλλω, ὃν ὑμεῖς ἀγνοοῦντες θεραπεύετε, οὐκ ἀξίῳ μὲν αὐτοῦ τρόπῳ, θεραπεύετε δὲ ὅμως. Οὐ γὰρ τοιοῦτος βωμὸς ἵσταται τῷ Χριστῷ, ἀλλὰ βωμὸς ἔμψυχος καὶ πνευματικός· ἀλλ' ἀπὸ τούτου ὑμᾶς καὶ πρὸς ἐκεῖνον ἀναγαγεῖν δύναμαι. Οὕτω καὶ Ἰουδαῖοι τὸ παλαιὸν ἐθεράπευον· ἀλλ' ἀπέστησαν ἀπὸ τῆς σωματικῆς θεραπείας καὶ ἦλθον ἐπὶ τὴν πνευματικὴν οἱ πιστεύσαντες ἅπαντες.

Εἶδες σοφίαν Παύλου; εἶδες σύνεσιν; εἶδες πῶς αὐτοὺς ἐχειρώσατο, οὐκ ἀπὸ Εὐαγγελίων, οὐκ ἀπὸ προφητικῶν, ἀλλὰ ἀπὸ ἐπιγράμματος; Μὴ παράτρεχε τοίνυν, ἀγαπητέ, τὴν ἐπιγραφὴν τῶν θείων λογίων· ἂν μὲν νήφῃς καὶ ἐγρήγορος ᾖς, καὶ ἐν ἀλλοτρίοις εὑρίσκεις τι χρήσιμον· ἂν δὲ ῥᾴθυμος καὶ ἀναπεπτωκώς, οὐδὲ ἀπὸ τῶν θείων Γραφῶν ἔσται σοί τι πλέον. Ὥσπερ γὰρ ὁ εἰδὼς κερδαίνειν, πανταχόθεν κερδαίνει· οὕτω καὶ ὁ μὴ εἰδώς, κἂν θησαυρὸν εὕρῃ, κενὸς ἄπεισι.

Βούλεσθε εἴπω καὶ ἕτερόν τι τοιοῦτον ἐπιχείρημα, ὅπερ ἄλλος μὲν μεθ' ἑτέρας ἐφθέγξατο διανοίας, ὁ δὲ εὐαγγελιστὴς πρὸς ἑαυτὸν μετέθηκε τῶν εἰρημένων τὴν δύναμιν; Οὐκοῦν

---

13. Πράξ. 17,23.

κάνω γνωστό»[13]. Γιατὶ ἄγνωστος Θεὸς δὲν εἶναι κανεὶς ἄλλος παρὰ μόνο ὁ Χριστός.

Καὶ πρόσεχε πνευματικὴ σύνεση. Ἐπρόκειτο ὕστερα ἀπ' αὐτὰ νὰ τὸν κατηγορήσουν, λέγοντας, 'παρουσιάζεις ξένες διδασκαλίες στὰ αὐτιά μας, καινοτομεῖς, φέρνεις ἕνα θεὸ ποὺ δὲν τὸν γνωρίζουμε'. Θέλοντας λοιπὸν ν' ἀπαλλαγεῖ ἀπὸ τὴν ὑποψία τὴ σχετικὴ μὲ τὴν καινοτομία καὶ ν' ἀποδείξει ὅτι δὲν κηρύττει ξένο θεό, ἀλλὰ ἐκεῖνον ποὺ προκαταβολικὰ τίμησαν μὲ τὴ λατρεία, πρόσθεσε καὶ εἶπε· «αὐτὸν ποὺ ἐσεῖς λατρεύετε χωρὶς νὰ τὸν γνωρίζετε, αὐτὸν ἐγὼ τώρα σᾶς κάνω γνωστό». Ἐσεῖς μὲ προλάβατε, λέγει· ἡ λατρεία σας πρόφθασε τὸ κήρυγμά μου. Μὴ λοιπὸν μὲ κατηγορεῖτε ὅτι φέρνω ξένο θεό, γιατὶ σᾶς κάνω γνωστὸ αὐτὸν ποὺ ἐσεῖς λατρεύετε χωρὶς νὰ τὸν γνωρίζετε, ὄχι βέβαια μὲ τὸν τρόπο ποὺ τοῦ ἀξίζει, ἀλλ' ὅμως τὸν λατρεύετε. Γιατὶ δὲ στήνεται στὸ Χριστὸ τέτοιος βωμός, ἀλλὰ βωμὸς ἔμψυχος καὶ πνευματικός· μπορῶ ὅμως ἀπ' αὐτὸν νὰ σᾶς ὁδηγήσω σ' ἐκεῖνον. Ἔτσι καὶ οἱ Ἰουδαῖοι λάτρευαν παλιά, ἀλλὰ ἀπομακρύνθηκαν ἀπὸ τὴ σωματικὴ λατρεία καὶ ἦρθαν στὴν πνευματικὴ ὅλοι ὅσοι πίστεψαν.

Εἶδες σοφία Παύλου; εἶδες σύνεση; εἶδες πῶς τοὺς αἰχμαλώτισε, ὄχι ἀπὸ τὰ Εὐαγγέλια, ὄχι ἀπὸ τὰ προφητικὰ βιβλία, ἀλλὰ ἀπὸ τὴν ἐπιγραφή; Μὴν παραβλέπεις λοιπόν, ἀγαπητέ, τὴν ἐπιγραφὴ τῶν θείων λογίων. Ἂν εἶσαι νηφάλιος καὶ προσεκτικός, καὶ στὰ ξένα βρίσκεις κάτι χρήσιμο· ἂν ὅμως εἶσαι ἀδιάφορος καὶ νωθρός, οὔτε ἀπὸ τὶς θεῖες Γραφὲς θὰ ὑπάρξει γιὰ σένα κάτι περισσότερο. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ γνωρίζει νὰ κερδίζει, κερδίζει ἀπὸ παντοῦ, ἔτσι καὶ ἐκεῖνος ποὺ δὲ γνωρίζει, ἀκόμα καὶ θησαυρὸ νὰ βρεῖ, φεύγει ἄδειος.

Θέλετε νὰ σᾶς πῶ καὶ κάποιο ἄλλο ἐπιχείρημα, ποὺ ἄλλος τὸ εἶπε μὲ διαφορετικὸ νόημα καὶ ὁ εὐαγγελιστὴς μετέφερε στὸν ἑαυτό του τὴ δύναμη τῶν λεχθέντων; Λοιπὸν προσέχετε

προσέχετε ἀκριβῶς, ἵνα μάθητε, ὅτι κἀκεῖνος ᾐχμαλώτισε τὸ νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ· ἵνα μάθητε, ὅτι εἰ τὰ ἀλλότρια αἰχμαλωτίζειν δυνάμεθα, πολλῷ μᾶλλον ἐν τοῖς οἰκείοις ἐμπορευσόμεθα καὶ κερδανοῦμεν. Ὁ Καϊάφας ἀρχιερεὺς ἦν τοῦ ἐνιαυτοῦ ἐκείνου· καὶ γὰρ καὶ τοῦτο τῆς ἰουδαϊκῆς ἐγένετο πονηρίας· κατῄσχυνον γὰρ τὸ τῆς ἱερωσύνης ἀξίωμα, ὠνητοὺς ποιήσαντες ἀχριερέας. Ἔμπροσθεν δὲ οὐχ οὕτως ἦν, ἀλλὰ τῇ τελευτῇ μόνῃ κατελύετο ἡ ἱερωσύνη τοῦ ἀρχιερέως· τότε δὲ καὶ ζῶντες παρελύοντο τῆς τιμῆς. Ἀρχιερεὺς τοίνυν ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου ὁ Καϊάφας, καθώπλιζε κατὰ τοῦ Χριστοῦ τοὺς Ἰουδαίους, καὶ ἔλεγεν· ὅτι δεῖ τοῦτον ἀποθανεῖν, ἐγκαλεῖν μὲν οὐδὲν ἔχων, βασκανίᾳ δὲ τηκόμενος.

Τοιοῦτον γὰρ ὁ φθόνος· τῶν εὐεργεσιῶν τοιαύτας ἀποδίδωσι τὰς ἀμοιβάς. Ὅθεν καὶ τὴν αἰτίαν διδάσκων τῆς ἐπιβουλῆς ἔλεγε· «συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται». Τούτου τοῦ ῥήματος ἡ δύναμις ὅρα πῶς μεθ' ἡμῶν ἐγένετο· ἵνα μάθῃς ὅτι τὸ μὲν ῥῆμα ἦν τοῦ ἱερέως, τὸ δὲ νόημα ἠδυνήθη γενέσθαι πνευματικόν. «Συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται». «Τοῦτο δὲ οὐκ ἔλεγεν ἀφ' ἑαυτοῦ», φησίν, «ἀλλ' ὅτι ἀρχιερεὺς ἦν τοῦ ἐνιαυτοῦ ἐκείνου, προεφήτευσεν», ὅτι δεῖ τὸν Χριστὸν ἀποθανεῖν, οὐ μόνον ὑπὲρ Ἰουδαίων, ἀλλὰ καὶ ὑπὲρ ὅλου τοῦ ἔθνους· διὰ τοῦτο καὶ ἔλεγεν, ὅτι «συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται». Εἶδες δύναμιν Θεοῦ, πῶς τὴν γλῶτταν τῶν ἐχθρῶν ἀναγκάζει τὰ ὑπὲρ τῆς ἀληθείας λέγειν;

5. Ἵνα μὲν οὖν μὴ παρατρέχωμεν τὰς ἐπιγραφὰς τῶν θείων Γραφῶν, ἀρκούντως ταῦτα εἴρηται, ἐὰν μνημονεύητε· ἐβουλό-

---

14. Ἰω. 11,50.
15. Ἰω. 11,51.

πάρα πολύ, γιὰ νὰ μάθετε πὼς καὶ ἐκεῖνος αἰχμαλώτισε τὸ νόημα πρὸς ὑπακοὴν τῶν ἀνθρώπων στὸ Χριστό, γιὰ νὰ μάθετε πώς, ἂν μποροῦμε νὰ αἰχμαλωτίζουμε τὰ ξένα, πολὺ περισσότερο θὰ ἐμπορευθοῦμε στὰ δικά μας καὶ θὰ κερδίσουμε. Ὁ Καϊάφας ἦταν ἀρχιερέας τὸ χρόνο ἐκεῖνον. Γιατὶ καὶ τοῦτο ἦταν ἔργο τῆς κακίας τῶν Ἰουδαίων, καθόσον ἀτίμαζαν τὸ ἀξίωμα τῆς ἱερωσύνης, κάνοντας ἀρχιερεῖς ποὺ ἀγόραζαν τὸ ἀξίωμά τους. Πιὸ μπροστὰ δὲ συνέβαιναν ἔτσι τὰ πράγματα, ἀλλὰ μόνο μὲ τὸ θάνατο λυνόταν ἡ ἱερωσύνη τοῦ ἀρχιερέα· τότε ὅμως ἔχαναν τὸ ἀξίωμα καὶ ἐνῷ ζοῦσαν. Ὁ Καϊάφας λοιπὸν ἦταν ἀρχιερέας γιὰ τὸ χρόνο ἐκεῖνον καὶ ὅπλιζε τοὺς Ἰουδαίους ἐναντίον τοῦ Χριστοῦ καὶ ἔλεγε ὅτι πρέπει αὐτὸς νὰ πεθάνει, χωρὶς βέβαια νὰ μπορεῖ νὰ τοῦ ἀπευθύνει καμιὰ κατηγορία, ἀλλ' ἐπειδὴ ἔλειωνε ἀπὸ τὸ φθόνο.

Πραγματικὰ τέτοιος εἶναι ὁ φθόνος· στὶς εὐεργεσίες ἀνταποδίδει τέτοιες ἀμοιβές. Γι' αὐτὸ διδάσκοντας καὶ τὴν αἰτία τῆς ἐπιβουλῆς ἔλεγε· «μᾶς συμφέρει νὰ πεθάνει ἕνας ἄνθρωπος, παρὰ ν' ἀφανισθεῖ ὁλόκληρο τὸ ἔθνος»[14]. Πρόσεχε μὲ ποιό τρόπο τάχθηκε μαζί μας ἡ δύναμη αὐτοῦ τοῦ λόγου, γιὰ νὰ μάθεις πὼς ὁ λόγος βέβαια ἦταν τοῦ ἱερέα, ἀλλὰ τὸ νόημά του μπόρεσε νὰ γίνει πνευματικό. «Μᾶς συμφέρει νὰ πεθάνει ἕνας ἄνθρωπος, παρὰ ν' ἀφανισθεῖ ὁλόκληρο τὸ ἔθνος». «Αὐτὸ δὲν τὸ ἔλεγε ἀπὸ μόνος του», λέγει ὁ εὐαγγελιστής, «ἀλλ' ἐπειδὴ ἦταν ἀρχιερέας γιὰ τὸ χρόνο ἐκεῖνον προφήτεψε»[15], ὅτι πρέπει ὁ Χριστὸς νὰ πεθάνει, ὄχι μόνο γιὰ τοὺς Ἰουδαίους, ἀλλὰ καὶ γιὰ ὁλόκληρο τὸ ἔθνος. Γι' αὐτὸ καὶ ἔλεγε πὼς «εἶναι συμφέρον μας νὰ πεθάνει ἕνας ἄνθρωπος, παρὰ ν' ἀφανισθεῖ ὁλόκληρο τὸ ἔθνος». Εἶδες τὴ δύναμη τοῦ Θεοῦ, πῶς ἀναγκάζει τὴ γλῶσσα τῶν ἐχθρῶν νὰ μιλάει γιὰ τὴν ἀλήθεια;

5. Γιὰ νὰ μὴ παρατρέχουμε λοιπὸν τὶς ἐπιγραφὲς τῶν θείων Γραφῶν εἶναι ἀρκετὰ αὐτὰ ποὺ λέχθηκαν, ἂν τὰ διατηρεῖτε στὴ

μην δὲ εἰπεῖν καὶ τίς ὁ γράψας τὸ βιβλίον καὶ πότε καὶ τίνος ἕνεκεν ἔγραψεν. Ἀλλὰ τέως ταῦτα κατέχωμεν· ἐκεῖνα δὲ εἰς τὴν ἐπιοῦσαν, ἐὰν ὁ Θεὸς θέλῃ, ἀποδώσομεν. Βούλομαι γὰρ λοιπὸν πρὸς τοὺς νεοφωτίστους ἀγαγεῖν τὸν λόγον. Νεοφωτίστους δὲ λέγω, οὐχὶ τοὺς πρὸ δύο καὶ τριῶν, οὐδὲ πρὸ δέκα ἡμερῶν φωτισθέντας μόνον, ἀλλὰ καὶ τοὺς πρὸ ἐνιαυτοῦ καὶ τοὺς πρὸ πλείονος χρόνου· καὶ γὰρ καὶ τούτους οὕτω χρὴ καλεῖν. Εἰ γὰρ πολλὴν σπουδὴν ἐπιδεικνύμεθα περὶ τὴν ἑαυτῶν ψυχήν, ἔξεστι καὶ μετὰ δέκα ἔτη εἶναι νεοφωτίστους, ἐὰν τὴν νεότητα τὴν ἀπὸ τοῦ φωτίσματος ἐγγινομένην ἡμῖν διασώσωμεν. Οὐδὲ γὰρ ὁ χρόνος ποιεῖ νεοφώτιστον, ἀλλ' ὁ βίος ὁ καθαρός· ἐγχωρεῖ γὰρ καὶ μετὰ δύο ἡμέρας ἀπολέσαι τὸ ἀξίωμα τῆς προσηγορίας τὸν μὴ προσέχοντα.

Καὶ τούτου παράδειγμα ὑμῖν ἐρῶ, πῶς νεοφώτιστος εὐθέως ἀπώλεσε μετὰ δύο ἡμέρας καὶ τὴν χάριν τοῦ νεοφωτίστου καὶ τὴν τιμήν. Λέγω δὲ τὸ παράδειγμα, ἵνα ἰδόντες τὸ πτῶμα, ἀσφαλίσησθε τὴν ἑαυτῶν σωτηρίαν. Οὐ γὰρ ἀπὸ τῶν ἑστώτων ὑμᾶς μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ὑπεσκελισμένων διορθοῦσθαι χρὴ καὶ θεραπεύειν. Σίμων ὁ μάγος μεταβάλετο, φησί, καὶ βαπτισθεὶς προσκαρτερῶν ἦν τῷ Φιλίππῳ, θεωρῶν τὰ σημεῖα· ἀλλὰ μετ' ὀλίγας ἡμέρας εὐθέως ἐπανῆλθεν ἐπὶ τὴν ἑαυτοῦ κακίαν, καὶ διὰ χρημάτων ἐβούλετο τὴν σωτηρίαν πρίασθαι. Τί οὖν φησι τῷ νεοφωτίστῳ ὁ Πέτρος; «Εἰς χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα· διὸ δεήθητι τοῦ Κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ κακία αὕτη». Οὔπω ἀνέβη εἰς τοὺς ἀγῶνας, καὶ εὐθέως ἔπεσεν εἰς πτῶμα ἀσύγγνωστον.

Ὥσπερ οὖν ἔστι μετὰ δύο ἡμέρας πεσεῖν καὶ ἀπολέσαι τὴν προσηγορίαν τοῦ νεοφωτίστου καὶ τὴν χάριν, οὕτω καὶ μετὰ

---

16. Πράξ. 8,23. 22.

μνήμη σας. Ἤθελα ὅμως νὰ σᾶς πῶ καὶ ποιός εἶναι ὁ συγγραφέας τοῦ βιβλίου καὶ πότε καὶ γιὰ ποιό σκοπὸ τὸ ἔγραψε. Ἀλλὰ πρῶτα ἂς κάνουμε κτῆμα μας αὐτά, καὶ ἐκεῖνα ἂς τὰ ἀποδώσουμε αὔριο, ἂν θέλει ὁ Θεός. Γιατὶ θέλω στὴ συνέχεια νὰ φέρω τὸ λόγο στοὺς νεοφώτιστους. Καὶ νεοφώτιστους λέγω ὄχι μόνο ἐκείνους ποὺ βαπτίσθηκαν πρὶν ἀπὸ δύο καὶ τρεῖς ἡμέρες οὔτε πρὶν ἀπὸ δέκα, ἀλλὰ καὶ ἐκείνους ποὺ βαπτίσθηκαν πρὶν ἀπὸ περισσότερο καιρό, γιατὶ βέβαια καὶ αὐτοὺς ἔτσι πρέπει νὰ τοὺς ὀνομάζουμε. Γιατί, ἂν δείχνουμε μεγάλη φροντίδα γιὰ τὴν ψυχή μας, εἶναι δυνατὸ καὶ ὕστερα ἀπὸ δέκα χρόνια νὰ εἴμαστε νεοφώτιστοι, ἂν διατηρήσουμε τὴ νεότητα ποὺ ἀπὸ τὸ βάπτισμα γεννιέται μέσα μας. Γιατὶ δὲν κάνει κάποιον νεοφώτιστο ὁ χρόνος, ἀλλὰ ἡ καθαρὴ ζωή, ἀφοῦ ὅποιος δὲν προσέχει μπορεῖ καὶ ὕστερα ἀπὸ δύο μέρες νὰ χάσει τὴν τιμὴ τοῦ ὀνόματός του.

Καὶ θὰ σᾶς ἀναφέρω ἕνα παράδειγμα γι' αὐτό, πῶς δηλαδὴ ἕνας νεοφώτιστος ἔχασε ἀμέσως ὕστερα ἀπὸ δύο μέρες καὶ τὴ χάρη τοῦ νεοφώτιστου καὶ τὴν τιμή. Καὶ ἀναφέρω τὸ παράδειγμα γιὰ νὰ δεῖτε τὸ σφάλμα καὶ νὰ προφυλάξετε τὴ σωτηρία σας. Γιατὶ ὄχι μόνο ἀπ' αὐτοὺς ποὺ στάθηκαν σταθεροὶ στὴν πίστη, ἀλλὰ καὶ ἀπ' αὐτοὺς ποὺ ἔπεσαν πρέπει νὰ σᾶς διορθώνω καὶ νὰ σᾶς θεραπεύω. Ὁ Σίμων ὁ μάγος μετανόησε, λέγει ἡ Γραφή, καὶ ἀφοῦ βαπτίσθηκε προσκολλήθηκε στὸ Φίλιππο βλέποντας τὰ θαύματα. Ἀλλὰ ὕστερα ἀπὸ λίγες ἡμέρες, ἀμέσως ἐπέστρεψε στὴν κακία του καὶ ἤθελε μὲ χρήματα ν' ἀγοράσει τὴ σωτηρία. Τί λοιπὸν λέγει στὸ νεοφώτιστο ὁ Πέτρος; «Σὲ βλέπω νὰ εἶσαι γεμάτος ἀπὸ κακία καὶ κυριευμένος ἀπὸ τὴν ἀδικία. Γι' αὐτὸ παρακάλεσε τὸν Κύριο, μήπως σοῦ συγχωρήσει αὐτὴ τὴν κακία»[16]. Δὲν μπῆκε ἀκόμα στοὺς ἀγῶνες καὶ ἀμέσως ἔπεσε σὲ σφάλμα ἀσυγχώρητο.

Ὅπως λοιπὸν εἶναι δυνατὸ νὰ πέσει κανεὶς ὕστερα ἀπὸ δύο ἡμέρες καὶ νὰ χάσει τὴν ὀνομασία καὶ τὴ χάρη τοῦ νεοφώ-

δέκα ἔτη καὶ εἴκοσι καὶ μέχρι τῆς ἐσχάτης ἡμέρας ἔστιν ἔχειν καὶ λαμπρὸν τοῦτο καὶ σεμνὸν ὄνομά τε καὶ πρᾶγμα. Καὶ τούτου μάρτυς ἀπόστολος Παῦλος, ἐν γήρᾳ διαλάμψας μειζόνως. Ἐπειδὴ γὰρ ἡ νεότης αὕτη οὐκ ἀπὸ φύσεως, ἀλλ' ἑκατέρας προαιρέσεως ἡμεῖς ἐσμεν κύριοι, καὶ τὸ γηρᾶσαι καὶ μεῖναι νέους ἐν ἡμῖν ἐστι κείμενον. Ἐπὶ μὲν γὰρ τοῦ σώματος κἂν ἅπαντά τις ἐπισπουδάζῃ, κἂν ἅπαντά τις πραγματεύηται, καὶ μὴ κατατείνῃ τοῖς πόνοις αὐτὸ καὶ τοῖς συνεχέσιν ἔργοις, πάντως κατὰ τὸν τῆς φύσεως νόμον καὶ οὕτως αὐτὸ καταλήψεται τὸ γῆρας· ἐπὶ δὲ τῆς ψυχῆς οὐχ οὕτως· ἀλλ' ἂν μὴ κατατρίβῃς αὐτήν, μηδὲ κατατείνῃς πόνοις βιωτικοῖς καὶ κοσμικαῖς φροντίσι, μένει διαπαντὸς ἀκραιφνῆ τὴν νεότητα διατηροῦσα.

Οὐχ ὁρᾶτε τούτους τοὺς ἀστέρας τοὺς ἐν τοῖς οὐρανοῖς; Ἑξακισχίλια λοιπὸν ἡμῖν ἔτη φαίνουσι καὶ οὐδεὶς αὐτῶν ἀμαυρότερος γέγονεν. Εἰ δὲ ἔνθα φύσις, οὕτως ἔμεινεν ἀκμαῖον τὸ φῶς, ἔνθα προαίρεσις, οὐ πολλῷ μᾶλλον μενεῖ τοιοῦτον, οἷον ἐξ ἀρχῆς ἔλαμψε; Μᾶλλον δέ, ἐὰν ἐθέλωμεν, οὐ τοιοῦτον μόνον μενεῖ, ἀλλὰ καὶ λαμπρότερον ἔσται, ὡς καὶ πρὸς αὐτὰς ἁμιλλᾶσθαι τὰς ἡλιακὰς ἀκτῖνας. Βούλει μαθεῖν πῶς ἔξεστι καὶ μετὰ χρόνον εἶναι νεοφωτίστους; Ἄκουσον τί φησιν ὁ Παῦλος πρὸς ἀνθρώπους πρὸ πολλοῦ τοῦ χρόνου πεφωτισμένους· «ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες εἰς καύχημα ἐμοί». Ἀπεδύσασθε τὸ παλαιὸν καὶ διερρωγὸς ἱμάτιον, ἠλείψασθε τὸ μύρον τὸ πνευματικόν, ἐλεύθεροι πάντες ἐγένεσθε· μηδεὶς λοιπὸν ἐπὶ τὴν δουλείαν ἐπανερχέσθω τὴν προτέραν. Πόλεμός ἐστι τὰ πράγματα καὶ ἀγών.

τιστου, ἔτσι καὶ ὕστερα ἀπὸ δέκα χρόνια καὶ εἴκοσι καὶ μέχρι τὴν τελευταία ἡμέρα εἶναι δυνατὸ νὰ ἔχει κανεὶς τὸ λαμπρὸ αὐτὸ καὶ σεμνὸ ὄνομα καὶ πράγμα. Καὶ γι' αὐτὸ μάρτυρας εἶναι ὁ ἀπόστολος Παῦλος, ποὺ στὰ γηρατειά του ἔλαμψε περισσότερο. Ἀφοῦ λοιπὸν ἡ νεότητα αὐτὴ δὲν ὑπάρχει ἀπὸ μόνη της, ἀλλὰ ἐμεῖς εἴμαστε κύριοι καὶ τῆς μιᾶς καὶ τῆς ἄλλης ἐκλογῆς, ἀπὸ μᾶς ἐξαρτᾶται καὶ τὸ νὰ γηράσουμε καὶ τὸ νὰ παραμείνουμε νέοι. Γιατὶ στὸ σῶμα καὶ ἂν ἀκόμη τὰ προσέχει κανεὶς ὅλα, καὶ ἂν τὰ φροντίζει ὅλα καὶ δὲν τὸ καταστρέφει, καὶ ἂν τὸ κρατάει μέσα στὸ σπίτι, καὶ ἂν δὲν τὸ βασανίζει μὲ κόπους καὶ μὲ ἀδιάκοπη ἐργασία, ὁπωσδήποτε σύμφωνα μὲ τὸ νόμο τῆς φύσης καὶ ἔτσι θὰ τὸ καταλάβουν τὰ γηρατειά. Στὴν ψυχὴ ὅμως δὲ συμβαίνει τὸ ἴδιο· ἀλλὰ ἂν δὲν τὴν καταστρέφεις καὶ δὲν τὴν βασανίζεις μὲ βιοτικοὺς κόπους καὶ κοσμικὲς φροντίδες, ἐξακολουθεῖ νὰ διατηρεῖ πάντοτε ἀκέραια τὴ νεότητά της.

Δὲ βλέπετε τὰ ἴδια τὰ ἀστέρια ποὺ βρίσκονται στοὺς οὐρανούς; Ἕξι χιλιάδες χρόνια συνέχεια μᾶς φωτίζουν καὶ κανένα ἀπ' αὐτὰ δὲν ἔγινε σκοτεινότερο. Ἂν ὅμως ἐδῶ ποὺ ὑπάρχει φύση, ἔμεινε τόσο ἀκμαῖο τὸ φῶς, ἐκεῖ ποὺ ὑπάρχει ἐλεύθερη ἐκλογὴ δὲ θὰ παραμείνει πολὺ περισσότερο τέτοιο, ὅπως ἔλαμψε ἀπὸ τὴν ἀρχή; Ἢ καλύτερα, ἂν θέλουμε, δὲ θὰ παραμείνει μόνο τέτοιο, ἀλλὰ θὰ γίνει καὶ πιὸ λαμπρό, ὥστε νὰ συναγωνίζεται καὶ αὐτὲς τὶς ἴδιες τὶς ἀκτίνες τοῦ ἥλιου. Θέλεις νὰ μάθεις πῶς εἶναι δυνατὸ καὶ ὕστερα ἀπὸ καιρὸ νὰ εἴμαστε νεοφώτιστοι; Ἄκουσε τί λέγει ὁ Παῦλος σὲ ἀνθρώπους ποὺ εἶχαν βαπτισθεῖ πρὶν ἀπὸ πολὺ καιρό· «ἀνάμεσα στοὺς ἀνθρώπους νὰ λάμπετε σὰν ἀστέρια στὸν κόσμο, μένοντας σταθεροὶ στὸ εὐαγγέλιο τῆς ζωῆς γιὰ δικό μου καύχημα»[17]. Βγάλατε τὸ παλιὸ καὶ σχισμένο ἔνδυμα, ἀλειφθήκατε τὸ πνευματικὸ μύρο, γίνατε ὅλοι ἐλεύθεροι. Ἂς μὴν ἐπιστρέψει πιὰ κανεὶς στὴν προηγούμενη δουλεία. Τὰ πράγματα αὐτὰ εἶναι πόλεμος καὶ ἀγώνας.

Οὐδεὶς ἀγωνίζεται δοῦλος, οὐδεὶς στρατεύεται οἰκέτης· ἀλλ' ἐὰν ἁλῷ δοῦλος ὤν, μετὰ τιμωρίας ἐκβάλλεται τοῦ τῶν στρατιωτῶν καταλόγου. Οὐκ ἐπὶ τῆς στρατείας δὲ ταύτης, ἀλλὰ καὶ ἐπὶ τῶν Ὀλυμπιακῶν ἀγώνων τὸ αὐτὸ τοῦτο ἔθος κρατεῖ. Μετὰ γὰρ τὰς τριάκοντα ἡμέρας τὰς ἐνταῦθα ἀναγαγόντες αὐτοὺς εἰς τὸ προάστειον περιάγουσι, καὶ τοῦ θεάτρου καθημένου παντός, βοᾷ ὁ κήρυξ, 'μή τις τούτου κατηγορεῖ;' ὥστε αὐτὸν ἀποσκευασάμενον τῆς δουλείας τὴν ὑποψίαν, οὕτως εἰς τοὺς ἀγῶνας ἐμβῆναι. Εἰ δὲ ὁ διάβολος οὐ δέχεται δούλους εἰς τοὺς ἀγῶνας τοὺς ἑαυτοῦ, πῶς σὺ τολμᾷς δοῦλος γενόμενος τῆς ἁμαρτίας εἰς τοὺς ἀγῶνας ἐμβῆναι τοῦ Χριστοῦ; Ἐκεῖ μὲν ὁ κήρυξ λέγει, 'μή τις τούτου κατήγορος', ἐνταῦθα δὲ ὁ Χριστὸς οὐχ οὕτω λέγει· ἀλλὰ κἂν ἅπαντες αὐτοῦ κατηγορήσωσι πρὸ τοῦ βαπτίσματος, λέγει, «ἐγὼ δέξομαι αὐτόν, καὶ ἀποσκευάσομαι τῆς δουλείας, καὶ ποιήσας ἐλεύθερον εἰς τοὺς ἀγῶνας εἰσάξω».

Εἶδες φιλανθρωπίαν ἀγωνοθέτου; Οὐ ζητεῖ τὰ πρότερα, ἀλλὰ τῶν μετὰ ταῦτα εὐθύνας ἀπαιτεῖ. Ὅτε δοῦλος ἦς, μυρίους εἶχες κατηγόρους, τὸ συνειδός, τὰ ἁμαρτήματα, τοὺς δαίμονας ἅπαντας. Οὐδείς με, φησίν, ἐκείνων ἐνίκησε κατὰ σοῦ οὐδὲ ἐνόμισά σε ἀνάξιον τῶν ἀγώνων τῶν ἐμῶν, ἀλλ' ἐδεξάμην εἰς τὰ παλαίσματα, οὐκ ἀπὸ τῆς ἀξίας τῆς σῆς, ἀλλ' ἀπὸ τῆς ἐμῆς φιλανθρωπίας. Μένε τοίνυν καὶ ἀγωνίζου, κἂν τρέχειν, δέῃ, κἂν πυκτεύειν, κἂν παγκρατιάζειν· μὴ ἀδήλως, μηδὲ ἁπλῶς, μηδὲ εἰκῇ. Ἄκουσον τί ἐποίησεν ὁ Παῦλος. Εὐθέως ἀπὸ τῶν ναμάτων ἀναβάς, αὐτίκα ἀπὸ τοῦ βαπτίσματος ἠγωνίζετο, ἐκήρυττεν ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ· καὶ συνέχυνε τοὺς Ἰουδαίους ἀπὸ πρώτης.

Ἀλλ' οὐ δύνασαι κηρῦξαι σύ, οὐδὲ ἔχεις διδασκαλικὸν λό-

18. Παγκράτιο· σύνθετο ἀγώνισμ ἀπὸ πάλη καὶ πυγμαχία.

19. Βλ. Πράξ. 9,22.

Κανεὶς δὲν ἀγωνίζεται ἐνῶ εἶναι δοῦλος, κανεὶς δὲν ὑπηρετεῖ στρατιώτης ἐνῶ εἶναι ὑπηρέτης· ἀλλὰ ἂν συλληφθεῖ ἐνῶ εἶναι δοῦλος, ὕστερα ἀπὸ τιμωρία διαγράφεται ἀπὸ τὸν κατάλογο τῶν στρατιωτικῶν. Καὶ ὄχι μόνο στὸ στρατὸ αὐτὸν ἀλλὰ καὶ στοὺς Ὀλυμπιακοὺς ἀγῶνες ἐπικρατεῖ ἡ ἴδια ἀρκιβῶς συνήθεια. Γιατί, μετὰ τὶς τριάντα ἡμέρες παραμονῆς τῶν ἀθλητῶν ἐδῶ, τοὺς ὁδηγοῦν στὸ προάστειο καὶ τοὺς περιφέρουν καί, ἐνῶ ὅλοι οἱ θεατὲς κάθονται, ὁ κήρυκας φωνάζει, 'μήπως κανεὶς τὸν κατηγορεῖ αὐτόν;', ὥστε, ἀφοῦ ἀπαλλαχθεῖ ἀπὸ τὴν ὑποψία τῆς δουλείας, νὰ μπεῖ ἔτσι στοὺς ἀγῶνες. Ἂν ὅμως ὁ διάβολος δὲ δέχεται δούλους στοὺς ἀγῶνες του, πῶς ἐσὺ τολμᾶς νὰ μπεῖς στοὺς ἀγῶνες τοῦ Χριστοῦ τὴ στιγμὴ ποὺ ἔγινες δοῦλος τῆς ἁμαρτίας; Ἐκεῖ ὁ κήρυκας λέγει, 'μήπως κανεὶς τὸν κατηγορεῖ αὐτόν;', ἐδῶ ὅμως ὁ Χριστὸς δὲ λέγει αὐτό, ἀλλά, καὶ ἂν ἀκόμη, λέγει, ὅλοι τὸν κατηγορήσουν πρὶν ἀπὸ τὸ βάπτισμα, «ἐγὼ θὰ τὸν δεχθῶ καὶ θὰ τὸν ἀπαλλάξω ἀπὸ τὴ δουλεία καὶ ἀφοῦ τὸν καταστήσω ἐλεύθερο θὰ τὸν εἰσαγάγω στοὺς ἀγῶνες».

Εἶδες φιλανθρωπία ἀγωνοθέτη; Δὲν ἐξετάζει τὰ προηγούμενα, ἀλλὰ ζητάει εὐθύνες γιὰ τὰ ἑπόμενα. Ὅταν ἦσουν δοῦλος, εἶχες ἄπειρους κατηγόρους, τὴ συνείδηση, τὰ ἁμαρτήματα, ὅλους τοὺς δαίμονες. Κανεὶς ἀπ' αὐτούς, λέγει, δὲ μὲ κίνησε ἐναντίον σου, οὔτε σὲ θεώρησα ἀνάξιο γιὰ τοὺς ἀγῶνες μου, ἀλλὰ σὲ δέχθηκα σ' αὐτούς, ὄχι ἐξ αἰτίας τῆς ἀξίας σου, ἀλλὰ ἐξ αἰτίας τῆς φιλανθρωπίας μου. Νὰ μένεις λοιπὸν καὶ νὰ ἀγωνίζεσαι, εἴτε πρέπει νὰ τρέχεις, εἴτε νὰ ἀγωνίζετσαι σὲ πυγμαχία, εἴτε σὲ παγκράτιο[18]· ὄχι στὰ κρυφά, οὔτε χωρὶς λόγο, οὔτε στὰ χαμένα. Ἄκουσε τί ἔκαμε ὁ Παῦλος. Μόλις ἀνέβηκε ἀπὸ τὸ νερὸ τοῦ βαπτίσματος, ἀμέσως ἀπὸ τὸ βάπτισμα ἀγωνιζόταν, κήρυττε, ὅτι αὐτὸς εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ προκάλεσε σύγχυση στοὺς Ἰουδαίους ἀπὸ τὴν πρώτη στιγμή[19].

Ἀλλὰ δὲν μπορεῖς νὰ κηρύξεις ἐσύ, οὔτε ἔχεις διδασκαλι-

γον; Οὐκοῦν δίδαξον διὰ τῶν ἔργων καὶ τῆς πολιτείας, διὰ τῆς λαμπρότητος τῶν πράξεων. «Λαμψάτω» γάρ, φησί, «τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Οὐ δύνασαι συγχέειν Ἰουδαίοις διὰ τῆς φωνῆς; Ποίησον αὐτοὺς συγχυθῆναι διὰ τῆς πολιτείας, ποίησον καὶ Ἕλληνας θορυβηθῆναι διὰ τῆς μεταβολῆς. Ὅταν γὰρ ἴδωσι τὸν πρὸ τούτου ἀσελγῆ, τὸν πονηρόν, τὸν ἠμελημένον, τὸν διεφθαρμένον, ἀθρόον μεταβεβλημένον, καὶ μετὰ τῆς μεταβολῆς τῆς κατὰ τὴν χάριν, μεταβολὴν τὴν κατὰ τὴν πολιτείαν ἐνδεικνύμενον, οὐ συγχυθήσονται καὶ ἐροῦσιν, ὅπερ ἐπὶ τοῦ τυφλοῦ οἱ Ἰουδαῖοι ἔλεγόν ποτε, «οὗτός ἐστιν, οὐκ ἔστιν οὗτος, αὐτός ἐστι»; Συγκεχυμένων γὰρ ταῦτα τὰ ῥήματα, ἀμφιβάλλειν περὶ τοῦ γνωρίμου, διαστασιάζειν πρὸς ἑαυτούς, τῷ οἰκείῳ συνειδότι μὴ πιστεύειν, μηδὲ τοῖς ἑαυτῶν ὀφθαλμοῖς. Ἀπέβαλεν ἐκεῖνος τὴν σωματικὴν πήρωσιν, ἀπέβαλες σὺ τὴν ψυχικὴν πήρωσιν· ἀνέβλεψεν ἐκεῖνος εἰς τὸν ἥλιον τοῦτον, ἀνάβλεψον σὺ πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης.

Ἐπέγνως τὸν Δεσπότην· ἄξια τοίνυν πρᾶξον τῆς ἐπιγνώσεως· ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχῃς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμή, κράτος, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

20. Ματθ. 5,16.
21. Ἰω. 9,8. 9.

κὸ λόγο; Λοιπὸν δίδαξε μὲ τὰ ἔργα καὶ τὴ συμπεριφορά σου, μὲ τὴ λαμπρότητα τῶν πράξεών σου. «Ἂς λάμψει», λέγει, «τὸ φῶς σας μπροστὰ στοὺς ἀνθρώπους, γιὰ νὰ δοῦν τὰ καλά σας ἔργα καὶ νὰ δοξάσουν τὸν Πατέρα σας ποὺ βρίσκεται στοὺς οὐρανούς»[20]. Δὲν μπορεῖς νὰ φέρεις σύγχυση στοὺς Ἰουδαίους μὲ τὴ φωνή; Κάμε τους νὰ συγχυσθοῦν μὲ τὴ συμπεριφορά σου, κάμε καὶ τοὺς εἰδωλολάτρες νὰ θορυβηθοῦν μὲ τὴν ἀλλαγή σου. Γιατί, ὅταν δοῦν τὸν πρὶν ἀπ' αὐτὸ ἀκόλαστο, τὸν πονηρό, τὸν ἀδιάφορο, τὸν διεφθαρμένο, νὰ ἔχει ἀλλάξει ὁλόκληρος, καὶ μαζὶ μὲ τὴν ἀλλαγὴ ποὺ ἔγινε ἐξ αἰτίας τῆς χάριτος νὰ δείχνει ἀλλαγὴ καὶ στὴ συμπεριφορά του, δὲ θὰ συγχυσθοῦν καὶ δὲ θὰ ποῦν αὐτὸ ποὺ στὴν περίπτωση τοῦ τυφλοῦ ἔλεγαν κάποτε οἱ Ἰουδαῖοι, «αὐτὸς εἶναι, δὲν εἶναι αὐτός, αὐτὸς εἶναι;»[21]. Γιατὶ αὐτὰ τὰ λόγια προέρχονται ἀπὸ ἐκείνους ποὺ ἔχουν πέσει σὲ σύγχυση, ὥστε νὰ ἀμφιβάλλουν γιὰ τὸ γνωστό τους, νὰ συγκρούονται μὲ τὸν ἑαυτό τους, νὰ μὴν πιστεύσουν στὴ δική τους συνείδηση, οὔτε στὰ μάτια τους. Ἔδιωξε ἐκεῖνος τὴ σωματικὴ ἀναπηρία, ἔδιωξες ἐσὺ τὴν ψυχικὴ ἀναπηρία. Ἄνοιξε τὰ μάτια του ἐκεῖνος σ' αὐτὸν τὸν ἥλιο, ἄνοιξέ τα ἐσὺ στὸν ἥλιο τῆς δικαιοσύνης.

Γνώρισες καλὰ τὸν Κύριο. Πράξε λοιπὸν ὅπως ἀξίζει σ' αὐτὴ τὴν ἐπίγνωση, γιὰ νὰ ἐπιτύχεις καὶ τὴ βασιλεία τῶν οὐρανῶν, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο καὶ ζωοποιὸ Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ τιμὴ καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΣΥΝΑΞΕΩΣ ΔΙΑ ΧΡΟΝΟΥ ΕΝ ΤΗ ΠΑΛΑΙΑ ΕΚΚΛΗΣΙΑ ΓΕΝΟΜΕΝΗΣ

Είς τὴν ἐπιγραφὴν τῶν Πράξεων τῶν ἀποστόλων, καὶ ὅτι χρησιμώτερος βίος ἐνάρετος σημείων καὶ θαυμάτων, καὶ κατὰ τί διαφέρει πολιτεία σημείων

1. Διὰ χρόνου πρὸς τὴν μητέρα ἡμῶν ἐπανήλθομεν πάλιν, τὴν ποθεινὴν καὶ ἐπέραστον ταύτην ἅπασιν ἐκκλησίαν, πρὸς τὴν μητέρα ἡμῶν καὶ τῶν ἐκκλησιῶν ἁπασῶν. Μήτηρ μὲν γάρ, οὐχ ὅτι τῷ χρόνῳ πρεσβυτέρα μόνον ἐστίν, ἀλλ᾽ ὅτι καὶ ὑπὸ ἀποστολικῶν ἐθεμελιώθη χειρῶν· διὰ τοῦτο πολλάκις καὶ κατασκαφεῖσα διὰ τὸ ὄνομα τοῦ Χριστοῦ, πάλιν ὠρθώθη διὰ τῆς δυνάμεως τοῦ Χριστοῦ. Οὐ γὰρ αἱ ἀποστολικαὶ μόνον αὐτὴν ἐθεμελίωσαν χεῖρες, ἀλλὰ καὶ τοῦ Δεσπότου τῶν ἀποστόλων ἡ ἀπόφασις ἐτείχισεν αὐτὴν καινῷ καὶ παραδόξῳ τειχισμοῦ τρόπῳ. Οὐ γὰρ ξύλα καὶ λίθους συνθείς, οὕτως ᾠκοδόμησε τὸν περίβολον, οὐδὲ τάφρον ἔξωθεν περιελάσας καὶ σκόλοπας καταπήξας καὶ πύργους ἀναστήσας, οὕτως αὐτὴν ἠσφαλίσατο, ἀλλ᾽ ἐφθέγξατο δύο ῥήματα ψιλὰ μόνον, καὶ ταῦτα ἤρκεσεν ἀντὶ τείχους αὐτῇ καὶ πύργου καὶ τάφρου καὶ ἀσφαλείας ἁπάσης.

Καὶ τίνα ἐστὶ τὰ ῥήματα ταῦτα, ἃ τοσαύτην ἔχει τὴν ἰσχύν; «Ἐπὶ τῇ πέτρᾳ ταύτῃ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς». Τοῦτό ἐστι τὸ τεῖχος, τοῦτο

---

1. Ματθ. 16,18.

ΟΜΙΛΙΑ

ΚΑΤΑ ΤΗ ΣΥΝΑΞΗ ΣΤΗ ΠΑΛΙΑ ΕΚΚΛΗΣΙΑ ΜΕΤΑ ΑΠΟ ΚΑΙΡΟ

Στὴν ἐπιγραφὴ τῶν Πράξεων τῶν ἀποστόλων, καὶ ὅτι εἶναι πιὸ χρήσιμη ἡ ἐνάρετη ζωὴ ἀπὸ τὰ σημεῖα καὶ τὰ θαύματα καὶ σὲ τί διαφέρει ὁ ὀρθὸς τρόπος ζωῆς ἀπὸ τὰ θαύματα

1. Ὕστερα ἀπὸ μεγάλο χρονικὸ διάστημα ἐπιστρέψαμε πάλι στὴ μητέρα μας, σ' αὐτὴ τὴν ποθητὴ καὶ ἀγαπημένη σὲ ὅλους ἐκκλησία, στὴ μητέρα μας καὶ μητέρα ὅλων τῶν ἐκκλησιῶν. Γιατὶ εἶναι μητέρα, ὄχι μόνο ἐπειδὴ εἶναι μεγαλύτερη στὴν ἡλικία, ἀλλ' ἐπειδὴ θεμελιώθηκε καὶ ἀπὸ ἀποστολικὰ χέρια. Γι' αὐτό, μολονότι πολλὲς φορὲς γκρεμίσθηκε γιὰ τὸ ὄνομα τοῦ Χριστοῦ, πάλι κτίσθηκε μὲ τὴ δύναμη τοῦ Χριστοῦ. Γιατὶ δὲν τὴ θεμελίωσαν μόνο τὰ ἀποστολικὰ χέρια, ἀλλὰ καὶ ἡ ἀπόφαση τοῦ Κυρίου τῶν ἀποστόλων τὴν τείχισε μ' ἕναν καινούριο καὶ παράδοξο τρόπο τειχισμοῦ. Γιατὶ δὲν ἔκτισε τὸ περιτείχισμα τοποθετώντας ξύλα καὶ πέτρες, οὔτε τὴν προφύλλαξε κατασκευάζοντας ἀπ' ἔξω τάφρο καὶ μπήγοντας πασσάλους στὴ γῆ καὶ ὑψώνοντας πύργους, ἀλλὰ εἶπε δύο μόνο λόγια ἁπλὰ καὶ αὐτὰ ἄρκεσαν γι' αὐτὴν ἀντὶ τείχους, ἀντὶ πύργου, ἀντὶ τάφρου καὶ ἀντὶ κάθε ἄλλης ἀσφάλειας.

Καὶ ποιά εἶναι τὰ λόγια αὐτὰ ποὺ ἔχουν τόσο μεγάλη δύναμη; «Ἐπάνω σ' αὐτὴ τὴν πέτρα θὰ οἰκοδομήσω τὴν Ἐκκλησία μου καὶ οἱ πύλες τοῦ ἅδη δὲ θὰ τὴν κατανικήσουν»[1]. Αὐτὸ

ὁ περίβολος, τοῦτο ἡ ἀσφάλεια, τοῦτο λιμὴν καὶ καταφυγή. Σὺ δέ μοι σκόπει κἀντεῦθεν τοῦ τείχους τὸ ἀρραγές. Οὐ γὰρ εἶπεν, 'ὅτι ἀνθρώπων ἐπιβουλαὶ οὐ κατισχύσουσιν αὐτῆς μόνον', ἀλλ' ὅτι οὐδ' αὐταὶ αἱ μηχαναὶ τοῦ ᾅδου· «πύλαι», γάρ, φησίν, «ᾅδου οὐ κατισχύσουσιν αὐτῆς». Οὐκ εἶπεν, 'οὐ προσβαλοῦσιν αὐτῇ', ἀλλ' ὅτι «οὐ κατισχύσουσιν αὐτῆς»· προσβαλοῦσι μὲν γάρ, οὐ περιέσονται δὲ αὐτῆς. Ἀλλὰ τί ποτέ ἐστι, «πύλαι ᾅδου»; τάχα γὰρ ἀσαφὲς τὸ εἰρημένον. Μάθωμεν τί ἐστι πύλη πόλεως, καὶ τότε εἰσόμεθα τί ἐστι πύλη ᾅδου. Πύλη πόλεώς ἐστιν εἴσοδος ἡ εἰς τὴν πόλιν· οὐκοῦν καὶ πύλη ᾅδου ἐστὶ κίνδυνος εἰς τὸν ᾅδην φέρων. Ὃ τοίνυν λέγει, τοιοῦτόν ἐστιν· Ἂν τοιοῦτοι κίνδυνοι καταρραγῶσι καὶ προσβάλωσιν, ὡς πρὸς αὐτὸν ἐνεγκεῖν ἡμᾶς τὸν ᾅδην, ἀπερίτρεπτος ἡ Ἐκκλησία μένει.

Ἠδύνατο μὲν γὰρ μὴ ἀφεῖναι πεῖραν αὐτὴν λαβεῖν τῶν δεινῶν· τίνος οὖν ἕνεκεν ἀφῆκεν; Ὅτι πολλῷ μεῖζόν ἐστι τοῦ κωλῦσαι τοὺς πειρασμοὺς τὸ συγχωρήσαντα τοὺς πειρασμοὺς ἐλθεῖν, μηδὲν ἀφεῖναι δεινὸν ἐκ τῆς ἐπαγωγῆς τούτων παθεῖν. Διὰ τοῦτο ἀφῆκε πάντας ἐπελθεῖν τοὺς πειρασμούς, ἵνα δοκιμωτέραν αὐτὴν ἐργάσηται· «ἡ γὰρ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν». Καὶ ἵνα τὴν δύναμιν τὴν ἑαυτοῦ μετὰ πλείονος ἐπιδείξηται περιουσίας, ἐξ αὐτῶν τῶν πυλῶν τοῦ θανάτου ἐξαρπάζει αὐτήν. Διὰ τοῦτο καὶ τὸ κλυδώνιον εἴασε γενέσθαι, καὶ βαπτισθῆναι τὸ σκάφος οὐκ εἴασεν. Οὕτω καὶ κυβερνήτην θαυμάζομεν, οὐχ ὅταν ἐξ οὐρίας πλέων, οὐδ' ὅταν κατὰ πρύμναν ἱσταμένου τοῦ πνεύματος διασώσῃ τὸ σκάφος· ἀλλ' ὅταν τῆς θαλάσσης στασιαζούσης καὶ τῶν κυμάτων ἀγριουμένων καὶ τοῦ χειμῶνος καταρρηγνυμένου, τὴν τέχνην πρὸς τὴν τῶν ἀνέμων ἀντιστήσας φοράν, ἐκ μέσου τοῦ χειμῶνος ἐξαρπάσῃ τὸ πλοῖον.

---

2. Ρωμ. 5,34.

εἶναι τὸ τεῖχος, αὐτὸ ὁ περίβολος, αὐτὸ ἡ ἀσφάλεια, αὐτὸ εἶναι λιμάνι καὶ καταφύγιο. Ἐσὺ ὅμως πρόσεχε, παρακαλῶ, καὶ ἀπὸ ἐδῶ τὸ ἀρραγὲς τοῦ τείχους. Γιατὶ δὲν εἶπε ὅτι δὲ θὰ τὴν κατανικήσουν μόνο οἱ ἀπειλὲς τῶν ἀνθρώπων, ἀλλὰ οὔτε οἱ ἴδιες οἱ μηχανὲς τοῦ ἅδη. Γιατὶ λέγει· «οἱ πύλες τοῦ ἅδη δὲ θὰ τὴν κατανικήσουν». Δὲν εἶπε, 'δὲ θὰ τὴν προσβάλουν', ἀλλά, «δὲ θὰ τὴν κατανικήσουν»· γιατὶ θὰ τὴν προσβάλουν βέβαια, ἀλλὰ δὲ θὰ τὴ νικήσουν. Ἀλλὰ τί τέλος πάντων σημαίνει, «οἱ πύλες τοῦ ἅδη»; Γιατὶ ἴσως νὰ εἶναι ἀσαφὲς τὸ λεγόμενο. Ἂς μάθουμε τί εἶναι ἡ πύλη τῆς πόλης καὶ τότε θὰ γνωρίσουμε τί σημαίνει πύλη τοῦ ἅδη. Ἡ πύλη τῆς πόλης εἶναι ἡ εἴσοδος ποὺ ὁδηγεῖ στὴν πόλη· ἑπομένως καὶ ἡ πύλη τοῦ ἅδη εἶναι ὁ κίνδυνος ποὺ ὁδηγεῖ στὸν ἅδη. Αὐτὸν λοιπὸν ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἂν τέτοιοι κίνδυνοι μᾶς χτυποῦν καὶ μᾶς προσβάλλουν, ὥστε νὰ μᾶς ὁδηγήσουν στὸν ἴδιο τὸν ἅδη, ἡ Ἐκκλησία μένει ἀκλόνητη.

Μποροῦσε βέβαια νὰ μὴν ἐπιτρέψει νὰ δοκιμάσει τὰ δεινά. Γιὰ ποιό λόγο λοιπὸν τὸ ἐπέτρεψε; Γιατὶ ἀπὸ τὸ νὰ ἐμποδίσει τοὺς πειρασμοὺς εἶναι πολὺ μεγαλύτερο τὸ νὰ τοὺς ἀφήσει νὰ ἔρθουν καὶ νὰ μὴν ἐπιτρέψει νὰ πάθει αὐτὴ κανένα κακὸ ἀπὸ τὴν ἐπίθεσή τους. Γι' αὐτὸ ἐπέτρεψε νὰ ἐπιτεθοῦν ἐναντίον της ὅλοι οἱ πειρασμοὶ γιὰ νὰ τὴν καταστήσει πιὸ σταθερή, «γιατὶ ἡ θλίψη ὁδηγεῖ στὴν ὑπομονή, καὶ ἡ ὑπομονὴ στὴ σταθερότητα»[2]. Καὶ γιὰ νὰ δείξει μὲ μεγαλύτερη ἔμφαση τὴ δύναμή του, τὴν ἁρπάζει ἀπὸ τὶς ἴδιες τὶς πύλες τοῦ θανάτου. Γι' αὐτὸ ἄφησε νὰ γίνει καὶ ἡ τρικυμία καὶ δὲν ἐπέτρεψε νὰ βυθισθεῖ τὸ πλοῖο. Ἔτσι καὶ τὸν κυβερνήτη ἑνὸς πλοίου τὸν θαυμάζουμε, ὄχι ὅταν διασώσει τὸ πλοῖο πλέοντας μὲ οὔριο ἄνεμο οὔτε ὅταν ὁ ἀέρας φυσάει ἀπὸ τὴν πρύμνη, ἀλλ' ὅταν, ἐνῶ ἡ θάλασσα ταράζεται καὶ τὰ κύματα ἀγριεύουν καὶ ἡ θεομηνία ξεσπάει, ἀντιτάσσοντας τὴν τέχνη του στὴν ὁρμὴ τῶν ἀνέμων, τὸ ἀποσπάσει μέσα ἀπὸ τὴν τρικυμία.

Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε. Καθάπερ πλοῖον ἐν θαλάττῃ τὴν Ἐκκλησίαν ἐν τῇ οἰκουμένῃ φέρεσθαι πάλιν ἀφείς, οὐ κατέλυσε τὴν ζάλην, ἀλλ' ἐξήρπασε τῆς ζάλης· οὐ κατέστειλε τὴν θάλασσαν, ἀλλ' ἠσφαλίσατο τὴν ναῦν· καὶ διανισταμένων τῶν πανταχοῦ δήμων, καθάπερ κυμάτων ἀγρίων καὶ προσβαλόντων αὐτῇ τῶν πνευμάτων τῶν πονηρῶν, καθάπερ χαλεπῶν ἀνέμων καὶ πάντοθεν ἐγειρομένου τοῦ χειμῶνος, πολλὴν τῇ Ἐκκλησίᾳ τὴν γαλήνην ἐποίει· καὶ τὸ δὴ θαυμαστόν, ὅτι οὐ μόνον ὁ χειμὼν οὐ κατέλυσε τὴν ναῦν, ἀλλ' ὅτι καὶ τὸν χειμῶνα ἡ ναῦς κατέλυσεν. Οἱ γὰρ διωγμοὶ οἱ συνεχεῖς οὐ μόνον οὐ κατεπόντισαν τὴν Ἐκκλησίαν, ἀλλὰ καὶ διελύθησαν ὑπὸ τῆς Ἐκκλησίας. Πῶς καὶ τίνα τρόπον καὶ πόθεν; Ἀπὸ τῆς ἀποφάσεως ταύτης τῆς λεγούσης, «πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς». Πόσα ἔκαμον Ἕλληνες, ὥστε τὸ ῥῆμα τοῦτο καθελεῖν, ὥστε ἄκυρον ποιῆσαι τὴν ἀπόφασιν, καὶ οὐκ ἴσχυσαν καταλῦσαι; Θεοῦ γὰρ ἡ ἀπόφασις ἦν.

Καὶ καθάπερ πύργον ἐξ ἀδαμαντίνων λίθων συγκείμενον, σιδήρῳ συνδεδεμένον ἀκριβῶς, οἱ πολέμιοι πανταχόθεν βάλλοντες, οὔτε τὴν οἰκοδομὴν χαυνοῦσιν, οὔτε τὴν ἁρμονίαν παραλύουσιν, ἀλλ' ἀπέρχονται τὸν μὲν πύργον μηδὲν καταβλάψαντες, μηδὲ ποιήσαντές τι κακόν, τὴν δὲ ἑαυτῶν καταλύσαντες δύναμιν· οὕτω δὴ καὶ τὸ ῥῆμα τοῦτο, καθάπερ πύργον ὑψηλὸν ἐν μέσῃ τῇ οἰκουμένῃ μετὰ ἀσφαλείας τετειχισμένον, οἱ Ἕλληνες πανταχόθεν βάλλοντες, αὐτόν τε ἰσχυρὸν ἀπέφηναν, τὴν δὲ ἑαυτῶν καταλύσαντες ἰσχύν, οὕτως ἀπέθανον. Τί γὰρ οὐκ ἐμηχανήσαντο κατὰ τῆς ἀποφάσεως ταύτης; Στρατόπεδα παρεσκευάζετο, ὅπλα ἐκινεῖτο, βασιλεῖς καθωπλίζοντο, δῆμοι διηγείροντο, πόλεις διανίσταντο, δικασταὶ παρωξύνοντο, ἅπαν τιμωρίας εἶδος ἐπενοεῖτο· οὐδεὶς παρελιμπάνετο κολάσεως τρόπος· πῦρ, καὶ σίδηρος, καὶ θηρίων ὀδόντες, καὶ κρημνοί, καὶ καταποντι-

Ἔτσι ἔκαμε καὶ ὁ Χριστός. Ἀφοῦ ἐπέτρεψε τὴν Ἐκκλησία νὰ φέρεται στὴν οἰκουμένη σὰν πλοῖο σὲ θάλασσα, δὲ σταμάτησε τὴν τρικυμία, ἀλλὰ τὴν ἀπέσπασε ἀπὸ τὴν τρικυμία· δὲ γαλήνεψε τὴ θάλασσα, ἀλλὰ ἀσφάλισε τὸ πλοῖο. Καὶ ἐνῶ ξεσηκώνονταν παντοῦ οἱ λαοί, σὰν κύματα ἄγρια, καὶ ἐνῶ τὴ χτυποῦσαν τὰ πονηρὰ πνεύματα, σὰν φοβεροὶ ἄνεμοι, καὶ ἀπὸ παντοῦ σηκωνόταν ἡ θύελλα, παρεῖχε μεγάλη γαλήνη στὴν Ἐκκλησία. Καὶ τὸ πιὸ θαυμαστὸ εἶναι ὅτι ὄχι μόνο ἡ θύελλα δὲ διέλυσε τὸ πλοῖο, ἀλλ' ὅτι τὸ πλοῖο διέλυσε τὴ θύελλα. Γιατὶ οἱ ἀδιάκοποι διωγμοὶ ὄχι μόνο δὲν καταπόντισαν τὴν Ἐκκλησία, ἀλλὰ καὶ διαλύθηκαν ἀπὸ τὴν Ἐκκλησία. Πῶς καὶ μὲ ποιό τρόπο καὶ ἀπὸ ποῦ; Ἀπὸ τὴν ἀπόφαση ἐκείνη ποὺ λέγει, «οἱ πύλες τοῦ ἅδη δὲ θὰ τὴν κατανικήσουν». Πόσα ἔκαμαν οἱ εἰδωλολάτρες γιὰ νὰ ἐξαλείψουν τὸ λόγο αὐτόν, γιὰ ν' ἀκυρώσουν τὴν ἀπόφαση καὶ δὲν μπόρεσαν νὰ τὴν καταργήσουν; Γιατὶ ἡ ἀπόφαση ἦταν τοῦ Θεοῦ.

Καὶ ὅπως ἕναν πύργο κατασκευασμένο ἀπὸ ἀδαμάντινες πέτρες καὶ δεμένο προσεκτικὰ μὲ σίδερα οἱ ἐχθροὶ καὶ ἂν τὸν χτυποῦν ἀπὸ παντοῦ, οὔτε τὸ οἰκοδόμημα γέρνουν, οὔτε τὴ σύνδεσή του διαλύουν, ἀλλὰ φεύγουν χωρὶς νὰ βλάψουν καθόλου τὸν πύργο καὶ χωρὶς νὰ τοῦ προξενήσουν κάποιο κακό, ἀχρηστεύοντας ὅμως τὴ δική τους δύναμη, ἔτσι ἀκριβῶς καὶ τὸ λόγο αὐτόν, σὰν ἕναν πύργο ψηλὸ περιτειχισμένο μὲ ἀσφάλεια στὴ μέση τῆς οἰκουμένης, οἱ εἰδωλολάτρες ἀπὸ παντοῦ χτυπώντας τον, αὐτὸν τὸν ἀπέδειξαν ἰσχυρό, ἐνῶ ἀχρήστεψαν τὴ δική τους δύναμη καὶ ἔτσι πέθαναν. Τί λοιπὸν δὲν μηχανεύθηκαν ἐναντίον αὐτῆς τῆς ἀπόφασης; Στρατεύματα προετοιμάζονταν, ὅπλα κινοῦνταν, βασιλεῖς ἐξοπλίζονταν, λαοὶ ξεσηκώνονταν, πόλεις ἐξεγείρονταν, δικαστὲς ὀργίζονταν, κάθε εἶδος τιμωρίας ἐπινοοῦσαν. Κανένας τρόπος τιμωρίας δὲν παραλείφθηκε. Φωτιὰ καὶ σίδερο καὶ δόντια θηρίων καὶ γκρεμοὶ καὶ πνιγμοὶ

σμοί, καὶ βάραθρον, καὶ ξύλον, καὶ σταυρός, καὶ κάμινος, καὶ πάντα ὅσα ὤφθη πώποτε βασανιστήρια εἰς μέσον ἐφέροντο· ἀπειλῶν ὄγκος ἄφατος, τιμῶν ὑποσχέσεις ἄφατοι, ὥστε ἐκείνῳ μὲν φοβῆσαι τῷ τρόπῳ, τούτῳ δὲ ἐκλῦσαι καὶ δελεάσαι.

Οὐδὲν γοῦν ἀπάτης, οὐ βίας παρελιμπάνετο εἶδος. Καὶ γὰρ πατέρες παῖδας παρέδωκαν, καὶ παῖδες πατέρας ἠγνόησαν· μητέρες ὠδίνων ἐπελάθοντο· καὶ οἱ τῆς φύσεως ἀνετράπησαν νόμοι. Ἀλλ' ὅμως οἱ θεμέλιοι τῆς Ἐκκλησίας οὐδὲ οὕτως ἐσαλεύθησαν· ἀλλὰ διὰ τῆς συγγενείας αὐτῆς ὁ πόλεμος ἤρετο καὶ τῶν τειχῶν αὐτῆς οὐχ ἥψατο, διὰ τὸ ῥῆμα ἐκεῖνο τὸ λέγον, «ὅτι πύλαι ᾅδου οὐ κατισχύνουσιν αὐτῆς». Μὴ γὰρ ἴδῃς ὅτι ῥῆμα ἦν, ἀλλ' ὅτι ῥῆμα Θεοῦ. Καὶ γὰρ τὸν οὐρανὸν ῥήματι ἐστερέωσεν ὁ Θεός, καὶ τὴν γῆν ῥήματι ἐθεμελίωσεν ἐπὶ τῶν ὑδάτων, τὴν πυκνὴν ταύτην καὶ βαρεῖαν φύσιν ἐπὶ τῆς χαυνοτάτης ἐκείνης καὶ διαρρεούσης ποιήσας φέρεσθαι· καὶ τὴν θάλασσαν τὴν ἀφόρητον ταῖς βίαις, ἐκείνην τὴν τοσαῦτα ἔχουσαν κύματα, ἀσθενεῖ τειχίῳ τῇ ψάμμῳ πανταχόθεν ἐτείχισε διὰ ῥήματος. Ὁ τοίνυν διὰ ῥήματος τὸν οὐρανὸν στερεώσας, τὴν γῆν θεμελιώσας, τὴν θάλασσαν περιφράξας, τί θαυμάζεις, εἰ τὴν οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης τιμιωτέραν Ἐκκλησίαν διὰ τοῦ ῥήματος τούτου πάλιν ἐτείχισεν;

2. Ἀλλ' ἐπειδὴ οὕτως ἡ οἰκοδομὴ ἄσειστος, οὕτω τὸ τεῖχος ἀρραγές, ἴδωμεν πῶς κατεβάλλοντο οἱ ἀπόστολοι τοὺς θεμελίους, πόσον βάθος ἔσκαψαν, ὥστε ἄσειστον γενέσθαι τὴν οἰκοδομήν. Οὐκ ἔσκαψαν βάθος, οὐκ ἐδεήθησαν πόνου τοσούτου. Διὰ τί; Παλαιὸν εὗρον θεμέλιον καὶ ἀρχαῖον, τὸν τῶν προφητῶν. Καθάπερ οὖν ἄνθρωπος μέλλων οἰκίαν μεγίστην οἰκοδομεῖν, ἐπειδὰν εὕρῃ θεμέλιον παλαιὸν καὶ ἰσχυρὸν καὶ ἀρραγῆ,

---

3. Βλ. Ψαλμ. 32,6.
4. Βλ. Ψαλμ. 103,5.

καὶ βάραθρο καὶ ξύλο καὶ σταυρὸς καὶ καμίνι καὶ ὅλα τὰ βασανιστήρια ὅσα δὲν παρουσιάσθηκαν μέχρι τότε ἔμπαιναν σὲ ἐφαρμογή. Τὸ πλῆθος τῶν ἀπειλῶν ἦταν ἀπερίγραπτο, οἱ ὑποσχέσεις γιὰ τιμὲς ἀνείπωτες, ὥστε μὲ τὸν πρῶτο τρόπο νὰ τοὺς φοβίσουν, ἐνῶ μὲ τὸν δεύτερο νὰ τοὺς ἀπαλλάξουν καὶ νὰ τοὺς δελεάσουν.

Κανένα λοιπὸν εἶδος ἀπάτης καὶ βίας δὲν παραλείφθηκε. Γιατὶ πραγματικὰ πατέρες παρέδωσαν τὰ παιδιά τους καὶ παιδιὰ ἀγνόησαν τοὺς πατέρες τους· μητέρες ξέχασαν τοὺς πόνους τοῦ τοκετοῦ καὶ οἱ νόμοι τῆς φύσης ἀνατράπηκαν. Ἀλλ' ὅμως τὰ θεμέλια τῆς Ἐκκλησίας οὔτε ἔτσι κλονίσθηκαν. Ὁ πόλεμος γινόταν ἀνάμεσα σὲ συγγενεῖς κι ὅμως δὲν ἄγγιξε τὰ τείχη της, ἐξ αἰτίας τοῦ λόγου ἐκείνου ποὺ λέγει, «οἱ πύλες τοῦ ἅδη δὲ θὰ τὴν κατανικήσουν». Μὴ δεῖς βέβαια πὼς ἦταν ἕνας λόγος, ἀλλὰ πὼς ἦταν λόγος τοῦ Θεοῦ. Γιατὶ καὶ τὸν οὐρανὸ ὁ Θεὸς τὸν στερέωσε μὲ λόγο[3] καὶ τὴ γῆ μὲ λόγο τὴ θεμελίωσε πάνω στὰ νερά[4], κάνοντας τὴν πυκνὴ αὐτὴ καὶ βαριὰ φύση νὰ φέρεται πάνω στὴ χαλαρότατη ἐκείνη καὶ ρευστὴ φύση· καὶ τὴ θάλασσα τὴν ἀβάστακτη στὴν ὁρμή της, ἐκείνη ποὺ ἔχει τόσα κύματα, μ' ἕνα λόγο τὴν τείχισε ἀπὸ παντοῦ μὲ ἀδύνατο τεῖχος, τὴν ἄμμο. Ἐκεῖνος λοιπὸν ποὺ μ' ἕνα λόγο στερέωσε τὸν οὐρανό, θεμελίωσε τὴ γῆ, περιέφραξε τὴ θάλασσα, γιατὶ ἀπορεῖς ἂν τὴν Ἐκκλησία, ποὺ εἶναι πιὸ πολύτιμη ἀπὸ τὸν οὐρανὸ καὶ τὴ γῆ καὶ τὴ θάλασσα, τὴν τείχισε πάλι μὲ τὸ λόγο αὐτόν;

2. Ἀλλ' ἐπειδὴ τὸ οἰκοδόμημα εἶναι τόσο ἀκλόνητο καὶ τὸ τεῖχος τόσο στερέο, ἂς δοῦμε πῶς οἱ ἀπόστολοι ἔβαλαν τὰ θεμέλια, πόσο βάθος ἔσκαψαν, ὥστε τὸ οἰκοδόμημα νὰ γίνει ἀκλόνητο. Δὲν ἔσκαψαν βαθιά, δὲ χρειάσθηκαν τόσο μεγάλο κόπο. Γιατί; Βρῆκαν παλιὸ καὶ ἀρχαῖο θεμέλιο, τὸ θεμέλιο τῶν προφητῶν. Ὅπως λοιπὸν ἕνας ἄνθρωπος ποὺ πρόκειται νὰ κτίσει μεγάλο σπίτι, ὅταν βρεῖ θεμέλιο παλιὸ καὶ ἰσχυρὸ καὶ στε-

οὐκ ἀναμοχλεύει τὸν θεμέλιον, οὐ κινεῖ τοὺς λίθους, ἀλλ' ἀφεὶς ἑστάναι ἀκίνητον, οὕτως ἐπιτίθησι τὴν νέαν καὶ πρόσφατον οἰκοδομήν· οὕτω καὶ οἱ ἀπόστολοι μέλλοντες τὸ μέγα τοῦτο οἰκοδόμημα οἰκοδομεῖν, τὴν πανταχοῦ τῆς οἰκουμένης Ἐκκλησίαν ἱδρυμένην, οὐ διέσκαψαν βάθος, ἀλλ' εὑρόντες παλαιὸν θεμέλιον, τὸν τῶν προφητῶν, οὐκ ἀνεμόχλευσαν ἐκεῖνον, οὐκ ἐκίνησαν τὴν οἰκοδομὴν καὶ τὴν διδασκαλίαν, ἀλλ' ἀφέντες αὐτὴν μένειν ἀκίνητον, οὕτως ἐπέθηκαν τὴν παρ' ἑαυτῶν διδασκαλίαν, τὴν νέαν ταύτην τῆς Ἐκκλησίας πίστιν.

Καὶ ἵνα μάθῃς ὅτι οὐκ ἐκίνησαν τὸν παλαιὸν θεμέλιον, ἀλλ' ἐπάνω αὐτοῦ ᾠκοδόμησαν, ἄκουσον αὐτοῦ τοῦ σοφοῦ ἀρχιτέκτονος Παύλου λέγοντος ἡμῖν τῆς οἰκοδομῆς τὴν ἀκρίβειαν· αὐτὸς γάρ ἐστιν ὁ σοφὸς ἀρχιτέκτων. «Ὡς σοφὸς γάρ», φησίν, «ἀρχιτέκτων θεμέλιον τέθεικα». Ἀλλ' ἴδωμεν πῶς αὐτὸν τέθεικε τὸν θεμέλιον. Ἐπάνω, φησίν, ἑτέρου θεμελίου παλαιοῦ, τοῦ τῶν προφητῶν. Πόθεν τοῦτο δῆλον; «Οὐκ ἔτι ἐστὲ ξένοι», φησίν, «ἀλλὰ συμπολῖται τῶν ἁγίων, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν». Εἶδες θεμέλιον καὶ θεμέλιον, τὸν μὲν τῶν προφητῶν, τὸν δὲ τῶν ἀποστόλων ἀνωτέρω κείμενον. Καὶ τὸ δὴ θαυμαστόν, οὐκ εὐθέως μετὰ τοὺς προφήτας ἦλθον οἱ ἀπόστολοι, ἀλλὰ πολὺς μεταξὺ παρεγένετο χρόνος.

Τί δήποτε; Ὅτι οἱ ἄριστοι τῶν οἰκοδόμων τοῦτο ποιοῦσιν· ἐπειδὰν καταβάλλωνται θεμέλιον, οὐκ εὐθέως ἐπιτιθέασι τὴν οἰκοδομήν, ἵνα μὴ ἁπαλωτέρα καὶ πρόσφατος οὖσα τοῦ θεμελίου ἡ ἐργασία, ἀδυνατήσῃ τῶν τειχῶν ἐνεγκεῖν τὸ βάρος. Διὰ τοῦτο ἀφέντες χρόνῳ πολλῷ παγῆναι τοὺς λίθους, ἐπειδὰν ἴδωσιν ἀκριβῶς σφιγέντας, τότε ἐπιτιθέασι καὶ τῶν τοίχων τὸ βάρος. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν· ἀφεὶς παγῆναι τὸν θεμέλιον τῶν προφητῶν ἐν ταῖς τῶν ἀκουσάντων ψυχαῖς, καὶ γενέσθαι

5. Α' Κορ. 3,10. 6. Ἐφ. 2,19–20.

ρεό, δὲν ἀναμοχλεύει τὸ θεμέλιο, δὲ μετακινεῖ τὶς πέτρες, ἀλλὰ τὸ ἀφήνει νὰ παραμείνει ἀμετακίνητο καὶ ἔτσι θέτει πάνω σ' αὐτὸ τὸ νέο καὶ πρόσφατο οἰκοδόμημα, ἔτσι καὶ οἱ ἀπόστολοι ποὺ ἐπρόκειτο νὰ κτίσουν τὸ μεγάλο αὐτὸ οἰκοδόμημα, τὴν Ἐκκλησία ποὺ ἱδρυόταν σὲ ὅλα τὰ σημεῖα τῆς γῆς, δὲν ἔσκαψαν σὲ βάθος, ἀλλὰ βρίσκοντας παλιὸ θεμέλιο, τὸ θεμέλιο τῶν προφητῶν, δὲν τὸ ἀναμόχλευσαν, δὲ μετακίνησαν τὴν οἰκοδομὴ καὶ τὴ διδασκαλία, ἀλλ' ἀφήνοντας αὐτὴν νὰ παραμείνει ἀμετακίνητη, ἔτσι πρόσθεσαν ἐπάνω της τὴ δική τους διδασκαλία, δηλαδὴ τὴ νέα αὐτὴ πίστη τῆς Ἐκκλησίας.

Καὶ γιὰ νὰ μάθεις πὼς δὲ μετακίνησαν τὸ παλιὸ θεμέλιο, ἀλλὰ πάνω σ' αὐτὸ ἔκτισαν, ἄκουσε τὸν ἴδιο τὸ σοφὸ ἀρχιτέκτοντα νὰ μᾶς λέγει γιὰ τὴν ἀκρίβεια τῆς οἰκοδομῆς· γιατὶ αὐτὸς εἶναι ὁ σοφὸς ἀρχιτέκτοντας. «Σὰν σοφὸς ἀρχιτέκτονας», λέγει, «ἔβαλα τὸ θεμέλιο»[5]. Ἀλλ' ἂς δοῦμε πῶς ἔβαλε τὸ θεμέλιο. Ἐπάνω, λέγει, σ' ἄλλο παλιὸ θεμέλιο, τὸ θεμέλιο τῶν προφητῶν. Ἀπὸ ποῦ εἶναι φανερὸ αὐτό; «Δὲν εἶστε πιὰ ξένοι», λέγει, «ἀλλὰ συμπολίτες τῶν ἁγίων, ἀφοῦ ἔχετε κτισθεῖ πάνω στὸ θεμέλιο τῶν ἀποστόλων καὶ τῶν προφητῶν»[6]. Εἶδες θεμέλιο καὶ θεμέλιο, τὸ ἕνα τὸ θεμέλιο τῶν προφητῶν καὶ τὸ ἄλλο τὸ θεμέλιο τῶν ἀποστόλων ποὺ βρίσκεται ἀπὸ ἐπάνω. Καὶ τὸ πιὸ θαυμαστὸ εἶναι πὼς οἱ ἀπόστολοι δὲν ἦρθαν ἀμέσως μετὰ τοὺς προφῆτες, ἀλλὰ μεσολάβησε πολὺς καιρὸς μεταξύ τους.

Γιατί ἄραγε; Γιατὶ οἱ ἄριστοι ἀπὸ τοὺς οἰκοδόμους τὸ κάνουν αὐτό· ὅταν βάζουν θεμέλιο δὲν προσθέτουν ἀμέσως τὴν οἰκοδομή, μήπως τὸ θεμέλιο, ποὺ εἶναι πρόσφατο καὶ μαλακό, δὲν μπορέσει νὰ βαστάξει τὸ βάρος τῶν τειχῶν. Γι' αὐτό, ἀφοῦ ἀφήσουν μεγάλο χρονικὸ διάστημα νὰ σταθεροποιηθοῦν οἱ πέτρες, ὅταν τὶς δοῦν καλὰ σφιγμένες, τότε προσθέτουν καὶ τὸ βάρος τῶν τοίχων. Ἔτσι ἔκαμε καὶ ὁ Χριστός· ἀφοῦ ἄφησε νὰ σταθεροποιηθεῖ τὸ θεμέλιο τῶν προφητῶν στὶς ψυχὲς τῶν

βεβαίαν τὴν διδασκαλίαν, ὅτε εἶδεν ἄσειστον οὖσαν τὴν οἰκοδομήν, ὅτε παγέντα τὰ δόγματα τὰ ἱερά, ὥστε δυνηθῆναι τὴν κατὰ τὴν καινὴν φιλοσοφίαν ἐνεγκεῖν, τότε ἀπέστειλε τοὺς ἀποστόλους, ἐπὶ τῷ θεμελίῳ τῶν προφητῶν τοὺς τοίχους τῆς Ἐκκλησίας ἀναστήσοντας. Διὰ τοῦτο οὐκ εἶπεν, 'οἰκοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν προφητῶν', ἀλλ' «ἐποικοδομηθέντες», ἐπάνω οἰκοδομηθέντες. Ἀλλ' ἴδωμεν πῶς ᾠκοδομήθησαν.

Πόθεν οὖν εἰσόμεθα; Πόθεν δὲ ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ τῆς βίβλου τῶν Πράξεων, περὶ ἧς καὶ ἐν ταῖς ἔμπροσθεν ὑμῖν ἡμέραις διελέχθημεν; Τάχα γάρ τι καὶ μικρὸν ἐκεῖθεν ὑμῖν ὀφείλομεν χρέος, ὅπερ ἀνάγκη καταθεῖναι σήμερον. Τί οὖν ἐστι τὸ χρέος; Αὐτὴν τοῦ βιβλίου τὴν ἐπιγραφὴν ἑρμηνεῦσαι σπουδάσωμεν. Οὐ γὰρ ψιλή τίς ἐστι καὶ σαφής, καθὼς πολλοὶ νομίζουσιν, ἀλλὰ δεῖται καὶ ἐξετάσεως. Τίς οὖν ἡ ἐπιγραφὴ τοῦ βιβλίου; «Πράξεις ἀποστόλων». Οὐ δοκεῖ σαφὲς εἶναι; οὐ δοκεῖ γνώριμον καὶ δῆλον ἅπασιν; Ἀλλ' ἂν παρακολουθῆτε τοῖς λεγομένοις, ὄψεσθε ὅσον τὸ βάθος τῆς ἐπιγραφῆς ταύτης. Διὰ τί γὰρ οὐκ εἶπε, 'Θαύματα ἀποστόλων'; διὰ τί οὐκ ἐπέγραψε, 'Σημεῖα ἀποστόλων', ἢ 'Δυνάμεις καὶ τέρατα ἀποστόλων', ἀλλὰ «Πράξεις ἀποστόλων»; Οὐ γὰρ τὸ αὐτό ἐστι πράξεις καὶ σημεῖα, οὐ τὸ αὐτὸ πράξεις καὶ θαύματα· οὐ τὸ αὐτό ἐστι πράξεις, καὶ τέρατα καὶ δυνάμεις, ἀλλὰ πολλὴ ἡ διαφορὰ τούτων ἑκατέρων. Πρᾶξις μὲν γάρ ἐστιν οἰκείας σπουδῆς κατόρθωμα, θαῦμα δὲ θείας δωρεᾶς χάρισμα.

Εἶδες ὅσον τὸ μέσον πράξεως καὶ θαύματος; Πρᾶξίς ἐστιν ἀνθρωπίνων ἱδρώτων συντέλεσμα, θαῦμά ἐστι θείας φιλοτιμίας ἐπίδειξις· πρᾶξίς ἐστιν ἐκ τῆς ἡμετέρας προαιρέσεως τὴν ἀρχὴν ἔχουσα, θαῦμά ἐστιν ἐκ τῆς τοῦ Θεοῦ χάριτος τὰ προ-

ἀκροατῶν καὶ νὰ γίνει στερεὰ ἡ διδασκαλία, ὅταν εἶδε πὼς ἡ οἰκοδομὴ ἦταν ἀκλόνητη καὶ πὼς τὰ ἱερὰ δόγματα εἶχαν σταθεροποιηθεῖ τόσο, ὥστε νὰ μπορέσουν νὰ βαστάξουν τὴ σύμφωνη μὲ τὴ νέα φιλοσοφία οἰκοδομή, τότε ἀπέστειλε τοὺς ἀποστόλους νὰ σηκώσουν τοὺς τοίχους τῆς Ἐκκλησίας ἐπάνω στὸ θεμέλιο τῶν προφητῶν. Γι' αὐτὸ δὲν εἶπε, 'ἔχετε κτισθεῖ στὸ θεμέλιο τῶν προφητῶν', ἀλλά, «ἐποικοδομηθέντες», δηλαδὴ ἔχετε κτισθεῖ ἐπάνω. Ἀλλὰ ἂς δοῦμε πῶς κτίσθηκαν.

Ἀπὸ ποῦ λοιπὸν θὰ μάθουμε; Ἀπὸ ποῦ ἀλλοῦ, παρὰ ἀπὸ τὸ βιβλίο τῶν Πράξεων, γιὰ τὸ ὁποῖο σᾶς μιλήσαμε καὶ τὶς προηγούμενες ἡμέρες; Γιατὶ ἴσως καὶ ἀπὸ ἐκεῖ σᾶς ὀφείλουμε κάποιο μικρὸ χρέος, ποὺ εἶναι ἀνάγκη νὰ τὸ ξεπληρώσουμε σήμερα. Ποιό λοιπὸν εἶναι τὸ χρέος; Ἂς προσπαθήσουμε νὰ ἐξηγήσουμε τὴν ἴδια τὴν ἐπιγραφὴ τοῦ βιβλίου. Γιατὶ δὲν εἶναι κάποια ἁπλὴ καὶ σαφής, καθὼς νομίζουν πολλοί, ἀλλὰ χρειάζεται καὶ ἐξέταση. Ποιά λοιπὸν εἶναι ἡ ἐπιγραφὴ τοῦ βιβλίου; «Πράξεις ἀποστόλων». Δὲ φαίνεται πὼς τὸ πράγμα εἶναι σαφές; δὲ φαίνεται γνωστὸ καὶ φανερὸ σὲ ὅλους; Ἀλλὰ ἂν παρακολουθεῖτε τὰ λεγόμενα, θὰ δεῖτε πόσο εἶναι τὸ βάθος τῆς ἐπιγραφῆς αὐτῆς. Γιατί λοιπὸν δὲν εἶπε, 'Θαύματα ἀποστόλων;» γιατί δὲν ἔβαλε τὴν ἐπιγραφή, 'Σημεῖα ἀποστόλων' ἢ 'Δυνάμεις καὶ τέρατα ἀποστόλων', ἀλλὰ «Πράξεις ἀποστόλων»; Γιατὶ δὲν εἶναι τὸ ἴδιο πράξεις καὶ σημεῖα, δὲν εἶναι τὸ ἴδιο πράξεις καὶ θαύματα, δὲν εἶναι τὸ ἴδιο πράξεις καὶ τέρατα καὶ δυνάμεις, ἀλλὰ ἡ διαφορὰ μεταξὺ αὐτῶν τῶν δύο εἶναι μεγάλη. Γιατὶ ἡ πράξη εἶναι κατόρθωμα ἀτομικῆς προσπάθειας, ἐνῶ τὸ θαῦμα χάρισμα θείας δωρεᾶς.

Εἶδες πόση εἶναι ἡ διαφορὰ ἀνάμεσα στὴν πράξη καὶ τὸ θαῦμα; Ἡ πράξη εἶναι ἀποτέλεσμα ἀνθρώπινων ἱδρώτων, τὸ θαῦμα εἶναι φανέρωση θείας γενναιοδωρίας. Ἡ πράξη ἀρχίζει ἀπὸ τὴ δική μας προαίρεση, τὸ θαῦμα ἀρχίζει ἀπὸ τὴ χάρη τοῦ

οίμια λαμβάνον, καὶ τὸ μὲν τῆς ἄνωθεν ῥοπῆς, τὸ δὲ τῆς κάτωθεν γνώμης. Πρᾶξις ἐξ ἀμφοτέρων ὑφαίνεται, καὶ ἐξ ἡμετέρας σπουδῆς καὶ ἐκ θείας χάριτος· τὸ δὲ θαῦμα γυμνὴν ἐπιδείκνυται τὴν ἄνωθεν χάριν, οὐδὲν τῶν ἡμετέρων ἱδρώτων δεόμενον. Πρᾶξίς ἐστιν ἐπιεικῆ εἶναι, σώφρονα, μέτριον, ὀργῆς κρατεῖν, ἐπιθυμίας καταγωνίζεσθαι, ἐλεημοσύνας ποιεῖν, φιλανθρωπίαν ἐπιδείκνυσθαι, ἅπασαν ἀσκεῖν ἀρετήν· τοῦτο πρᾶξίς ἐστι καὶ πόνος καὶ ἱδρὼς ἡμέτερος. Θαῦμά ἐστι δαίμονας ἀπελαύνειν, τυφλωθέντας ὀφθαλμοὺς ἀνοίγειν, λεπρῶν τὰ σώματα καθαίρειν, διαλελυμένα μέλη σφίγγειν, νεκροὺς ἐγείρειν, ἕτερα τοιαῦτα θαυματουργεῖν. Εἶδες πόσον τὸ μέσον πράξεων καὶ θαυμάτων, πολιτείας καὶ σημείων, τῆς ἡμετέρας σπουδῆς καὶ τῆς τοῦ Θεοῦ χάριτος;

3. Βούλει καὶ ἑτέραν σοι δείξω διαφοράν; Διὰ γὰρ ὑμᾶς σήμερον ἅπαντα τὸν λόγον τοῦτον ἐκίνησα, ὥστε μαθεῖν τὸ θαῦμα καὶ τὸ σημεῖον. Τὸ θαῦμα μεῖζον μέν ἐστι καὶ φρικωδέστερον καὶ τὴν ἡμετέραν ὑπερβαῖνον φύσιν, ἡ δὲ πρᾶξις καὶ ἡ πολιτεία ἔλαττον μὲν τῶν σημείων, χρησιμώτερον δὲ καὶ κερδαλεώτερον· πόνων γάρ ἐστιν ἀμοιβὴ καὶ σπουδῆς μισθός. Καὶ ἵνα μάθῃς ὅτι ἡ πρᾶξις τοῦ σημείου κερδαλεωτέρα καὶ χρησιμωτέρα, πρᾶξις μὲν ἀγαθὴ καὶ χωρὶς σημείων εἰς τὸν οὐρανὸν τοὺς κατωρθωκότας εἰσήγαγε, θαῦμα δὲ καὶ σημεῖα χωρὶς πολιτείας οὐκ ἴσχυσε πρὸς τὰ πρόθυρα χειραγωγῆσαι ἐκεῖνα. Καὶ πῶς, ἐγὼ δείξω· ὑμεῖς δὲ παρατηρεῖτε πῶς τὴν προεδρίαν αἱ πράξεις ἔχουσι κατὰ τὴν τῶν μισθῶν ἀμοιβήν· πῶς τὰ μὲν σημεῖα καθ' ἑαυτὰ ὄντα οὐ σώζει τοὺς ποιοῦντας, ἡ δὲ πρᾶξις καθ' ἑαυτὴν οὖσα, οὐδενὸς ἑτέρου δεῖται πρὸς σωτηρίαν τῶν κεκτημένων. «Πολλοὶ ἐροῦσί μοι», φησὶν ὁ Χριστός, «ἐν ἐκείνῃ τῇ ἡμέρᾳ,

Θεοῦ, καὶ αὐτὸ ἐξαρτᾶται ἀπὸ τὴ θεία δύναμη, ἐνῶ ἐκείνη ἀπὸ τὴν ἀνθρώπινη διάθεση. Ἡ πράξη παράγεται καὶ ἀπὸ τὰ δύο, καὶ ἀπὸ τὴ δική μας προσπάθεια καὶ ἀπὸ τὴ θεία χάρη, ἐνῶ τὸ θαῦμα φανερώνει γυμνὴ τὴ θεία χάρη χωρὶς νὰ χρειάζεται τίποτε ἀπὸ τοὺς δικούς μας κόπους. Πράξη εἶναι τὸ νὰ εἶναι κανεὶς ἐπιεικής, συνετός, ἐγκρατής, νὰ συγκρατεῖ τὴν ὀργή, νὰ νικάει τὴν ἐπιθυμία, νὰ κάνει ἐλεημοσύνη, νὰ ἐπιδεικνύει φιλανθρωπία, νὰ ἀσκεῖ κάθε ἀρετή· αὐτὸ εἶναι πράξη καὶ κόπος καὶ ἱδρώτας δικός μας. Θαῦμα εἶναι τὸ νὰ διώχνει κανεὶς τοὺς δαίμονες, νὰ ἀνοίγει τὰ μάτια τῶν τυφλῶν, νὰ καθαρίζει τὰ σώματα τῶν λεπρῶν, νὰ σφίγγει τὰ παράλυτα μέλη, νὰ ἀνασταίνει νεκρούς, νὰ κάνει ἄλλα τέτοια θαύματα. Εἶδες πόση εἶναι ἡ διαφορὰ ἀνάμεσα στὶς πράξεις καὶ τὰ θαύματα, στὸν ὀρθὸ τρόπο ζωῆς καὶ τὰ σημεῖα, στὴ δική μας προσπάθεια καὶ τὴ χάρη τοῦ Θεοῦ;

3. Θέλεις νὰ σοῦ δείξω καὶ ἄλλη διαφορά; Γιατὶ γιὰ σᾶς σήμερα ἔκαμα ὅλη τὴν ὁμιλία αὐτή, γιὰ νὰ μάθετε τὸ θαῦμα καὶ τὸ σημεῖο. Τὸ θαῦμα βέβαια εἶναι μεγαλύτερο καὶ φρικτότερο καὶ ξεπερνάει τὴ δική μας φύση, ἐνῶ ἡ πράξη καὶ ὁ ὀρθὸς τρόπος ζωῆς εἶναι μικρότερα ἀπὸ τὰ σημεῖα, ἀλλὰ πιὸ χρήσιμα καὶ πιὸ ἐπικερδή, ἐπειδὴ εἶναι ἀμοιβὴ τῶν κόπων καὶ μισθὸς τῆς προσπάθειας. Καὶ γιὰ νὰ μάθεις πὼς ἡ πράξη εἶναι πιὸ ἐπικερδὴς καὶ πιὸ χρήσιμη, ἡ καλὴ πράξη καὶ χωρὶς σημεῖα εἰσήγαγε στὸν οὐρανὸ ἐκείνους ποὺ τὴν κατόρθωσαν, ἐνῶ τὸ θαῦμα καὶ τὰ σημεῖα χωρὶς ὀρθὸ τρόπο ζωῆς δὲν μπόρεσαν νὰ ὁδηγήσουν στὰ πρόθυρα τοῦ οὐρανοῦ. Καὶ πῶς συμβαίνει αὐτὸ ἐγὼ θὰ τὸ σᾶς δείξω. Ἐσεῖς ὅμως προσέχετε πῶς οἱ πράξεις ἔχουν κατὰ τὴν πληρωμὴ τῶν μισθῶν τὴν πρώτη θέση, πῶς τὰ σημεῖα ὅταν εἶναι μόνα τους δὲ σώζουν αὐτοὺς ποὺ τὰ ἐνεργοῦν, ἐνῶ ἡ πράξη ὅταν εἶναι μόνη της δὲ χρειάζεται τίποτε ἄλλο γιὰ τὴ σωτηρία ἐκείνων ποὺ τὴν ἀποκτοῦν. «Πολλοὶ θὰ μοῦ ποῦν», λέγει ὁ Χριστός, «τὴν ἡμέρα ἐκείνη· Κύριε, Κύριε, δὲν προφητέ-

Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν», τοῦτο σημεῖον καὶ θαῦμα, «οὐ τῷ σῷ ὀνόματι δαιμόνια πολλὰ ἐξεβάλομεν καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν;».

Ὁρᾷς πανταχοῦ σημεῖα καὶ θαύματα· ἴδωμεν τί φησιν ὁ Θεός. Ἐπειδὴ γυμνὰ τὰ θαύματα καὶ οὐδαμοῦ πολιτεία, «πορεύεσθε», φησίν, «ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν». Εἰ οὐκ οἶδας αὐτούς, πῶς οἶδας αὐτούς, εἰ ἐργάζονται τὴν ἀνομίαν; Ἵνα μάθῃς, ὅτι τό, «οὐκ οἶδα ὑμᾶς», οὐκ ἀγνοίας ἐστίν, ἀλλὰ μίσους καὶ ἀποστροφῆς. «Οὐκ οἶδα ὑμᾶς». Τίνος ἕνεκεν, εἰπέ μοι; «Οὐ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν;». Διὰ τοῦτο γὰρ ὑμᾶς μισῶ καὶ ἀποστρέφομαι, φησίν, ὅτι οὐδὲ ταῖς δωρεαῖς βελτίους ἐγένεσθε, ὅτι τοσαύτης ἀπολαύσαντες τιμῆς ἐμείνατε ἐπὶ τῆς αὐτῆς κακίας. «Πορεύεσθε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς».

Τί οὖν; Τὸ παλαιὸν ἀνάξιοι ἐλάμβανον χαρίσματα καὶ διεφθαρμένοι τὸν βίον σημεῖα ἐπεδείκνυντο καὶ θείας ἀπήλαυον δωρεᾶς, τῆς πολιτείας οὐκ ἐπιμελούμενοι τῆς ἀρίστης; Ἀπήλαυον διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, οὐ διὰ τὴν οἰκείαν ἀξίαν. Ἔδει γὰρ πανταχοῦ σπαρῆναι τῆς εὐσεβείας τὸν λόγον, ἐπειδὴ ἀρχὴ καὶ προοίμια τῆς πίστεως ἦν. Καθάπερ οὖν γηπόνος ἄριστος νεόφυτον δένδρον τοῖς κόλποις τῆς γῆς ἄρτι παρακατιθέμενος, ἁπαλὸν ὑπάρχον ἔτι πολλῆς ἐπιμελείας ἀξιοῖ, πανταχόθεν περιφράττων, τειχίζων καὶ λίθοις καὶ ἀκάνθαις, ὥστε μὴ ὑπὸ ἀνέμων ἀνασπασθῆναι, μήτε ὑπὸ θρεμμάτων ἀδικηθῆναι, μήτε ὑπὸ ἄλλης τινὸς ἐπηρεασθῆναι βλάβης· ἐπειδὰν δὲ παγὲν καὶ πρὸς ὕψος ἀναδραμὸν ἴδῃ, περιαιρεῖ τὰ τειχία· ἀρκεῖ γὰρ αὐτὸ τὸ δένδρον πρὸς τὸ μηδὲν τοιοῦτον παθεῖν· οὕτω καὶ ἐπὶ τῆς πίστεως γέγονεν. Ὅτε νεόφυτος ἦν, ὅτε ἁπαλὴ ὑπῆρχεν, ὅτε προσφάτως ἐν ταῖς τῶν ἀνθρώπων κατεβλήθη ψυχαῖς, πολλῆς

7. Ματθ. 7,22.
8. Ματθ. 7,23.

ψαμε στὸ ὄνομά σου;». Αὐτὸ εἶναι σημεῖο καὶ θαῦμα· «δὲ διώξαμε πολλὰ δαιμόνια στὸ ὄνομά σου καὶ δὲν κάναμε πολλὰ θαύματα;»[7].

Βλέπεις παντοῦ σημεῖα καὶ θαύματα. Ἂς δοῦμε τί λέγει ὁ Θεός. Ἐπειδὴ τὰ θαύματα ἦταν γυμνὰ καὶ πουθενὰ δὲν ὑπῆρχε σωστὴ ζωή, λέγει· «φύγετε ἀπὸ μένα, δὲ σᾶς γνωρίζω, ἐσεῖς οἱ ἐργάτες τῆς ἀνομίας»[8]. Ἂν δὲ τοὺς γνωρίζεις, πῶς γνωρίζεις ἂν αὐτοὶ ἐργάζονται τὴν ἀνομία; Γιὰ νὰ μάθεις πὼς τὸ «δὲ σᾶς γνωρίζω», δὲν εἶναι ἀποτέλεσμα ἄγνοιας, ἀλλὰ μίσους καὶ ἀποστροφῆς. «Δὲ σᾶς γνωρίζω». Γιὰ ποιό λόγο, πές μου; «Δὲ διώξαμε δαιμόνια στὸ ὄνομά σου;». Γι' αὐτὸ λοιπὸν σᾶς μισῶ καὶ σᾶς ἀποστρέφομαι, λέγει, ἐπειδὴ οὔτε μὲ τὶς δωρεὲς δὲ γίνατε καλύτεροι· γιατί, παρ' ὅλο ποὺ ἀπολαύσατε τόσο μεγάλη τιμή, παραμείνατε στὴν ἴδια κακία. «Φύγετε μακριά μου, δὲ σᾶς γνωρίζω».

Τί λοιπόν; Τὴν παλιὰ ἐποχὴ ἀνάξιοι λάμβαναν χαρίσματα καὶ ἄνθρωποι μὲ διεφθαρμένη ζωὴ ἔκαναν θαύματα καὶ ἀπολάμβαναν τὴ θεία δωρεὰ χωρὶς νὰ φροντίζουν γιὰ ἄριστη τρόπο ζωῆς; Τὰ ἀπολάμβαναν ἐξ αἰτίας τῆς φιλανθρωπίας τοῦ Θεοῦ, ὄχι ἀπὸ τὴ δική τους ἀξία. Γιατὶ ἔπρεπε νὰ σπαρθεῖ παντοῦ ὁ λόγος τῆς εὐσέβειας, ἐπειδὴ ἦταν ἀρχὴ καὶ ξεκίνημα τῆς πίστης. Ὅπως ἀκριβῶς δηλαδὴ ἕνας ἄριστος γεωργός, ὅταν φυτέψει ἕνα μικρὸ δένδρο στὰ σπλάχνα τῆς γῆς, ἐπειδὴ εἶναι ἀκόμη τρυφερό, τὸ φροντίζει πολύ, φράζοντας αὐτὸ ἀπὸ παντοῦ καὶ τειχίζοντάς το μὲ πέτρες καὶ ἀγκάθια, γιὰ νὰ μὴν ξερριζωθεῖ ἀπὸ τοὺς ἀνέμους, μήτε νὰ καταστραφεῖ ἀπὸ τὰ ζῶα, μήτε νὰ πάθει κάποια ἄλλη ζημία· ὅταν ὅμως δεῖ πὼς ἔχει σταθεροποιηθεῖ καὶ πὼς ἔχει πάρει ὕψος, γκρεμίζει τοὺς φράκτες, γιατὶ τὸ ἴδιο τὸ δένδρο εἶναι ἱκανὸ νὰ μὴν πάθει τίποτε τέτοιο. Ἔτσι ἔγινε καὶ μὲ τὴν πίστη. Ὅταν ἦταν νεοφυτευμένη, ὅταν ἦταν τρυφερή, ὅταν ἦταν πρόσφατα σπαρμένη στὶς ψυχὲς τῶν ἀν-

ἐπιμελείας ἠξιοῦτο πάντοθεν· ἐπειδὴ δὲ ἐπάγη καὶ ἐρριζώθη καὶ πρὸς ὕψος ἀνέδραμεν, ἐπειδὴ πᾶσαν τὴν οἰκουμένην ἐπλήρωσε, καὶ περιῆρε τὰ τειχία, καὶ τὰ ἀσφαλίσματα λοιπὸν ἀνεῖλεν ὁ Χριστός.

Διὰ τοῦτο παρὰ μὲν τὴν ἀρχὴν καὶ ἀναξίοις χαρίσματα ἐδίδοτο· χρείαν γὰρ εἶχε τὸ παλαιόν, τῆς πίστεως ἕνεκα, ταύτης τῆς βοηθείας· νῦν δὲ οὐδὲ ἀξίοις δίδοται· ἡ γὰρ ἰσχὺς τῆς πίστεως οὐκέτι ταύτης δεῖται τῆς συμμαχίας. Καὶ ἵνα μάθῃς ὅτι οὐκ ἐψεύδοντο ἐκεῖνοι, ἀλλὰ ἀληθῶς σημεῖα ἐποίησαν, καὶ ἀναξίοις ἀνθρώποις χαρίσματα ἐδίδοτο, καὶ ἵνα πρὸς τοῖς εἰρημένοις καὶ ἕτερόν τι κατορθωθῇ, καὶ τὴν τοῦ Θεοῦ δωρεὰν αἰδεσθέντες ἐκεῖνοι ἀποθῶνται τὴν πονηρίαν, Ἰούδας ὁ τῶν δώδεκα παρὰ πᾶσιν ὁμολογεῖται, ὅτι σημεῖα ἐποίει, ὅτι δαίμονας ἐξέβαλλεν, ὅτι νεκροὺς ἤγειρεν, ὅτι λεπροὺς ἐκάθηρεν· ἀλλ' ὅμως ἐξέπεσε τῆς βασιλείας τῶν οὐρανῶν. Οὐ γὰρ ἴσχυσεν αὐτὸν σῶσαι τὰ σημεῖα, ἐπειδὴ λῃστὴς καὶ κλέπτης καὶ τοῦ Δεσπότου προδότης ἐγένετο.

Ὅτι μὲν τὰ σημεῖα οὐκ ἰσχύει σῶσαι χωρὶς πολιτείας ἀρίστης καὶ βίου καθαροῦ καὶ διηκριβωμένου, ἀπὸ τούτων ἀποδέδεικται· ὅτι δὲ πολιτεία οὐκ ἔχουσα τὴν ἀπὸ τῶν σημείων παραμυθίαν, οὐδὲ σύμμαχον λαβοῦσα ἐκείνην, ἀλλ' αὕτη καθ' ἑαυτὴν φανεῖσα, ἴσχυσε μετὰ παρρησίας εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· «Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου». Διὰ τί; ὅτι νεκροὺς ἤγειραν; ὅτι λεπροὺς ἐκάθηραν; ὅτι δαίμονας ἤλασαν; Οὐχί· ἀλλὰ διὰ τί; «Πεινῶντα εἴδετέ με», φησί, «καὶ ἐθρέψατε· διψῶντα, καὶ ἐποτίσατέ με· γυμνόν, καὶ περιεβάλετέ με· ξένον, καὶ συνηγάγετε». Οὐδαμοῦ θαύματα, ἀλλὰ πανταχοῦ πο-

9. Ματθ. 25,34.

10. Βλ. Ματθ. 25,35–36.

θρώπων, ἀπὸ παντοῦ φροντιζόταν πολύ· ὅταν ὅμως σταθεροποιήθηκε καὶ ριζώθηκε καὶ πῆρε ὕψος, ὅταν γέμισε ὅλη τὴν οἰκουμένη, τότε πλέον ὁ Χριστὸς γκρέμισε καὶ τοὺς φράκτες καὶ κατέστρεψε τὰ προστατευτικὰ μέσα.

Γι' αὐτὸ στὴν ἀρχὴ δίνονταν χαρίσματα καὶ σὲ ἀνάξιους, γιατὶ ἡ παλιὰ ἐποχὴ εἶχε ἀνάγκη, ἐξ αἰτίας τῆς πίστης, ἀπ' αὐτὴ τὴ βοήθεια· τώρα ὅμως οὔτε σὲ ἄξιους δίνονται, γιατὶ ἡ δύναμη τῆς πίστης δὲ χρειάζεται πιὰ αὐτὴ τὴ βοήθεια. Καὶ γιὰ νὰ μάθεις πῶς δὲν ἔλεγαν ψέματα ἐκεῖνοι, ἀλλὰ πραγματικὰ ἔκαμαν θαύματα, καὶ δίνονταν χαρίσματα σὲ ἀνάξιους ἀνθρώπους, καὶ γιὰ νὰ κατορθωθεῖ, μαζὶ μ' αὐτὰ ποὺ λέχθηκαν, καὶ κάτι ἄλλο, νὰ ἀποβάλλουν δηλαδὴ ἐκεῖνοι τὴν κακία, ἀφοῦ ντραποῦν γιὰ τὴ δωρεὰ τοῦ Θεοῦ, ὁμολογεῖται ἀπὸ ὅλους ὅτι ὁ Ἰούδας, ὁ ἕνας ἀπὸ τοὺς δώδεκα, ἔκανε θαύματα, ὅτι ἔδιωχνε δαίμονες, ὅτι ἀνάστησε νεκρούς, ὅτι καθάρισε λεπρούς, ἀλλ' ὅμως ἔχασε τὴ βασιλεία τῶν οὐρανῶν. Γιατὶ δὲν μπόρεσαν νὰ τὸν σώσουν τὰ θαύματα, ἐπειδὴ ἔγινε ληστὴς καὶ κλέφτης καὶ προδότης τοῦ Κυρίου.

Ὅτι βέβαια τὰ θαύματα δὲν μποροῦν νὰ σώσουν χωρὶς ἄριστο τρόπο ζωῆς καὶ καθαρὸ καὶ τέλεια βίο, ἔχει ἀποδειχθεῖ ἀπ' αὐτά. Ὅτι ὅμως ὁ ὀρθὸς τρόπος ζωῆς, χωρὶς νὰ ἔχει τὴν ὑποστήριξη ἀπὸ τὰ θαύματα καὶ χωρὶς νὰ λάβει τὴ συμμαχία ἐκείνη, ἀλλ' ὁ ἴδιος μόνος του, ὅπου φανερώθηκε, μπόρεσε μὲ παρρησία νὰ μπεῖ στὴ βασιλεία τῶν οὐρανῶν, ἄκουσε τὸν ἴδιο τὸ Χριστὸ ποὺ λέγει· «ἐλᾶτε, οἱ εὐλογημένοι ἀπὸ τὸν Πατέρα μου, κληρονομῆστε τὴ βασιλεία ποὺ σᾶς ἔχει ἑτοιμασθεῖ ἀπὸ τὴν ἀρχὴ τοῦ κόσμου»[9]. Γιὰ ποιό λόγο; γιατὶ ἀνάστησαν νεκρούς; γιατὶ καθάρισαν λεπρούς; γιατὶ ἔδιωξαν δαίμονες; Ὄχι· ἀλλὰ γιατί; «Μὲ εἴδατε», λέγει, «νὰ πεινῶ καὶ μοῦ δώσατε νὰ φάω· νὰ διψῶ καὶ μοῦ δώσατε νὰ πιῶ· γυμνὸ καὶ μὲ ντύσατε· ξένο καὶ μὲ περιμαζέψατε[10]. Πουθενὰ θαύματα, ἀλλὰ παντοῦ

λιτεία. Ὥσπερ οὖν ἐκεῖ πανταχοῦ θαύματα, καὶ εὐθέως κόλασις, ἐπειδὴ γυμνὰ τὰ θαύματα τῆς πολιτείας, οὕτω καὶ ἐνταῦθα πανταχοῦ πολιτεία, καὶ οὐδαμοῦ θαύματα καὶ εὐθέως ἡ σωτηρία· ἐπειδὴ ἰσχύει καθ' ἑαυτὴν σῶσαι ἡ ἀρίστη πολιτεία τοὺς κεκτημένους αὐτήν.

Διὰ τοῦτο καὶ ὁ μακάριος οὗτος καὶ γενναῖος καὶ θαυμάσιος Λουκᾶς οὕτως ἐπέγραψε τὸ βιβλίον, «Πράξεις ἀποστόλων», οὐ 'Θαύματα ἀποστόλων', καίτοι καὶ θαύματα πεποιήκασιν. Ἀλλ' ἐκεῖνα μὲν καιρῷ γέγονε καὶ παρῆλθε, ταῦτα δὲ διὰ παντὸς τοῦ χρόνου πάντας ἐπιδείκνυσθαι χρὴ τοὺς σώζεσθαι μέλλοντας. Ἐπεὶ οὖν οὐ πρὸς τὰ σημεῖα, ἀλλὰ πρὸς τὰς πράξεις τῶν ἀποστόλων ὁ ζῆλος ἡμῖν, διὰ τοῦτο οὕτω τὸ βιβλίον ἐπέγραψεν. Ἵνα γὰρ μὴ λέγῃς, μᾶλλον δὲ ἵνα μὴ λέγωσιν οἱ ῥᾴθυμοι, ἐπειδὰν αὐτοὺς παρακαλοῦμεν πρὸς τὴν μίμησιν τῶν ἀποστόλων, καὶ λέγομεν· 'μίμησαι Πέτρον, ζήλωσον Παῦλον, γενοῦ κατὰ Ἰωάννην ἀκολούθησον Ἰάκωβον'· ἵνα μὴ λέγωσιν, 'οὐ δυνάμεθα, οὐκ ἰσχύομεν, ἐκεῖνοι γὰρ νεκροὺς ἀνέστησαν, λεπροὺς ἐκάθηραν', ἐπιστομίζων ἡμῶν τὴν ἀναίσχυντον ἀπολογίαν, 'σιώπα', φησί, 'πεφίμωσο· οὐ θαύματα, ἀλλὰ πολιτεία εἰς τὴν βασιλείαν εἰσάγει τῶν οὐρανῶν'.

Ζήλωσον τοίνυν τὴν πολιτείαν τῶν ἀποστόλων, καὶ οὐδὲν ἔλαττον ἕξεις τῶν ἀποστόλων. Οὐ γὰρ τὰ σημεῖα ἀποστόλους ἐποίησεν, ἀλλ' ὁ βίος ὁ καθαρός. Καὶ ὅτι τοῦτό ἐστι τὸ γνώρισμα τῆς ἀποστολικῆς εἰκόνος καὶ τοῦ χαρακτῆρος τῶν μαθητῶν, ἄκουσον τοῦ Χριστοῦ τοῦτο δηλοῦντος τὸ σημεῖον. Χαρακτηρίζων γὰρ τῶν μαθητῶν τὰς εἰκόνας καὶ δεικνὺς τί ποτέ ἐστιν ἀποστολῆς γνώρισμα, οὕτως εἶπεν· «ἐν τούτῳ

σωστὴ ζωή. Ὅπως λοιπὸν ἐκεῖ ὑπῆρχαν παντοῦ θαύματα καὶ ἀμέσως ἀκολούθησε ἡ τιμωρία, ἐπειδὴ τὰ θαύματα ἦταν γυμνὰ ἀπὸ σωστὴ ζωή, ἔτσι καὶ ἐδῶ ὑπάρχει παντοῦ σωστὴ ζωὴ καὶ πουθενὰ θαύματα, καὶ ἀμέσως ἀκολουθεῖ ἡ σωτηρία, ἐπειδὴ μπορεῖ μόνη της ἡ σωστὴ ζωὴ νὰ σώσει ἐκείνους ποὺ τὴν κατέχουν.

Γι' αὐτὸ καὶ ὁ μακάριος αὐτὸς καὶ γενναῖος καὶ θαυμάσιος Λουκᾶς ἔβαλε στὸ βιβλίο αὐτὴ τὴν ἐπιγραφή, «Πράξεις τῶν ἀποστόλων», καὶ ὄχι 'Θαύματα τῶν ἀποστόλων', ἂν καὶ βέβαια ἔχουν κάνει καὶ θαύματα. Ἀλλ' ἐκεῖνα ἔγιναν σὲ ὡρισμένο καιρὸ καὶ πέρασαν, αὐτὰ ὅμως πρέπει πάντοτε νὰ τὰ ἐπιδεικνύουν ὅλοι ὅσοι θέλουν νὰ σωθοῦν. Ἐπειδὴ λοιπὸν ὁ ζῆλος μας δὲν πρέπει νὰ εἶναι γιὰ τὰ θαύματα ἀλλὰ γιὰ τὶς πράξεις τῶν ἀποστόλων, γι' αὐτὸ ἔβαλε στὸ βιβλίο τὴν ἐπιγραφὴ αὐτή. Γιὰ νὰ μὴ λέγεις λοιπόν, ἢ καλύτερα γιὰ νὰ μὴ λέγουν οἱ ἀδιάφοροι, ὅταν τοὺς παρακαλοῦμε νὰ μιμηθοῦν τοὺς ἀποστόλους καὶ λέμε, 'μιμήσου τὸν Πέτρο, συναγωνίσου τὸν Παῦλο, γίνε ὅπως ὁ Ἰωάννης, ἀκολούθησε τὸν Ἰάκωβο', γιὰ νὰ μὴ λέγουν, 'δὲν μποροῦμε, δὲν ἔχουμε τὴ δύναμη, γιατὶ ἐκεῖνοι ἀνάστησαν νεκρούς, καθάρισαν λεπρούς', ἀποστομώνοντας τὴν ἀναίσχυντη δικαιολογία μας, λέγει· 'σιώπα, κλεῖσε τὸ στόμα σου· δὲν εἰσάγουν τὰ θαύματα στὴ βασιλεία τῶν οὐρανῶν, ἀλλὰ ὁ σωστὸς τρόπος ζωῆς'.

Μιμήσου λοιπὸν τὸν ὀρθὸ τρόπο ζωῆς τῶν ἀποστόλων καὶ δὲ θὰ ἔχεις τίποτε λιγότερο ἀπὸ τοὺς ἀποστόλους. Γιατὶ δὲν ἔκαμαν τὰ θαύματα ἀποστόλους, ἀλλ' ἡ καθαρὴ ζωή. Καὶ ὅτι αὐτὸ εἶναι τὸ γνώρισμα τῆς ἀποστολικῆς εἰκόνας καὶ τοῦ χαρακτήρα τῶν μαθητῶν, ἄκουσε τὸ Χριστὸ ποὺ δηλώνει αὐτὸ τὸ γνώρισμα. Χαρακτηρίζοντας δηλαδὴ τὴν εἰκόνα τῶν ἀποστόλων καὶ δείχνοντας ποιό εἶναι τὸ γνώρισμα τοῦ ἀποστολικοῦ ἔργου, εἶπε τὸ ἑξῆς· «ἀπ' αὐτὸ θὰ γνωρίσουν ὅλοι ὅτι εἶστε μα-

γνώσονται πάντες, ὅτι μαθηταί μού ἐστε». «Ἐν τούτῳ», ποίῳ; ἐν τῷ θαύματα ποιεῖν; ἐν τῷ νεκροὺς ἐγείρειν; Οὐχί, φησίν· ἀλλ' ἐν τίνι; «Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους». Ἡ δὲ ἀγάπη οὐχὶ θαυμάτων, ἀλλὰ πολιτείας ἐστί. «Πλήρωμα γὰρ νόμου ἡ ἀγάπη». Εἶδες τὸ γνώρισμα τῶν μαθητῶν; εἶδες τὴν εἰκόνα τῆς ἀποστολῆς; εἶδες τὴν μορφήν; εἶδες τὸν τύπον; μηδὲν πλέον ζήτει· ὁ γὰρ Δεσπότης ἀπεφήνατο, ὅτι ἀγάπη χαρακτηρίζει τοὺς μαθητάς. Ἂν τοίνυν ἔχῃς ἀγάπην, ἀπόστολος γέγονας, καὶ τῶν ἀποστόλων πρῶτος.

4. Βούλει ἑτέρωθεν τοῦτο μαθεῖν; Πρὸς Πέτρον εἰπὼν ὁ Χριστός, «Πέτρε, φιλεῖς με πλέον τούτων;» φησί. Τούτου δὲ ἴσον οὐδὲν εἰς τὸ τυχεῖν βασιλείας οὐρανῶν, ἀλλ' ὅταν φανῶμεν τὸν Χριστὸν φιλοῦντες, ὡς φιλεῖν δεῖ. Καὶ τὸ γνώρισμα εἶπε. Τί ποτ' οὖν ἐστι τοῦτο; καὶ τί ποιοῦντες δυνάμεθα φιλεῖν πλέον τῶν ἀποστόλων; ἆρα τοὺς νεκροὺς ἐγείροντες; ἢ ἄλλα τινὰ θαύματα ἐπιδεικνύμενοι; Οὐδαμῶς· ἀλλὰ τί ποιοῦντες; Αὐτοῦ τοῦ φιλουμένου Χριστοῦ ἀκούσωμεν. «Εἰ γὰρ φιλεῖς με», φησί, «πλέον τούτων, ποίμαινε τὰ πρόβατά μου». Ἰδοὺ καὶ ἐνταῦθα πολιτεία εὐδοκιμεῖ. Τὸ γὰρ κηδεμονικόν, τὸ συμπαθητικόν, τὸ προστατικόν, τὸ μὴ τὰ ἑαυτοῦ ζητεῖν, ἀλλὰ πάντα, ἃ τὸν ποιμαίνοντα ἔχειν δεῖ, πάντα ταῦτα πολιτείας ἐστίν, οὐχὶ θαυμάτων, οὐδὲ σημείων. Ἀλλ' ἐκεῖνοι, φησί, διὰ τὰ θαύματα τοιοῦτοι γεγόνασιν. Οὐχὶ διὰ τὰ θαύματα, ἀλλὰ διὰ τὴν πολιτείαν, καὶ ἐντεῦθεν μάλιστα ἔλαμψαν. Διὰ τοῦτό φησιν αὐτοῖς· «λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα ἴδωσιν οἱ ἄνθρω-

---

11. Ἰω. 13,35.
12. Ρωμ. 13,10.
13. Ἰω. 21,15.
14. Ἰω. 21,16.

θητές μου»[11]. «Ἀπ' αὐτό»· ἀπὸ ποιό; ἀπὸ τὸ νὰ κάμνετε θαύματα; ἀπὸ τὸ νὰ ἀνασταίνετε νεκρούς; Ὄχι, λέγει; ἀλλὰ ἀπὸ ποιό; «Ἀπ' αὐτὸ θὰ γνωρίσουν ὅλοι ὅτι εἶστε μαθητές μου, ἐὰν ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλο». Ἡ ἀγάπη ὅμως δὲν εἶναι ἀποτέλεσμα θαυμάτων, ἀλλὰ σωστῆς ζωῆς. Γιατὶ λέγει, «ἡ ἀγάπη εἶναι ἐκπλήρωση τοῦ νόμου»[12]. Εἶδες τὸ γνώρισμα τῶν μαθητῶν; εἶδες τὴν εἰκόνα τοῦ ἀποστολικοῦ ἔργου; εἶδες τὴ μορφή; εἶδες τὸν τύπο; μὴ ζητᾶς τίποτε περισσότερο. Γιατὶ ὁ Κύριος ἀποφάνθηκε πὼς ἡ ἀγάπη εἶναι τὸ χαρακτηριστικὸ γνώρισμα τῶν μαθητῶν. Ἂν λοιπὸν ἔχεις ἀγάπη, ἔγινες ἀπόστολος καὶ πρῶτος ἀπὸ τοὺς ἀποστόλους.

4. Θέλεις νὰ μάθεις αὐτὸ ἀπὸ ἀλλοῦ; Τὸ λέγει ὁ Χριστὸς μ' αὐτὸ ποὺ λέγει στὸν Πέτρο· «Πέτρε, μὲ ἀγαπᾶς περισσότερο ἀπ' αὐτούς;»[13]. Τίποτε δὲν εἶναι ἴσο μ' αὐτὸ στὸ νὰ ἐπιτύχουμε τὴ βασιλεία τῶν οὐρανῶν, ἀλλὰ μόνο ὅταν φανοῦμε πὼς ἀγαπᾶμε τὸ Χριστό, ὅπως πρέπει νὰ τὸν ἀγαπᾶμε. Ἐπίσης εἶπε καὶ τὸ γνώρισμα. Καὶ ποιό λοιπὸν εἶναι αὐτό; καὶ τί κάνοντας μποροῦμε νὰ τὸν ἀγαπᾶμε περισσότερο ἀπὸ τοὺς ἀποστόλους; ἄραγε ἀνασταίνοντας νεκρούς; ἢ κάνοντας κάποια ἄλλα θαύματα; Καθόλου· ἀλλὰ τί κάνοντας; Ἂς ἀκούσουμε τὸν ἴδιο τὸ Χριστὸ ποὺ θέλει νὰ τὸν ἀγαπᾶμε. «Ἂν μὲ ἀγαπᾶς», λέγει, «περισσότερο ἀπ' αὐτούς, ποίμανε τὰ πρόβατά μου»[14]. Νὰ καὶ ἐδῶ ὁ σωστὸς τρόπος ζωῆς εἶναι τὸ διακριτικὸ γνώρισμα. Γιατὶ τὸ νὰ φροντίζει κανεὶς γιὰ τοὺς ἄλλους, νὰ δείχνει συμπάθεια γι' αὐτούς, νὰ τοὺς προστατεύει, νὰ μὴ ζητάει τὰ δικά του, ἀλλὰ νὰ ἔχει ὅλα ὅσα πρέπει νὰ ἔχει ὁ ποιμένας, ὅλα αὐτὰ εἶναι γνωρίσματα σωστῆς ζωῆς, ὄχι θαυμάτων οὔτε σημείων. Ὅμως ἐκεῖνοι, λέγει, ἔγιναν τέτοιοι ἐξ αἰτίας τῶν θαυμάτων. Ὄχι ἐξ αἰτίας τῶν θαυμάτων, ἀλλ' ἐξ αἰτίας τῆς σωστῆς ζωῆς τους, καὶ ἀπὸ αὐτὴν πρὸ πάντων ἔλαμψαν. Γι' αὐτὸ λέγει σ' αὐτούς· «ἂς λάμψει τὸ δικό σας φῶς μπροστὰ στοὺς ἀνθρώπους, γιὰ νὰ

ποι» οὐχὶ τὰ θαύματα, ἀλλὰ «τὰ καλὰ ἔργα ὑμῶν καὶ δοξάσωσιν τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς».

Ὁρᾷς πανταχοῦ τὴν πολιτείαν διαλάμπουσαν, τὸν βίον τὸν ἐνάρετον θαυμαζόμενον; Βούλει σοι δείξω καὶ αὐτὸν τὸν Πέτρον, τοῦτον τὸν κορυφαῖον τῶν ἀποστόλων, καὶ πολιτείαν ἐπιδειξάμενον μεγίστην, καὶ θαύματα ποιήσαντα ὑπερβαίνοντα ἀνθρωπίνην φύσιν, καὶ ἀμφότερα παράλληλα κείμενα, καὶ τὸ θαῦμα, καὶ τὴν πολιτείαν, καὶ ἀπὸ τῆς πολιτείας μᾶλλον ἢ ἀπὸ τῶν σημείων τιμηθέντα; Ἄκουε τῆς ἱστορίας ταύτης· «Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν περὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην». Μὴ παραδράμῃς ἁπλῶς τὸ διήγημα, ἀλλ' εὐθέως ἐπίστα τῷ προοιμίῳ, καὶ μάθε πόση ἦν ἡ ἀγάπη καὶ ἡ συμφωνία καὶ ἡ ὁμόνοια, καὶ πῶς πανταχοῦ οὗτοι ἐκοινώνουν ἀλλήλοις, καὶ συνεδεμένοι τῷ δεσμῷ τῆς κατὰ Θεὸν φιλίας, ἅπαντα ἔπραττον, καὶ ἐν τραπέζῃ καὶ ἐν εὐχῇ καὶ ἐν βαδίσει καὶ ἐν τοῖς ἄλλοις ἅπασι μετὰ ἀλλήλων ἐφαίνοντο.

Εἰ δὲ ἐκεῖνοι οἱ στῦλοι, οἱ πύργοι, οἱ πολλὴν παρρησίαν ἔχοντες πρὸς τὸν Θεόν, τῆς παρ' ἀλλήλων ἐδέοντο βοηθείας καὶ ὑπὸ τῆς παρ' ἀλλήλων συμμαχίας διωρθοῦντο, πόσῳ μᾶλλον ἡμεῖς οἱ ἀσθενεῖς καὶ ταλαίπωροι καὶ οὐδενὸς ἄξιοι λόγου, τῆς ἀλλήλων δεησόμεθα βοηθείας; «Ἀδελφὸς γὰρ ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά»· καὶ πάλιν· «ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;». Πέτρος καὶ Ἰώαννης ἦσαν, καὶ τὸν Ἰησοῦν εἶχον μέσον· «ὅπου γὰρ ἂν ὦσι συνηγμένοι δύο ἢ τρεῖς», φησίν, «ἐν τῷ ὀνόματί μου, ἐγὼ ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν». Εἶδες πόσον ἐστὶ τὸ ἐπὶ τὸ αὐτὸ εἶναι; Οὐχ ἁπλῶς δὲ ἦσαν ἐπὶ τὸ αὐτό, ἐπεὶ καὶ νῦν ἐπὶ τὸ αὐτὸ

---

15. Ματθ. 5,16.
16. Πράξ. 3,1.
17. Παροιμ. 18,9.
18. Ψαλμ. 132,1.
19. Ματθ. 18,20.

δοῦν οἱ ἄνθρωποι», ὄχι τὰ θαύματα, ἀλλὰ «τὰ καλά σας ἔργα καὶ νὰ δοξάσουν τὸν Πατέρα σας ποὺ βρίσκεται στοὺς οὐρανούς»[15].

Βλέπεις παντοῦ νὰ διαλάμπει ἡ σωστὸς τρόπος ζωῆς, νὰ θαυμάζεται ἡ ἐνάρετη ζωή; Θέλεις νὰ σοῦ δείξω καὶ τὸν ἴδιο τὸν Πέτρο, αὐτὸν τὸν κορυφαῖο ἀπὸ τοὺς ἀποστόλους, ποὺ ἐπέδειξε καὶ ἐνάρετη ζωή, καὶ θαύματα ἔκαμε ποὺ ξεπερνοῦν τὴν ἀνθρώπινη φύση, καὶ ποὺ καὶ τὰ δύο βρίσκονται παράλληλα, δηλαδὴ καὶ τὸ θαῦμα καὶ ἡ ἐνάρετη ζωή, καὶ πὼς τιμήθηκε περισσότερο ἀπὸ τὴν ἐνάρετη ζωή του, παρὰ ἀπὸ τὰ θαύματα; Ἄκου τὴν ἱστορία αὐτή. «Ὁ Πέτρος καὶ ὁ Ἰωάννης ἀνέβαιναν μαζὶ στὸ ναὸ στὶς τρεῖς τὸ ἀπόγευμα, τὴν ὥρα τῆς προσευχῆς»[16]. Μὴν προσπεράσεις ἐπιπόλαια τὴ διήγηση, ἀλλ' ἀμέσως στάσου στὸ προοίμιο καὶ μάθε πόση ἦταν ἡ μεταξύ τους ἀγάπη καὶ ἡ συμφωνία καὶ ἡ ὁμόνοια, καὶ πῶς παντοῦ αὐτοὶ βρίσκονταν σὲ κοινωνία μεταξύ τους, πῶς ἔκαμναν ὅλα συνδεδεμένοι μὲ τὸ δεσμὸ τῆς σύμφωνης μὲ τὶς ἐντολὲς τοῦ Θεοῦ φιλίας, καὶ παρουσιάζονταν ὅλοι μαζὶ καὶ στὸ τραπέζι καὶ στὴν προσευχὴ καὶ στὸ δρόμο καὶ σὲ ὅλα τὰ ἄλλα.

Ἂν ὅμως ἐκεῖνοι οἱ στύλοι, οἱ πύργοι, ἐκεῖνοι ποὺ εἶχαν μεγάλο θάρρος ἐνώπιον τοῦ Θεοῦ, χρειάζονταν ὁ ἕνας τὴ βοήθεια τοῦ ἄλλου καὶ ἐνισχύονταν ἀπὸ τὴ συμμαχία ποὺ εἶχαν μεταξύ τους, πόσο περισσότερο ἐμεῖς οἱ ἀδύνατοι καὶ ταλαίπωροι καὶ ἀνάξιοι θὰ χρειασθοῦμε τὴ βοήθεια ὁ ἕνας τοῦ ἄλλου; «Γιατὶ ὅταν ἕνας ἀδελφὸς βοηθιέται ἀπὸ ἀδελφό εἶναι σὰν ὀχυρωμένη πόλη»[17]. Καὶ πάλι· «τί πιὸ ὡραῖο ἢ τί πιὸ εὐχάριστο ὑπάρχει, ἀπὸ τὸ νὰ κατοικοῦν ἀδελφοὶ στὸ ἴδιο μέρος;»[18]. Ὁ Πέτρος καὶ ὁ Ἰωάννης ἦταν καὶ εἶχαν ἀνάμεσά τους τὸν Ἰησοῦ. «Γιατί», λέγει, «ὅπου εἶναι συγκεντρωμένοι δύο ἢ τρεῖς στὸ ὄνομά μου, ἐκεῖ εἶμαι καὶ ἐγὼ ἀνάμεσά τους» [19]. Εἶδες πόσο σπουδαῖο εἶναι τὸ νὰ βρισκόμαστε στὸ ἴδιο μέρος; Καὶ δὲν ἦταν ἁπλῶς

πάντες ἐσμέν· ἀλλ' ἐπὶ τὸ αὐτὸ εἶναι χρὴ τῷ συνδέσμῳ τῆς ἀγάπης, τῇ διαθέσει τῆς προαιρέσεως· καὶ ὥσπερ τὰ σώματα ἡμῶν ἐγγὺς ἀλλήλων ἐστὶ νῦν, καὶ συσφίγγεται ἐπὶ τὸ αὐτό, οὕτω καὶ τὰς καρδίας συσφίγεσθαι χρή.

«Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερόν». Ἐσχίσθη τὸ καταπέτασμα, ἠρημώθη τὰ Ἅγια τῶν ἁγίων, ἀνῃρέθη ἡ ἐν ἑνὶ τόπῳ προσκύνησις. Ὁ Παῦλος βοᾷ λέγων· «ἐν παντὶ τόπῳ ἐπαίρετε ὁσίους χεῖρας». Τί τοίνυν τρέχουσιν αὐτοὶ εἰς τὸ ἱερὸν προσεύξασθαι; πάλιν ἐπὶ τὴν ἰουδαϊκὴν ἦλθον ἀσθένειαν; Μὴ γένοιτο! ἀλλὰ συγκαταβαίνουσι τοῖς ἀσθενεστέροις, ἐκεῖνο πληροῦντες τὸ ῥῆμα Παύλου, τὸ λέγον· «ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος». Συγκαταβαίνουσι τοῖς ἀσθενέσιν, ἵνα μὴ μείνωσιν ἀσθενεῖς ἐκεῖνοι. Ἄλλως δὲ καὶ ἐκεῖ συνήγετο πᾶσα ἡ πόλις. Καθάπερ οὖν ἁλιεῖς ἄριστοι ἐκείνους τοὺς κόλπους τῶν ποταμῶν διώκουσιν, ἔνθα πάντες συλλέγονται οἱ ἰχθύες, ὥστε μετ' εὐκολίας ἐπιτυχεῖν τῆς θήρας, οὕτω δὴ καὶ οἱ ἀπόστολοι οὗτοι, οἱ πνευματικοὶ ἁλιεῖς, εἰς ἐκεῖνον τὸν κόλπον ἔσπευδον, ὅπου πᾶσα ἡ πόλις συνήγετο, ἵνα ἐκεῖ τὸ τοῦ Εὐαγγελίου δίκτυον ἁπλώσαντες, μετ' εὐκολίας τύχωσι τῆς ἄγρας. Τοῦτο δὲ ἐποίουν μιμούμενοι τὸν διδάσκαλον. Καὶ γὰρ ὁ Χριστός φησι· «καθ' ἡμέραν μεθ' ὑμῶν ἤμην ἐν τῷ ἱερῷ». Διὰ τί ἐν τῷ ἱερῷ; Ἵνα τοὺς ἐκ τοῦ ἱεροῦ λάβῃ. Οὕτω καὶ οὗτοι ἀπήρχοντο μὲν ὡς προσευξόμενοι, διδασκαλίαν δὲ ἔμελλον κατασπείρειν ἐκεῖ.

«Εἰς τὸ ἱερὸν προσεύξασθαι περὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην». Οὐδὲ ἡ ὥρα αὐτοῖς ἁπλῶς παρατετήρηται. Καὶ γὰρ εἶπον ὑμῖν πολλάκις περὶ τῆς ὥρας ταύτης, ὅτι ἐν αὐτῇ παράδεισος ἀνεῴγη, καὶ ὁ λῃστὴς εἰσῆλθεν, ἐν αὐτῇ ἡ κατάρα

20. Α' Τιμ. 2,8.
21. Α' Κορ. 9,20.
22. Ματθ. 26.55.

στὸ ἴδιο μέρος, γιατὶ καὶ τώρα εἴμαστε ὅλοι στὸ ἴδιο μέρος, ἀλλὰ πρέπει νὰ εἴμαστε στὸ ἴδιο μέρος μὲ τὸ σύνδεσμο τῆς ἀγάπης καὶ μὲ τὴ διάθεση τῆς προαίρεσης· καὶ ὅπως τὰ σώματά μας εἶναι τώρα τὸ ἕνα κοντὰ στὸ ἄλλο καὶ συσφίγγονται στὸ ἴδιο μέρος, ἔτσι πρέπει νὰ συσφίγγονται καὶ οἱ καρδιές μας.

«Ὁ Πέτρος καὶ ὁ Ἰωάννης ἀνέβαιναν μαζὶ στὸ ναό». Σχίσθηκε τὸ καταπέτασμα, ἐρημώθηκαν τὰ Ἅγια τῶν ἁγίων, καταργήθηκε ἡ προσκύνηση σ' ἕνα τόπο. Ὁ Παῦλος βροντοφωνάζει λέγοντας· «σὲ κάθε τόπο ὑψώνετε χέρια καθαρά»[20]. Γιατί λοιπὸν τρέχουν αὐτοὶ στὸ ναὸ νὰ προσευχηθοῦν; Γύρισαν πάλι στὴν ἰουδαϊκὴ ἀδυναμία; Μακριὰ μιὰ τέτοια σκέψη! Ἀλλὰ δείχνουν συγκατάβαση στοὺς πιὸ ἀδύνατους πνευματικά, ἐκπληρώνοντας ἐκεῖνον τὸ λόγο τοῦ Παύλου ποὺ λέγει· «ἔγινα στοὺς Ἰουδαίους σὰν Ἰουδαῖος»[21]. Δείχνουν συγκατάβαση στοὺς ἀδύνατους πνευματικά, γιὰ νὰ μὴν παραμείνουν ἐκεῖνοι ἀδύνατοι πνευματικά. Ἄλλωστε ἐκεῖ συγκεντρωνόταν ὅλη ἡ πόλη. Ὅπως ἀκριβῶς δηλαδὴ οἱ ἄριστοι ψαράδες ἐπιζητοῦν ἐκείνους τοὺς κόλπους τῶν ποταμῶν, ὅπου μαζεύονται ὅλα τὰ ψάρια, ὥστε μὲ εὐκολία νὰ ἐπιτύχουν τὸ ψάρεμα, ἔτσι λοιπὸν καὶ οἱ ἀπόστολοι αὐτοί, οἱ πνευματικοὶ ψαράδες, ἔτρεχαν σ' ἐκεῖνον τὸν κόλπο, ὅπου συγκεντρωνόταν ὅλη ἡ πόλη, γιὰ νὰ ἐπιτύχουν εὔκολα τὸ ψάρεμα, ἁπλώνοντας ἐκεῖ τὸ δίχτυ τοῦ Εὐαγγελίου. Καὶ ἔκαναν αὐτὸ μιμούμενοι τὸ δάσκαλό τους. Γιατὶ ὁ Χριστὸς λέγει· «καθημερινὰ ἤμουν μαζί σας στὸ ναό»[22]. Γιατί στὸ ναό; Γιὰ νὰ κερδίσει ὅσους βρίσκονταν στὸ ναό. Ἔτσι καὶ αὐτοὶ ἀνέβαιναν βέβαια γιὰ νὰ προσευχηθοῦν, στὴν πραγματικότητα ὅμως ἐπρόκειτο νὰ σπείρουν ἐκεῖ τὴ διδασκαλία.

«Ἀνέβαιναν στὸ ναὸ γιὰ νὰ προσευχηθοῦν στὶς τρεῖς τὸ ἀπόγευμα, τὴν ὥρα τῆς προσευχῆς». Οὔτε τὴν ὥρα αὐτὴ τὴν εἶχαν προτιμήσει τυχαῖα. Γιατὶ σᾶς εἶπα πολλὲς φορὲς καὶ γιὰ τὴν ὥρα αὐτή, ὅτι δηλαδὴ τὴν ὥρα αὐτὴ ἄνοιξε ὁ παράδεισος

ἀνῃρέθη, ἐν αὐτῇ ἡ θυσία τῆς οἰκουμένης προσηνέχθη, ἐν αὐτῇ τὸ σκότος ἐλύθη, ἐν αὐτῇ τὸ φῶς ἔλαμψε, καὶ τὸ αἰσθητὸν καὶ τὸ νοητόν. «Περὶ ὥραν ἐνάτην». Ὅτε ἕτεροι ἀπὸ ἀρίστου καὶ μέθης καθεύδουσιν ὕπνον βαθύν, τότε ἐκεῖνοι νήφοντες καὶ διεγηγερμένοι καὶ πολλῷ τῷ πόθῳ ζέοντες, ἐπὶ τὴν προσευχὴν ἔσπευδον. Εἰ δὲ ἐκεῖνοι εὐχῆς ἐδέοντο, εὐχῆς οὕτω ἐκτενοῦς, εὐχῆς οὕτω διηκριβωμένης, οἱ τοσαύτην ἔχοντες παρρησίαν, οἱ μηδὲν ἑαυτοῖς συνειδότες πονηρόν, τί ποιήσομεν ἡμεῖς, μυρίων γέμοντες τραυμάτων, οὐκ ἐπιτιθέντες δὲ τῆς εὐχῆς τὸ φάρμακον; Μέγα ὅπλον εὐχή. Βούλει μαθεῖν πῶς μέγα ὅπλον ἡ εὐχή; Προστασίας πενήτων παρέδραμον οἱ ἀπόστολοι, ἵνα πλείονα σχολὴν περὶ τὴν εὐχὴν ἔχωσι. «Καταστήσατε» γάρ, φησίν, «ἐξ ὑμῶν ἄνδρας μαρτυρουμένους ἑπτά· ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν».

5. Ἀλλ', ὅπερ ἔλεγον (μὴ γὰρ ἐκπέσωμεν τῆς ὑποθέσεως, ὅτι ὁ μὲν Πέτρος καὶ πρᾶξιν ἐπεδείξατο, καὶ θαῦμα ἐποίησε, καὶ ἀπὸ τῆς πράξεως ἐπαινεῖται μᾶλλον), ἀνῆλθεν οὖν εἰς τὸ ἱερὸν προσεύξασθαι· καὶ ἰδοὺ χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ, βασταζόμενος ἐκεῖ πρὸς τὴν θύραν τοῦ ἱεροῦ. Ἀπ' αὐτῶν τῶν ὠδίνων ἡ πήρωσις τῆς φύσεως ἦν, καὶ μεῖζον ἰατρικῆς τέχνης τὸ νόσημα, ἵνα μειζόνως ἐπιδειχθῇ ἡ τοῦ Θεοῦ χάρις. Οὗτος οὖν ὁ χωλὸς ἔκειτο πρὸς τὴν πύλην τοῦ ἱεροῦ· καὶ ἰδὼν αὐτοὺς εἰσιόντας, προσεῖχεν αὐτοῖς, ζητῶν ἐλημοσύνην παρ' αὐτῶν λαβεῖν. Τί οὖν ὁ Πέτρος; «Βλέψον εἰς ἡμᾶς», φησίν. Ἱκανὴ ἀπὸ τῆς ὄψεως ἡ ἀπόδειξις τῆς ἀκτημοσύνης· οὐ χρεία λόγων, οὐδὲ ἀποδείξεως, οὐδὲ ἀποκρίσεως, οὐδὲ διδασκαλίας· ὁ στολιστμός

---

23. Πράξ. 6,3. 4.

καὶ μπῆκε ὁ ληστής, τὴν ὥρα αὐτὴ καταργήθηκε ἡ κατάρα, τὴν ὥρα αὐτὴ προσφέρθηκε ἡ θυσία τῆς οἰκουμένης, τὴν ὥρα αὐτὴ διαλύθηκε τὸ σκοτάδι, τὴν ὥρα αὐτὴ ἔλαμψε τὸ φῶς, καὶ τὸ αἰσθητὸ καὶ τὸ νοητό. «Στὶς τρεῖς τὸ ἀπόγευμα». Ὅταν ἄλλοι ὕστερα ἀπὸ τὸ φαγητὸ καὶ τὴ μέθη κοιμοῦνται βαθιά, τότε ἐκεῖνοι νηφάλιοι καὶ ξάγρυπνοι καὶ μὲ πολὺ θερμὸ πόθο ἔτρεχαν στὴν προσευχή. Ἂν ὅμως ἐκεῖνοι εἶχαν ἀνάγκη ἀπὸ προσευχή, προσευχὴ τόσο ἐκτενὴ καὶ τόσο τέλεια, ἐκεῖνοι ποὺ εἶχαν τόσο μεγάλη παρρησία καὶ ποὺ δὲν διέβλεπαν κανένα κακὸ στὸν ἑαυτό τους, τί θὰ κάνουμε ἐμεῖς, ποὺ εἴμαστε γεμάτοι ἄπειρες πληγὲς καὶ ποὺ δὲν ἐπιθέτουμε σ' αὐτὲς τὸ φάρμακο τῆς προσευχῆς; Μεγάλο ὅπλο εἶναι ἡ προσευχή. Θέλεις νὰ μάθεις πῶς εἶναι μεγάλο ὅπλο ἡ προσευχή; Ἀπόφυγαν οἱ ἀπόστολοι τὴ φροντίδα τῶν φτωχῶν, γιὰ νὰ ἔχουν περισσότερο καιρὸ γιὰ τὴν προσευχή. «Τοποθετῆστε», λέγει, «ἀπὸ ἀνάμεσά σας ἑπτὰ ἄνδρες μὲ καλὴ φήμη καὶ μεῖς θὰ ἀφοσιωθοῦμε στὴν προσευχὴ καὶ στὸ ἔργο τοῦ κηρύγματος»[23].

5. Ἀλλ', αὐτὸ ποὺ ἔλεγα (γιατὶ ἂς μὴν ξεφύγουμε ἀπὸ τὴν ὑπόθεση, ὅτι δηλαδὴ ὁ Πέτρος καὶ πράξη ἔδειξε καὶ θαῦμα ἔκαμε καὶ ἐπαινεῖται πολὺ περισσότερο ἀπὸ τὴν πράξη), ἀνέβηκε λοιπὸν στὸ ναὸ νὰ προσευχηθεῖ· καὶ νὰ ἕνας χωλὸς ἐκ γενετῆς, ποὺ τὸν ἔφερναν βαστάζοντάς τον ἐκεῖ κοντὰ στὴν πύλη τοῦ ναοῦ. Ἡ ἀναπηρία τοῦ σώματός του ὑπῆρχε ἀπὸ τὴν κοιλιά τῆς μητέρας του καὶ ἡ ἀρρώστια ἦταν μεγαλύτερη ἀπὸ τὴν ἰατρικὴ τέχνη, ὥστε νὰ φανερωθεῖ σὲ μεγλύτερο βαθμὸ ἡ χάρη τοῦ Θεοῦ. Αὐτὸς λοιπὸν ὁ χωλὸς κείτονταν κοντὰ στὴν πύλη τοῦ ναοῦ. Καὶ ὅταν τοὺς εἶδε νὰ μπαίνουν τοὺς πρόσεξε καὶ ζήτησε νὰ τοῦ δώσουν ἐλεημοσύνη. Τί λοιπὸν κάνει ὁ Πέτρος; «Κοίταξέ μας», λέγει. Εἶναι ἀρκετὴ ἡ ἀπόδειξη τῆς φτώχειας ἀπὸ τὴν ὅλη ἐμφάνιση· δὲ χρειάζονται λόγια, οὔτε ἀποδείξεις, οὔτε ἀπαντήσεις, οὔτε διδασκαλία· ἡ στολή σου δείχνει πὼς εἶ-

σοι δείκνυσιν τὸν ἀκτήμονα. Τοῦτο οὖν ὅλον τὸ κατόρθωμα τῆς ἀποστολῆς, ἵνα ταῦτα λέγῃς πρὸς τὸν πένητα, ἵνα μὴ διορθώσῃ τὴν πενίαν μόνον, ἵνα εἴπῃς, ὄψει μείζονα πλοῦτον. «Ἀργύριον», φησί, «καὶ χρυσίον οὐκ ἔχω· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι, καὶ περιπάτει». Εἶδες πενίαν καὶ πλοῦτον; πενίαν μὲν χρημάτων, πλοῦτον δὲ χαρισμάτων. Οὐκ ἔλυσε πενίαν χρημάτων, ἀλλὰ διώρθωσε πενίαν φύσεως.

Ὅρα τὴν ἐπιείκειαν Πέτρου· «βλέψον εἰς ἡμᾶς». Οὐχ ὕβρισεν, οὐκ ἐλοιδορήσατο, ὃ πολλάκις ποιοῦμεν ἡμεῖς πρὸς τοὺς ἐντυγχάνοντας ἡμῖν, εὐθύνας ἐγκαλοῦντες αὐτοῖς, ὅτι καθεύδουσι. Μὴ γὰρ τοῦτο ἐπετάγης, ἄνθρωπε; Οὐκ ἐκέλευσέ σοι ἀργίαν ἐγκαλεῖν, ἀλλὰ πενίαν διορθοῦσθαι· οὐκ ἐποίησέ σε κατήγορον κακίας, ἀλλὰ ἰατρὸν κατέστησε συμφορᾶς· οὐχ ἵνα ὀνειδίζῃς νωθείαν, ἀλλ' ἵνα χεῖρα ὀρέγῃς τοῖς κειμένοις· οὐχ ἵνα κακίζῃς τρόπον, ἀλλ' ἵνα λύσῃς λιμόν. Ἡμεῖς δὲ τοὐναντίον ποιοῦμεν· ἀφέντες παραμυθήσασθαι τοὺς προσιόντας τῇ δόσει τῶν χρημάτων, καὶ προσεπιτρίβομεν αὐτῶν τὰ τραύματα ταῖς τῶν ἐγκλημάτων ἐπαγωγαῖς. Ἀλλὰ καὶ ἀπολογεῖται τῷ πένητι, καὶ μετ' ἐπιεικείας διαλέγεται· «κλῖνον γάρ», φησί, «πτωχῷ ἀλύπως τὸ οὖς σου, καὶ ἀποκρίθητι αὐτῷ ἐν πρᾳότητι εἰρηνικά». «Ἀργύριον καὶ χρυσίον οὐκ ἔχω· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι, καὶ περιπάτει».

Δύο ἐνταῦθά ἐστι, πολιτεία καὶ θαῦμα. Πολιτεία, τὸ «ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι»· πολιτείας γὰρ τὸ καταφρονεῖν τῶν γηΐνων πραγμάτων, τὸ ῥῖψαι τὰ ὑπάρχοντα, τὸ ὑπεριδεῖν τῆς παρούσης ματαιότητος· θαῦμα δὲ τὸ ἐγεῖραι τὸν χωλόν, τὸ διορθῶσαι τὰ μέλη τὰ πεπηρωμένα. Ἰδοὺ τοίνυν καὶ

---

24. Πράξ. 3,6.
25. Σοφ. Σειρ. 4,8.

σαι φτωχός. Αὐτὸ λοιπὸν εἶναι ὅλο τὸ κατόρθωμα τοῦ ἀποστολικοῦ ἔργου, γιὰ νὰ λέγεις αὐτὰ στὸ φτωχό, γιὰ νὰ μὴ διορθώσεις τὴ φτώχεια μόνο, γιὰ νὰ πεῖς, «θὰ δεῖς μεγαλύτερο πλοῦτο». «Ἀσήμι», λέγει, «καὶ χρυσάφι δὲν ἔχω· αὐτὸ ὅμως ποὺ ἔχω σοῦ τὸ δίνω· στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ σήκω καὶ περπάτα»[24]. Εἶδες φτώχεια καὶ πλοῦτο; φτώχεια βέβαια ἀπὸ χρήματα, πλοῦτο ὅμως ἀπὸ χαρίσματα. Δὲν κατάργησε τὴ φτώχεια ἀπὸ χρήματα, ἀλλὰ διόρθωσε τὴ φτώχεια τῆς φύσης.

Πρόσεχε τὴν ἐπιείκεια τοῦ Πέτρου· «κοίταξέ μας». Δὲν τὸν ἔβρισε, δὲν τὸν κακολόγησε, πράγμα ποὺ πολλὲς φορὲς κάμνουμε ἐμεῖς σ' αὐτοὺς ποὺ μᾶς συναντοῦν, κατηγορώντας τους γιὰ τὸ ὅτι δὲν ἐργάζονται. Μήπως λοιπὸν πῆρες αὐτὴ τὴν ἐντολή, ἄνθρωπε; Δὲ σὲ διέταξε νὰ κατηγορεῖς γιὰ ἀργία, ἀλλὰ νὰ διορθώνεις τὴ φτώχεια. Δὲ σὲ ἔκαμε κατήγορο τῆς κακίας, ἀλλὰ σὲ κατέστησε γιατρὸ τῆς συμφορᾶς· ὄχι γιὰ νὰ κατηγορεῖς τὴν ὀκνηρία, ἀλλὰ γιὰ νὰ βοηθᾶς τοὺς δυστυχισμένους· ὄχι γιὰ νὰ κακίζεις τὸ φέρσιμό τους, ἀλλὰ γιὰ νὰ τοὺς ἀπαλλάξεις ἀπὸ τὴν πείνα τους. Ἐμεῖς ὅμως κάνουμε τὸ ἀντίθετο. Παραλείποντας νὰ παρηγορήσουμε ὅσους μᾶς πλησιάζουν γιὰ χρήματα, ξύνουμε ἀκόμα περισσότερο τὶς πληγές τους προσθέτοντας τὶς κατηγορίες μας. Ὁ Πέτρος ὅμως καὶ ἀπολογεῖται στὸ φτωχὸ καὶ τοῦ μιλάει μὲ καλωσύνη· γιατὶ λέγει, «σκύψε καὶ ἄκουσε τὸ φτωχὸ χωρὶς λύπη καὶ ἀπάντησε σ' αὐτὸν μὲ εἰρήνη καὶ πραότητα»[25]. «Ἀσήμι καὶ χρυσάφι δὲν ἔχω· αὐτὸ ὅμως ποὺ ἔχω σοῦ τὸ δίνω· στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ σήκω καὶ περπάτα».

Δύο πράγματα ὑπάρχουν ἐδῶ, σωστὴ ζωὴ καὶ θαῦμα. Σωστὴ ζωὴ εἶναι τὰ λόγια «ἀσήμι καὶ χρυσάφι δὲν ἔχω», γιατὶ εἶναι γνώρισμα τῆς σωστῆς ζωῆς τὸ νὰ καταφρονεῖ κανεὶς τὰ γήινα πράγματα, τὸ ν' ἀπορρίψει τὰ ὑλικὰ ἀγαθά, τὸ νὰ περιφρονήσει τὴν παροῦσα ματαιότητα. Καὶ θαῦμα εἶναι τὸ νὰ σηκώσει τὸ χωλό, τὸ νὰ θεραπεύσει τὰ ἀνάπηρα μέλη. Νὰ λοι-

πολιτεία καὶ θαῦμα. Ἴδωμεν οὖν πόθεν ὁ Πέτρος καυχᾶται. Τί εἶπεν; Ὅτι θαύματα ἐποίησε; καίτοι θαύματα ἦν πεποιηκὼς τότε· ἀλλ' οὐκ εἶπε τοῦτο· ἀλλὰ τί; Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι. Εἶδες τὴν πολιτείαν καὶ τὸ θαῦμα, καὶ τὴν πολιτείαν στεφανουμένην; Τί οὖν ὁ Χριστός; Τοῦτον ἀπεδέξατο καὶ ἐπήνεσε. «Λέγω γὰρ ὑμῖν», φησίν, «ὅτι ὑμεῖς οἱ ἀφέντες οἰκίας», καὶ τὰ λοιπά. Οὐκ εἶπεν, 'οἱ ἀναστήσαντες νεκρούς', ἀλλ' «ὑμεῖς οἱ ἀφέντες τὰ ὑπάρχοντα ὑμῶν, καθήσεσθε ἐπὶ δώδεκα θρόνους»· καὶ πᾶς ὅστις ἀφῆκε τὰ ὑπάρχοντα αὐτῷ πάντα, ταύτης ἀπολαύσεται τῆς τιμῆς.

Οὐ δύνασαι ἀναστῆσαι χωλόν, καθάπερ ὁ Πέτρος; Ἀλλὰ δύνασαι εἰπεῖν, ὡς ἐκεῖνος· «ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι». Κἂν τοῦτο εἴπῃς, ἐγγὺς ἐγένου τοῦ Πέτρου· μᾶλλον δὲ οὐδὲ ἂν εἴπῃς, ἀλλ' ἐὰν ποιήσῃς. Οὐ δύνασαι ξηρὰν διορθῶσαι χεῖρα; Ἀλλὰ δύνασαι τὴν σεαυτοῦ χεῖρα ξηρὰν γινομένην ὑπὸ ἀπανθρωπίας ποιῆσαι ἐκταθῆναι διὰ φιλανθρωπίας. «Μὴ ἔστω γάρ», φησίν, «ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν, ἐν δὲ τῷ διδόναι συνεσταλμένη». Ὁρᾷς ὅτι οὐχ ἡ ξηρότης, ἀλλὰ καὶ ἀπανθρωπία συστέλλει τὴν χεῖρα; Ἔκτεινον οὖν αὐτὴν διὰ φιλανθρωπίας καὶ ἐλεημοσύνης. Οὐ δύνασαι ἐκβαλεῖν δαίμονα; Ἀλλ' ἔκβαλε ἁμαρτίαν, καὶ μείζονα λήψῃ μισθόν. Εἶδες πῶς πανταχοῦ ἡ πολιτεία καὶ τὰ κατορθώματα μείζονα ἔπαινον ἔχει τῶν θαυμάτων καὶ πλείονα τὴν ἀμοιβήν; Εἰ δὲ βούλει, καὶ ἑτέρωθεν τοῦτο δείξομεν. «Προσῆλθον αὐτῷ», φησίν, «οἱ ἑβδομήκοντα μαθηταί, καὶ ἔχαιρον καὶ ἔλεγον· Κύριε, ἐν τῷ ὀνόματί σου καὶ τὰ δαιμόνια ἡμῖν ὑπακούουσι. Καὶ λέγει αὐτοῖς· μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει, ἀλλὰ χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν

---

26. Ματθ. 19,27.
27. Ματθ. 19,28–30.
28. Σοφ. Σειρ. 4,31.

πὸν καὶ σωστὴ ζωὴ καὶ θαῦμα. Ἂς δοῦμε λοιπὸν ἀπὸ ποῦ ὁ Πέτρος καυχιέται. Τί εἶπε; Ὅτι ἔκαμε θαύματα; Ἂν καὶ ἔκαμε θαῦμα τότε, ὅμως δὲν τὸ εἶπε αὐτό, ἀλλὰ τί εἶπε; «Νά, ἐμεῖς τὰ ἐγκαταλείψαμε ὅλα καὶ σὲ ἀκολουθήσαμε»[26]. Εἶδες τὴ σωστὴ ζωὴ καὶ τὸ θαῦμα, καὶ τὴ σωστὴ ζωὴ νὰ στεφανώνεται; Τί λοιπὸν ἔκαμε ὁ Χριστός; Τὸν δέχθηκε καὶ τὸν ἐπαίνεσε. «Σᾶς λέγω», λέγει, «ὅτι ἐσεῖς ποὺ ἐγκαταλείψατε σπίτια» καὶ τὰ λοιπά[27]. Δὲν εἶπε, 'ἐσεῖς ποὺ ἀναστήστε νεκρούς', ἀλλὰ «ἐσεῖς ποὺ ἐγκαταλείψατε τὰ ὑπάρχοντά σας θὰ καθίσετε σὲ δώδεκα θρόνους». Καὶ ὅποιος ἐγκατέλειψε ὅλα τὰ ὑπάρχοντά του θ' ἀπολαύσει αὐτὴ τὴν τιμή.

Δὲν μπορεῖς νὰ θεραπεύσεις καὶ νὰ στήσεις στὰ πόδια του ἕνα χωλό, ὅπως ὁ Πέτρος; Μπορεῖς ὅμως νὰ πεῖς ὅπως ἐκεῖνος· «ἀσήμι καὶ χρυσάφι δὲν ἔχω». Καὶ ἂν τὸ πεῖς αὐτό, πλησίασες τὸν Πέτρο· ἢ καλύτερα ὄχι ἂν τὸ πεῖς, ἀλλὰ ἂν τὸ κάνεις. Δὲν μπορεῖς νὰ θεραπεύσεις ἕνα παράλυτο χέρι; Μπορεῖς ὅμως τὸ δικό σου χέρι ποὺ γίνεται παράλυτο ἀπὸ ἀπανθρωπιὰ νὰ τὸ κάνεις νὰ ἁπλωθεῖ μὲ τὴ φιλανθρωπία. Γιατὶ λέγει, «ἂς μὴν εἶναι τὸ χέρι σου ἁπλωμένο γιὰ νὰ παίρνει καὶ σφικτὸ στὸ νὰ δίνει»[28]. Βλέπεις πὼς ὄχι ἡ παραλυσία, ἀλλὰ καὶ ἡ ἀπανθρωπιὰ δὲν ἐπιτρέπει τὸ ἅπλωμα τοῦ χεριοῦ; Ἅπλωσέ το λοιπὸν μὲ τὴ φιλανθρωπία καὶ τὴν ἐλεημοσύνη. Δὲν μπορεῖς νὰ διώξεις τὸ δαίμονα; Ἀλλὰ διῶξε τὴν ἁμαρτία καὶ θὰ πάρεις μεγαλύτερο μισθό. Εἶδες πῶς παντοῦ ἡ καλὴ συμπεριφορὰ καὶ τὰ κατορθώματα ἔχουν μεγαλύτερο ἔπαινο ἀπὸ τὰ θαύματα καὶ περισσότερη ἀμοιβή; Καὶ ἂν θέλεις, θὰ τὸ ἀποδείξουμε αὐτὸ καὶ ἀπὸ ἀλλοῦ. «Τὸν πλησίασαν», λέγει, «οἱ ἑβδομήντα μαθητὲς καὶ γεμάτοι χαρὰ ἔλεγαν· 'Κύριε, ἀκόμα καὶ τὰ δαιμόνια μᾶς ὑπακοῦν ὅταν τὰ προστάζουμε στὸ ὄνομά σου'. Καὶ ὁ Ἰησοῦς τοὺς εἶπε· 'Μὴ χαίρεστε γιατὶ σᾶς ὑπακοῦν τὰ δαιμόνια, ἀλλὰ νὰ χαίρεστε ποὺ

γέγραπται ἐν τοῖς οὐρανοῖς». Ὁρᾷς πανταχοῦ τὴν πολιτείαν θαυμαζομένην;

6. Φέρε οὖν, ἀναλογισώμεθα τὰ εἰρημένα ἄνωθεν· «ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους». Ἰδοὺ ἀπὸ πολιτείας, οὐκ ἀπὸ θαυμάτων τὸ γνώρισμα τοῦ μαθητὰς εἶναι ἀποδέδεικται. «Πέτρε, φιλεῖς με πλέον τούτων; ποίμαινε τὰ πρόβατά μου». Ἰδοὺ καὶ ἕτερον γνώρισμα, καὶ αὐτὸ πάλιν ἀπὸ πολιτείας. Τρίτον πάλιν γνώρισμα· «μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει, ἀλλὰ χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς». Καὶ τοῦτο πολιτείας πάλιν κατόρθωμα. Βούλει καὶ τετάρτην ἀπόδειξιν τούτου μαθεῖν; «Λαμψάτω», φησί, «τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Ἰδοὺ καὶ ἐνταῦθα ἔργα φαίνεται. Καὶ ὅταν λέγῃ πάλιν, «ὅστις ἀφῆκεν οἰκίαν ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἕνεκεν ἐμοῦ, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει», τὴν πολιτείαν ἐπαινεῖ καὶ τὸν διηκριβωμένον βίον.

Εἶδες τοὺς μαθητὰς ἀπὸ τοῦ φιλεῖν ἀλλήλους γνωριζομένους, τὸν δὲ ὑπὲρ τοὺς ἀποστόλους φιλοῦντα τὸν Χριστὸν ἀπὸ τοῦ ποιμαίνειν τοὺς ἀδελφοὺς φαινόμενον, τοὺς δὲ ὀφείλοντας χαίρειν, οὐκ ἀπὸ τοῦ δαίμονας ἐκβάλλειν, ἀλλ᾽ ἀπὸ τοῦ ἐγγεγράφθαι ἐν τῷ οὐρανῷ κελευομένους εὐφραίνεσθαι, καὶ τοὺς μὲν τὸν Θεὸν δοξάζοντας ἀπὸ τῆς τῶν ἔργων λαμπρότητος δεικνυμένους, τοὺς δὲ ζωῆς ἐπιτυχόντας καὶ ἑκατονταπλασίονα λαμβάνοντας, ἀπὸ τῆς τῶν παρόντων ἁπάντων ὑπεροψίας ἐπιτυχόντας ταύτης τῆς δωρεᾶς; Τούτους μίμησαι πάντας καὶ δυνήσῃ καὶ μαθητὴς εἶναι καὶ ἐν τοῖς φίλοις τοῦ Θεοῦ ἀριθμεῖσθαι καὶ

---

29. Λουκᾶ 10,17. 20.
30. Ἰω. 13,35.
31. Ἰω. 21,16.
32. Λουκᾶ 10,20.
33. Ματθ. 5,16.
34. Ματθ. 19,29.

τὰ ὀνόματά σας ἔχουν γραφτεῖ στοὺς οὐρανούς»[29]. Βλέπεις ὅτι παντοῦ ἐπαινεῖται ἡ σωστὴ ζωή;

6. Ἐμπρὸς λοιπὸν ἂς ἀνακεφαλαιώσουμε αὐτὰ ποὺ λέχθηκαν προηγουμένως. «Ἀπ' αὐτὸ θὰ γνωρίσουν ὅλοι ὅτι εἶστε μαθητές μου, ἂν ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλο»[30]. Νά, ἀπὸ τὴ σωστὴ ζωή, ὄχι ἀπὸ τὰ θαύματα, ἔχει ἀποδειχθεῖ τὸ γνώρισμα ὅτι εἶναι μαθητές του. «Πέτρε, μὲ ἀγαπᾶς περισσότερο ἀπ' αὐτούς; ποίμανε τὰ πρόβατά μου»[31]. Νὰ καὶ ἄλλο γνώρισμα, καὶ αὐτὸ πάλι ἀπὸ τὸν ὀρθὸ τρόπο ζωῆς. Τρίτο πάλι γνώρισμα· «μὴ χαίρεστε γιατὶ σᾶς ὑπακοῦν τὰ δαιμόνια, ἀλλὰ νὰ χαίρεστε ποὺ τὰ ὀνόματά σας ἔχουν γραφτεῖ στοὺς οὐρανούς»[32]. Καὶ αὐτὸ πάλι εἶναι κατόρθωμα τοῦ ὀρθοῦ τρόπου ζωῆς. Θέλεις νὰ μάθεις καὶ τέταρτη ἀπόδειξη αὐτοῦ; «Ἂς λάμψει», λέγει, «τὸ φῶς σας μπροστὰ στοὺς ἀνθρώπους, γιὰ νὰ δοῦν τὰ καλά σας ἔργα καὶ νὰ δοξάσουν τὸν Πατέρα σας ποὺ βρίσκεται στοὺς οὐρανούς»[33]. Νά, καὶ ἐδῶ ἔργα φαίνονται. Καὶ ὅταν λέγει πάλι, «ὅποιος ἐγκατέλειψε σπίτι ἢ ἀδελφοὺς ἢ ἀδελφὲς γιὰ χάρη μου, θὰ λάβει ἑκατονταπλάσια καὶ θὰ κληρονομήσει τὴν αἰώνια ζωή»[34], τὸν ὀρθὸ τρόπο ζωῆς ἐπαινεῖ καὶ τὴν τέλεια ζωή.

Εἶδες οἱ μαθητὲς ὅτι διακρίνονται ἀπὸ τὴν ἀγάπη ποὺ ἔχουν μεταξύ τους, ἐνῶ ἐκεῖνος ποὺ περισσότερο ἀπὸ τοὺς ἀποστόλους ἀγαπάει τὸ Χριστὸ φαίνεται ἀπὸ τὸ ὅτι ποιμαίνει τοὺς ἀδελφούς, καὶ ἐκεῖνοι ποὺ ὀφείλουν νὰ χαίρονται προτρέπονται νὰ εὐφραίνονται ὄχι ἀπὸ τὸ ὅτι διώχνουν δαιμόνια, ἀλλὰ ἀπὸ τὸ ὅτι ἔχουν γραφτεῖ τὰ ὀνόματά τους στὸν οὐρανό, καὶ ἐκεῖνοι ποὺ δοξάζουν τὸ Θεὸ φανερώνονται ἀπὸ τὴ λαμπρότητα τῶν ἔργων τους, ἐνῶ ἐκεῖνοι ποὺ ἐπέτυχαν τὴν αἰώνια ζωὴ καὶ παίρνουν ἑκατονταπλάσια ἐπέτυχαν αὐτὴ τὴ δωρεὰ ἀπὸ τὴν περιφρόνηση ὅλων τῶν παρόντων. Αὐτοὺς ὅλους μιμήσου καὶ θὰ μπορέσεις μαθητής του νὰ εἶσαι καὶ ν' ἀριθμηθεῖς στοὺς φίλους τοῦ Θεοῦ καὶ νὰ δοξάζεις τὸ Θεὸ καὶ ν' ἀπολαύσεις τὴν αἰώνια

δοξάζειν τὸν Θεὸν καὶ τῆς αἰωνίου ζωῆς ἀπολαῦσαι· καὶ οὐδὲν ἔσται σοι κώλυμα πρὸς τὸ τυχεῖν τῶν ἀγαθῶν ἁπάντων, τὸ μὴ ποιεῖν σημεῖα, ἐὰν πολιτείαν ἔχῃς διηκριβωμένην.

Καὶ γὰρ αὐτὸς τοῦτο τὸ ὄνομα, Πέτρος, οὐκ ἀπὸ θαυμάτων καὶ σημείων ἔλαβεν, ἀλλ' ἀπὸ ζήλου καὶ φίλτρου γνησίου. Οὐδὲ γὰρ ἐπειδὴ νεκροὺς ἀνέστησεν, οὐδὲ ἐπειδὴ χωλὸν ἀνώρθωσεν, οὕτως ἐκλήθη· ἀλλ' ἐπειδὴ πίστιν μετὰ τῆς ὁμολογίας ἐπεδείξατο γνησίαν, τὸ ὄνομα τοῦτο ἐκληρονόμησε. «Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν». Διὰ τί; Οὐχ ὅτι θαύματα ἐποίησεν, ἀλλ' ὅτι εἶπε· «σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος». Ὁρᾷς ὅτι καὶ αὐτὸ τὸ Πέτρον κληθῆναι, οὐκ ἀπὸ θαυμάτων, ἀλλ' ἀπὸ ζήλου πεπυρωμένου ἔλαβε τὴν ἀρχήν.

Ἀλλ' ἐπειδὴ Πέτρου ἐμνήσθην, εἰσῆλθέ μοι καὶ ἑτέρου Πέτρου μνήμη, τοῦ κοινοῦ πατρὸς καὶ διδασκάλου, ὃς τὴν ἐκείνου διαδεξάμενος ἀρετὴν καὶ τὴν καθέδραν ἐκληρονόμησε τὴν ἐκείνου. Ἓν γὰρ καὶ τοῦτο πλεονέκτημα τῆς ἡμετέρας πόλεως, τὸ τῶν ἀποστόλων τὸν κορυφαῖον λαβεῖν ἐν ἀρχῇ διδάσκαλον. Ἔδει γὰρ τὴν πρὸ τῆς οἰκουμένης ἁπάσης τὸ τῶν Χριστιανῶν ἀναδησαμένην ὄνομα, τὸν τῶν ἀποστόλων πρῶτον ποιμένα λαβεῖν. Ἀλλὰ λαβόντες αὐτὸν διδάσκαλον, οὐκ εἰς τέλος κατέσχομεν, ἀλλὰ παρεχωρήσαμεν τῇ βασιλίδι Ρώμῃ· μᾶλλον δὲ εἰς τὸ τέλος αὐτὸν ἐσχήκαμεν· τὸ μὲν γὰρ σῶμα Πέτρου οὐ κατέχομεν, τὴν δὲ πίστιν Πέτρου κατέχομεν ὡς Πέτρον· τὴν δὲ πίστιν Πέτρου κατέχοντες, αὐτὸν ἔχομεν Πέτρον. Οὕτω καὶ τὸν ἐκείνου ζηλωτὴν ὁρῶντες, αὐτὸν δοκοῦμεν ὁρᾶν· καὶ γὰρ τὸν Ἰωάννην Ἠλίαν ἐκάλεσεν ὁ Χριστός, οὐκ ἐπειδὴ Ἠλίας ἦν ὁ Ἰωάννης, ἀλλ' ἐπειδὴ ἐν πνεύματι καὶ δυνάμει ἦλθεν Ἠλίου. Καθάπερ οὖν

35. Ματθ. 16,18,
36. Ματθ. 16,16.
37. Βλ. Πράξ. 11,26.
38. Λουκᾶ 1,17.

ζωή· καὶ δὲ θὰ σοῦ εἶναι καθόλου ἐμπόδιο στὸ νὰ ἐπιτύχεις ὅλα τὰ ἀγαθά, τὸ νὰ μὴν κάμνεις θαύματα, ἂν ἔχεις νὰ ἐπιδείξεις ἐνάρετη ζωή.

Γιατὶ καὶ αὐτὸς δὲν ἔλαβε αὐτὸ τὸ ὄνομα, Πέτρος, ἀπὸ τὰ θαύματα καὶ τὰ σημεῖα, ἀλλὰ ἀπὸ τὸ ζῆλο του καὶ τὴ γνήσια ἀγάπη του. Γιατὶ ὀνομάσθηκε ἔτσι, ὄχι ἐπειδὴ ἀνέστησε νεκροὺς οὔτε ἐπειδὴ θεράπευσε χωλό, ἀλλὰ κληρονόμησε αὐτὸ τὸ ὄνομα ἐπειδὴ μαζὶ μὲ τὴν ὁμολογία του ἔδειξε γνήσια πίστη. «Ἐσὺ εἶσαι Πέτρος, καὶ πάνω σ' αὐτὴ τὴν πέτρα θὰ οἰκοδομήσω τὴν Ἐκκλησία μου»[35]. Γιατί; Ὄχι γιατὶ ἔκαμε θαύματα, ἀλλ' ἐπειδὴ εἶπε· «ἐσὺ εἶσαι ὁ Χριστός, ὁ Υἱὸς τοῦ ἀληθινοῦ Θεοῦ»[36]. Βλέπεις ὅτι καὶ αὐτό, δηλαδὴ τὸ νὰ ὀνομασθεῖ Πέτρος, ἔλαβε τὴν ἀρχὴ ὄχι ἀπὸ τὰ θαύματα, ἀλλὰ ἀπὸ τὸ φλογερὸ ζῆλο.

Ἀλλ' ἐπειδὴ θυμήθηκα τὸν Πέτρο, μοῦ ἦρθε στὸ νοῦ καὶ ἕνας ἄλλος Πέτρος, ὁ κοινὸς πατέρας καὶ δάσκαλός μας, ποὺ διαδέχθηκε τὴν ἀρετὴ ἐκείνου καὶ κληρονόμησε τὴν καθέδρα του. Γιατὶ καὶ αὐτὸ εἶναι ἕνα πλεονέκτημα τῆς δικῆς μας πόλης, τὸ νὰ λάβει δηλαδὴ στὴν ἀρχὴ δάσκαλο τὸν κορυφαῖο ἀπὸ τοὺς ἀποστόλους. Γιατὶ ἡ πόλη, ποὺ πρὶν ἀπ' ὅλη τὴν οἰκουμένη σταφανώθηκε μὲ τὸ ὄνομα τῶν Χριστιανῶν[37], ἔπρεπε νὰ λάβει ὡς ποιμένα τὸν πρῶτο ἀπὸ τοὺς ἀποστόλους. Ὅμως, ἐνῶ λάβαμε αὐτὸν ὡς δάσκαλο, δὲν τὸν κρατήσαμε μέχρι τὸ τέλος, ἀλλὰ τὸν παραχωρήσαμε στὴν βασιλίδα Ρώμη· ἢ καλύτερα τὸν κρατήσαμε μέχρι τέλους. Γιατὶ βέβαια δὲν ἔχουμε τὸ σῶμα τοῦ Πέτρου, ἀλλ' ἔχουμε σὰν Πέτρο τὴν πίστη τοῦ Πέτρου· καὶ ἔχοντας τὴν πίστη τοῦ Πέτρου, ἔχουμε τὸν ἴδιο τὸν Πέτρο. Ἔτσι ὅταν βλέπουμε καὶ τὸ μιμητὴ ἐκείνου, νομίζουμε πὼς βλέπουμε τὸν ἴδιο. Γιατὶ καὶ τὸν Ἰωάννη ὁ Χριστὸς τὸν ὀνόμασε Ἠλία, ὄχι γιατὶ ὁ Ἰωάννης ἦταν Ἠλίας, ἀλλὰ γιατὶ ἦρθε μὲ τὸ πνεῦμα καὶ τὴ δύναμη τοῦ Ἠλία[38]. Ὅπως ἀκριβῶς λοιπὸν ὁ Ἰωάννης,

ὁ Ἰωάννης, ἐπειδὴ ἐν πνεύματι καὶ δυνάμει ἦλθεν Ἠλίου, Ἠλίας ἐλέγετο, οὕτω καὶ οὗτος, ἐπειδὴ ἐν ὁμολογίᾳ καὶ πίστει Πέτρου παραγέγονεν, εἰκότως ἂν καὶ τῆς προσηγορίας ἐκείνης ἀξιωθείη. Ἡ γὰρ τῆς πολιτείας συγγένεια καὶ τὴν κοινωνίαν τῶν ὀνομάτων ποιεῖ. Εὐξώμεθα δὲ πάντες καὶ εἰς τὸ Πέτρου γῆρας αὐτὸν ἐλθεῖν· καὶ γὰρ ὁ Ἀπόστολος ἐν γήρᾳ τὸν βίον κατέλυσεν. «Ὅταν γάρ», φησί, «γηράσῃς, τότε ζώσουσί σε, καὶ ἄξουσιν ὅπου οὐ θέλεις».

Αἰτήσωμεν δὴ καὶ τούτῳ μακρὰν πολιτείαν· ἐκτεινόμενον γὰρ αὐτοῦ τὸ γῆρας τὴν ἡμετέραν νεότητα τὴν πνευματικὴν μᾶλλον ἀκμάζειν ποιεῖ· ἣν γένοιτο διαπαντὸς ἐν ἀκμῇ τηρηθῆναι, εὐχαῖς μὲν ἐκείνου καὶ τούτου τοῦ Πέτρου, χάριτι δὲ καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

39. Ἰω. 21,18

ἐπειδὴ ἦρθε μὲ τὸ πνεῦμα καὶ τὴ δύναμη τοῦ Ἠλία, λεγόταν Ἠλίας, ἔτσι καὶ αὐτός, ἐπειδὴ ἦρθε μὲ τὴ ὁμολογία καὶ τὴν πίστη τοῦ Πέτρου, εὔλογα θὰ μποροῦσε νὰ ἀξιωθεῖ καὶ τὸ ὄνομα αὐτό. Γιατὶ ἡ συγγένεια τοῦ τρόπου ζωῆς κάνει καὶ τὰ ὀνόματα κοινά. Καὶ ἂς εὐχηθοῦμε ὅλοι νὰ φθάσει αὐτὸς καὶ στὰ γηρατειὰ τοῦ Πέτρου, γιατὶ πραγματικὰ ὁ ἀπόστολος πέθανε σὲ γεροντικὴ ἡλικία. «Γιατὶ ὅταν γεράσεις», λέγει, «θὰ σὲ ζώσουν ἄλλοι καὶ θὰ σὲ φέρουν ἐκεῖ ὅπου δὲ θέλεις»[39].

Ἂς ζητήσουμε λοιπὸν καὶ γι' αὐτὸν μακροχρόνια ζωή· γιατὶ παρατεινόμενα τὰ γηρατειά του κάνουν τὴ δική μας πνευματικὴ νεότητα νὰ ἀκμάζει περισσότερο, ἡ ὁποία εὔχομαι νὰ διατηρηθεῖ πάντοτε ἀκμαία, μὲ τὶς εὐχὲς βέβαια ἐκείνου καὶ αὐτοῦ τοῦ Πέτρου, ἀλλὰ μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο μαζὶ μὲ τὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΟΤΙ ΧΡΗΣΙΜΟΣ Η ΤΩΝ ΓΡΑΦΩΝ ΑΝΑΓΝΩΣΙΣ

Καὶ ὅτι δουλείᾳ καὶ περιστάσει πραγμάτων ἀχείρωτον ποιεῖ τὸν προσέχοντα, καὶ ὅτι τὸ ὄνομα τῶν ἀποστόλων πολλῶν ἐστιν ἀξιωμάτων ὄνομα, καὶ ὅτι τῶν ἔξωθεν ἀρχόντων καὶ αὐτῶν τῶν βασιλευόντων πολλῷ μείζονα κέκτηνται δύναμιν οἱ ἀπόστολοι καὶ ἐξουσίαν· καὶ πρὸς τῷ τέλει πρὸς νεοφωτίστους

1. Ὅταν μὲν εἰς τὴν πτωχείαν τῆς διανοίας ἴδω τῆς ἐμαυτοῦ, ναρκῶ καὶ ἀναδύομαι, πρὸς διάλεξιν τοσούτου δήμου καλούμενος· ὅταν δὲ εἰς τὴν προθυμίαν ἀναβλέψω τὴν ὑμετέραν, καὶ τὸ τῆς ἀκροάσεως ἀκόρεστον, θαρρῶ καὶ διανίσταμαι καὶ μετὰ προθυμίας πρὸς τὸ τῆς διδασκαλίας ἀποδύομαι στάδιον. Ἱκανοὶ γὰρ ὑμεῖς καὶ λιθίνην λαβόντες διάνοιαν, πτεροῦ παντὸς κουφοτέραν ἐργάσασθαι τῇ περὶ τὴν ἀκρόασιν ἐπιθυμίᾳ τε καὶ σπουδῇ. Καὶ καθάπερ τὰ φωλεύοντα τῶν ζώων ἐν μέσῳ τῷ χειμῶνι πρὸς τὰς πέτρας καταδυόμενα, ἐπειδὰν ἴδῃ τὸ θέρος φανέν, ἀφίησι τὴν κατάδυσιν, καὶ μετὰ τῶν λοιπῶν ζώων ἀγελάζεται, καὶ κοινῇ μεθ' ἡμῶν σκιρτᾷ, οὕτω καὶ ἡ ψυχὴ ἡ ἡμετέρα ὥσπερ εἴς τινα φωλεὸν τῆς ἀσθενείας τοῦ συνειδότος κατα-

ΟΜΙΛΙΑ

ΠΕΡΙ ΟΤΙ ΕΙΝΑΙ ΧΡΗΣΙΜΗ Η ΑΝΑΓΝΩΣΗ ΤΩΝ ΓΡΑΦΩΝ
Καὶ ὅτι κάνει ἐκεῖνον ποὺ ἀφοσιώνεται σ' αὐτὴν ἀνίκητο στὴ δουλεία· ἐπίσης στὴν περίσταση τῶν πραγμάτων, ὅτι τὸ ὄνομα τῶν ἀποστόλων εἶναι ὄνομα πολλῶν ἀξιωμάτων, ὅτι οἱ ἀπόστολοι ἔχουν πολὺ μεγαλύτερη δύναμη καὶ ἐξουσία καὶ ἀπὸ τοὺς κοσμικοὺς ἀκόμη τοὺς βασιλεῖς, καὶ στὸ τέλος πρὸς τοὺς νεοφώτιστους

1. Ὅταν μεταφέρω τὴ σκέψη μου στὴ φτώχεια τῆς δικῆς μου διάνοιας, μουδιάζω καὶ ὑποχωρῶ καλούμενος νὰ μιλήσω σ' ἕνα τόσο μεγάλο πλῆθος· ὅταν ὅμως ρίξω τὸ βλέμμα μου στὴ δική σας προθυμία καὶ στὴν ἀχόρταγη ἐπιθυμία σας γιὰ ἀκρόαση, παίρνω θάρρος καὶ ἐνισχύομαι, καὶ μὲ προθυμία ἀναλαμβάνω τὸν ἀγώνα τῆς διδασκαλίας. Γιατὶ ἐσεῖς εἶστε ἱκανοὶ ἀκόμη καὶ πέτρινη ἂν πάρετε διάνοια νὰ τὴν κάνετε ἐλαφρότερη ἀπὸ κάθε φτερὸ μὲ τὴν ἐπιθυμία καὶ μὲ τὸ ἐνδιαφέρον σας γιὰ τὴν ἀκρόαση. Καὶ ὅπως ἀκριβῶς τὰ ζῶα περνοῦν τὴ βαρυχειμωνιὰ κρυβόμενα βαθιὰ στὶς πέτρες, ὅταν ὅμως δοῦν ὅτι φάνηκε τὸ καλοκαίρι, ἀφήνουν τὴν κρύπτη τους καὶ ζοῦν κατὰ κοπάδια μὲ τὰ ὑπόλοιπα ζῶα καὶ χαίρονται καὶ αὐτὰ μαζί μας, ἔτσι καὶ ἡ δική μου ψυχή, ποὺ κρύβεται σὰν σὲ κάποια φωλιὰ τῆς ἀδύνα-

δυομένη, ὅταν ἴδῃ τὸν πόθον τῆς ὑμετέρας ἀγάπης, ἀφίησι τὸν φωλεὸν καὶ μεθ' ὑμῶν ἀγελάζεται, κοινῇ μεθ' ὑμῶν σκιρτᾷ τὰ καλὰ τῶν Γραφῶν σκιρτήματα, ἐν τῷ πνευματικῷ καὶ θείῳ λειμῶνι, ἐν τῷ παραδείσῳ τῆς Γραφῆς. Καὶ γὰρ πνευματικὸς λειμὼν καὶ παράδεισος τρυφῆς ἡ τῶν θείων Γραφῶν ἐστιν ἀνάγνωσις, παράδεισος δὲ τρυφῆς ἐκείνου τοῦ παραδείσου βελτίων.

Τοῦτον τὸν παράδεισον οὐκ ἐν τῇ γῇ, ἀλλ' ἐν ταῖς τῶν πιστευόντων ψυχαῖς ἐφύτευσεν ὁ Θεός· τοῦτον τὸν παράδεισον οὐκ ἐν Ἐδέμ, οὐδὲ κατὰ ἀνατολὰς ἔθετο ἐν ἑνὶ περιγράψας χωρίῳ, ἀλλὰ πανταχοῦ τῆς γῆς ἐξήπλωσε καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης ἐξέτεινε. Καὶ ὅτι πανταχοῦ τῆς οἰκουμένης τὰς Γραφὰς ἥπλωσεν, ἄκουσον τοῦ προφήτου λέγοντος· «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν». Κἂν πρὸς Ἰνδοὺς ἀπέλθῃς, οὓς πρώτους ἀνίσχων ὁ ἥλιος ὁρᾷ, κἂν εἰς τὸν ὠκεανὸν ἀπέλθῃς, κἂν πρὸς τὰς Βρεταννικὰς νήσους ἐκείνας, κἂν εις τὸν Εὔξεινον πλεύσῃς πόντον, κἂν πρὸς τὰ νότια ἀπέλθῃς μέρη, πάντων ἀκούσῃ πανταχοῦ τὰ ἀπὸ τῆς Γραφῆς φιλοσοφούντων φωνῇ μὲν ἑτέρᾳ, πίστει δὲ οὐχ ἑτέρᾳ, καὶ γλώσσῃ μὲν διαφόρῳ, διανοίᾳ δὲ συμφώνῳ. Ὁ μὲν γὰρ φθόγγος τῆς γλώσσης ἐνήλλακται, ὁ δὲ τρόπος τῆς εὐσεβείας οὐκ ἐνήλλακται· καὶ βαρβαρίζουσι μὲν τῇ γλώττῃ, φιλοσοφοῦσι δὲ τῇ γνώμῃ· καὶ σολοικίζουσι μὲν τῷ φθόγγῳ, εὐσεβοῦσι δὲ τῷ τρόπῳ.

Εἶδες παραδείσου μῆκος πρὸς τὰ πέρατα τῆς οἰκουμένης ἐκτεταμένου; Ἐνταῦθα οὐκ ἔστιν ὄφις, καθαρὸν τῶν θηρίων ἐστὶ τὸ χωρίον, καὶ τῇ τοῦ Πνεύματος τειχίζεται χάριτι. Ἔχει καὶ πηγὴν ὁ παράδεισος οὗτος, καθάπερ ἐκεῖνος, πηγὴν μυρίων ποταμῶν μητέρα, οὐχὶ τεσσάρων. Οὐ γὰρ τὸν Τίγρητα, οὐδὲ τὸν Εὐφράτην, οὐδὲ τὸν Αἰγύπτιον Νεῖλον, οὐδὲ τὸν Ἰνδὸν Γάγγην, ἀλλὰ μυρίους ἀφίησι ποταμοὺς αὕτη ἡ πηγή. Τίς ταῦτά φησιν;

1. Ψαλμ. 18,5. 2. Βλ. Γεν. 2,10–14.

της συνείδησής μου, ὅταν δεῖ τὸν πόθο τῆς δικῆς σας ἀγάπης, ἀφήνει τὴ φωλιὰ καὶ ἔρχεται σὲ κοινωνία μαζί σας, καὶ ἀπὸ κοινοῦ μαζί σας χαίρεται τὶς καλὲς χαρὲς τῶν Γραφῶν, στὸ πνευματικὸ καὶ θεῖο λιβάδι, στὸν παράδεισο τῆς Γραφῆς. Γιατὶ πραγματικὰ ἡ ἀνάγνωση τῶν θείων Γραφῶν εἶναι πνευματικὸ λιβάδι καὶ παράδεισος ἀπολαύσεων, καὶ μάλιστα παράδεισος ἀπολαύσεων καλύτερος ἀπὸ ἐκεῖνον τὸν παράδεισο.

Αὐτὸν τὸν παράδεισο δὲν τὸν φύτεψε ὁ Θεὸς στὴ γῆ, ἀλλὰ στὶς ψυχὲς ὅσων πιστεύουν. Αὐτὸν τὸν παράδεισο δὲν τὸν ἔθεσε στὴν Ἐδὲμ οὔτε στὴν ἀνατολὴ καθορίζοντάς τον σ' ἕναν τόπο, ἀλλὰ τὸν ἐξάπλωσε παντοῦ στὴ γῆ καὶ τὸν ξετύλιξε στὰ πέρατα τῆς οἰκουμένης. Καὶ ὅτι ἅπλωσε τὶς Γραφὲς σὲ ὅλα τὰ μέρη τῆς οἰκουμένης, ἄκουσε τὸν προφήτη ποὺ λέγει· «σὲ ὅλη τὴ γῆ διαδόθηκε ἡ φωνή τους καὶ στὰ πέρατα τῆς οἰκουμένης τὰ λόγια τους»[1]. Καὶ εἴτε μεταβεῖς στοὺς Ἰνδούς, τοὺς ὁποίους πρώτους βλέπει ἀνατέλλοντας ὁ ἥλιος, εἴτε φθάσεις στὸν ὠκεανό, ἢ σ' ἐκεῖνα τὰ Βρεταννικὰ νησιά, εἴτε πλεύσεις στὸν Εὔξεινο πόντο, εἴτε μεταβεῖς στὰ νότια μέρη, θ' ἀκούσεις παντοῦ νὰ φιλοσοφοῦν ὅλοι ἀπὸ τὴ Γραφή, μὲ φωνὴ βέβαια ἄλλη, ἀλλὰ μὲ πίστη ὄχι ἄλλη· μὲ γλώσσα διαφορετική, ἀλλὰ μὲ κοινὴ σκέψη. Γιατὶ ὁ φθόγγος τῆς γλώσσας ἀλλάζει, ὁ τρόπος ὅμως τῆς εὐσέβειας δὲν ἀλλάζει· καὶ βαρβαρίζουν βέβαια μὲ τὴ γλώσσα, φιλοσοφοῦν ὅμως μὲ τὴ σκέψη· μιλοῦν μὲ γλωσσικὰ σφάλματα, εἶναι εὐσεβὴς ὅμως ἡ ζωή τους.

Εἶδες μῆκος παραδείσου ποὺ ἁπλώνεται στὰ πέρατα τῆς οἰκουμένης; Ἐδῶ δὲν ὑπάρχει φίδι, ὁ τόπος εἶναι καθαρὸς ἀπὸ θηρία, καὶ τειχίζεται μὲ τὴ χάρη τοῦ Πνεύματος. Ἔχει καὶ πηγὴ ὁ παράδεισος αὐτός, ὅπως ἐκεῖνος, πηγὴ ποὺ εἶναι μητέρα ἄπειρων ποταμῶν, ὄχι τεσσάρων[2]. Γιατὶ ἡ πηγὴ αὐτὴ δὲ γεννάει τὸν Τίγρη, οὔτε τὸν Εὐφράτη, οὔτε τὸ Νεῖλο τῆς Αἰγύπτου, οὔτε τὸ Γάγγη τῆς Ἰνδίας, ἀλλὰ ἄπειρους ποταμούς. Ποιός τὰ

Αὐτὸς ὁ τοὺς ποταμοὺς ἡμῖν χαρισάμενος Θεός· «ὁ πιστεύων γὰρ εἰς ἐμέ», φησί, «καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ρεύσουσιν ὕδατος ζῶντος». Εἶδες πῶς οὐχὶ τέσσαρες ποταμοί, ἀλλὰ ἀδιόριστοι ἀπὸ τῆς πηγῆς ἐκείνης ἐκχέοντες; Οὐ τῷ πλήθει δὲ μόνον, ἀλλὰ καὶ τῇ φύσει θαυμαστὴ ἡ πηγή· οὐ γὰρ ὕδατός ἐστι τὰ νάματα, ἀλλὰ Πνεύματος τὰ χαρίσματα. Αὕτη ἡ πηγὴ ἡ καθ' ἑκάστην ψυχήν ἐστι τῶν πιστῶν μεριζομένη· κατακερματιζομένη, καὶ οὐκ ἐλαττουμένη· παρὰ πᾶσιν ὁλόκληρος, καὶ ἐν ἑκάστῳ ὁλόκληρος. Τοσαῦτα γὰρ τοῦ Πνεύματος τὰ χαρίσματα.

Βούλει μαθεῖν τὴν δαψίλειαν τῶν ναμάτων τούτων; βούλει μαθεῖν τῶν ὑδάτων τὴν φύσιν; πῶς οὐκ ἔοικε τούτοις, ἀλλὰ βελτίω τούτων καὶ θαυμασιώτερά ἐστιν; Ἄκουσον πάλιν αὐτοῦ τοῦ Χριστοῦ λέγοντος τῇ Σαμαρείτιδι, ἵνα μάθῃς τὴν δαψίλειαν τῆς πηγῆς· «τὸ ὕδωρ, ὃ ἐγὼ δώσω», φησί, «τῷ πιστῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον». Οὐκ εἶπεν, 'ἐξιόντος', οὐκ εἶπε, 'προχεομένου', ἀλλά, «ἀλλομένου», διὰ τῶν ἁλμάτων τὴν ἀφθονίαν ἡμῖν ἐμφαίνων. Ἐκεῖνα τῶν κρηναίων ὑδάτων ἐξάλλεσθαι καὶ πηδᾶν πανταχόθεν εἴωθεν, ἅπερ ἂν αἱ πηγαὶ ἐν τοῖς κόλποις μὴ δύνανται κατέχειν, ἀλλὰ νικώμεναι τῇ συνεχείᾳ τῆς ἐπιρροῆς πανταχόθεν αὐτὰ ἀναβλύζουσι. Βουλόμενος οὖν τὴν δαψίλειαν τῶν ναμάτων δεῖξαι, εἶπεν, «ἀλλομένου», οὐκ, 'ἐξιόντος'. Βούλει καὶ τὴν φύσιν αὐτῆς καταμαθεῖν; Μάνθανε ἀπὸ τῆς χρείας. Οὐ γὰρ εἰς ζωὴν τὴν παροῦσαν, ἀλλ' εἰς ζωὴν αἰώνιόν ἐστι χρησίμη.

Διατρίψωμεν τοίνυν ἐν τῷ παραδείσῳ τούτῳ, παρακαθεζώμεθα τῇ πηγῇ, μὴ πάθωμεν ὅπερ ἔπαθεν ὁ Ἀδάμ, καὶ ἐκπέσωμεν τοῦ παραδείσου· μὴ δεξώμεθα συμβουλὴν ὀλεθρίαν, μὴ

---

3. Ἰω. 7,38.
4. Ἰω. 4,14.

λέγει αὐτά; Ὁ ἴδιος ὁ Θεὸς ποὺ μᾶς χάρισε τοὺς ποταμούς. «Ἐκεῖνος ποὺ πιστεύει σὲ μένα», λέγει, «καθὼς εἶπε ἡ Γραφή, θὰ τρέξουν ἀπὸ τὴν κοιλιά του ποταμοὶ νεροῦ ποὺ δίνει ζωή»[3]. Εἶδες πῶς τρέχουν ἀπὸ τὴν πηγὴ ἐκείνη ὄχι τέσσερις ἀλλὰ ἀπροσδιόριστοι ποταμοί; Καὶ ὄχι μόνο ἀπὸ τὸ πλῆθος τῶν ποταμῶν ἀλλὰ καὶ ἀπὸ τὴ φύση της εἶναι ἀξιοθαύμαστη ἡ πηγή· γιατὶ τὰ νάματά της δὲν εἶναι ἀπὸ νερὸ ἀλλὰ τοῦ Πνεύματος εἶναι τὰ χαρίσματά της. Αὐτὴ ἡ πηγὴ μοιράζεται σὲ κάθε ψυχὴ τῶν πιστῶν καὶ δὲ λιγοστεύει· μοιράζεται καὶ δὲν ξοδεύεται· κατακερματίζεται καὶ δὲν ἐλαττώνεται· σὲ ὅλους εἶναι ὁλόκληρη καὶ στὸν καθένα ὁλόκληρη. Γιατὶ τόσο πολλὰ εἶναι τὰ χαρίσματα τοῦ Πνεύματος.

Θέλεις νὰ μάθεις τὴν ἀφθονία τῶν ναμάτων αὐτῶν; θέλεις νὰ μάθεις τὴ φύση τῶν ὑδάτων; πῶς δὲν εἶναι ὅμοια μ' αὐτά, ἀλλὰ πῶς εἶναι καλύτερα ἀπ' αὐτὰ καὶ πιὸ θαυμάσια; Ἄκουσε πάλι τὸν ἴδιο τὸ Χριστὸ ποὺ λέγει στὴ Σαμαρείτιδα, γιὰ νὰ μάθεις γιὰ τὴν ἀφθονία τῆς πηγῆς. «Τὸ νερὸ ποὺ ἐγὼ θὰ δώσω στὸν πιστό», λέγει, «θὰ γίνει μέσα του μιὰ πηγὴ ποὺ θὰ ἀναπηδάει νερὸ πρόξενο αἰώνιας ζωῆς»[4]. Δὲν εἶπε, 'ποὺ θὰ βγαίνει', δὲν εἶπε, 'ποὺ θὰ χύνεται', ἀλλὰ «ποὺ θὰ ἀναπηδάει», δείχνοντας μὲ τὰ πηδήματα τὴν ἀφθονία. Ἐκεῖνα τὰ νερὰ τῶν πηγῶν συνήθως ἐκτινάσσονται καὶ πηδοῦν ἀπὸ παντοῦ, τὰ ὁποῖα οἱ πηγὲς ἂν δὲν μποροῦν νὰ τὰ κρατοῦν στοὺς κόλπους τους, τὰ ἀναβλύζουν ἀπὸ παντοῦ, νικώμενες ἀπὸ τὴν ἀδιάκοπη ροή τους. Θέλοντας λοιπὸν νὰ δείξει τὴν ἀφθονία τῶν ναμάτων, εἶπε, «ποὺ θὰ ἀναπηδάει» καὶ ὄχι 'ποὺ θὰ βγαίνει'. Θέλεις νὰ μάθεις καὶ τὴ φύση τῆς πηγῆς αὐτῆς; Μάθε το ἀπὸ τὴ χρησιμότητά της. Γιατὶ δὲν εἶναι χρήσιμη γιὰ τὴν παρούσα ζωὴ ἀλλὰ γιὰ τὴν αἰώνια.

Ἂς μείνουμε λοιπὸν στὸν παράδεισο αὐτόν, ἂς καθόμαστε κοντὰ στὴν πηγή, καὶ ἂς μὴν πάθουμε ἐκεῖνο ποὺ ἔπαθε ὁ Ἀδὰμ καὶ χάσουμε τὸν παράδεισο. Ἂς μὴ δεχθοῦμε ὀλέθρια

παραδεξώμεθα τὴν ἀπάτην τοῦ διαβόλου· μένωμεν ἔνδον· πολλὴ γὰρ ἡ ἐντεῦθεν ἀσφάλεια· μένωμεν ἐν τῇ ἀναγνώσει τῶν Γραφῶν τούτων. Καθάπερ γὰρ οἱ πηγῇ παρακαθήμενοι καὶ τῆς αὔρας ἐκείνης ἀπολαύοντες, καὶ καύσωνος ἐπικειμένου τὴν ὄψιν συνεχῶς ἐπικλύζοντες, ἀποκρούονται τὸ πνῖγος τοῖς νάμασι, καὶ δίψους διενοχλοῦντος ῥᾳδίως ἰῶνται τὸ πάθος, ἐγγύθεν τὸ φάρμακον ἀπὸ τῆς πηγῆς ἔχοντες· οὕτως ὁ παρὰ τὴν πηγὴν τῶν θείων Γραφῶν παρακαθήμενος, κἂν ἐπιθυμίας ἀτόπου φλόγα διενοχλοῦσαν ἴδῃ, ῥᾳδίως ἀπὸ τῶν ναμάτων ἐκείνων τὴν ψυχὴν ἀποκλύσας ἀπεκρούσατο τὴν φλόγα· κἂν ὀργὴ διακαὴς ἐνοχλῇ, τὴν καρδίαν καθάπερ λέβητα ὑποκαιόμενον ἀναβράσσουσα, μικρὸν τοῦ νάματος ἐπιστάξας, εὐθέως κατέστειλε τοῦ πάθους τὴν ἀναισχυντίαν· καὶ ἐκ πάντων τῶν πονηρῶν λογισμῶν, ὥσπερ ἐκ μέσης φλογός, ἐξαρπάζει τὴν ψυχὴν ἡ τῶν θείων Γραφῶν ἀνάγνωσις.

2. Διὸ καὶ ὁ προφήτης ὁ μέγας Δαυῒδ ἐκεῖνος, εἰδὼς τὴν ὠφέλειαν τὴν ἀπὸ τῆς ἀναγνώσεως τῶν Γραφῶν, τὸν διηνεκῶς προσέχοντα ταῖς Γραφαῖς καὶ τῆς ὁμιλίας ταύτης ἀπολαύοντα παρεικάζει φυτῷ ἀεὶ τεθηλότι, παρὰ τοὺς ῥύακας ἑστηκότι τῶν ὑδάτων, οὑτωσὶ λέγων· «μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν· ἀλλ' ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός, καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων». Καθάπερ γὰρ τὸ ξύλον ἐκεῖνο τὸ παρὰ τὰς διεξόδους τῶν ὑδάτων πεφυτευμένον, παρ' αὐτοὺς τοὺς ῥύακας ἑστηκός, διηνεκῆ τῆς ἀρδείας ἔχον τὴν χορηγίαν, πάσῃ ἀέρων ἀνωμαλίᾳ

---

5. Ψαλμ. 1,1-3.

συμβουλή, ἂς μὴ δεχθοῦμε τὴν ἀπάτη τοῦ διαβόλου. Ἂς μείνουμε μέσα, γιατὶ μεγάλη εἶναι ἡ ἀσφάλεια ἀπὸ ἐδῶ. Ἂς ἐπιμένουμε στὴν ἀνάγνωση αὐτῶν τῶν Γραφῶν. Γιατὶ ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ κάθονται κοντὰ στὴν πηγὴ καὶ ἀπολαμβάνουν τὴ δροσερή της αὔρα, καὶ ὅταν ἀκόμη πλησιάζει ὁ καύσωνας, ἀπομακρύνουν τὴ δυσκολία στὴν ἀναπνοὴ μὲ τὰ νερά, βρέχοντας συνεχῶς τὸ πρόσωπό τους, καὶ ὅταν τοὺς ἐνοχλεῖ ἡ δίψα, εὔκολα θεραπεύουν τὸ πάθος αὐτό, ἔχοντας κοντά τους τὸ φάρμακο ἀπὸ τὴν πηγή, ἔτσι αὐτὸς ποὺ κάθεται κοντὰ στὴν πηγὴ τῶν θείων Γραφῶν, εἴτε δεῖ νὰ τὸν ἐνοχλεῖ ἡ φλόγα τῆς παράλογης ἐπιθυμίας, εὔκολα ἀποκρούει τὴ φλόγα αὐτὴ πλύνοντας τὴν ψυχή του μὲ τὰ νερὰ ἐκεῖνα· εἴτε πάλι τὸν ἐνοχλεῖ δυνατὴ ὀργή, ποὺ βράζει τὴν καρδιά του σὰν καζάνι ἐπάνω σὲ φωτιά, ἂν στάξει σ' αὐτὴν λίγο ἀπὸ τὸ νάμα της, ἀμέσως συγκρατεῖ τὴν ἀναισχυντία τοῦ πάθους. Καὶ ἀπὸ ὅλες τὶς κακὲς σκέψεις, σὰν μέσα ἀπὸ τὴ φλόγα τῆς φωτιᾶς, ἁρπάζει καὶ σώζει τὴν ψυχὴ ἡ ἀνάγνωση τῶν θείων Γραφῶν.

2. Γι' αὐτὸ καὶ ὁ προφήτης, ὁ μεγάλος ἐκεῖνος προφήτης Δαβίδ, γνωρίζοντας τὴν ὠφέλεια ποὺ προέρχεται ἀπὸ τὴν ἀνάγνωση τῶν Γραφῶν, παρομοιάζει ἐκεῖνον ποὺ ἀφοσιώνεται στὶς Γραφὲς καὶ ἀπολαμβάνει αὐτὴ τὴ διδαχὴ μὲ δένδρο ποὺ εἶναι πάντοτε θαλλερὸ καὶ φυτεμένο κοντὰ στὰ αὐλάκια τῶν ὑδάτων, λέγοντας αὐτό· «μακάριος εἶναι ὁ ἄνθρωπος ἐκεῖνος ποὺ δὲν πῆγε σὲ σύσκεψη ἀσεβῶν καὶ δὲ στάθηκε σὲ δρόμο ἁμαρτωλῶν καὶ δὲν κάθισε σὲ συναναστροφὲς διεφθαρμένων ἀνθρώπων, ἀλλ' ἔχει δώσει τὴ θέλησή του στὸ νόμο τοῦ Κυρίου καὶ τὸ νόμο αὐτὸν θὰ μελετάει ἡμέρα καὶ νύχτα καὶ θὰ εἶναι σὰν τὸ δένδρο ποὺ εἶναι φυτεμένο κοντὰ στὰ πλούσια τρεχούμενα νερά»[5]. Γιατί, ὅπως ἀκριβῶς τὸ δένδρο ἐκεῖνο ποὺ εἶναι φυτεμένο κοντὰ στὰ πλούσια τρεχούμενα νερὰ καὶ βρίσκεται κοντὰ σ' αὐτὰ τὰ ρυάκια, ἐπειδὴ ἔχει ἀδιάκοπο τὸ πότισμα, γίνεται

ἀχείρωτον γίνεται, καὶ οὔτε ἀκτῖνα θερμοτέραν γενομένην δέδοικεν, οὔτε τὸν ἀέρα μεταπεσόντα εἰς αὐχμὸν εὐλαβεῖται· ἱκανὴν γὰρ ἔχον ἐναποκεκλεισμένην ἐν ἑαυτῷ τὴν νοτίδα, πάσης ἡλιακῆς θέρμης πλεονεξίαν ἔξωθεν προσβαλοῦσαν εὐθέως ἀποκρούεται καὶ διωθεῖται· οὕτω καὶ ψυχὴ παρὰ τοὺς ρύακας ἑστηκυῖα τῶν θείων Γραφῶν καὶ ποτιζομένη διηνεκῶς, ἐκεῖνα τὰ νάματα καὶ τὴν δρόσον τοῦ Πνεύματος ἐν ἑαυτῇ συνάγουσα, πρὸς πᾶσαν πραγμάτων περίστασιν ἀχείρωτος ἔσται, κἂν νόσος, κἂν ἐπήρεια, κἂν συκοφαντία, κἂν λοιδορίαι, κἂν σκώμματα, κἂν πᾶσα ρᾳθυμίᾳ, κἂν πάντα τὰ τῆς οἰκουμένης κακὰ εἰς τὴν τοιαύτην κατασκήψῃ ψυχήν, εὐκόλως ἀποκρούεται τὴν πύρωσιν τῶν παθῶν, ἀπὸ τῆς τῶν Γραφῶν ἀναγνώσεως ἱκανὴν παράκλησιν ἔχουσα. Οὔτε γὰρ δόξης μέγεθος, οὐ δυναστείας ὄγκος, οὐ φίλων παρουσία, οὐκ ἄλλο οὐδὲν τῶν ἀνθρωπίνων οὕτω τὸν ἐν ὀδύνῃ παραμυθήσασθαι δυνήσεται, ὡς ἡ τῶν θείων Γραφῶν ἀνάγνωσις. Τί δήποτε; Ὅτι ἐκεῖνα μὲν ἐπίκηρα καὶ φθαρτά, διὸ καὶ φθαρτὴ αὐτῶν ἡ παράκλησις· ἡ δὲ τῶν Γραφῶν ἀνάγνωσις, Θεοῦ ὁμιλία ἐστίν. Ὅταν οὖν ὁ Θεὸς τὸν ἐν ἀθυμίᾳ παρακαλῇ, τί τῶν ὄντων αὐτὸν εἰς ἀθυμίαν ἐμβαλεῖν δύναται;

Προσέχωμεν τοίνυν τῇ ἀναγνώσει, μὴ τὰς δύο μόνον ταύτας ὥρας (οὐ γὰρ ἀρκεῖ ἡμῖν εἰς ἀσφάλειαν ἡ ψιλὴ αὕτη ἀκρόασις), ἀλλὰ διηνεκῶς· καὶ ἕκαστος οἴκαδε ἀναχωρήσας τὰ Βιβλία μετὰ χεῖρας λαμβανέτω, καὶ τῶν εἰρημένων ἐπερχέσθω τὰ νοήματα, εἴ γε μέλλῃ διηνεκῆ καὶ ἀρκοῦσαν ἔχειν τὴν ἀπὸ τῆς Γραφῆς ὠφέλειαν. Καὶ γὰρ τὸ ξύλον ἐκεῖνο, τὸ παρὰ τοὺς ρύακας ἑστηκός, οὐ δύο καὶ τρεῖς ὥρας ὁμιλεῖ τοῖς ὕδασιν, ἀλλὰ πᾶσαν μὲν ἡμέραν, πᾶσαν δὲ νύκτα. Διὰ τοῦτο κομᾷ τοῖς φύλ-

ἀνίκητο σὲ κάθε ἀκαταστασία τῶν ἀνέμων, καὶ οὔτε φοβᾶται τὴν ἀκτίνα τοῦ ἥλιου ὅταν γίνει πιὸ θερμή, οὔτε ὑπολογίζει τὸν ἀέρα ὅταν μεταβληθεῖ σὲ ξηρασία, γιατὶ ἔχει μέσα του ἀποθηκευμένη ἀρκετὴ ὑγρασία καὶ ἀμέσως ἀποκρούει καὶ ἀπορρίπτει τὴ δύναμη κάθε ἡλιακῆς θερμότητας ποὺ τὸ προσβάλλει ἀπὸ ἔξω, ἔτσι καὶ ἡ ψυχὴ ἐκείνη ποὺ στέκεται κοντὰ στὰ ρυάκια τῶν θείων Γραφῶν καὶ ποτίζεται συνεχῶς, ἐπειδὴ συγκεντρώνει μέσα της ἐκεῖνα τὰ νάματα καὶ τὴ δροσιὰ τοῦ Πνεύματος, θὰ εἶναι ἀνίκητη σὲ κάθε κατάσταση πραγμάτων, καὶ εἴτε ἀρρώστια, εἴτε περιφρόνηση, εἴτε συκοφαντία, εἴτε κακολογία, εἴτε πειράγματα, εἴτε ὁποιαδήποτε ἀπερισκεψία, εἴτε ὅλα τὰ κακὰ τῆς οἰκουμένης ἐπιπέσουν σ' αὐτὴ τὴν ψυχήν, εὔκολα ἀποκρούει τὴν ἔξαψη τῶν παθῶν, λαμβάνοντας ἄφθονη παρηγοριὰ ἀπὸ τὴν ἀνάγνωση τῶν Γραφῶν. Γιατὶ οὔτε τὸ μέγεθος τῆς δόξας, οὔτε ὁ ὄγκος τῆς ἐξουσίας, οὔτε ἡ παρουσία τῶν φίλων, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ ἀνθρώπινα θὰ μπορέσει νὰ παρηγορήσει τόσο ἐκεῖνον ποὺ πονάει, ὅσο ἡ ἀνάγνωση τῶν θείων Γραφῶν. Γιατί ἄραγε; Γιατὶ ἐκεῖνα εἶναι πρόσκαιρα καὶ φθαρτά, γι' αὐτὸ καὶ ἡ παρηγορία τους εἶναι φθαρτή, ἐνῶ ἡ ἀνάγνωση τῶν Γραφῶν εἶναι ὁμιλία τοῦ Θεοῦ. Ὅταν λοιπὸν ὁ Θεὸς παρηγορεῖ τὸν στενοχωρημένο, ποιὸ ἀπὸ τὰ πράγματα μπορεῖ νὰ τὸν ρίξει σὲ στενοχώρια;

Ἂς ἀφοσιωνόμαστε λοιπὸν στὴν ἀνάγνωση, ὄχι μόνο αὐτὲς τὶς δύο ὧρες (γιατὶ δὲν ἀρκεῖ γιὰ ἀσφάλειά μας ἡ ἁπλὴ αὐτὴ ἀκρόαση), ἀλλὰ διαρκῶς καὶ ὁ καθένας ὅταν ἐπιστρέψει σπίτι του ἂς παίρνει στὰ χέρια του τὰ ἱερὰ βιβλία καὶ ἂς ἐξετάζει μὲ προσοχὴ τὰ νοήματα ὅσων ἔχουν λεχθεῖ, ἂν βέβαια θέλει νὰ ἔχει διαρκὴ καὶ ἄφθονη τὴν ὠφέλια ἀπὸ τὴ Γραφή. Γιατὶ καὶ τὸ δένδρο ἐκεῖνο ποὺ στέκεται κοντὰ στὰ ρυάκια δὲν ἐπικοινωνεῖ μὲ τὰ νερὰ δύο καὶ τρεῖς ὧρες, ἀλλ' ὅλη τὴν ἡμέρα καὶ ὅλη τὴ νύχτα. Γι' αὐτὸ τὸ δένδρο ἐκεῖνο ἔχει πλούσιο φύλλωμα, γι'

λοις, διὰ τοῦτο βρίθει τῷ καρπῷ ἐκεῖνο τὸ ξύλον, κἂν μηδεὶς αὐτὸ ἀνθρώπων ποτίζῃ· ἐπειδὴ παρὰ τοὺς ρύακας ἕστηκεν αὐτό, διὰ τῶν ριζῶν ἐπισπᾶται τὴν νοτίδα, καὶ ὥσπερ διά τινων πόρων παραπέμπει τὴν ὠφέλειαν παντὶ τῷ σώματι· οὕτω καὶ ὁ συνεχῶς ἀναγινώσκων τὰς θείας Γραφάς, καὶ παρὰ τοὺς ρύακας αὐτῶν ἑστηκώς, κἂν μηδένα ἔχῃ τὸν ἑρμηνεύοντα, διὰ τῆς συνεχοῦς ἀναγνώσεως, ὥσπερ διά τινων ριζῶν, πολλὴν ἐπισπᾶται τὴν ὠφέλειαν.

Διὰ τοῦτο καὶ ἡμεῖς τὰς φροντίδας ὑμῶν εἰδότες, τοὺς περισπασμούς, τὰς ἀσχολίας τὰς πολλάς, ἠρέμα καὶ καταμικρὸν ὑμᾶς προσάγομεν τοῖς νοήμασι τῶν Γραφῶν, τῷ σχολαίῳ τῆς ἐξηγήσεως μόνιμον ποιοῦντες τῶν λεγομένων τὴν μνήμην. Καὶ γὰρ ὄμβρος ραγδαῖος μὲν καταρρηγνύμενος, κατακλύζει τὴν ἐπιφάνειαν καὶ τὸ βάθος οὐδὲν ὠφελεῖ· ἠρέμα δὲ καὶ καταμικρὸν ἐλαίου δίκην ἐνιζάνων τῷ προσώπῳ τῆς γῆς, ὥσπερ διά τινων φλεβῶν τῶν πόρων αὐτῆς πρὸς τὸ βάθος διολισθαίνων, τὰς λαγόνας αὐτῆς ἐμπλῆσας νοτίδος, εὐπορωτάτην ποιεῖ πρὸς τὴν τῶν καρπῶν φοράν. Διὸ καὶ ἡμεῖς τὸν πνευματικὸν τοῦτον ὄμβρον ἠρέμα ταῖς ὑμετέραις ἐνίεμεν ψυχαῖς· αἱ μὲν γὰρ Γραφαὶ νεφέλαις ἐοίκασι πνευματικαῖς, τὰ δὲ ρήματα καὶ νοήματα ὄμβρῳ προσέοικε πολλῷ τούτου βελτίονι· καὶ διὰ τοῦτο τὸν πνευματικὸν τοῦτον ὄμβρον καταμικρὸν ὑμῖν ἐνίεμεν, ἵνα πρὸς αὐτὸ τὸ βάθος χωρήσῃ τὰ ρήματα. Διὰ τοῦτο τετάρτην σήμερον ἡμέραν ἔχοντες ἐξηγήσεως, οὐδέπω μίαν ἐπιγραφὴν παρελθεῖν ἠδυνήθημεν, ἀλλ᾿ ἔτι περὶ αὐτὴν στρεφόμεθα.

Βέλτιον γὰρ μικρὸν διασκάπτοντας χωρίον καὶ πρὸς τὸ βάθος καταβαίνοντας πολὺν τῶν ἀναγακίων εὑρίσκειν τὸν θησαυρόν, ἢ πολλὰς ἀρούρας ἐπιόντας ἄνωθεν, ἁπλῶς καὶ εἰκῇ ταλαιπωρεῖσθαι κὰ μάτην. Καίτοι οἶδα πολλοὺς πρὸς τὴν βρα-

αὐτὸ εἶναι γεμάτο καρπό, ἔστω καὶ ἂν δὲν τὸ ποτίζει κανεὶς ἀπὸ τοὺς ἀνθρώπους. Ἐπειδὴ βρίσκεται κοντὰ στὰ ρυάκια, μέσα ἀπὸ τὶς ρίζες του τραβάει τὴν ὑγρασία καὶ σὰν μέσα ἀπὸ κάποιους πόρους μεταδίδει τὴν ὠφέλεια σὲ ὅλο τὸ σῶμα. Ἔτσι καὶ αὐτὸς ποὺ συνεχῶς διαβάζει τὶς θεῖς Γραφὲς καὶ βρίσκεται κοντὰ στὰ ρυάκια της, καὶ ἂν ἀκόμη δὲν ἔχει κανένα ἑρμηνευτή, μὲ τὴ συνεχὴ ἀνάγνωση, σὰν μέσα ἀπὸ κάποιες ρίζες, παίρνει μεγάλη ὠφέλεια.

Γι' αὐτὸ καὶ ἐμεῖς, ἐπειδὴ γνωρίζουμε τὶς φροντίδες σας, τὶς ἀνησυχίες σας, καὶ τὶς πολλὲς ἀσχολίες σας, σᾶς ὁδηγοῦμε ἤρεμα καὶ σιγὰ–σιγὰ στὰ νοήματα τῶν Γραφῶν, κάνοντας μὲ τὴν βραδεία ἐξήγηση, μόνιμη τὴ μνήμη αὐτῶν τῶν λόγων. Γιατὶ καὶ ἡ βροχὴ ὅταν πέφτει ραγδαῖα σκεπάζει τὴν ἐπιφάνεια τῆς γῆς καὶ τὸ βάθος δὲν τὸ ὠφελεῖ καθόλου· ὅταν ὅμως κάθεται στὴν ἐπιφάνεια τῆς γῆς καὶ μέσα ἀπὸ τοὺς πόρους της σὰν ἀπὸ κάποιες φλέβες ἥσυχα καὶ σιγὰ–σιγὰ σὰν λάδι γλιστράει στὸ βάθος, γεμίζοντας τότε τὰ σπλάχνα της μὲ ὑγρασία, τὴν κάνει πάρα πολὺ πλούσια γιὰ τὴν παραγωγὴ τῶν καρπῶν. Γι' αὐτὸ καὶ μεῖς ρίχνουμε ἥσυχα στὶς ψυχές σας τὴν πνευματικὴ αὐτὴ βροχή, γιατὶ οἱ Γραφὲς μοιάζουν μὲ σύννεφα πνευματικά, ἐνῶ τὰ λόγια καὶ τὰ νοήματα μοιάζουν μὲ βροχὴ πολὺ καλύτερη ἀπ' αὐτή, καὶ γι' αὐτὸ τὴν πνευματικὴ αὐτὴ βροχὴ τὴ ρίχνουμε σιγὰ–σιγὰ σὲ σᾶς, γιὰ νὰ προχωρήσουν τὰ λόγιὰ στὸ βάθος. Γι' αὐτὸ συνεχίζοντας γιὰ τέταρτη ἡμέρα σήμερα τὴν ἐξήγηση δὲν μπορέσαμε ἀκόμη οὔτε μιὰ ἐπιγραφὴ νὰ ἐξετάσουμε, ἀλλ' ἀκόμη στρεφόμαστε γύρω ἀπ' αὐτήν.

Γιατὶ εἶναι καλύτερο σκάβοντας ἕνα μικρὸ μέρος καὶ κατεβαίνοντας στὸ βάθος του νὰ βρίσκουμε μεγάλο θησαυρὸ γιὰ τὰ ἀπαραίτητα πράγματα, παρὰ περνώντας ἀπὸ πάνω πολλὲς καλλιεργήσιμες ἐκτάσεις νὰ ταλαιπωρούμαστε χωρὶς λόγο, ἄσκοπα καὶ μάταια. Ἂν καὶ βέβαια γνωρίζω πὼς πολλοὶ δυσα-

δύτητα ταύτην δυσχεραίνοντας· ἀλλ' οὐ μέλει μοι τῆς ἐκείνων κατηγορίας, ἀλλὰ μέλει μοι τῆς ὑμετέρας ὠφελείας. Οἱ ὀξύτερον βαδίζειν δυνάμενοι τοὺς βραδυτέρους τῶν ἀδελφῶν ἀναμενέτωσαν· οὗτοι μὲν γὰρ ἐκείνους ἀναμεῖναι δύνανται, οἱ δὲ ἀσθενέστεροι πρὸς ἐκείνους ἑαυτοὺς παρεκτεῖναι οὐκ ἰσχύουσι. Διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν, ὅτι οὐκ ὀφείλομεν τοὺς ἀσθενεῖς ἀναγκάζειν πρὸ καιροῦ πρὸς τὴν τελειότητα τῶν δυνατῶν ἐκτείνεσθαι μὴ δυναμένους· ἀλλ' ὅτι ἡμεῖς ὀφείλομεν οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν. Ὠφελείας ἡμῖν μέλει τῆς ὑμετέρας, οὐκ ἐπιδείξεως ἁπλῶς· διὰ τοῦτο ἐνδιατρίβομεν τοῖς νοήμασι.

3. Τῇ μὲν οὖν πρώτῃ ἡμέρᾳ ὅτι οὐχ ἁπλῶς παρατρέχειν χρὴ τὰς ἐπιγραφὰς ἔλεγον, ὅτε καὶ τὸ ἐπίγραμμα ὑμῖν ἀνέγνων τοῦ βωμοῦ, καὶ τὴν σοφίαν ἐπέδειξα Παύλου, τὸν ἀλλότριον στρατιώτην καὶ ἐν τῇ παρατάξει τῶν ἐχθρῶν ἑστηκότα πρὸς τὴν οἰκείαν φάλαγγα μεταστήσαντος. Εἰς τοῦτο ἐν τῇ πρώτῃ ἡμέρᾳ κατέληξεν ἡ διδασκαλία πᾶσα· μετ' ἐκείνην ἐν τῇ δευτέρᾳ ἡμέρᾳ ἐζητήσαμεν τίς ἦν ὁ τὸ βιβλίον γράψας· καὶ εὕρομεν τῇ τοῦ Θεοῦ χάριτι Λουκᾶν τὸν εὐαγγελιστήν, καὶ διὰ πλειόνων ἀποδείξεων ὑμῖν παρεστήσαμεν τὸ ζητούμενον, τῶν μὲν σαφεστέρων, τῶν δὲ βαθυτέρων. Οἶδα γὰρ ὅτι τοῖς ἐσχάτοις τῶν εἰρημένων πολλοὶ τῶν ἀκουσάντων οὐ παρηκολούθησαν· ἀλλ' ὅμως οὐ διὰ τοῦτο ἀποστησόμεθα τοῦ κατατολμᾶν λεπτοτέρων νοημάτων. Τὰ μὲν οὖν σαφέστερα τοῖς ἀφελεστέροις, τὰ δὲ βαθύτερα τοῖς ὀξύτερον ἐνορῶσιν ἔσται χρήσιμα. Ποικίλην γὰρ εἶναι δεῖ τὴν τράπεζαν καὶ διάφορον, ἐπειδὴ καὶ διάφορος ἡ τῶν κεκλημένων ἐπιθυμία.

Τῇ μὲν οὖν πρώτῃ ἡμέρᾳ περὶ ἐπιγραφῆς, τῇ δὲ δευτέρᾳ ἡμέρᾳ περὶ τοῦ γράψαντος τὸ βιβλίον, τῇ τρίτῃ ἡμέρᾳ, χθές, πρὸς τοὺς παραγενομένους περὶ τῆς ἀρχῆς τῆς γραφῆς διελέχθη-

νασχετοῦν γι' αὐτὴ τὴ βραδύτητα. Ὅμως δὲ μοῦ μέλει γιὰ τὴν κατηγορία τους, ἀλλὰ μ' ἐνδιαφέρει ἡ δική σας ὠφέλεια. Ἐκεῖνοι ποὺ μποροῦν νὰ βαδίζουν γρηγορότερα ἂς περιμένουν τοὺς πιὸ βραδεῖς ἀπὸ τοὺς ἀδελφούς. Γιατὶ αὐτοὶ μποροῦν νὰ περιμένουν ἐκείνους, ἐνῶ οἱ πιὸ ἀδύνατοι δὲν εἶναι σὲ θέση νὰ φθάσουν ἐκείνους. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει ὅτι δὲν πρέπει νὰ ἐξαναγκάζουμε πρόωρα τοὺς ἀδύνατους στὴν πίστη, τὴ στιγμὴ ποὺ δὲν μποροῦν νὰ φθάσουν στὴν τελειότητα τῶν δυνατῶν, ἀλλ' ἐμεῖς οἱ δυνατοὶ πρέπει νὰ βαστάζουμε τὶς ἀδυναμίες τῶν ἀδυνάτων. Μ' ἐνδιαφέρει ἡ ὠφέλειά σας, καὶ δὲν τὸ κάνω ἀπὸ ἐπίδειξη· γι' αὐτὸ χρονοτριβοῦμε στὰ νοήματα.

3. Τὴν πρώτη λοιπὸν ἡμέρα σᾶς ἔλεγα ὅτι δὲν πρέπει νὰ προσπερνᾶμε ἐπιπόλαια τὶς ἐπιγραφές, ὅταν σᾶς διάβασα καὶ τὸ ἐπίγραμμα τοῦ βωμοῦ καὶ σᾶς ἔδειξα τὴ σοφία τοῦ Παύλου, ποὺ μετέφερε στὴ δική του φάλαγγα τὸν ξένο στρατιώτη ποὺ στεκόταν στὴν παράταξη τῶν ἐχθρῶν. Σ' αὐτὸ κατέληξε ὅλη ἡ διδασκαλία τὴν πρώτη ἡμέρα. Ὕστερα ἀπ' αὐτήν, τὴ δεύτερη ἡμέρα ἐξετάσαμε ποιός ἦταν ὁ συγγραφέας τοῦ βιβλίου· καὶ βρήκαμε μὲ τὴ χάρη τοῦ Θεοῦ τὸν εὐαγγελιστὴ Λουκᾶ καὶ σᾶς παρουσίασα τὸ ζήτημα μὲ περισσότερες ἀποδείξεις, ἄλλες σαφέστερες καὶ ἄλλες βαθύτερες. Γνωρίζω βέβαια πὼς τὰ τελευταῖα λόγια δὲν τὰ παρακολούθησαν πολλοὶ ἀπὸ τοὺς ἀκροατές, ἀλλ' ὅμως δὲ θὰ σταματήσουμε γι' αὐτὸ νὰ ἀποτολμοῦμε τὴν ἐξέταση λεπτότερων νοημάτων. Τὰ σαφέστερα λοιπὸν νοήματα θὰ εἶναι χρήσιμα στοὺς πιὸ ἁπλοϊκοὺς καὶ τὰ βαθύτερα σ' αὐτοὺς ποὺ ἀντιλαμβάνονται εὐκολότερα τὰ πράγματα. Γιατὶ τὸ τραπέζι πρέπει νὰ εἶναι ποικίλο καὶ διαφορετικό, ἀφοῦ καὶ ἡ ἐπιθυμία τῶν καλεσμένων εἶναι διαφορετική.

Τὴν πρώτη ἡμέρα λοιπὸν μιλήσαμε γιὰ τὴν ἐπιγραφή, τὴ δεύτερη γιὰ τὸ συγγραφέα τοῦ βιβλίου, τὴν τρίτη ἡμέρα, χθές, σ' αὐτοὺς ποὺ ἦρθαν μιλήσαμε γιὰ τὴν ἀρχὴ τῆς συγγραφῆς καὶ

μεν, καὶ ἐδείξαμεν, καθάπερ ἴσασιν οἱ ἀκηκοότες, τί μέν ἐστι πρᾶξις, τί δέ ἐστι θαῦμα, καὶ τί μέν ἐστι πολιτεία, τί δέ ἐστι σημεῖον καὶ τέρας καὶ δύναμις, καὶ πόσον τὸ μέσον ἑκατέρων· καὶ πῶς τὸ μὲν μεῖζον, τὸ δὲ χρησιμώτερον· καὶ πῶς τὸ μὲν καθ' ἑαυτὸν ὂν βασιλείαν προξενεῖ, τὸ δὲ ἐὰν μὴ λάβῃ τὴν ἀπὸ τῆς πράξεως συμμαχίαν, ἔξω τῶν προθύρων ἐκείνων ἐκβάλλεται. Σήμερον ἀναγκαῖον εἰπεῖν τὸ ἐπίλοιπον τῆς ἐπιγραφῆς, καὶ δεῖξαι τί ποτέ ἐστι τὸ ὄνομα τῶν ἀποστόλων. Οὐδὲ γὰρ ψιλόν ἐστι τὸ ὄνομα τοῦτο, ἀλλ' ἀρχῆς ἐστι προσηγορία, ἀρχῆς μεγίστης, ἀρχῆς τῆς πνευματικωτάτης, ἀρχῆς τῆς ἄνω.

Ἀλλὰ διανάστητε. Καθάπερ γὰρ ἐν τοῖς βιωτικοῖς πράγμασίν εἰσιν ἀρχαὶ πολλαί, οὐ πᾶσαι δὲ τῆς αὐτῆς ἀξίας, ἀλλ' αἱ μὲν μείζους, αἱ δὲ ἐλάττους· οἷον, ἵνα ἀπὸ τῆς κατωτέρας τὸν ἀριθμὸν ποιησώμεθα, ἔστιν ὁ τῆς πόλεως ἔκδικος· ἔστιν ἀνώτερος ἐκείνου ὁ τοῦ ἔθνους ἡγεμών· ἔστι μετ' ἐκεῖνον ἕτερος ἄρχων μείζων· ἔστι πάλιν ὁ στρατηλάτης· ἔστιν ὁ ὕπαρχος· ἔστιν ἀνωτέρα τούτων ἀρχή, ἡ τῶν ὑπάτων ἀρχή· καὶ πᾶσαι μὲν αὗται ἀρχαί, οὐ πᾶσαι δὲ τῆς αὐτῆς ἀξίας· οὕτω καὶ τῶν πνευματικῶν πολλαὶ μὲν ἀρχαί, οὐ πᾶσαι δὲ τῆς αὐτῆς ἀξίας· πασῶν δὲ μείζων ἡ τῆς ἀποστολῆς ἀξία. Καὶ γὰρ ἀπὸ τῶν αἰσθητῶν ὑμᾶς ἐπὶ τὰ νοητὰ χειραγωγεῖν δεῖ. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε, περὶ Πνεύματος διαλεγόμενος ὕδατος ἐμνημόνευσεν. «Ὁ γὰρ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν», φησίν· «ὁ δὲ πίνων ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα». Ὁρᾷς ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ χειραγωγοῦντα τὸ γύναιον; Οὕτω καὶ ἡμεῖς ποιοῦμεν, καὶ κάτωθεν ἀναβαίνομεν ἄν, ὥστε εὐσημότερον γενέσθαι τὸν λόγον. Διὰ τοῦτο περὶ ἀρχῆς

---

6 Ἰω. 4,13–14.

δείξαμε, καθὼς γνωρίζουν ὅσοι ἄκουσαν, τί εἶναι πράξη καὶ τί εἶναι θαῦμα, τί εἶναι ἐπίσης ὀρθὸς τρόπος ζωῆς καὶ τί σημεῖο καὶ τέρας καὶ δύναμη, πόση εἶναι ἡ διαφορὰ τοῦ ἑνὸς ἀπὸ τὸ ἄλλο, πῶς τὸ ἕνα εἶναι μεγαλύτερο ἐνῶ τὸ ἄλλο πιὸ χρήσιμο, καὶ πῶς τὸ ἕνα, καὶ μόνο του ἀκόμη, γίνεται πρόξενο τῆς βασιλείας τῶν οὐρανῶν, ἐνῶ τὸ ἄλλο, ἂν δὲν ἔχει τὴ βοήθεια ἀπὸ τὴν πράξη, ἐκδιώκεται ἀπὸ τὰ πρόθυρά της. Σήμερα εἶναι ἀνάγκη νὰ ποῦμε γιὰ τὸ ὑπόλοιπο τῆς ἐπιγραφῆς καὶ νὰ δείξουμε τί τέλος πάντων σημαίνει τὸ ὄνομα τῶν ἀποστόλων. Γιατὶ δὲν εἶναι ἁπλὸ τὸ ὄνομα αὐτό, ἀλλ' εἶναι ὀνομασία ἐξουσίας, ἐξουσίας πολὺ μεγάλης, ἐξουσίας τῆς πιὸ πνευματικῆς, ἐξουσίας οὐράνιας.

Προσέξτε ὅμως πάρα πολύ. Γιατὶ ὅπως στὰ κοσμικὰ πράγματα ὑπάρχουν πολλὲς ἐξουσίες, ὄχι ὅμως ὅλες τῆς ἴδιας ἀξίας, ἀλλ' ἄλλες εἶναι μεγαλύτερες καὶ ἄλλες μικρότερες, ὅπως, γιὰ ν' ἀριθμήσουμε ἀπὸ τὴν κατώτερη, ὑπάρχει ὁ ἐπίτροπος τῆς πόλης, ὑπάρχει ἀνώτερος ἀπ' αὐτόν, ὁ ἡγεμόνας τοῦ ἔθνους, ὑπάρχει ὕστερα ἀπ' αὐτὸν ἄλλος ἄρχοντας μεγαλύτερος, ὑπάρχει πάλι ὁ στρατηλάτης, ὑπάρχει ὁ ὕπαρχος, ὑπάρχει ἀνώτερη ἀπ' αὐτὲς ἐξουσία, ἡ ὑπατικὴ ἐξουσία, καὶ ὅλες αὐτὲς βέβαια εἶναι ἐξουσίες, ὅλες ὅμως δὲν εἶναι τῆς ἴδιας ἀξίας· ἔτσι καὶ τῶν πνευματικῶν πραγμάτων ὑπάρχουν πολλὲς ἐξουσίες, ὄχι ὅλες ὅμως τῆς ἴδιας ἀξίας· καὶ ἀπ' ὅλες μεγαλύτερη εἶναι ἡ ἐξουσία τοῦ ἀποστολικοῦ ἔργου. Γιατὶ πραγματικὰ πρέπει νὰ σᾶς ὁδηγοῦμε ἀπὸ τὰ αἰσθητὰ πρὸς τὰ νοητά. Ἔτσι ἔκαμε καὶ ὁ Χριστός· μιλώντας γιὰ τὸ ἅγιο Πνεῦμα μνημόνευσε τὸ νερό. «Γιατὶ ὅποιος πίνει ἀπὸ τὸ νερὸ θὰ διψάσει πάλι», λέγει, «ἐνῶ ὅποιος πίνει ἀπὸ τὸ νερὸ ποὺ ἐγὼ θὰ τοῦ δώσω δὲ θὰ διψάσει ποτέ»[6]. Βλέπεις ὅτι ὁδηγεῖ τὴ γυναίκα ἀπὸ τὰ αἰσθητὰ πρὸς τὰ νοητά; Ἔτσι κάνουμε καὶ μεῖς· ἀπὸ τὰ κάτω ἀνεβαίνουμε πρὸς τὰ ἐπάνω, γιὰ νὰ γίνει σαφέστερος ὁ λόγος. Γι' αὐτὸ ὅταν μι-

διαλεγόμενοι, οὐ πνευματικῆς ἐμνήσθημεν ἀρχῆς, ἀλλ' αἰσθητῆς, ἵνα ἀπὸ ταύτης πρὸς ἐκείνην ὑμᾶς χειραγωγήσωμεν.

Ἠκούσατε πόσας ἠριθμήσαμεν ἀρχὰς βιωτικάς, καὶ πῶς αἱ μὲν μείζους, αἱ δὲ ἐλάττους, καὶ πῶς ἡ τῶν ὑπάτων ἀρχὴ καθάπερ κορυφὴ καὶ κεφαλὴ πᾶσιν ἐπίκειται· ἴδωμεν καὶ τὰς ἀρχὰς τὰς πνευματικάς. Ἔστιν ἀρχὴ πνευματική, προφητείας ἀρχή· ἔστιν ἑτέρα ἀρχὴ εὐαγγελισμοῦ, ἔστι ποιμένος, ἔστι διδασκάλου, ἔστι χαρισμάτων, ἔστιν ἰαμάτων, ἔστιν ἑρμηνείας γλωσσῶν. Ταῦτα πάντα ὀνόματα μέν ἐστι χαρισμάτων, πράγματα δὲ ἀρχῶν καὶ ἐξουσιῶν. Ὁ προφήτης ἄρχων ἐστί· παρ' ἡμῖν ὁ δαίμονας ἐξελαύνων ἄρχων ἐστί· παρ' ἡμῖν ὁ ποιμὴν καὶ διδάσκαλος ἄρχων ἐστὶ πνευματικός· ἀλλὰ τούτων ἁπάντων μείζων ἐστὶν ἀρχὴ ἡ ἀποστολική. Καὶ πόθεν τοῦτο δῆλον; Ὅτι πρὸ πάντων ὁ ἀπόστολος τούτων ἐστί. Καὶ καθάπερ ὁ ὕπατος ἐν ταῖς αἰσθηταῖς ἀρχαῖς, οὕτως ὁ ἀπόστολος ἐν τοῖς πνευματικοῖς τὴν προεδρείαν ἔχει. Αὐτοῦ τοῦ Παύλου ἀκούσωμεν ἀριθμοῦντος τὰς ἀρχάς, καὶ ἐν τῷ ὑψηλοτέρῳ χωρίῳ τὴν ἀποστολικὴν καθίζοντος. Τί οὖν οὗτός φησιν; «Οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, καὶ ποιμένας· εἶτα χαρίσματα ἰαμάτων».

Εἶδες κορυφὴν ἀρχῶν; εἶδες ὑψηλὸν καθήμενον τὸν ἀπόστολον, καὶ οὐδένα πρὸ ἐκείνου ὄντα, οὔτε ἀνώτερον; Πρῶτον γὰρ ἀποστόλους φησί, δεύτερον προφήτας, τρίτον διδασκάλους καὶ ποιμένας· εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. Οὐκ ἀρχὴ δὲ μόνον ἐστὶν ἡ ἀποστολὴ τῶν

λούσαμε γιὰ ἐξουσία δὲν ἀναφέραμε τὴν πνευματικὴ ἐξουσία ἀλλὰ τὴν αἰσθητή, γιὰ νὰ σᾶς ὁδηγήσουμε ἀπ' αὐτὴν πρὸς ἐκείνην.

Ἀκούσατε πόσες κοσμικὲς ἐξουσίες ἀριθμήσαμε καὶ πῶς ἄλλες εἶναι μεγαλύτερες καὶ ἄλλες μικρότερες καὶ πῶς ἡ ἐξουσία τῶν ὑπάτων βρίσκεται πάνω ἀπ' ὅλες σὰν κορυφὴ καὶ κεφαλή. Ἂς δοῦμε καὶ τὶς πνευματικὲς ἐξουσίες. Ὑπάρχει ἐξουσία πνευματική, ἡ ἐξουσία τῆς προφητείας· ὑπάρχει ἄλλη ἐξουσία τοῦ εὐαγγελισμοῦ, ὑπάρχει τοῦ ποιμένα, ὑπάρχει τοῦ δασκάλου, ὑπάρχει τῶν χαρισμάτων, ὑπάρχει τῶν ἰαμάτων, ὑπάρχει τῆς ἑρμηνείας τῶν γλωσσῶν. Ὅλα αὐτὰ βέβαια εἶναι ὀνόματα χαρισμάτων, πράγματα ὅμως ἀρχῶν καὶ ἐξουσιῶν. Ὁ προφήτης εἶναι ἄρχοντας· σὲ μᾶς ὅποιος διώχνει τοὺς δαίμονες εἶναι ἄρχοντας· σὲ μᾶς ὁ ποιμένας καὶ ὁ δάσκαλος εἶναι ἄρχοντας πνευματικός. Ἀπ' ὅλους αὐτοὺς ὅμως μεγαλύτερη εἶναι ἡ ἀποστολικὴ ἐξουσία. Καὶ ἀπὸ ποῦ εἶναι φανερὸ αὐτό; Ἀπὸ τὸ ὅτι ὁ ἀπόστολος εἶναι πρὶν ἀπ' ὅλους αὐτούς. Καὶ ὅπως ἀκριβῶς ὁ ὕπατος στὶς κοσμικὲς ἐξουσίες, ἔτσι ὁ ἀπόστολος στὰ πνευματικὰ ἔχει τὴν πρώτη θέση. Ἂς ἀκούσουμε τὸν ἴδιο τὸν Παῦλο ποὺ ἀριθμεῖ τὶς ἐξουσίες καὶ τοποθετεῖ στὴν ὑψηλότερη θέση τὴν ἀποστολική. Τί λοιπὸν λέγει αὐτός; «ὁ Θεὸς τοποθέτησε στὴν Ἐκκλησία πρῶτα τοὺς ἀποστόλους, σὲ δεύτερη θέση τοὺς προφῆτες, σὲ τρίτη τοὺς δασκάλους καὶ ποιμένες, καὶ ἔπειτα τὰ θεραπευτικὰ χαρίσματα»[7].

Εἶδες τὴν κορυφὴ τῶν ἐξουσιῶν; εἶδες πὼς ὁ ἀπόστολος κάθεται ψηλὰ καὶ πὼς κανεὶς δὲν βρίσκεται πρὶν ἀπ' αὐτόν, οὔτε πάνω ἀπ' αὐτόν; Γιατὶ στὴν πρώτη θέση τοποθετεῖ τοὺς ἀποστόλους, στὴ δεύτερη θέση τοὺς προφῆτες, στὴν τρίτη τοὺς δασκάλους καὶ τοὺς ποιμένες· καὶ ἔπειτα τὰ θεραπευτικὰ χαρίσματα, τὶς παροχὲς βοήθειας, τὶς κυβερνήσεις, τὰ εἴδη γλωσσολαλιῶν. Καὶ δὲν εἶναι μόνο ἀρχὴ τῶν ἄλλων ἐξουσιῶν

ἄλλων ἀρχῶν, ἀλλὰ καὶ ὑπόθεσις καὶ ῥίζα. Καὶ καθάπερ ἡ κεφαλὴ ἐν τῷ ὑψηλοτέρῳ τοῦ παντὸς καθημένη, οὐ μόνον ἀρχὴ τοῦ σώματός ἐστι καὶ ἐξουσία, ἀλλὰ καὶ ῥίζα (τὰ γὰρ νεῦρα τὰ διοικοῦντα τὸ σῶμα ἐξ ἐκείνης τικτόμενα, καὶ ἐξ αὐτοῦ βλαστάνοντα τοῦ ἐγκεφάλου, καὶ τὴν τοῦ πνεύματος δεχόμενα χορηγίαν, οὕτως ἅπαν οἰκονομεῖ τὸ ζῶον), οὕτω καὶ ἡ ἀποστολὴ οὐ μόνον ὡς ἀρχὴ καὶ ἐξουσία τοῖς λοιποῖς ἐπίκειται χαρίσμασιν, ἀλλὰ καὶ τὰς ἁπάντων ῥίζας ἐν ἑαυτῇ συλλαβοῦσα κατέχει. Καὶ ὁ μὲν προφήτης οὐ δύναται εἶναι καὶ ἀπόστολος καὶ προφήτης· ὁ δὲ ἀπόστολος καὶ προφήτης ἐστὶ πάντως, καὶ χαρίσματα ἔχειν ἰαμάτων, καὶ γένη γλωσσῶν, καὶ ἑρμηνείας γλωσσῶν· διὸ ἀρχὴ καὶ ῥίζα ἐστὶ τῶν χαρισμάτων.

4. Καὶ ὅτι ταῦτα οὕτως ἔχει, Παῦλον ὑμῖν παραγάγω μάρτυρα. Πρῶτον δὲ ἀναγκαῖον εἰπεῖν, τί ποτέ ἐστι «γένη γλωσσῶν». Τί οὖν ἐστι «γένη γλωσσῶν»; Τὸ παλαιὸν ὁ βαπτισθεὶς καὶ πιστεύσας εὐθέως πρὸς τὴν φανέρωσιν τοῦ Πνεύματος διαφόροις ἐλάλει γλώσσαις. Ἐπειδὴ γὰρ ἔτι ἀσθενέστερον διέκειντο οἱ τότε, καὶ τὰ νοητὰ χαρίσματα ὁρᾶν οὐκ ἠδύναντο τοῖς ὀφθαλμοῖς τῆς σαρκός, ἐδίδοτο αἰσθητὸν χάρισμα, ὥστε τὸ νοητὸν γενέσθαι καταφανές· καὶ ὁ βαπτισθεὶς εὐθέως καὶ τῇ ἡμετέρᾳ γλώσσῃ καὶ τῇ τῶν Περσῶν καὶ τῇ τῶν Ἰνδῶν καὶ τῇ τῶν Σκυθῶν ἐφθέγγετο, ὥστε μαθεῖν καὶ τοὺς ἀπίστους, ὅτι Πνεύματος ἁγίου ἠξίωτο. Καὶ ἦν τὸ μὲν σημεῖον αἰσθητόν, ἡ τοιαύτη φωνὴ λέγω· τῇ γὰρ αἰσθήσει τοῦ σώματος αὐτῆς ἤκουον· τὴν δὲ νοητὴν καὶ οὐχ ὁρωμένην τοῦ Πνεύματος χάριν πᾶσι τὸ αἰσθητὸν τοῦτο σημεῖον κατάδηλον ἐποίει. Καὶ τοῦτο τὸ σημεῖον ἐκαλεῖτο «γένη γλωσσῶν». Ὁ γὰρ μίαν γλῶσσαν ἔχων ἀπὸ τῆς φύ-

ἡ ἐξουσία τῶν ἀποστόλων, ἀλλὰ καὶ βάση καὶ ρίζα. Καὶ ὅπως ἀκριβῶς ἡ κεφαλή, ποὺ κάθεται στὸ ψηλότερο σημεῖο ἀπὸ κάθε ἄλλο μέλος, δὲν εἶναι μόνο ἀρχὴ τοῦ σώματος καὶ ἐξουσία αλλὰ καὶ ρίζα (γιατὶ τὰ νεῦρα ποὺ διοικοῦν τὸ σῶμα γεννιοῦνται ἀπ᾽ αὐτὴν καὶ βλασταίνουν ἀπὸ τὸν ἴδιο τὸν ἐγκέφαλο καὶ δέχονται τὴ βοήθεια τοῦ πνεύματος καὶ ἔτσι διευθύνουν ὁλόκληρον ὀργανισμό), ἔτσι καὶ ἡ ἀποστολικὴ ἐξουσία δὲ βρίσκεται πάνω ἀπὸ τὰ ὑπόλοιπα χαρίσματα μόνο σὰν ἀρχὴ καὶ ἐξουσία, ἀλλὰ συλλαμβάνει καὶ συγκρατεῖ μέσα της καὶ τὶς ρίζες ὅλων τῶν χαρισμάτων. Καὶ ὁ προφήτης βέβαια δὲν μπορεῖ νὰ εἶναι καὶ ἀπόστολος καὶ προφήτης, ἐνῶ ὁ ἀπόστολος καὶ προφήτης εἶναι ὁπωσδήποτε, καὶ θεραπευτικὰ χαρίσματα ἔχει, καὶ διάφορα εἴδη γλωσσολαλιῶν, καὶ χαρίσματα ἑρμηνείας γλωσσῶν· γι᾽ αὐτὸ εἶναι ἀρχὴ καὶ ρίζα τῶν χαρισμάτων.

4. Καὶ ὅτι αὐτὰ εἶναι ἔτσι, θὰ σᾶς παρουσιάσω μάρτυρα τὸν Παῦλο. Πρῶτα ὅμως εἶναι ἀνάγκη νὰ ποῦμε τί τέλος πάντων εἶναι τὰ γένη γλωσσῶν. Τί λοιπὸν εἶναι τὰ γένη γλωσσῶν; Τὴν παλαιὰ ἐποχὴ ὅποιος βαπτιζόταν καὶ πίστευε ἀμέσως μιλοῦσε διάφορες γλῶσσες πρὸς φανέρωση τοῦ ἁγίου Πνεύματος. Ἐπειδὴ δηλαδὴ οἱ τότε ἄνθρωποι βρίσκονταν ἀκόμη πνευματικὰ σὲ ἀσθενέστερη κατάσταση καὶ δὲν μποροῦσαν νὰ δοῦν μὲ τὰ μάτια τοῦ σώματος τὰ πνευματικὰ χαρίσματα, δίνονταν αἰσθητὸ χάρισμα, ὥστε νὰ γίνει ὁλοφάνερο τὸ πνευματικό. Καὶ ὅποιος βαπτιζόταν μιλοῦσε ἀμέσως καὶ στὴ δική μας γλώσσα καὶ στὴ γλώσσα τῶν Περσῶν καὶ τῶν Ἰνδῶν καὶ τῶν Σκυθῶν, ὥστε νὰ μάθουν καὶ οἱ ἄπιστοι πὼς ἀξιώθηκε νὰ λάβει τὸ ἅγιο Πνεῦμα. Καὶ ἦταν τὸ σημεῖο αἰσθητό, δηλαδὴ αὐτὴ ἡ φωνή, γιατὶ τὴν ἄκουαν μὲ τὴν αἴσθηση τοῦ σώματος. Τὴ νοητὴ ὅμως καὶ ἀόρατη χάρη τοῦ Πνεύματος τὴν ἔκαμνε τὸ αἰσθητὸ τοῦτο σημεῖο ὁλοφάνερη σὲ ὅλους. Κι αὐτὸ τὸ σημεῖο ὀνομαζόταν «γένη γλωσσῶν». Γιατὶ ἐκεῖνος ποὺ ἀπὸ τὴ φύση εἶχε μία γλώσσα, μὲ

σεως, ποκίλαις ἐλάλει γλώσσαις καὶ διαφόροις ἀπὸ τῆς χάριτος καὶ ἦν ἰδεῖν ἄνθρωπον ἕνα μὲν τῷ ἀριθμῷ, ποικίλον δὲ τοῖς χαρίσμασι, καὶ διάφορα στόματα ἔχοντα, καὶ διαφόρους γλώσσας.

Ἴδωμεν οὖν πῶς ὁ Ἀπόστολος καὶ τοῦτο εἶχε τὸ χάρισμα καὶ τὰ ἄλλα πάντα. Περὶ μὲν τούτου οὕτω λέγει· «πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶ». Εἶδες πῶς ἔχει τὰ γένη τῶν γλωσσῶν, καὶ οὐκ ἔχει μόνον, ἀλλὰ καὶ μετὰ πλείονος ὑπερβολῆς ἢ οἱ λοιποὶ πάντες πιστοί; Οὐ γὰρ εἶπεν, ὅτι 'γλώσσαις ἔχω λαλεῖν' μόνον, ἀλλὰ καί, «πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶ». Τὴν δὲ προφητείαν, ἣν εἶχε, δι' ἐκείνων δείκνυσι τῶν ρημάτων, οὕτω λέγων· «τὸ δὲ Πνεῦμα ρητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἐνστήσονται καιροὶ χαλεποί»· ὅτι δὲ τὰ ἐν ὑστέροις καιροῖς λέγειν, προφητεία ἐστί, παντί που δῆλον. Καὶ πάλιν, «τοῦτο δὲ γινώσκετε, ὅτι ἐν ἐσχάτοις καιροῖς ἐνστήσονται καιροὶ χαλεποί»· καὶ πάλιν, «λέγω δὲ ὑμῖν ἐν λόγῳ Κυρίου, ὅτι ἐν παρουσίᾳ αὐτοῦ ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας». Καὶ τοῦτο δὲ προφητεία ἐστίν. Εἶδες πῶς γένη γλωσσῶν καὶ προφητείας ἔχει;

Βούλει μαθεῖν πῶς ἔχει καὶ χαρίσματα ἰαμάτων; Ἀλλὰ τάχα τοῦτο οὐδὲ τῆς ἀπὸ τῶν λόγων ἀποδείξεως δεῖται, ὅταν ἴδωμεν οὐ μόνον τοὺς ἀποστόλους, ἀλλὰ καὶ τὰ ἱμάτια αὐτῶν χαρίσματα ἰαμάτων ἔχοντα. Ὅτι δὲ καὶ διδάσκαλος ἦν τῶν ἐθνῶν, πολλαχοῦ τοῦτο λέγει, καὶ ὅτι τῆς οἰκουμένης ἀντελαμβάνετο πάσης, καὶ διεκυβέρνα τὰς Ἐκκλησίας. Ὅταν οὖν ἀκούσῃς, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον ποιμένας καὶ διδασκάλους, χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν, μάθε ὅτι πᾶσα ἡ χορηγία τῶν λοιπῶν

---

8. Α' Κορ. 14,18.
9. Α' Τιμ. 4,1 καὶ Β' Τιμ. 3,1.
10. Β' Τιμ. 3,1.
11. Α' Θεσ. 4,15.

τὴ χάρη τοῦ Πνεύματος μιλοῦσε ποικίλες καὶ διάφορες γλῶσσες. Καὶ ἦταν δυνατὸ νὰ δεῖ κανεὶς ἕναν ἄνθρωπο σὲ ἀριθμό, νὰ ἔχει ὅμως ποικίλα χαρίσματα καὶ διάφορα στόματα καὶ διάφορες γλῶσσες.

Ἂς δοῦμε λοιπὸν πῶς ὁ ἀπόστολος Παῦλος εἶχε καὶ τὸ χάρισμα αὐτὸ καθὼς καὶ ὅλα τὰ ἄλλα. Γιὰ τὸ χάρισμα αὐτὸ λέγει τὸ ἑξῆς· «περισσότερο ἀπ' ὅλους ἐσᾶς ἔχω τὸ χάρισμα τῶν γλωσσῶν»[8]. Εἶδες πῶς ἔχει τὸ χάρισμα τῶν γλωσσῶν, καὶ δὲν τὸ ἔχει μόνο ἀλλὰ σὲ μεγαλύτερο βαθμὸ ἀπ' ὅλους τοὺς ἄλλους πιστούς; Γιατὶ δὲν εἶπε, 'ἔχω τὸ χάρισμα τῶν γλωσσῶν μόνο', ἀλλὰ καὶ «περισσότερο ἀπ' ὅλους ἐσᾶς ἔχω τὸ χάρισμα τῶν γλωσσῶν». Τὴν προφητεία πάλι ποὺ εἶχε τὴ δείχνει μ' αὐτὰ τὰ λόγια, λέγοντας· «τὸ ἅγιο Πνεῦμα λέγει ξεκάθαρα ὅτι στὶς ἔσχατες ἡμέρες θὰ ἔρθουν καιροὶ δύσκολοι»[9]. Τὸ νὰ λέγει ὅμως αὐτὰ ποὺ θὰ συμβοῦν στὶς ἔσχατες ἡμέρες εἶναι στὸν καθένα φανερὸ ὅτι εἶναι προφητεία. Καὶ πάλι, «νὰ ξέρετε ἀκόμη καὶ τοῦτο, ὅτι στὶς ἔσχατες ἡμέρες θὰ ἔρθουν καιροὶ δύσκολοι»[10]. Καὶ πάλι· «μὲ βάση τὴ διδασκαλία τοῦ Κυρίου σᾶς λέγω ὅτι ἐμεῖς ποὺ θὰ ἔχουμε παραμείνει ζωντανοὶ ὡς τὴν παρουσία τοῦ Κυρίου δὲ θὰ φθάσουμε πρὶν ἀπ' αὐτοὺς ποὺ πέθαναν»[11]. Καὶ αὐτὸ ὅμως εἶναι προφητεία. Εἶδες πῶς ἔχει τὸ χάρισμα τῶν γλωσσῶν καὶ τῆς προφητείας;

Θέλεις νὰ μάθεις πῶς ἔχει καὶ θεραπευτικὰ χαρίσματα; Ἀλλ' ἴσως αὐτὸ δὲ χρειάζεται τὴν ἀπόδειξη ἀπὸ τὰ λόγια, ὅταν δοῦμε ὅτι ὄχι μόνο οἱ ἀπόστολοι ἀλλὰ καὶ τὰ ἐνδύματά τους ἔχουν θεραπευταικὰ χαρίσματα. Ὅτι ἦταν καὶ δάσκαλος τῶν ἐθνῶν τὸ λέγει αὐτὸ σὲ πολλὰ σημεῖα, καὶ ὅτι βοηθοῦσε ὅλη τὴν οἰκουμένη καὶ κυβερνοῦσε τὶς Ἐκκλησίες. Ὅταν λοιπὸν ἀκούσεις, πρῶτον ἀποστόλους, δεύτερον προφῆτες, τρίτον ποιμένες καὶ δασκάλους, θεραπευτικὰ χαρίσματα, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν, μάθε ὅτι ὅλη ἡ χορηγία τῶν ὑπόλοι-

χαρισμάτων, ὥσπερ ἐν κεφαλῇ, τῇ ἀποστολῇ ἐναπόκειται. Ἆρ' οὐ ψιλὸν ἐνομίζετε τοὔνομα τῶν ἀποστόλων πρὸ τούτου; Ἰδοὺ νῦν ἔγνωτε πόσον βάθος ἔχει νοήματος τὸ ὄνομα. Ταῦτα δὲ εἰρήκαμεν, οὐκ οἰκείας δυνάμεως ἐπίδειξιν ποιούμενοι· οὐ γὰρ ἡμέτερα τὰ λεγόμενα, ἀλλὰ τῆς τοῦ Πνεύματος χάριτος τῶν ῥᾳθυμοτέρων τὴν νωθρίαν διεγειρούσης, ὥστε μηδὲν παρατρέχειν ἁπλῶς.

Εἰκότως ἄρα ὑπατείαν πνευματικὴν ἐκαλέσαμεν τὴν ἀποστολήν. Ἄρχοντες γάρ εἰσιν ὑπὸ Θεοῦ χειροτονηθέντες οἱ ἀπόστολοι· ἄρχοντες, οὐκ ἔθνη καὶ πόλεις διαφόρους λαμβάνοντες, ἀλλὰ πάντες κοινῇ τὴν οἰκουμένην ἐμπιστευθέντες. Καὶ ὅτι ἄρχοντές εἰσι πνευματικοί, καὶ τοῦτο ἀποδεῖξαι πειράσομαι, ἵνα μετὰ τὴν ἀπόδειξιν μάθητε, ὅτι τοσούτῳ βελτίους εἰσὶν οἱ ἀπόστολοι τῶν ἀρχόντων τῶν βιωτικῶν, ὅσῳ αὐτοὶ οἱ βιωτικοὶ ἄρχοντες τῶν παίδων τῶν παιζόντων ἀμείνους εἰσί. Πολὺ γὰρ μείζων αὕτη ἐκείνης ἡ ἀρχή, καὶ μᾶλλον τὴν ἡμετέραν συνέχει ζωήν, καὶ ταύτης ἀρθείσης πάντα οἴχεται καὶ διαλέλυται.

Τί ποτε' οὖν ἐστιν ἀρχῆς σύμβολον, καὶ τίνα ἔχειν τὸν ἄρχοντα χρή; Δεσμωτηρίου ἐξουσίαν, ὥστε τοὺς μὲν δῆσαι, τοὺς δὲ λῦσαι, τοὺς μὲν ἐκβάλλειν, τοὺς δὲ ἐμβάλλειν κύριός ἐστιν· ἀφεῖναι πάλιν χρημάτων ὀφλήματα, καὶ τοὺς μὲν ἀπολῦσαι ὄντας ὑπευθύνους, τοὺς δὲ καλεῦσαι ἀποδοῦναι κύριός ἐστιν· εἰς θάνατον πάλιν ἀπαγαγεῖν, καὶ ἀπὸ τοῦ θανάτου καλέσαι· μᾶλλον δὲ τοῦτο ἄρχοντος μὲν οὐκ ἔστι, βασιλέως δὲ μόνον· μᾶλλον δὲ οὐδὲ βασιλέως ὁλόκληρόν ἐστι τὸ δῶρον. Οὐ γὰρ ἀπὸ θανάτου

πων χαρισμάτων βρίσκεται κάτω ἀπὸ τὴν ἀποστολικὴ ἐξουσία, σὰν αὐτὴ νὰ εἶναι ἡ κεφαλή. Ἄραγε δὲ θεωρούσατε γυμνὸ τὸ ὄνομα τῶν ἀποστόλων πρὶν ἀπ' αὐτό; Νὰ τώρα γνωρίσατε πόσο βαθὺ νόημα ἔχει τὸ ὄνομα. Καὶ τὰ εἴπαμε αὐτὰ ὄχι γιὰ νὰ κάνουμε ἐπίδειξη τῆς δικῆς μας δύναμης, γιατὶ δὲν εἶναι δικά μας τὰ λόγια, ἀλλὰ τῆς χάριτος τοῦ Πνεύματος ποὺ διεγείρει τὴ νωθρότητα τῶν πιὸ ἀδιάφορων ἀνθρώπων, ὥστε νὰ μὴν προσπερνοῦν τίποτε ἐπιπόλαια.

Σωστὰ λοιπὸν ὀνομάσαμε πνευματικὴ ὑπατεία τὴν ἀποστολικὴ ἐξουσία. Γιατὶ οἱ ἀπόστολοι εἶναι ἄρχοντες ποὺ χειροτονήθηκαν ἀπὸ τὸ Θεό· ἄρχοντες ποὺ δὲν παίρνουν ἔθνη καὶ διάφορες πόλεις, ἀλλὰ ἔχουν ἀναλάβει ὅλοι ἀπὸ κοινοῦ τὴν οἰκουμένη. Καὶ ὅτι εἶναι ἄρχοντες πνευματικοί, καὶ αὐτὸ θὰ προσπαθήσω νὰ τὸ ἀποδείξω, γιὰ νὰ μάθετε μετὰ τὴν ἀπόδειξη ὅτι οἱ ἀπόστολοι εἶναι τόσο ἀνώτεροι ἀπὸ τοὺς κοσμικοὺς ἄρχοντες, ὅσο ἀνώτεροι εἶναι οἱ κοσμικοὶ ἄρχοντες ἀπὸ τὰ παιδιὰ ποὺ περιπαίζουν τοὺς ἄρχοντες. Γιατὶ ἡ ἐξουσία αὐτὴ εἶναι πολὺ μεγαλύτερη ἀπὸ ἐκείνη καὶ αὐτὴ συγκρατεῖ πολὺ περισσότερο τὴ ζωή μας, καὶ ὅταν αὐτὴ ἀφαιρεθεῖ τὰ πάντα καταστρέφονται καὶ διαλύονται.

Ποιό λοιπὸν εἶναι τὸ σύμβολο τῆς ἐξουσίας καὶ ποιές ἐξουσίες πρέπει νὰ ἔχει ὁ ἄρχοντας; Τὴν ἐξουσία τοῦ δεσμωτηρίου, ὥστε νὰ εἶναι κύριος ἄλλους νὰ δέσει καὶ ἄλλους νὰ λύσει, ἄλλους νὰ ἐλευθερώνει καὶ ἄλλους νὰ φυλακίζει. Εἶναι πάλι κύριος νὰ χαρίζει χρηματικὲς ὀφειλές, καὶ ἄλλους νὰ ἀπαλλάσσει παρ' ὅλο ποὺ εἶναι ὀφειλέτες, καὶ ἄλλους νὰ διατάζει νὰ ἐπιστρέψουν τὶς ὀφειλές. Ἐπίσης ἔχει τὴν ἐξουσία νὰ καταδικάσει σὲ θάνατο καὶ νὰ ἀνακαλέσει τὸ θάνατο· ἢ καλύτερα αὐτὸ δὲν ἀνήκει στὴν ἐξουσία τοῦ ἄρχοντα ἀλλ' ἀνήκει στὴν ἐξουσία μόνο τοῦ βασιλιᾶ· μᾶλλον ὅμως τὸ δῶρο αὐτὸ δὲν ἀνήκει ὁλόκληρο στὸ βασιλιά. Γιατὶ δὲν ἀνακαλεῖ τὸ νεκρὸ ἀπὸ τὸ

καλεῖ τὸν ἀπιόντα, ἀλλ' ἐξ ἀπαγωγῆς μόνον, καὶ ἀπόφασιν μὲν λῦσαι δύναται, ἀπὸ θανάτου δὲ ἀνακαλέσασθαι οὐ δύναται· καὶ τὸ μὲν χεῖρον ἔχει, τοῦ βελτίονος δὲ ἀπεστέρηται. Ἀπὸ τῆς ζώνης δὲ πάλιν δοκιμάζομεν τὸν ἄρχοντα, ἀπὸ τῆς τοῦ κήρυκος φωνῆς, ἀπὸ τῶν ῥαβδούχων, ἀπὸ τοῦ ὀχήματος, ἀπὸ τοῦ ξίφους· ταῦτα γὰρ πάντα ἀρχῆς σύμβολα.

Ἴδωμεν τοίνυν καὶ τὴν τῶν ἀποστόλων ἀρχήν, εἰ ταῦτα ἔχει τὰ σύμβολα· ἔχει μέν, οὐ τοιαῦτα δέ, ἀλλὰ πολλῷ βελτίονα. Καὶ ἵνα μάθῃς ὅτι ταῦτα μὲν ὀνόματα πραγμάτων, ἐκεῖνα δὲ ἀλήθεια πραγμάτων· ἵνα μάθῃς τὸ μέσον τῶν παιδίων τῶν παιζόντων ἀρχάς, καὶ τῶν ἀρχῶν τῶν ἐχόντων τὰς ἀρχάς· καί, εἰ βούλεσθε, ἀπὸ τοῦ δεσμωτηρίου πρῶτον ἀριθμήσομεν. Καὶ γὰρ εἰρήκαμεν, ὅτι κύριος τοῦ δῆσαι καὶ λῦσαί ἐστιν ὁ ἄρχων. Ὅρα δὴ ταύτην τὴν ἀρχὴν τοὺς ἀποστόλους ἔχοντας. «Ὅσους γὰρ ἂν δήσητε ἐπὶ τῆς γῆς», φησίν, «ἔσονται δεδεμένοι ἐν τοῖς οὐρανοῖς· καὶ ὅσους ἂν λύσητε ἐπὶ τῆς γῆς ἔσονται λελυμένοι ἐν οὐρανοῖς». Εἶδες δεσμωτηρίου, καὶ δεσμωτηρίου ἐξουσίαν· καὶ τὸ μὲν ὄνομα τὸ αὐτό, τὸ δὲ πρᾶγμα οὐ τὸ αὐτό. Δεσμά, καὶ δεσμά· ἀλλὰ τὰ μὲν ἐπὶ τῆς γῆς, τὰ δὲ ἐν οὐρανῷ. Οὐρανός γάρ ἐστιν αὐτοῖς τὸ δεσμωτήριον.

Μάθε τοίνυν τὸ μέγεθος τῆς ἀρχῆς. Ἐπὶ τῆς γῆς καθήμενοι φέρουσι τὴν ψῆφον καὶ τῆς ψήφου ἡ δύναμις διαβαίνει τοὺς οὐρανούς. Καὶ καθάπερ οἱ μὲν βασιλεῖς καθήμενοι ἐν μιᾷ πόλει ψηφίζονται καὶ νομοθετοῦσιν, ἡ δὲ τῶν ψηφισμάτων καὶ τῶν νόμων δύναμις πᾶσαν διατρέχει τὴν οἰκουμένην· οὕτω καὶ τότε, οἱ μὲν ἀπόστολοι ἐν ἑνὶ τόπῳ καθήμενοι ταῦτα ἐνομοθέτουν· ἡ δὲ τῶν νόμων δύναμις, καὶ τῶν δεσμῶν τούτων, οὐχὶ τὴν οἰκουμένην μόνον διέτρεχον, ἀλλὰ καὶ εἰς αὐτὸ τὸ ὕψος τῶν οὐρα-

12. Ματθ. 18,18.

θάνατο ἀλλὰ μόνο ἀπὸ τὴν προσαγωγὴ σὲ θάνατο, καὶ μπορεῖ νὰ καταργήσει μιὰ ἀπόφαση, δὲν μπορεῖ ὅμως νὰ ἀνακαλέσει ἀπὸ τὸ θάνατο· καὶ ἔχει βέβαια τὸ χειρότερο, ἔχει στερηθεῖ ὅμως τὸ καλύτερο. Ἐπίσης ἀναγνωρίζουμε τὸν ἄρχοντα ἀπὸ τὴ ζώνη, ἀπὸ τὴ φωνὴ τοῦ κήρυκα, ἀπὸ τοὺς ραβδούχους, ἀπὸ τὸ ὄχημα, ἀπὸ τὸ ξίφος· γιατὶ ὅλα αὐτὰ εἶναι τὰ σύμβολα τῆς ἐξουσίας.

Ἂς δοῦμε λοιπὸν καὶ τὴν ἐξουσία τῶν ἀποστόλων ἂν ἔχει αὐτὰ τὰ σύμβολα. Βέβαια ἔχει, ὄχι ὅμως τέτοια ἀλλὰ πολὺ καλύτερα. Καὶ γιὰ νὰ μάθεις ὅτι αὐτὰ εἶναι ὀνόματα πραγμάτων καὶ ἐκεῖνα ἀλήθεια πραγμάτων, γιὰ νὰ μάθεις τὴ διαφορὰ ἀνάμεσα στὰ παιδιὰ ποὺ περιπαίζουν τὶς ἐξουσίες καὶ στοὺς ἄρχοντες ποὺ ἔχουν πραγματικὰ τὶς ἐξουσίες, ἂν θέλετε, θ' ἀρχίσουμε τὴν ἀπαρίθμηση πρῶτα ἀπὸ τὸ δεσμωτήριο. Γιατὶ πραγματικὰ εἴπαμε πὼς ὁ ἄρχοντας εἶναι κύριος τοῦ νὰ δέσει καὶ νὰ λύσει κάποιον. Πρόσεχε πὼς οἱ ἀπόστολοι ἔχουν αὐτὴ τὴν ἐξουσία· γιατὶ λέγει· «ὅσους θὰ δέσετε στὴ γῆ, θὰ εἶναι δεμένοι στοὺς οὐρανούς· καὶ ὅσους θὰ λύσετε στὴ γῆ θὰ εἶναι λυμένοι στοὺς οὐρανούς[12]. Εἶδες τὴν ἐξουσία τοῦ ἑνὸς δεσμωτηρίου καὶ τοῦ ἄλλου δεσμωτηρίου· καὶ τὸ ὄνομα βέβαια εἶναι τὸ ἴδιο, τὸ πράγμα ὅμως δὲν εἶναι τὸ ἴδιο. Δεσμὰ αὐτὰ δεσμὰ καὶ ἐκεῖνα, ἀλλὰ τὰ πρῶτα εἶναι στὴ γῆ καὶ τὰ δεύτερα στὸν οὐρανό. Γιατὶ ὁ οὐρανὸς εἶναι σ' αὐτοὺς τὸ δεσμωτήριο.

Μάθε λοιπὸν τὸ μέγεθος τῆς ἐξουσίας. Βρίσκονται στὴ γῆ καὶ ἀποφασίζουν, καὶ ἡ δύναμη τῆς ἀπόφασής τους περνάει τοὺς οὐρανούς. Καὶ ὅπως ἀκριβῶς οἱ βασιλεῖς διαμένοντας σὲ μία πόλη ἀποφασίζουν καὶ νομοθετοῦν, καὶ ἡ δύναμη τῶν ἀποφάσεων καὶ τῶν νόμων διασχίζει ὅλο τὸ κράτος, ἔτσι καὶ τότε οἱ ἀπόστολοι, διαμένοντας σ' ἕναν τόπο, νομοθετοῦσαν καὶ ἡ δύναμη τῶν νόμων καὶ τῶν δεσμῶν αὐτῶν δὲ διέτρεχε μόνο ὅλη τὴν οἰκουμένη, ἀλλὰ ἀνέβαινε καὶ σ' αὐτὸ τὸ ὕψος τῶν οὐρα-

νῶν ἀνέβαινεν. Εἶδες δεσμωτήριον, καὶ δεσμωτήριον· τὸ μὲν ἐπὶ γῆς, τὸ δὲ ἐν οὐρανῷ, τὸ μὲν σωμάτων, τὸ δὲ ψυχῶν· μᾶλλον δὲ καὶ ψυχῶν καὶ σωμάτων· οὐ γὰρ σώματα ἐδέσμουν μόνον, ἀλλὰ καὶ ψυχάς.

5. Βούλει μαθεῖν πῶς κύριοι ἦσαν καὶ ὀφλήματα ἀφεῖναι; Καὶ γὰρ καὶ ἐνταῦθα πολὺ τὸ διάφορον ὄψει· οὐ γὰρ ὀφλήματα χρημάτων, ἀλλ' ὀφλήματα ἁμαρτημάτων ἀφίεσαν· «ὧν γάρ», φησίν, «ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται αὐτοῖς· καὶ ὧν ἂν κρατῆτε, κεκράτηνται». Τί μετὰ τοῦτο ἀποδεῖξαι χρή, ὅτι καὶ εἰς θάνατον ἔπεμπον, καὶ ἀπὸ θανάτου πάλιν ἐκάλουν, οὐκ ἐξ ἀποφάσεως μόνης καὶ ἀπαγωγῆς, ἀλλὰ καὶ ἐκ θανάτου τοὺς κειμένους ἤδη καὶ διαφθαρέντας ἀνιστῶντες; Ποῦ τοίνυν κατεδίκασαν; ποῦ δὲ ἀπήλλαξαν θανάτου; Ὁ Ἀνανίας καὶ ἡ Σάπφειρα ἱεροσυλίας ἑάλωσαν· εἰ γὰρ καὶ τὰ ἑαυτῶν ἔκλεψαν χρήματα, ἀλλ' ὅμως ἱεροσυλίας τὸ τόλμημα ἦν· μετὰ γὰρ τὴν ὑπόσχεσιν οὐκ ἔτι ἦν αὐτῶν τὰ χρήματα. Τί οὖν ὁ Ἀπόστολος; Ἄκουσον πῶς, καθάπερ ἐν δικαστηρίῳ καθήμενος, τὸν ἱερόσυλον εἰσάγει, καὶ πεῦσιν προσάγει καθάπερ δικαστής, καὶ τότε τὴν ἀπόφασιν ἐπάγει. Οὐ γὰρ πρὸ τῆς ἐρωτήσεως ἡ ἀπόφασις· δήλη μὲν γὰρ ἦν ἡ ἁμαρτία· ἀλλ' ἵνα ἡμᾶς τοὺς ἔξωθεν περιεστῶτας πείσῃ, ὅτι δικαίως ἐπάγει τὴν ψῆφον, διὰ τοῦτο ποιεῖται τὴν ἐρώτησιν, οὕτω λέγων· «διὰ τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; Οὐχὶ μένον σοι ἔμενε, καὶ πραθὲν ἐπὶ τῇ σῇ ἐξουσίᾳ ὑπῆρχεν; Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ». Τί οὖν ἀκούων ἐκεῖνος τοὺς λόγους τούτους; Πεσὼν ἐξέψυξεν.

---

13. Ἰω. 20,23.

14. Πράξ. 5,3–4.

νῶν. Εἶδες δεσμωτήριο καὶ δεσμωτήριο· τὸ ἕνα πάνω στὴ γῆ, τὸ ἄλλο πάνω στὸν οὐρανό· τὸ ἕνα γιὰ τὰ σώματα, τὸ ἄλλο γιὰ τὶς ψυχές· ἢ καλύτερα καὶ γιὰ τὶς ψυχὲς καὶ γιὰ τὰ σώματα· γιατὶ δὲν ἔδεναν μόνο σώματα ἀλλὰ καὶ ψυχές.

5. Θέλεις νὰ μάθεις πῶς ἦταν κύριοι νὰ χαρίζουν καὶ ὀφειλές; Γιατὶ πραγματικὰ καὶ ἐδῶ θὰ δεῖς μεγάλη τὴ διαφορά, γιατὶ δὲ χάριζαν ὀφειλὲς χρημάτων ἀλλὰ ὀφειλὲς ἁμαρτημάτων. «Γιατὶ σὲ ὅποιους», λέγει, «συγχωρήσετε τὶς ἁμαρτίες, θὰ τοὺς εἶναι συγχωρημένες· καὶ σὲ ὅποιους τὶς κρατήσετε ἀσυγχώρητες, θὰ κρατηθοῦν ἔτσι»[13]. Γιατί ὕστερα ἀπ' αὐτὸ πρέπει ν' ἀποδείξω ὅτι καὶ σὲ θάνατο ἔστελναν καὶ ἀπὸ θάνατο πάλι ἀνακαλοῦσαν, ὄχι μόνο ἀπὸ τὴν ἀπόφαση καὶ τὴν προσαγωγή τους, ἀλλὰ ἀνασταίνοντας καὶ ἀπὸ τὸ θάνατο ἐκείνους ποὺ ἤδη ἦταν νεκροὶ καὶ εἶχαν ὑποστεῖ τὴ φθορά; Ποῦ λοιπὸν καταδίκασαν; ποῦ πάλι ἀπάλλαξαν ἀπὸ τὸ θάνατο; Ὁ Ἀνανίας καὶ ἡ Σαπφείρα ἔπεσαν σὲ ἱεροσυλία. Ἂν καὶ βέβαια ἔκλεψαν τὰ δικά τους χρήματα, τὸ τόλμημά τους ὅμως ἦταν πράξη ἱεροσυλίας· γιατὶ μετὰ τὴν ὑπόσχεση τὰ χρήματα δὲν ἦταν πιὰ δικά τους. Τί λοιπὸν κάνει ὁ Ἀπόστολος; Ἄκουσε πῶς, σὰν νὰ καθόταν σὲ δικαστήριο, εἰσάγει τὸν ἱερόσυλο σὲ δίκη καὶ σὰν δικαστὴς τοῦ ἀπευθύνει ἐρώτηση καὶ ὕστερα βγάζει τὴν ἀπόφαση. Ἡ ἀπόφαση λοιπὸν δὲ βγαίνει πρὶν τὴν ἐρώτηση, γιατὶ ἡ ἁμαρτία ἦταν βέβαια φανερή, ἀλλὰ γιὰ νὰ πείσει ἐμᾶς ποὺ στεκόμαστε ἀπὸ ἔξω ὅτι δίκαια ἀποφασίζει, γι' αὐτὸ κάνει τὴν ἐρώτηση, λέγοντας τὸ ἑξῆς· «γιατί κυρίεψε τὴν καρδιά σου ὁ σατανᾶς, ὥστε νὰ πεῖς ψέματα στὸ ἅγιο Πνεῦμα καὶ νὰ κρατήσεις γιὰ τὸν ἑαυτό σου ἕνα μέρος ἀπὸ τὸ ἀντίτιμο τοῦ κτήματος; Ὅσο ἦταν ἀπούλητο δὲν ἦταν δικό σου, καὶ ὅταν πουλήθηκε, στὸ χέρι σου δὲν ἦταν νὰ κρατήσεις τὸ ἀντίτιμο; Δὲν εἶπες ψέματα σὲ ἀνθρώπους, ἀλλὰ στὸ Θεό»[14]. Τί λοιπὸν ἔκαμε ἐκεῖνος ὅταν ἄκουσε αὐτὰ τὰ λόγια; Ἔπεσε κάτω καὶ ξεψύχησε.

Εἶδες πῶς καὶ ξίφος ἔχουσιν οἱ ἀπόστολοι; Ὅταν ἀκούσῃς Παύλου λέγοντος, ὅτι «ἐπὶ πᾶσι τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ρῆμα Θεοῦ», ἀναμνήσθητι τῆς ἀποφάσεως ταύτης, ὅτι οὐδαμοῦ ξίφος, καὶ τῷ ρήματι πληγεὶς ὁ ἱερόσυλος ἔπεσεν. Εἶδες μάχαιραν ἠκονισμένην καὶ γεγυμνωμένην; Οὐδαμοῦ σίδηρος, οὐδαμοῦ λαβή, οὐδαμοῦ χεῖρες· ἀλλὰ ἀντὶ τῆς χειρὸς ἡ γλῶττα, τὰ ρήματα ἀντὶ μαχαίρας ἐξενεγκοῦσα, εὐθέως ἐκεῖνον ἀπέσφαξε. Μετὰ τοῦτον εἰσῆλθεν ἡ γυνή, καὶ ἐβούλετο αὐτῇ δοῦναι πρόφασιν ἀπολογίας, ἀφορμὴν συγγνώμης· διὰ τοῦο πάλιν ἐρωτᾷ· «εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε». Καίτοι γε ᾔδει, ὅτι οὐ τοσούτου· ἀλλ' ἵνα αὐτὴν διὰ τῆς ἐρωτήσεως εἰς μετάνοιαν ἀγάγῃ, καὶ καταγνῷ τῶν ἡμαρτημένων, καὶ μεταδῷ συγγνώμης αὐτῇ, διὰ τοῦτο αὐτὴν ἐρωτᾷ· ἀλλ' ὅμως ἐκείνη μετὰ ταῦτα ἀναισχύντως διέκειτο· διὰ τοῦτο ἐκοινώνησε τῆς τιμωρίας τοῦ ἀνδρός.

Εἶδες δεσμωτηρίου δύναμιν; Εἶδες πῶς εἰσι κύριοι εἰς θάνατον πέμπειν; Ἴδωμεν καὶ τὸ βέλτιον, πῶς ἀπὸ θανάτου ἀποκαλοῦνται πάλιν. Ἡ Ταβιθά, ἡ μαθήτρια, ἐλεημοσύναις πολλαῖς κομῶσα ἀπέθανε· καὶ δρόμος εὐθέως ἐπὶ τοὺς ἀποστόλους. Ἤιδεισαν γὰρ ὅτι καὶ θανάτου καὶ ζωῆς ἐξουσίαν εἶχον· ᾔδεισαν τὴν ἄνω ἀρχὴν κάτω κατενεχθεῖσαν. Τί οὖν ἐλθὼν ὁ Πέτρος; «Ταβιθά, ἀνάστηθι», φησίν. Οὐδεμιᾶς πραγματείας ἐδέησεν αὐτῷ, οὐχ ὑπηρετῶν, οὐ διακόνων· ἀλλ' ἤρκεσε τὰ ρήματα πρὸς τὴν ἀνάστασιν· ἤκουσε γοῦν τῆς φωνῆς ὁ θάνατος, καὶ οὐκ ἴσχυσε κατασχεῖν τὴν νεκράν. Εἶδες οἷαι τῶν δικαστῶν τούτων αἱ φωναί; Αἱ μὲν γὰρ τῶν ἔξωθεν δικαστῶν ἀσθενεῖς. Κἂν γὰρ ἐπιτάξῃ τις ἐκείνων, ὁ δὲ διακονῶν μὴ ὑπηρετήσῃ, διεκόπη τὸ προσταχθέν· ἐνταῦθα δὲ οὐ δεῖται διακόνων· ἀλλ' εἶπε, καὶ εὐθέως ἐγένετο.

---

15. Ἐφ. 6,17.

16. Πράξ. 5,8.

17. Πράξ. 9,40.

Εἶδες πῶς οἱ ἀπόστολοι ἔχουν καὶ ξίφος; Ὅταν ἀκούσεις τὸν Παῦλο νὰ λέγει, «πάνω ἀπ' ὅλα νὰ κρατᾶτε τὸ ξίφος τοῦ Πνεύματος, ποὺ εἶναι ὁ λόγος τοῦ Θεοῦ»[15], θυμήσου τὴν ἀπόφαση αὐτή, ὅτι δηλαδὴ χωρὶς νὰ ὑπάρχει ξίφος, ὁ ἱερόσυλος ἔπεσε κάτω ἀφοῦ δέχτηκε τὸ χτύπημα μὲ τὸ λόγο. Εἶδες ξίφος ἀκονισμένο καὶ γυμνό; Πουθενὰ σίδερο, πουθενὰ λαβή, πουθενὰ χέρια· ἀλλὰ στὴ θέση τοῦ χεριοῦ ἡ γλώσσα, ποὺ ἔβγαλε ἀντὶ γιὰ ξίφος τὰ λόγια καὶ ἀμέσως τὸν κατέσφαξε. Ὕστερα ἀπ' αὐτὸν μπῆκε μέσα ἡ γυναίκα του καὶ ἤθελε νὰ τῆς δώσει πρόφαση ἀπολογίας, ἀφορμὴ συγγνώμης. Γι' αὐτὸ πάλι κάνει τὴν ἐρώτηση· «πές μου, ἀντὶ πόσου πουλήσατε τὸ κτῆμα;»[16]. Ἂν καὶ γνώριζε βέβαια ὅτι δὲν τὸ πούλησαν τόσο, ἀλλὰ γιὰ νὰ τὴν ὁδηγήσει μὲ τὴν ἐρώτηση σὲ μετάνοια, νὰ καταδικάσει τὰ σφάλματα καὶ νὰ τῆς χορηγήσει συγγνώμη, γι' αὐτὸ τὴν ἐρωτᾶ. Ἀλλ' ὅμως αὐτὴ καὶ ὕστερα ἀπ' αὐτὰ συμπεριφερόταν ἀναίσχυντα. Γι' αὐτὸ εἶχε τὴν ἴδια τιμωρία μὲ τὸν ἄνδρα της.

Εἶδες δύναμη δεσμωτηρίου; Εἶδες πῶς εἶναι κύριοι νὰ στέλνουν σὲ θάνατο; Ἂς δοῦμε καὶ τὸ καλύτερο, μὲ ποιό τρόπο ἀνακαλοῦν πάλι ἀπὸ τὸ θάνατο. Ἡ μαθήτρια Ταβιθά, ποὺ ἔκανε πολλὲς ἐλεημοσύνες, πέθανε· καὶ ἔτρεξαν ἀμέσως στοὺς ἀποστόλους. Γιατὶ ἤξεραν πὼς εἶχαν τὴν ἐξουσία καὶ τοῦ θανάτου καὶ τῆς ζωῆς· ἤξεραν πὼς ἡ οὐράνια ἐξουσία κατέβηκε στὴ γῆ. Τί λοιπὸν ἔκαμε ὅταν ἦρθε ὁ Πέτρος; «Ταβιθά, σήκω πάνω»[17], λέγει. Δὲ χρειάσθηκε καμιὰ προσπάθεια, οὔτε ὑπηρέτες, οὔτε βοηθούς, ἀλλ' ἦταν ἀρκετὰ τὰ λόγια γιὰ τὴν ἀνάσταση. Ἄκουσε λοιπὸν τὴ φωνὴ ὁ θάνατος καὶ δὲν μπόρεσε νὰ κρατήσει τὴ νεκρή. Εἶδες ποιές εἶναι οἱ φωνὲς τῶν δικαστῶν αὐτῶν; Οἱ φωνὲς τῶν κοσμικῶν δικαστῶν εἶναι ἀνίσχυρες. Γιατί, καὶ ἂν ἀκόμη διατάξει κάποιος ἀπὸ τοὺς δικαστὲς αὐτοὺς καὶ ὁ ὑπηρέτης δὲν ὑπακούσει, ἡ διαταγὴ δὲν ἐκτελεῖται. Ἐδῶ ὅμως δὲ χρειάζεται ὑπηρέτες· ἀλλ' εἶπε καὶ ἀμέσως ἔγινε.

Εἶδες αὐτῶν τὸ δεσμωτήριον, ὅπερ ἀρχῆς ἐστι σύμβολον· εἶδες πῶς ἀφιᾶσιν ἁμαρτήματα, πῶς λύουσιν θάνατον, πῶς εἰς ζωὴν ἐπανάγουσι. Βούλει μαθεῖν καὶ τὴν ζώνην αὐτῶν; Καὶ γὰρ ἐζωσμένους αὐτοὺς ὁ Χριστὸς ἔπεμψεν, οὐχὶ ἐν δέρματι, ἀλλ' ἐν ἀληθείᾳ· αὕτη ἡ ζώνη ἁγία καὶ πνευματική· καὶ διὰ τοῦτό φησι· «περιεζωσμένοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ». Καὶ γὰρ ἡ ἀρχὴ πνευματική, διὸ μηδὲν αἰσθητὸν ζήτει· «πᾶσα γὰρ ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν».

Ἀλλὰ τί; βούλει καὶ τοὺς δημίους ἰδεῖν; Δήμιοί εἰσιν οἱ τοὺς ὑπευθύνους μαστίζοντες, προσαρτῶντες τῷ ξύλῳ, διαξαίνοντες τὰς πλευράς, παιδεύοντες, κολάζοντες. Βούλει οὖν τούτους ἰδεῖν; Οὐκ ἀνθρώπους ἔχουσιν, ἀλλ' αὐτὸν τὸν διάβολον καὶ τοὺς δαίμονας· οἱ σῶμα καὶ σάρκα περικείμενοι, τὰς ἀσωμάτους εἶχον ὑπηρετούσας δυνάμεις. Ἄκουσον γοῦν πῶς μετὰ αὐθεντίας ἐκείνοις ἐπέταττεν ὁ Παῦλος· περὶ γὰρ τοῦ πεπορνευκότος γράφων ἔλεγε· «παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός». Πάλιν ἐφ' ἑτέρων βλασφημούντων τὸ αὐτὸ τοῦτο πεποίηκε· «παρέδωκα γὰρ αὐτούς», φησί, «τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν».

Τί λοιπὸν ὑπολέλειπται δεῖξαι; ὅτι καὶ ὀχήματα ἔχουσιν; Ἀλλ' οὐδὲ ταύτης ἀπορήσομεν τῆς ἀποδείξεως· τὸν γὰρ Φίλιππον, ἐπειδὴ τὸν εὐνοῦχον ἐβάπτισε καὶ πρὸς τὴν ἱερὰν μυσταγωγίαν ἐχειραγώγησεν, ἔδει δὲ αὐτὸν ἐπανελθεῖν, ἥρπασεν αὐτὸν τὸ Πνεῦμα, καὶ εὑρέθη εἰς Ἄζωτον ἀπὸ τῆς ἐρήμου. Εἶδες ὄχημα ὑπόπτερον; εἶδες ζεῦγος ἀνέμου σφοδρότερον; Πάλιν ἔδει τὸν ἀπόστολον εἰς τὸν παράδεισον ὁδεῦσαι, μῆκος οὕτω πολύ, καὶ διάστημα ἄπειρον· κἀκεῖνος πάλιν ἀθρόον ἁρπαγεὶς ἐκεῖ μετεφέρετο ἀπονητὶ καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ. Τὰ μὲν οὖν ὀχή-

---

18. Ἐφ. 6,14.
19. Ψαλμ. 44,14.
20. Α' Κορ. 5,5.
21. Α' Τιμ. 1,20.
22. Βλ. Πράξ. 8,39–40.
23. Βλ. Β' Κορ. 12,2.

Εἶδες τῶν ἀποστόλων τὸ δεσμωτήριο, ποὺ εἶναι σύμβολο ἐξουσίας; Εἶδες πῶς συγχωροῦν ἁμαρτήματα, πῶς καταργοῦν τὸ θάνατο, πῶς ἐπαναφέρουν στὴ ζωή; Θέλεις νὰ μάθεις καὶ τὴ ζώνη τους; Γιατὶ πραγματικὰ ὁ Χριστὸς τοὺς ἔστειλε ζωσμένους, ὄχι μὲ δέρμα, ἀλλὰ μὲ ἀλήθεια. Αὐτὴ ἡ ζώνη εἶναι ἅγια καὶ πνευματική. Καὶ γι' αὐτὸ λέγει· «ζωσθεῖτε τὴν ἀλήθεια σὰν ζώνη στὴ μέση σας»[18]. Γιατὶ καὶ ἡ ἐξουσία εἶναι πνευματική· ἑπομένως μὴ ζητᾶς τίποτε τὸ αἰσθητό. «Γιατὶ ὅλη ἡ δόξα τῆς θυγατέρας τοῦ βασιλιᾶ εἶναι ἀπὸ μέσα της»[19].

Ἀλλὰ τί; Θέλεις νὰ δεῖς καὶ τοὺς δημίους; Δήμιοι εἶναι ἐκεῖνοι ποὺ μαστιγώνουν τοὺς ἐνόχους, ποὺ τοὺς δένουν στὸ ξύλο, ποὺ ξεσχίζουν τὶς πλευρές τους, τοὺς βασανίζουν, τοὺς τιμωροῦν. Θέλεις λοιπὸν νὰ δεῖς τοὺς ἀποστόλους; Δὲν ἔχουν ἀνθρώπους, ἀλλὰ τὸν ἴδιο τὸ διάβολο καὶ τοὺς δαίμονες· αὐτοὶ ποὺ εἶχαν σῶμα καὶ σάρκα εἶχαν νὰ τοὺς ὑπηρετοῦν τὶς ἀσώματες δυνάμεις. Ἄκουσε λοιπὸν πῶς μὲ ἐξουσία ὁ Παῦλος πρόσταζε ἐκείνους· γιατὶ γράφοντας γιὰ ἐκεῖνον ποὺ ἔπεσε σὲ πορνεία, ἔλεγε· «παραδῶστε τὸν ἄνθρωπο αὐτὸ στὸ σατανᾶ γιὰ ἀφανισμὸ τῆς σάρκας του»[20]. Πάλι σὲ ἄλλους ποὺ βλασφημοῦσαν ἔκαμε ἀκριβῶς τὸ ἴδιο. «Παρέδωσα αὐτούς», λέγει, «στὸ σατανᾶ, γιὰ νὰ μάθουν νὰ μὴ βλασφημοῦν»[21].

Τί ὑπολείπεται λοιπὸν νὰ ἀποδείξω; Ὅτι ἔχουν καὶ ὀχήματα; Ἀλλὰ δὲ θὰ στερηθοῦμε καὶ τὴν ἀπόδειξη αὐτή. Γιατὶ τὸν Φίλιππο, ποὺ ἔπρεπε νὰ ἐπιστρέψει, ὅταν βάπτισε τὸν εὐνοῦχο καὶ τὸν ὁδήγησε στὴν ἱερὴ μυσταγωγία, τὸν ἅρπαξε τὸ ἅγιο Πνεῦμα καὶ ἀπὸ τὴν ἔρημο τὸν ἔφερε στὴν Ἄζωτο[22]. Εἶδες ὄχημα φτερωτό; εἶδες ἄλογα πιὸ γρήγορα ἀπὸ τὸν ἄνεμο; Πάλι ἔπρεπε ὁ ἀπόστολος νὰ ἀνεβεῖ στὸν παράδεισο, τόσο πολὺ μῆκος καὶ ἄπειρη ἀπόσταση. Καὶ ἐκεῖνος πάλι ἁρπάχθηκε ξαφνικὰ καὶ μεταφέρθηκε ἐκεῖ χωρὶς κόπο καὶ μέσα σὲ μιὰ στιγμή[23]. Τὰ ὀχήματα λοιπὸν ἦταν τέτοια, ἐνῶ ἡ φωνὴ τοῦ κήρυκα

ματα τοιαῦτα· ἡ δὲ τοῦ κήρυκος φωνή, καὶ αὕτη πάλιν ἀξία τῆς ἀρχῆς. Οὐ γὰρ ἄνθρωπος αὐτῶν προηγεῖτο, φωνὴν ἀφιείς, ἀλλ' ἡ τοῦ Πνεύματος χάρις, καὶ ἡ διὰ τῶν θαυμάτων ἀπόδειξις πάσης σάλπιγγος λαμπροτέραν ἠφίει φωνήν· οὕτως αὐτοῖς πανταχοῦ προοδοποιεῖ. Καὶ καθάπερ οἱ ἄρχοντες ἐν πολλῇ περιφανείᾳ καθεστήκασι, τῶν ἰδιωτῶν οὐ τολμώντων αὐτοῖς ἁπλῶς ἀναμίγνυσθαι, οὕτω καὶ ἐπὶ τῶν ἀποστόλων ἐγίνετο· «τῶν γὰρ λοιπῶν», φησίν, «οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς· ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός». Εἶδες δεσμωτηρίου δύναμιν καὶ ἀφέσεως ὀφλημάτων ἰσχὺν καὶ ξίφος ἔχοντας καὶ ζώνην ἐζωσμένους καὶ ὀχήματι ὀδεύοντας καὶ φωνὴν πάσης σάλπιγγος λαμπροτέραν προηγουμένην αὐτῶν καὶ ἐν πολλῇ περιφανείᾳ ὄντας;

6. Ἀναγκαῖον δὴ καὶ τὰ κατορθώματα αὐτῶν δεῖξαι πάντα, καὶ ὅσα τὴν οἰκουμένην ὤνησαν. Καὶ γὰρ καὶ τοῦτο ἀρχόντων, τὸ μὴ τιμῆς ἀπολαύειν μόνον, ἀλλὰ καὶ πολλὴν ἐνδείκνυσθαι πρὸς τοὺς ἀρχομένους τὴν πρόνοιαν καὶ τὴν προστασίαν. Ἀλλὰ πλείονα τοῦ δέοντος καὶ τὰ εἰρημένα. Διὰ τοῦτο εἰς ἑτέραν ἀναβαλλόμενος ταῦτα διάλεξιν, πρὸς τὴν τῶν νεοφωτίστων παραίνεσιν παραγαγεῖν πειράσομαι λόγον. Μηδεὶς δὲ ἄκαιρον νομιζέτω τὴν συμβουλήν. Καὶ γὰρ ἔφθην εἰπών, ὅτι οὐ μετὰ δέκα καὶ εἴκοσι ἡμέρας μόνον, ἀλλὰ καὶ μετὰ δέκα καὶ εἴκοσι ἔτη δυνατὸν νεοφωτίστους καλεῖν τοὺς μεμυημένους, ἐὰν νήφωσι. Τίς οὖν ἂν γένοιτο πρὸς τούτους ἀρίστη παραίνεσις; Εἰ τοῦ τρόπου τῆς γεννήσεως αὐτοὺς ἀναμνήσαιμεν, καὶ τοῦ προτέρου καὶ τοῦ δευτέρου, τοῦ φυσικοῦ καὶ τοῦ πνευματικοῦ, καὶ τί τὸ μέσον ἑκατέρας τῆς γεννήσεως δείξαιμεν. Μᾶλλον δὲ οὐ δεῖ παρ' ἡμῶν αὐτοὺς ταῦτα μανθάνειν· αὐτὸς ὁ τῆς βροντῆς υἱὸς περὶ τούτων αὐτοῖς διαλέξεται, ὁ ἀγαπητὸς τοῦ Χριστοῦ Ἰωάννης. Τί

---

24. Πράξ. 5,13.

ἦταν καὶ αὐτὴ πάλι ἀντάξια τῆς ἐξουσίας. Γιατὶ δὲν προηγοῦνταν ἀπ' αὐτοὺς ἄνθρωπος, βγάζοντας φωνή, ἀλλὰ ἡ χάρη τοῦ Πνεύματος καὶ ἡ ἀπόδειξη μὲ τὰ θαύματα ἔβγαζε φωνὴ πιὸ λαμπρὴ ἀπὸ κάθε σάλπιγγα. Ἔτσι τοὺς προετοιμάζει παντοῦ τὸ δρόμο. Καὶ ὅπως ἀκριβῶς οἱ ἄρχοντες θεωροῦνται πάρα πολὺ σπουδαῖοι καὶ οἱ πολίτες δὲν τολμοῦν χωρὶς λόγο νὰ τοὺς πλησιάσουν, ἔτσι γινόταν καὶ μὲ τοὺς ἀποστόλους. «Ἀπὸ τοὺς ἄλλους», λέγει, «κανεὶς δὲν τολμοῦσε νὰ προσκολληθεῖ σ' αὐτούς, ὅμως ὁ λαὸς τοὺς εἶχε σὲ μεγάλη ὑπόληψη»[24]. Εἶδες δύναμη δεσμωτηρίου καὶ ἰσχὺ συγχωρήσεως ἁμαρτημάτων, εἶδες πὼς ἔχουν καὶ ξίφος, καὶ πὼς εἶναι ζωσμένοι μὲ ζώνη, καὶ πὼς ταξιδεύουν μὲ ὄχημα, καὶ πὼς προηγεῖται ἀπ' αὐτοὺς φωνὴ πιὸ λαμπρὴ ἀπὸ κάθε σάλπιγγα καὶ πὼς εἶναι πολὺ διάσημοι;

6. Εἶναι ἀνάγκη πιὰ νὰ δείξω καὶ ὅλα τους τὰ κατορθώματα καὶ πόσο ὠφέλησαν τὴν οἰκουμένη. Γιατὶ βέβαια καὶ αὐτὸ εἶναι γνώρισμα τῶν ἀρχόντων, τὸ νὰ μὴν ἀπολαμβάνουν μόνο τιμὴ ἀλλὰ καὶ νὰ ἐπιδεικνύουν πρὸς τοὺς πολίτες μεγάλη φροντίδα καὶ προστασία. Ἀλλὰ καὶ αὐτὰ ποὺ ἔχουν λεχθεῖ εἶναι περισσότερα ἀπ' ὅσα ἔπρεπε. Γι' αὐτὸ ἀναβάλλοντας αὐτὰ γιὰ ἄλλη ὁμιλία θὰ προσπαθήσω νὰ στρέψω τὸ λόγο σὲ παραίνεση πρὸς τοὺς νεοφώτιστους. Καὶ κανεὶς ἂς μὴ νομίζει ἄκαιρη τὴ συμβουλή. Γιατὶ καὶ στὴ προηγούμενη ὁμιλία εἶπα ὅτι ὄχι μετὰ ἀπὸ δέκα καὶ εἴκοσι ἡμέρες μόνο, ἀλλὰ καὶ μετὰ ἀπὸ δέκα καὶ εἴκοσι χρόνια εἶναι δυνατὸ νὰ ὀνομάζουμε νεοφώτιστους αὐτοὺς ποὺ ἔχουν βαπτισθεῖ, ἂν εἶναι νηφάλιοι. Ποιά λοιπὸν ἄριστη παραίνεση μποροῦσε νὰ γίνει πρὸς αὐτούς; Ἂν τοὺς θυμίζαμε τὸν τρόπο τῆς γέννησής τους, καὶ τὸν πρῶτο καὶ τὸ δεύτερο, δηλαδὴ τὸ φυσικὸ καὶ τὸν πνευματικό, καὶ τοὺς δείχναμε ποιά ἡ διαφορὰ κάθε γέννησης. Ἢ καλύτερα δὲν πρέπει νὰ τὰ μαθαίνουν ἀπὸ μᾶς αὐτά. Θὰ τοὺς μιλήσει γι' αὐτὰ ὁ ἴδιος ὁ υἱὸς τῆς βροντῆς, ὁ ἀγαπημένος τοῦ Χριστοῦ Ἰωάννης. Τί λοιπὸν

οὖν ἐκεῖνός φησιν; «Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι»· εἶτα, ἀναμιμνήσκων αὐτοὺς τῆς προτέρας γεννήσεως καὶ ἐκ συγκρίσεως τὸ σεμνὸν τῆς παρούσης χάριτος ἐνδεικνύμενος, οὕτω φησί· «οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν». Ἑνὶ ρήματι αὐτῶν ἔδειξε τὴν εὐγένειαν.

Ὢ καθαρῶν ὠδίνων! ὢ πνευματικῶν τόκων! ὢ καινῶν λοχευμάτων! χωρὶς μήτρας σύλληψις, χωρὶς γαστρὸς γέννησις, χωρὶς σαρκὸς τόκος, τόκος πνευματικός, τόκος ἐκ χάριτος καὶ φιλανθρωπίας Θεοῦ, τόκος εὐφροσύνης γέμων καὶ χαρᾶς. Ἀλλ' οὐ τοιοῦτος ὁ πρότερος, ἀλλ' ἀπὸ θρήνων ἔχει τὴν ἀρχήν. Τὸ γὰρ παιδίον ἐκ τῆς μήτρας ὀλισθαῖνον καὶ ἐκ τῆς νηδύος καταφερόμενον, πρώτην φωνὴν μετὰ δακρύων ἐκβάλλει, καθάπερ τίς φησι· «πρώτην φωνὴν τὴν ὁμοίαν ἅπασιν ἴσα κλαίων». Διὰ θρήνων γὰρ ἡ εἴσοδος εἰς τὸν βίον, διὰ δακρύων προοίμια, τῆς φύσεως τὸ μέλλον ὀδυνηρὸν προαναφωνούσης. Τί κλαίει τὸ παιδίον εἰς φῶς ἐλθόν; Διὰ τοῦτο· πρὸ μὲν τῆς ἁμαρτίας ἔλεγεν ὁ Θεός, «αὐξάνεσθε, καὶ πληθύνεσθε», ὅπερ εὐλογίας ἦν· τὸ δέ, «ἐν λύπαις τέξῃ τέκνα», μετὰ τὴν ἁμαρτίαν, ὅπερ τιμωρίας ἦν. Οὐ δάκρυα δὲ ἐν τῇ γεννήσει μόνον, ἀλλὰ καὶ σπάργανα καὶ δεσμά· δάκρυα ἐν τῇ γεννήσει, δάκρυα ἐν θανάτῳ· σπάργανα ἐν γεννήσει, σπάργανα ἐν θανάτῳ· ἵνα μάθῃς ὅτι πρὸς θάνατον ἡ ζωὴ αὕτη τελευτᾷ, καὶ πρὸς ἐκεῖνο καταστρέφει τὸ τέλος.

Ἀλλ' οὐχ ἡ γέννησις αὕτη. Οὐδαμοῦ δάκρυα καὶ σπάργανα, ἀλλὰ λελυμένος ὁ γεννηθεὶς καὶ πρὸς ἀγῶνας παρασκευασμένος· διὰ τοῦτο ἄφετοι οἱ πόδες καὶ αἱ χεῖρες, ἵνα τρέχῃ καὶ πυκτεύῃ· οὐδαμοῦ θρῆνος, οὐδαμοῦ δάκρυα ἐνταῦθα, ἀλλ'

---

25. Ἰω. 1,12.
26. Ἰω. 1,13.
27. Σοφ. Σολ. 7,3.
28. Γεν. 1,28.
29. Γεν. 3,16.
30. Δηλ. ἡ δεύτερη, ἡ πνευματική.

λέγει αὐτός; «Σὲ ὅσους ὅμως τὸν δέχθηκαν ἔδωσε τὸ δικαίωμα νὰ γίνουν παιδιὰ τοῦ Θεοῦ»[25]. Στὴ συνέχεια θυμίζοντας σ' αὐτοὺς τὴν πρώτη τους γέννηση καὶ παρουσιάζοντας ὕστερα ἀπὸ σύγκριση πόσο ἱερὴ εἶναι ἡ παροῦσα κατάσταση τῆς χάριτος, λέγει τὰ ἑξῆς· «αὐτοὶ δὲ γεννήθηκαν ἀπὸ αἷμα τῆς γυναίκας, οὔτε ἀπὸ πόθο ἀνδρικό, ἀλλὰ ἀπὸ τὸ Θεό»[26]. Μὲ ἕνα λόγο ἔδειξε τὴν εὐγενική τους καταγωγή.

Πῶ πῶ καθαρὲς ὠδίνες! πῶ πῶ πνευματικοὶ τόκοι! πῶ πῶ καινούριες γεννήσεις! Χωρὶς μήτρα γίνεται σύλληψη, χωρὶς κοιλιὰ γέννηση, χωρὶς σάρκα τόκος, τόκος πνευματικός, τόκος ἀπὸ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Θεοῦ, τόκος γεμάτος εὐφροσύνη καὶ χαρά. Ὅμως δὲν εἶναι τέτοιος ὁ πρῶτος τοκετός, ἀλλὰ ἀρχίζει ἀπὸ κλάματα. Γιατὶ τὸ παιδί, ὅταν γλιστράει ἀπὸ τὴ μήτρα καὶ κατεβαίνει ἀπὸ τὴν κοιλιά, μὲ δάκρυα βγάζει τὴν πρώτη του φωνή, ὅπως ἀκριβῶς λέγει κάποιος· «ἔβγαλα τὴν πρώτη φωνὴ ποὺ εἶναι ὅμοια μὲ τὴ φωνὴ ὅλων τῶν ἀνθρώπων καὶ ἔκλαιγα ὅπως ἐκεῖνοι»[27]. Δηλαδὴ ἡ εἴσοδος στὴ ζωὴ γίνεται μὲ κλάματα, τὸ ξεκίνημα μὲ δάκρυα, προαναγγέλλοντας ἡ φύση ὀδυνηρὸ τὸ μέλλον. Γιατί κλαίει τὸ παιδὶ ὅταν ἔρχεται στὸ φῶς; Γιὰ τὸν ἑξῆς λόγο· πρὶν ἀπὸ τὴν ἁμαρτία ἔλεγε ὁ Θεός, «αὐξάνεστε καὶ πληθύνεστε»[28], ποὺ ἦταν ἀπόδειξη εὐλογίας· ἐνῶ τὸ «μὲ λύπες θὰ γεννᾶς παιδιά»[29], ποὺ ἦταν ἀπόδειξη τιμωρίας, τὸ εἶπε μετὰ τὴν ἁμαρτία. Καὶ ὄχι μόνο δάκρυα κατὰ τὴ γέννηση, ἀλλὰ καὶ σπάργανα καὶ δεσμά· δάκρυα κατὰ τὴ γέννηση, δάκρυα καὶ κατὰ τὸ θάνατο, σπάργανα στὴ γέννηση, σπάργανα καὶ στὸ θάνατο, γιὰ νὰ μάθεις ὅτι ἡ ζωὴ αὐτὴ τελειώνει στὸ θάνατο καὶ κατευθύνεται σ' ἐκεῖνο τὸ τέλος.

Ἀλλὰ ἡ γέννηση αὐτὴ[30] δὲν εἶναι τέτοια. Πουθενὰ δάκρυα καὶ σπάργανα, ἀλλὰ ὁ γεννημένος εἶναι ἐλεύθερος καὶ ἕτοιμος γιὰ ἀγῶνες. Γι' αὐτὸ τὰ πόδια καὶ τὰ χέρια του εἶναι ἐλεύθερα γιὰ νὰ τρέχει καὶ νὰ παλεύει. Πουθενὰ κλάμα, πουθενὰ δάκρυα

ἀσπασμοὶ καὶ φιλίαι καὶ περιπλοκαὶ τῶν ἀδελφῶν τὸ οἰκεῖον μέλος ἐπιγινωσκόντων καὶ ὥσπερ ἐκ μακρᾶς ἀπολαβόντων ἀποδημίας. Ἐπειδὴ γὰρ πρὸ τοῦ φωτίσματος ἐχθρὸς ἦν, μετὰ δὲ τὸ φώτισμα γέγονε φίλος τοῦ κοινοῦ πάντων ἡμῶν Δεσπότου, διὰ τοῦτο πάντες συνηδόμεθα· διὰ τοῦτο καὶ τὸ φίλημα εἰρήνη καλεῖται, ἵνα μάθωμεν ὅτι πόλεμον κατέλυσε ὁ Θεός, καὶ πρὸς τὴν οἰκείωσιν ἐπανήγαγε τὴν ἑαυτοῦ.

Ταύτην οὖν τηρῶμεν διηνεκῶς, ταύτην φυλάττωμεν τὴν εἰρήνην, ταύτην ἐκτείνωμεν τὴν φιλίαν, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν σκηνῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμή, κράτος, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἐδῶ, ἀλλὰ ἀσπασμοὶ καὶ φιλίες καὶ ἐναγκαλισμοὶ τῶν ἀδελφῶν ποὺ ἀναγνωρίζουν τὸ δικό τους μέλος καὶ τὸ δέχονται σὰν νὰ ἐπιστρέφει ἀπὸ μακρὰ ἀποδημία. Ἐπειδὴ πρὶν ἀπὸ τὸ βάπτισμα ἦταν ἐχθρὸς καὶ μετὰ τὸ βάπτισμα ἔγινε φίλος τοῦ κοινοῦ ὅλων μας Κυρίου, γι' αὐτὸ χαιρόμαστε ὅλοι μαζί. Γι' αὐτὸ καὶ τὸ φίλημα ὀνομάζεται εἰρήνη, γιὰ νὰ μάθουμε ὅτι ὁ Θεὸς κατάργησε τὸν πόλεμο καὶ ἐπανέφερε τοὺς ἀνθρώπους στὴ συμφιλίωση μὲ τὸν ἑαυτό του.

Αὐτὴ λοιπὸν τὴ συμφιλίωση ἂς διατηροῦμε συνεχῶς, αὐτὴ τὴν εἰρήνη ἂς διαφυλάσσουμε, αὐτὴ τὴ φιλία ἂς ἐπεκτείνουμε, γιὰ νὰ ἐπιτύχουμε καὶ τὶς αἰώνιες σκηνές, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο καὶ ζωοποιὸ Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ τιμὴ καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α

ΟΤΙ ΟΥΚ ΑΚΙΝΔΥΝΟΝ ΤΟΙΣ ΑΚΡΟΑΤΑΙΣ ΤΟ ΣΙΓΑΝ ΤΑ ΛΕΓΟΜΕΝΑ ΕΝ ΕΚΚΛΗΣΙΑι

Καὶ τίνος ἕνεκεν αἱ Πράξεις ἐν τῇ Πεντηκοστῇ ἀναγινώσκονται, καὶ διὰ τί οὐκ ἔδειξε πᾶσιν ἑαυτὸν ἀναστὰς ὁ Χριστός, καὶ ὅτι τῆς ὄψεως σαφεστέραν παρέσχε τὴν τῆς ἀναστάσεως ἀπόδειξιν τὴν διὰ τῶν σημείων τῶν ἀποστόλων

1. Τὸ μὲν πλέον τοῦ χρέους τοῦ συντεθέντος ἡμῖν ὑπὸ τῆς ἐπιγραφῆς τῶν Πράξεων τῶν ἀποστολικῶν ἐν ταῖς ἔμπροσθεν ὑμῖν κατεβάλομεν ἡμέραις· ἐπειδὴ δὲ ἔτι μικρὸν ἐναπέμεινε λείψανον, ἀνέστην καὶ τοῦτο καταθήσων ὑμῖν σήμερον. Εἰ δὲ μετ' ἀκριβείας φυλάττετε τὰ εἰρημένα, καὶ μετὰ πολλῆς κατέχετε σπουδῆς, ὑμεῖς ἂν εἰδείητε οἱ τὸ ἀργύριον ὑποδεξάμενοι, καὶ τῶν ἀργυρίων τούτων μέλλοντες τὸν λόγον διδόναι τῷ Δεσπότῃ κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν οἱ τὰ τάλαντα πιστευθέντες καλῶνται, καὶ τὰς εὐθύνας ὑπέχωσιν· ὅταν ἐλθὼν ὁ Χριστὸς ἀπαιτῇ τοὺς τραπεζίτας τὸ ἀργύριον τοῦτο μετὰ τῶν τόκων. «Ἔδει γάρ σε», φησί, «καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας, καὶ ἐγὼ ἐλθὼν μετὰ τόκου ἂν ἀπήτησα αὐτό».

1. Ματθ. 25,27.

ΟΜΙΛΙΑ

ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΔΕΝ ΕΙΝΑΙ ΑΚΙΝΔΥΝΟ ΣΤΟΥΣ ΑΚΡΟΑΤΕΣ ΝΑ ΑΠΟΣΙΩΠΟΥΝ ΤΑ ΛΕΓΟΜΕΝΑ ΣΤΗΝ ΕΚΚΛΗΣΙΑ
Καὶ γιὰ ποιό λόγο οἱ Πράξεις διαβάζονται τὴν περίοδο τῆς Πεντηκοστῆς· ἐπίσης γιατί ὁ Χριστὸς ὅταν ἀναστήθηκε δὲ φανερώθηκε σὲ ὅλους καὶ ὅτι μὲ τὰ θαύματα τῶν ἀποστόλων ἔκαμε σαφέστερη τὴν ἀπόδειξη τῆς ἀνάστασης παρὰ μὲ τὴν ἐμφάνισή του

1. Τὸ περισσότερο μέρος τοῦ χρέους ποὺ μᾶς εἶχε ἐπιβληθεῖ ἀπὸ τὴν ἐπιγραφὴ τῶν «Πράξεων τῶν ἀποστόλων» σᾶς τὸ πληρώσαμε κατὰ τὶς προηγούμενες ἡμέρες. Ἐπειδὴ ὅμως ἔμεινε ἀκόμη ἕνα μικρὸ ὑπόλοιπο, σηκώθηκα νὰ σᾶς τὸ πληρώσω καὶ αὐτὸ σήμερα. Καὶ ἂν μὲ ἀκρίβεια διατηρεῖτε αὐτὰ ποὺ λέχθηκαν καὶ τὰ κρατᾶτε μὲ πολὺ ἐνδιαφέρον, ἐσεῖς ποὺ δεχθήκατε τὰ χρήματα θὰ γνωρίζατε ὅτι πρόκειται νὰ δώσετε λόγο καὶ γιὰ τὰ χρήματα αὐτὰ στὸν Κύριο κατὰ τὴν ἡμέρα ἐκείνη, τότε ποὺ θὰ καλοῦνται ὅσοι ἔλαβαν τὰ τάλαντα καὶ εἶναι ὑπεύθυνοι γι' αὐτά, τότε ποὺ θὰ ἔρθει ὁ Χριστὸς καὶ θὰ ζητάει ἀπὸ τοὺς τραπεζίτες τὰ χρήματα αὐτὰ μαζὶ μὲ τοὺς τόκους. «Ἔπρεπε», λέγει,«νὰ καταθέσεις ἐσὺ τὰ χρήματά μου στοὺς τραπεζίτες, καὶ ἐγὼ ὅταν θὰ ἐρχόμουν θὰ τὰ ἔπαιρνα μὲ τόκο»[1].

Ὢ τῆς πολλῆς καὶ ἀφάτου φιλανθρωπίας τοῦ Δεσπότου! Ἀνθρώπους κωλύων ἀπαιτεῖν τόκους, αὐτὸς ἀπαιτεῖ τόκους. Διὰ τί; Ἐπειδὴ ἐκεῖνος ὁ τόκος διαβεβλημένος ἐστὶ καὶ κατηγορίας ἄξιος, οὗτος δὲ ἐπαινετὸς καὶ πολλῆς ἀποδοχῆς ἐστιν ἄξιος. Ἐκεῖνος τοίνυν ὁ τόκος, ὁ τῶν χρημάτων λέγω, καὶ τὸν λαμβάνοντα καὶ τὸν διδόντα ζημιοῖ, καὶ τοῦ μὲν λαμβάνοντος ἀπόλλυσι τὴν ψυχήν, τοῦ δὲ διδόντος ἐπιτρίβει τὴν πενίαν. Τί γὰρ ἂν γένοιτο χαλεπώτερον, ἀλλ' ἢ ὅταν τις τὴν πενίαν τοῦ πλησίον ἐμπορεύηται καὶ τὰς τῶν ἀδελφῶν πραγματεύηται συμφοράς; ὅταν τις προσωπεῖον φιλανθρωπίας ἔχων πᾶσαν ἀπανθρωπίαν ἐπιδείκνυνται, καὶ ὁ χεῖρα μέλλων ὀρέγειν πρὸς τὸ βάραθρον ὠθῇ τὸν βοηθείας δεόμενον; Τί ποιεῖς, ἄνθρωπε; Οὐ διὰ τοῦτο πρὸς σὰς ἦλθε θύρας ὁ πένης, ἵνα αὐξήσῃς αὐτοῦ τὴν πενίαν, ἀλλ' ἵνα λύσῃς αὐτοῦ τὴν πενίαν· σὺ δὲ ταὐτὸν ποιεῖς, οἷον οἱ τὰ δηλητήρια κεραννύντες φάρμακα· καὶ γὰρ ἐκεῖνοι τὴν συνήθη τροφὴν αὐτοῖς ἀναμίξαντες ἀνεπαίσθητον ποιοῦσι τὴν ἐπιβουλήν, καὶ οὗτοι φιλανθρωπίας προσχήματι τῶν τόκων τὸν ὄλεθρον κρύψαντες, οὐκ ἐῶσιν αἰσθέσθαι τῆς βλάβης τοὺς μέλλοντας πίνειν τὸ θανάσιμον τοῦτο φάρμακον.

Διόπερ εὔκαιρον, ὃ περὶ τῆς ἁμαρτίας εἴρηται, καὶ περὶ τῶν τοκιζόντων καὶ δανειζομένων εἰπεῖν. Τί δὲ περὶ τῆς ἁμαρτίας εἴρηται; «Πρὸς καιρόν», φησί, «γλυκαίνει τὸν λάρυγγα, ὕστερον δὲ πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου». Τοῦτο τοίνυν καὶ ἐπὶ τῶν δανειζομένων γίνεται· ὅταν μὲν γὰρ λαμβάνῃ τὰ χρήματα ὁ δεόμενος, παραμυθίαν λαμβάνει μικράν τινα καὶ πρόσκαιρον· ὕστερον δὲ τῶν τόκων αὐξομένων καὶ τοῦ φορτίου μείζονος τῆς δυνάμεως γενο-

Πὼ πὼ μεγάλη καὶ ἀνέκφραστη φιλανθρωπία τοῦ Θεοῦ! Ἂν καὶ ἐμποδίζει τοὺς ἀνθρώπους νὰ ζητοῦν τόκους ὁ ἴδιος ζητάει τόκους. Γιατί; Ἐπειδὴ ἐκεῖνος ὁ τόκος εἶναι συκοφαντημένος καὶ ἀξιοκατάκριτος, ἐνῶ αὐτὸς εἶναι ἀξιέπαινος καὶ πολὺ εὐπρόσδεκτος. Ἐκεῖνος λοιπὸν ὁ τόκος, ἐννοῶ ἀπὸ τὰ χρήματα, ζημιώνει καὶ αὐτὸν ποὺ τὸν παίρνει καὶ ἐκεῖνον ποὺ τὸν δίνει, καὶ ἐκείνου ποὺ τὸν παίρνει καταστρέφει τὴν ψυχή, ἐνῶ ἐκείνου ποὺ τὸν δίνει χειροτερεύει τὴ φτώχεια του. Τί λοιπὸν θὰ μποροῦσε νὰ ὑπάρξει χειρότερο, ἀπὸ τὸ νὰ ἐμπορεύεται κανεὶς τὴ φτώχεια τοῦ συνανθρώπου του καὶ νὰ διαπραγματεύεται τὶς συμφορὲς τῶν ἀδελφῶν; ὅταν, ἔχοντας κανεὶς τὸ προσωπεῖο τῆς φιλανθρωπίας, δείχνει κάθε ἀπανθρωπιά, καί, μολονότι ἔχει ὑποχρέωση νὰ ἁπλώνει χέρι βοήθειας, σπρώχνει στὸ γκρεμὸ ἐκεῖνον ποὺ χρειάζεται βοήθεια; Τί κάνεις, ἄνθρωπε; Δὲν ἦρθε γι' αὐτὸ στὴν πόρτα σου ὁ φτωχός, γιὰ νὰ τοῦ μεγαλώσεις τὴ φτώχεια, ἀλλὰ γιὰ νὰ τοῦ τὴν ἐξαλείψεις. Ἐσὺ ὅμως κάνεις τὸ ἴδιο ποὺ κάνουν ὅσοι ἀναμειγνύουν τὶς τροφὲς μὲ τὰ δηλητηριώδη φάρμακα. Γιατὶ ἐκεῖνοι, ἀναμειγνύοντας σ' αὐτὰ τὴ συνηθισμένη τροφή, κάνουν ἀνεπαίσθητη τὴν ἐπιβουλή, καὶ αὐτοί, κρύβοντας μὲ τὸ πρόσχημα τῆς φιλανθρωπίας τὴν καταστροφὴ τῶν τόκων, δὲν ἀφήνουν ν' ἀντιληφθοῦν τὴ βλάβη ἐκεῖνοι ποὺ πρόκειται νὰ πιοῦν τὸ θανάσιμο αὐτὸ φάρμακο.

Γι' αὐτὸ εἶναι ἡ κατάλληλη εὐκαιρία, ἐκεῖνο ποὺ λέχθηκε γιὰ τὴν ἁμαρτία, αὐτὸ νὰ ποῦμε γι' αὐτοὺς ποὺ τοκίζουν καὶ γιὰ ἐκείνους ποὺ δανείζονται. Τί ὅμως λέχθηκε γιὰ τὴν ἁμαρτία; «Γιὰ μιὰ στιγμή», λέγει, «γλυκαίνει τὸ λάρυγγά σου, ὕστερα ὅμως θὰ τὴ βρεῖς πικρότερη ἀπὸ τὴ χολὴ καὶ ἀκονισμένη περισσότερο ἀπὸ δίκοπο μαχαίρι»[2]. Αὐτὸ λοιπὸν γίνεται καὶ σὲ ὅσους δανείζονται. Γιατί, ὅταν παίρνει τὰ χρήματα ἐκεῖνος ποὺ τὰ ἔχει ἀνάγκη, παίρνει κάποια μικρὴ καὶ προσωρινὴ παρηγοριά· ὕστερα ὅμως ὅταν αὐξάνονται οἱ τόκοι καὶ τὸ φορτίο γίνε-

μένου, ἐκεῖνο τὸ γλυκὺ καὶ λιπάναν τὸν λάρυγγα πικρότερον χολῆς ὄψεται γινόμενον, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου, τῶν πατρῴων πάντων ἀποστῆναι ἀθρόον ἀναγκαζόμενος.

2. Ἀλλ' ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ πνευματικὰ τὸν λόγον μετάγωμεν. «Ἔδει σε», φησί, «καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας», ἐκείνου τοῦ ἀργυρίου τραπεζίτας ὑμᾶς καλῶν τοὺς τῶν ῥημάτων τούτων ἀκροατάς. Καὶ τίνος ἕνεκεν τραπεζίτας ὑμᾶς ἐκάλεσεν ὁ Θεός; Παιδεύων ἅπαντας τὴν αὐτὴν σπουδὴν ἐπιδείκνυσθαι περὶ τὴν δοκιμασίαν τῶν λεγομένων, ὅσην ἐκεῖνοι σπουδὴν ἔχουσι περὶ τὴν ἐξέτασιν καὶ εἴσοδον τῶν νομισμάτων. Καθάπερ γὰρ οἱ τραπεζῖται τὸ μὲν κίβδηλον καὶ παράσημον ἐκβάλλουσι νόμισμα, τὸ δὲ δόκιμον καὶ ὑγιὲς δέχονται, καὶ διακρίνουσι τὸ νόθον ἀπὸ τοῦ γνησίου· οὕτω καὶ σὺ ποίησον, καὶ μὴ πάντα παραδέχου λόγον, ἀλλὰ τὸν μὲν κίβδηλον καὶ διεφθαρμένον ἔκβαλλε ἀπὸ σοῦ, τὸν δὲ ὑγιῆ καὶ σωτηρίαν ἔχοντα παράπεμπε τῇ διανοίᾳ.

Ἔστι γάρ, ἔστι καὶ σοὶ ζυγὰ καὶ σταθμία οὐκ ἀπὸ χαλκοῦ καὶ σιδήρου κατεσκευασμένα, ἀλλ' ἀπὸ ἁγνείας καὶ πίστεως συγκείμενα, καὶ διὰ τούτων δοκίμαζε λόγον ἅπαντα. Καὶ γὰρ διὰ τοῦτό φησι, γίνεσθε τραπεζῖται δόκιμοι, οὐχ ἵνα ἐπὶ τῆς ἀγορᾶς ἑστῶτες τὰ ἀργύρια ἀριθμῆτε, ἀλλ' ἵνα τοὺς λόγους βασανίζητε μετὰ ἀκριβείας ἁπάσης· διὰ τοῦτο καὶ ὁ ἀπόστολος Παῦλός φησι· «πάντα δοκιμάζετε, τὸ καλὸν δὲ κατέχετε μόνον». Οὐ διὰ τὴν δοκιμασίαν δὲ μόνον ὑμᾶς τραπεζίτας ἐκάλεσεν, ἀλλὰ καὶ διὰ τὴν τῶν καταβαλλομένων νομήν. Καὶ γὰρ τοῖς τραπεζίταις, ἐὰν μόνον ὑποδεχόμενοι τὰ χρήματα κατακλείωσιν οἴκοι, μηκέτι δὲ εἰς ἑτέρους διανέμωσιν, ἅπαν τὸ τῆς ἐμπορίας οἰχήσεται· οὕτω καὶ ἐπὶ τῶν ἀκροατῶν τὸ αὐτὸ τοῦτο γίνεται. Ἂν γὰρ δεξάμενος τὴν διδασκαλίαν παρὰ σαυτῷ κατασχῇς, μηκέτι δὲ εἰς ἑτέρους ἐκβάλῃς, πᾶσά σου ἡ πραγματεία διαρρυήσεται. Διὰ

3. Α' Θεσ. 5,21.

ται μεγαλύτερο ἀπὸ τὴ δύναμή του, ἐκεῖνο τὸ γλυκὸ ποὺ γλύκανε τὸ λάρυγγά του θὰ τὸ δεῖ νὰ γίνεται πικρότερο ἀπὸ τὴ χολὴ καὶ ἀκονισμένο περισσότερο ἀπὸ δίκοπο μαχαίρι, ἀφοῦ ἀναγκάζεται ν' ἀποχωρισθεῖ σὲ μιὰ στιγμὴ ὅλα τὰ πατρικά του.

2. Ἀλλ' ἂς μεταφέρουμε τὸ λόγο ἀπὸ τὰ ὑλικὰ στὰ πνευματικά. «Ἔπρεπε» λέγει, «νὰ καταθέσεις ἐσὺ τὰ χρήματά σου στοὺς τραπεζίτες», ὀνομάζοντας τραπεζίτες ἐκείνων τῶν χρημάτων ἐσᾶς τοὺς ἀκροατὲς αὐτῶν τῶν λόγων. Καὶ γιὰ πιό λόγο σᾶς ὀνόμασε ὁ Θεὸς τραπεζίτες; Γιὰ νὰ διδάξει ὅλους νὰ δείχνουν τὸ ἴδιο ἐνδιαφέρον γιὰ τὴν ἐξέταση τῶν λεγομένων, ὅσο ἔχουν ἐκεῖνοι γιὰ τὴν ἐξέταση καὶ εἴσοδο τῶν νομισμάτων. Γιατί, ὅπως ἀκριβῶς οἱ τραπεζίτες πετοῦν τὸ νόθο καὶ κίβδηλο νόμισμα, ἀλλὰ δέχονται τὸ νόμιμο καὶ ὑγιὲς καὶ ξεχωρίζουν τὸ νόθο ἀπὸ τὸ γνήσιο, ἔτσι κάμε καὶ σύ, καὶ νὰ μὴ δέχεσαι κάθε λόγο, ἀλλὰ διῶχνε μακριὰ τὸν κίβδηλο καὶ κακὸ καὶ μεταβίβαζε στὸ νοῦ σου τὸν καλὸ καὶ ἐκεῖνον ποὺ περιέχει σωτηρία.

Γιατὶ ἔχεις, πραγματικὰ ἔχεις καὶ σὺ μέτρα καὶ σταθμὰ ποὺ δὲν εἶναι κατασκευασμένα ἀπὸ χαλκὸ καὶ σίδερο, ἀλλ' ἀποτελοῦνται ἀπὸ ἁγνότητα καὶ πίστη, καὶ μ' αὐτὰ ἐξέταζε κάθε λόγο. Γιατὶ βέβαια γι' αὐτὸ λέγει νὰ γίνετε τραπεζίτες ἔμπειροι, ὄχι γιὰ νὰ μετρᾶτε τὰ χρήματα καθισμένοι στὴν ἀγορά, ἀλλὰ γιὰ νὰ ἐλέγχετε τοὺς λόγους μὲ κάθε ἀκρίβεια. Γι' αὐτὸ καὶ ὁ ἀπόστολος Παῦλος λέγει· «ὅλα νὰ τὰ ἐξετάζετε καὶ νὰ κρατᾶτε μόνο τὸ καλό»[3]. Δὲ σᾶς ὀνόμασε ὅμως τραπεζίτες μόνο γιὰ τὴν ἐξέταση, ἀλλὰ καὶ γιὰ τὴ διανομὴ τῶν καταθέσεων. Γιατὶ καὶ οἱ τραπεζίτες, ἂν δέχονται μόνο τὰ χρήματα καὶ τὰ κλειδώνουν στὸ σπίτι χωριὶς νὰ τὰ διανέμουν σὲ ἄλλους, θὰ φύγει ὅλο τὸ κέρδος τῆς ἐμπορίας. Αὐτὸ ἀκριβῶς τὸ ἴδιο γίνεται καὶ μὲ τοὺς ἀκροατές. Γιατὶ ἄν, ὅταν δεχθεῖς τὴ διδασκαλία, τὴν κρατήσεις μέσα σου καὶ δὲν τὴ μεταδώσεις σὲ ἄλλους, θὰ χαθεῖ ὅλη σου ἡ πραγματεία. Γι' αὐτὸ βλέπουμε νὰ μπαίνουν

τοῦτο ἐπὶ τῶν ἐργαστηρίων ἐκείνων διὰ πάσης ἡμέρας εἴσοδόν τε καὶ ἔξοδον γινομένη ὁρῶμεν.

Τοῦτο τοίνυν καὶ ἐπὶ τῆς διδασκαλίας γινέσθω. Καὶ γὰρ καὶ ἐπὶ τῶν τραπεζιτῶν ἐκείνων ὁρῶμεν τοὺς μὲν καταβάλλοντας χρήματα, τοὺς δὲ λαμβάνοντας εὐθέως, καὶ ἀπιόντας, καὶ τοῦτο διὰ πάσης ἡμέρας γινόμενον ἴδοι τις ἄν. Διὰ τοῦτο, καίτοι τῶν χρημάτων οὐκ ὄντων αὐτοῖς οἰκείων, ἐπειδὴ τῇ χρήσει πρὸς τὸ δέον κέχρηνται, διὰ τῶν ἀλλοτρίων πολλὴν ἑαυτοῖς συλλέγουσι τὴν εὐπορίαν. Οὕτω καὶ σὺ ποίησον. Οὐκ ἔστι ταῦτα τὰ λόγια σά, ἀλλὰ τοῦ Πνεύματος· ἀλλ' ὅμως ἐὰν ἀρίστην ἐπιδείξῃ τὴν χρῆσιν, πολλὴν ἑαυτῷ συνάξεις τὴν εὐπορίαν τὴν πνευματικήν· διὰ τοῦτο καὶ τραπεζίτας ὑμᾶς ἐκάλεσεν ὁ Θεός.

Τίνος δὲ ἕνεκεν ἀργύριον τὸν λόγον ἐκάλεσεν; Ἐπειδὴ καθάπερ τὸ ἀργύριον τὸν χαρακτῆρα ἔχει ἀπηρτισμένον τὸν βασιλικὸν (κἂν γὰρ μὴ τοῦτον ἔχῃ, οὐκ ἔστιν ἀργύριον δόκιμον, ἀλλὰ κίβδηλον καλεῖται), οὕτω καὶ τὴν διδασκαλίαν τῆς πίστεως τὸν χαρακτῆρα τοῦ λόγου ἀπηρτισμένον ἔχειν δεῖ. Πάλιν τῶν ἀργυρίων ἡ χρῆσις πᾶσαν ἡμῶν συγκροτεῖ τὴν ζωήν, καὶ συμβολαίων ἁπάντων ὑπόθεσις γίνεται, κἂν ἀγοράσαι τι, κἂν πωλῆσαι δέῃ, διὰ τούτων ἅπαντα πράττομεν. Τοῦτο καὶ ἐπὶ τῆς διδασκαλίας γίνεται· τῶν γὰρ συμβολαίων πνευματικῶν ὑπόθεσίς ἐστι καὶ ῥίζα τὸ ἀργύριον τοῦτο τὸ πνευματικόν· ὅθεν κἂν παρὰ τοῦ Θεοῦ τι βουληθῶμεν ἀγοράσαι, τὸν λόγον τῆς εὐχῆς καταβαλόντες πρῶτον, οὕτω λαμβάνομεν ἅπερ αἰτοῦμεν. Κἂν ἀδελφὸν ἴδωμεν ἠμελημένον καὶ ἀπολλύμενον, τὴν σωτηρίαν αὐτοῦ κερδήσομεν, καὶ τὴν ζωὴν ἀγοράσομεν, τὸν λόγον τῆς διδασκαλίας καταβάλλοντες.

Διὸ χρὴ μετὰ ἀκριβείας ἁπάσης φυλάττειν καὶ κατέχειν ἅπαντα, ἵνα καὶ εἰς ἑτέρους αὐτὰ διανείμωμεν· καὶ γὰρ καὶ τό-

καὶ νὰ βγαίνουν ἄνθρωποι σ' ἐκεῖνα τὰ ἐργαστήρια ὅλη τὴν ἡμέρα.

Αὐτὸ λοιπὸν ἂς γίνεται καὶ στὴ διδασκαλία. Γιατὶ πραγματικὰ καὶ στοὺς τραπεζίτες ἐκείνους βλέπουμε ἄλλους νὰ καταθέτουν χρήματα καὶ ἄλλους νὰ παίρνουν ἀμέσως καὶ νὰ φεύγουν, καὶ αὐτὸ μπορεῖ νὰ τὸ δεῖ κανεὶς νὰ γίνεται ὅλη τὴν ἡμέρα. Γι' αὐτό, παρ' ὅλο ποὺ τὰ χρήματα δὲν εἶναι δικά τους, ἐπειδὴ τὰ χρησιμοποιοῦν ὅπως πρέπει, συγκεντρώνουν γιὰ τὸν ἑαυτό τους μὲ τὰ ξένα χρήματα πολὺ πλοῦτο. Ἔτσι κάμε καὶ σύ. Δὲν εἶναι δικά σου αὐτὰ τὰ λόγια, ἀλλὰ τοῦ Πνεύματος. Ἂν ὅμως τὰ χρησιμοποιήσεις μὲ ἄριστο τρόπο, θὰ συγκεντρώσεις γιὰ τὸν ἑαυτό σου πολὺ πνευματικὸ πλοῦτο. Γι' αὐτὸ καὶ ὁ Θεὸς σᾶς ὀνόμασε τραπεζίτες.

Γιὰ ποιό λόγο ὅμως ὀνόμασε τὸ λόγο ἀργύριο; Γιατί, ὅπως ἀκριβῶς τὸ ἀργυρὸ νόμισμα ἔχει χαραγμένη ὅλη τὴ μορφὴ τοῦ βασιλιᾶ (γιατί, ἂν δὲν τὴν ἔχει, δὲν εἶναι γνήσιο νόμισμα, ἀλλὰ ὀνομάζεται κίβδηλο), ἔτσι καὶ ἡ διδασκαλία τῆς πίστεως πρέπει νὰ ἔχει ὁλοκληρωμένο τὸ χαρακτήρα τοῦ λόγου. Ἐπίσης ἡ χρήση τῶν χρημάτων συγκροτεῖ ὅλη μας τὴ ζωὴ καὶ γίνεται βάση γιὰ ὅλα τὰ συμβόλαια, καὶ εἴτε χρειάζεται ν' ἀγοράσουμε κάτι εἴτε νὰ πουλήσουμε, μὲ τὰ χρήματα τὰ κάμνουμε ὅλα. Αὐτὸ γίνεται καὶ στὴ διδασκαλία. Γιατὶ τὸ ἀργύριο τοῦτο τὸ πνευματικὸ εἶναι προϋπόθεση καὶ ρίζα γιὰ τὰ πνευματικὰ συμβόλαια. Γι' αὐτό, εἴτε θελήσουμε ν' ἀγοράσουμε κάτι ἀπὸ τὸ Θεό, ἀφοῦ καταβάλουμε πρῶτα τὸ λόγο τῆς προσευχῆς, ἔτσι παίρνουμε αὐτὰ ποὺ ζητοῦμε. Εἴτε πάλι δοῦμε τὸν ἀδελφό μας ἀδιάφορο καὶ νὰ ὁδηγεῖται στὴν καταστροφή, θὰ κερδίσουμε τὴ σωτηρία του καὶ θὰ ἀγοράσουμε τὴ ζωή του, ἂν καταβάλουμε τὸ λόγο τῆς διδασκαλίας.

Γι' αὐτὸ πρέπει νὰ φυλάγουμε καὶ νὰ κρατᾶμε μὲ κάθε ἀκρίβεια ὅλα, γιὰ νὰ τὰ διαδώσουμε καὶ σ' ἄλλους. Γιατὶ πραγ-

κους τῶν ἀργυρίων τούτων ἀπαιτούμεθα. Προσέχωμεν τοίνυν τῇ ὑπεροχῇ, ἵνα καὶ εἰς ἑτέρους διανεῖμαι δυνηθῶμεν τὰ ἀργύρια· καὶ γὰρ ἕκαστος, ἐὰν θέλῃ, δύναμιν ἔχει διδασκαλίας. Οὐ δύνασαι Ἐκκλησίαν ὀρθῶσαι τοσαύτην· ἀλλὰ δύνασαι τὴν γυναῖκα τὴν σὴν νουθετῆσαι. Οὐ δύνασαι πρὸς πλῆθος τοσοῦτον διαλεχθῆναι· ἀλλὰ τὸν υἱόν σου σωφρονίσαι δύνασαι. Οὐ δύνασαι πρὸς δῆμον τηλικοῦτον τὸν λόγον ἀποτεῖναι διδασκαλίας· ἀλλὰ τὸν οἰκέτην σου βελτίονα ἐργάσασθαι δύνασαι. Οὐκ ἔστι σου μείζων τῆς δυνάμεως ἐκεῖνος τῶν μαθητῶν ὁ σύλλογος· οὐκ ἔστι σου πλέον τῆς συνέσεως ἐκεῖνο τῆς διδασκαλίας τὸ μέτρον, ἀλλὰ καὶ ἡμῶν εὐκολώτερον ὑμεῖς ἐκείνους πάντας ρυθμίζειν δύνασθε.

Ἐγὼ μὲν γὰρ ὑμῖν ἅπαξ τῆς ἑβδομάδος συγγίνομαι, ἢ καὶ δεύτερον πολλάκις· σὺ δὲ διαπαντὸς ἔνδον ἔχεις τῆς οἰκίας τοὺς μαθητάς, καὶ τὴν γυναῖκα, καὶ τὰ παιδία, καὶ τοὺς οἰκέτας, καὶ ἐν ἑσπέρᾳ, καὶ ἐν τραπέζῃ, καὶ διὰ πάσης ἡμέρας δύνασαι διορθοῦν αὐτούς. Καὶ ἑτέρωθεν δὲ ἡ ἰατρεία αὕτη εὐκολωτέρα γίνεται· ἐγὼ μὲν γὰρ ἐν πλήθει τοσούτῳ διαλεγόμενος οὐκ οἶδα τὸ ἐνοχλοῦν ὑμῖν πάθος τῆς ψυχῆς, διὸ καὶ ἀναγκάζομαι καθ' ἑκάστην διδασκαλίαν ἅπαντα προτιθέναι τὰ φάρμακα· ὑμᾶς δὲ οὐχ οὕτω ποιεῖν ἀνάγκη, ἀλλ' ἔξεστιν ὑμῖν μετὰ ἐλάττονος πόνου πλείονα καρποῦσθαι τὴν διόρθωσιν· ἴστε γὰρ σαφῶς τὰ ἁμαρτήματα τῶν ὑμῖν συνοικούντων, διὸ καὶ ταχυτέραν δύνασθε ποιῆσαι τὴν θεραπείαν.

3. Μὴ τοίνυν, ἀγαπητοί, ἀμελῶμεν τῶν συνοικούντων ἡμῖν· καὶ γὰρ μεγίστη κόλασις κεῖται καὶ ἄφατος τιμωρία τοῖς ἀμελοῦσι τῶν οἰκείων. «Εἰ γάρ τις», φησίν, ὁ Παῦλος, «τῶν ἰδίων οὐ προνοεῖται, καὶ μάλιστα τῶν οἰκείων, τὴν πίστιν ἤρνηται,

ματικὰ θὰ μᾶς ζητηθοῦν καὶ τόκοι γιὰ τὰ χρήματα αὐτά. Ἂς προσέχουμε λοιπὸν τὴν ὑποδοχή τους, γιὰ νὰ μπορέσουμε νὰ μοιράσουμε καὶ σὲ ἄλλους τὰ χρήματα. Γιατὶ βέβαια ὁ καθένας, ἂν θέλει, ἔχει τὴ δύναμη τῆς διδασκαλίας. Δὲν μπορεῖς νὰ ἀνορθώσεις τόση μεγάλη Ἐκκλησία, μπορεῖς ὅμως νὰ συμβουλεύσεις τὴ δική σου γυναίκα. Δὲν μπορεῖς νὰ μιλήσεις σὲ τόσο μεγάλο πλῆθος, μπορεῖς ὅμως νὰ σωφρονίσεις τὸ δικό σου παιδί. Δὲν μπορεῖς ν' ἀπευθύνεις τὸ λόγο τῆς διδασκαλίας σὲ τόσο πολὺ λαό, μπορεῖς ὅμως νὰ κάνεις καλύτερο τὸ δικό σου ὑπηρέτη. Δὲν εἶναι μεγαλύτερος ἀπὸ τὴ δύναμή σου ἐκεῖνος ὁ σύλλογος τῶν μαθητῶν, δὲν εἶναι ἀνώτερο ἀπὸ τὴ σύνεσή σου ἐκεῖνο τὸ μέτρο τῆς διδασκαλίας, ἀλλὰ καὶ σεῖς μπορεῖτε πιὸ εὔκολα ἀπὸ μένα νὰ κατευθύνετε ὅλους ἐκείνους.

Γιατὶ ἐγὼ βρίσκομαι μαζί σας μιὰ φορὰ τὴν ἑβδομάδα ἢ καὶ δυὸ πολλὲς φορές, ἐσὺ ὅμως ἔχεις πάντοτε μέσα στὸ σπίτι τοὺς μαθητές, καὶ τὴ γυναίκα καὶ τὰ παιδιὰ καὶ τοὺς ὑπηρέτες σου, καὶ τὸ βράδυ καὶ στὸ τραπέζι καὶ ὅλη τὴν ἡμέρα μπορεῖς νὰ τοὺς διορθώνεις. Καὶ ἀπὸ ἀλλοῦ ἡ θεραπεία αὐτὴ γίνεται πιὸ εὔκολη. Γιατὶ ἐγὼ μιλώντας σὲ τόσο πολὺ πλῆθος δὲ γνωρίζω τὸ πάθος ποὺ ἐνοχλεῖ τὴν ψυχή σας, γι' αὐτὸ καὶ ἀναγκάζομαι σὲ κάθε διδασκαλία νὰ παρουσιάζω ὅλα τὰ φάρμακα. Ἐσεῖς ὅμως δὲν εἶναι ἀνάγκη νὰ κάμνετε τὸ ἴδιο, ἀλλ' εἶναι δυνατὸ σὲ σᾶς μὲ λιγότερο κόπο νὰ προσφέρετε περισσότερη διόρθωση· γιατὶ γνωρίζετε καλὰ τὰ ἁμαρτήματα αὐτῶν ποὺ κατοικοῦν μαζί σας, καὶ γι' αὐτὸ μπορεῖτε νὰ κάμετε πιὸ γρήγορη τὴ θεραπεία.

3. Ἂς μὴν ἀδιαφοροῦμε λοιπόν, ἀγαπητοί, γι' αὐτοὺς ποὺ κατοικοῦν μαζί μας, γιατὶ πραγματικὰ ἔχει ὁρισθεῖ πάρα πολὺ μεγάλη ποινὴ καὶ ἀνέκφραστη τιμωρία γι' αὐτοὺς ποὺ ἀδιαφοροῦν γιὰ τοὺς δικούς τους. «Γιατὶ ἂν κάποιος», λέγει ὁ Παῦλος, «δὲ φροντίζει γιὰ τοὺς συγγενεῖς του, καὶ ἰδιαίτερα γιὰ ἐκείνους ποὺ μένουν στὸ ἴδιο σπίτι μαζί του, αὐτὸς ἔχει ἀρνηθεῖ τὴν

καὶ ἔστιν ἀπίστου χείρων». Ὁρᾷς ποῦ τῶν ἀμελούντων τῶν οἰκείων ὁ Παῦλος ἠκόντισε; Καὶ μάλα εἰκότως· ὁ γὰρ τῶν οἰκείων ἀμελῶν, φησί, πῶς τῶν ἀλλοτρίων ἐπιμελήσεται; Οἶδα πολλάκις ταῦτα παραινέσας ὑμῖν· ἀλλὰ καὶ παραινῶν οὐδέποτε παύσομαι, καίτοι γε ἐγὼ ἀνεύθυνος λοιπὸν τῆς τῶν ἑτέρων ρᾳθυμίας εἰμί· «ἔδει γάρ σε», φησί, «καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας», καὶ πλέον οὐδὲν ἀπήτησεν. Ἐγὼ δὲ καὶ τὸ ἀργύριον κατέβαλον, καὶ λόγον οὐδένα ἔχω· ἀλλ' ὅμως καίτοι γε ἀνεύθυνος ὢν καὶ τῆς τιμωρίας ἀπηλλαγμένος τῆς ἐπὶ τούτοις, καθάπερ ὑπεύθυνος ὢν κολάσει καὶ τιμωρίᾳ, οὕτω δέδοικα καὶ τρέμω περὶ τῆς ὑμετέρας σωτηρίας.

Μηδεὶς τοίνυν ἁπλῶς μηδὲ ἠμελημένως ἀκουέτω τῶν λόγων τῶν πνευματικῶν· οὐδὲ γὰρ εἰκῇ καὶ μάτην μακρὰ ποιοῦμαι τὰ προοίμια, ἀλλ' ὥστε ἀσφαλεστέραν γίνεσθαι τῶν καταβαλλομένων τὴν φυλακήν, ὥστε μὴ μάτην μηδὲ ἁπλῶς κροτήσαντας καὶ θορυβήσαντας οἴκαδε ἀπελθεῖν. Οὐ γὰρ μέλει μοι τῶν παρ' ἡμῶν ἐπαίνων, ἀλλὰ φροντίζω τῆς ὑμετέρας σωτηρίας. Οἱ μὲν γὰρ ἐπὶ τῆς σκηνῆς ἀγωνιζόμενοι τὸν ὑπὲρ τούτου μισθὸν τὸν ἔπαινον παρὰ τοῦ δήμου λαμβάνουσιν· ἡμεῖς δὲ οὐκ ἐπὶ τούτοις ἀπεδυσάμεθα, ἀλλ' ἐπὶ τὸν παρὰ τοῦ Δεσπότου μισθὸν τὸν ἐπὶ τούτοις κείμενον λαβεῖν. Διὰ τοῦτο καὶ συνεχῶς ὑμῖν ταῦτα παρακελευόμεθα, ὥστε πρὸς τὸ βάθος τῆς διανοίας ὑμῶν καταβῆναι τὰ λεγόμενα. Καθάπερ γὰρ τῶν φυτῶν ὅσαπερ ἂν πρὸς τὸ βάθος παραπέμψῃ τὰς ρίζας, ἄσειστα γίνεται ταῖς τῶν ἀνέμων προσβολαῖς· οὕτω καὶ τῶν νοημάτων ὅσῳπερ ἂν ἐν τῷ βάθει μένῃ τῆς διανοίας, οὐ ρᾳδίως ὑπὸ τῆς τῶν πραγμάτων ἀνασπᾶται ἐπιβουλῆς.

Εἰπὲ γάρ μοι, ἀγαπητέ, εἰ λιμῷ τὸν παῖδα τηκόμενον εἶδες, ἆρα ἂν ἠνέσχου περιιδεῖν, ἀλλ' οὐχὶ πάντα ἂν ὑπέμεινας,

4. Α' Τιμ. 5,8.

5. Ματθ. 25,27.

πίστη καὶ εἶναι χειρότερος ἀπὸ τὸν ἄπιστο»[4]. Βλέπεις ποῦ χτύπησε ὁ Παῦλος ἐκείνους ποὺ ἀδιαφοροῦν γιὰ τοὺς συγγενεῖς τους; Καὶ πολὺ φυσικά· γιατὶ αὐτὸς ποὺ ἀδιαφορεῖ γιὰ τοὺς συγγενεῖς του, λέγει, πῶς θὰ φροντίσει γιὰ τοὺς ξένους; Ξέρω ὅτι αὐτὰ σᾶς τὰ συμβούλευσα πολλὲς φορές, ἀλλὰ καὶ δὲ θὰ σταματήσω ποτὲ νὰ τὰ συμβουλεύω, ἂν καὶ βέβαια στὸ ἑξῆς εἶμαι ἀνεύθυνος γιὰ τὴν ἀδιαφορία τῶν ἄλλων. «Ἔπρεπε», λέγει, «νὰ καταθέσεις ἐσὺ τὰ χρήματά μου στοὺς τραπεζίτες»[5] καὶ δὲ ζήτησε τίποτε περισσότερο. Ἐγὼ ὅμως καὶ τὰ χρήματα κατέθεσα καὶ δὲν ἔχω κανένα λόγο, ἀλλ' ὅμως ἂν καὶ εἶμαι βέβαια ἀνεύθυνος καὶ ἀπαλλαγμένος ἀπὸ τὴν τιμωρία γι' αὐτά, σὰν νὰ εἶμαι ὑπεύθυνος γιὰ ποινὴ καὶ τιμωρία, ἔτσι φοβᾶμαι καὶ τρέμω γιὰ τὴ δική σας σωτηρία.

Κανεὶς λοιπὸν ἂς μὴν ἀκούει ἐπιπόλαια καὶ ἀδιάφορα τὰ πνευματικὰ λόγια. Γιατὶ δὲν κάνω χωρὶς λόγο καὶ μάταια μεγάλη τὴν εἰσαγωγή, ἀλλὰ γιὰ νὰ γίνεται ἀσφαλέστερη ἡ φύλαξη τῶν λεγομένων, ὥστε νὰ μὴν ἐπιστρέψετε στὸ σπίτι σας ἀφοῦ χειροκροτήσατε καὶ ἐπευφημήσατε στὰ χαμένα καὶ ἄσκοπα. Γιατὶ δὲν μὲ ἐνδιαφέρουν οἱ ἔπαινοί σας, ἀλλὰ φροντίζω γιὰ τὴ δική σας σωτηρία. Γιατὶ ἐκεῖνοι ποὺ ἀγωνίζονται πάνω στὴ σκηνὴ παίρνουν τὸ μισθό τους γι' αὐτὸ τὸν ἔπαινο ἀπὸ τὸ λαό, ἐνῶ ἐμεῖς δὲν ἀγωνισθήκαμε γι' αὐτό, ἀλλὰ γιὰ νὰ λάβουμε τὸ μισθὸ ποὺ ἀπὸ τὸν Κύριο ἔχει ὁρισθεῖ γι' αὐτά. Γι' αὐτὸ καὶ συνεχῶς σᾶς παραγγέλλουμε αὐτά, ὥστε νὰ κατεβοῦν τὰ λεγόμενα στὸ βάθος τοῦ νοῦ σας. Γιατὶ ὅπως ἀκριβῶς στὰ φυτά, ὅσα ἀπ' αὐτὰ κατευθύνουν τὶς ρίζες τους σὲ βάθος γίνονται ἀκλόνητα στὶς ἐπιθέσεις τῶν ἀνέμων, ἔτσι καὶ μὲ τὰ νοήματα, ὅποιο μένει στὸ βάθος τοῦ νοῦ δὲν ξερριζώνεται εὔκολα ἀπὸ τὴν ἐπιβουλὴ τῶν περιστάσεων.

Γιατὶ πές μου, ἀγαπητέ, ἂν ἔβλεπες τὸ παιδί σου νὰ λειώνει ἀπὸ τὴν πείνα, ἄραγε θὰ ἀνεχόσουν νὰ τὸ παραβλέψεις, καὶ

ὥστε λῦσαι αὐτοῦ τὸν λιμόν; Εἶτα λιμῷ μὲν ἄρτου διαφθειρόμενον οὐκ ἂν περιεῖδες, λιμῷ δὲ θείας διδασκαλίας ἀπολλύμενον ἀνέχῃ περιορᾶν; Καὶ πῶς ἄξιος ἂν ᾖς καλεῖσθαι πατήρ; Καὶ γὰρ οὗτος ὁ λιμὸς ἐκείνου χαλεπώτερος, ὅσῳ καὶ πρὸς μείζονα τελευτᾷ θάνατον, ὅθεν καὶ πλείονα ἐνταῦθα ποιεῖσθαι χρὴ τὴν σπουδήν. «Ἐκτρέφετε γάρ», φησί, «τὰ τέκνα ὑμῶν ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου». Αὕτη καλλίστη πατέρων ἐπιμέλεια, αὕτη γνησία κηδεμονία γεγεννηκότων· οὕτω γὰρ ἐγὼ ἐπιγινώσκω τῆς φύσεως τὴν συγγένειαν, ἐὰν ἐν τοῖς πνευματικοῖς πλείονα ἐπιδείξωνται τὴν σπουδήν.

Ἀλλὰ τῶν μὲν προοιμίων ἀρκετὸς ὁ λόγος· ἀνάγκη δὲ λοιπὸν καταβαλεῖν καὶ τὸ χρέος· διὰ γὰρ τοῦτο τὸν μακρὸν καὶ πολὺν τοῦτον ὑμῖν ἀπεμήκυνα λόγον, ἵνα μετὰ πάσης ὑποδέξησθε τὸ καταβαλλόμενον φυλακῆς. Τί οὖν τὸ ὄφλημα, ὅπερ ἀνεχωρήσαμεν ὀφείλοντες πρώην; ἢ καὶ τοῦτο τάχα ἐπιλέλησθε; Οὐκοῦν ἀνάγκη παρ' ἡμῶν ὑμᾶς ὑπομνησθῆναι, καὶ πρότερον ἀναγνῶναι τὸ γραμματεῖον, δι' οὗ καὶ τὴν προτέραν καταβολὴν ἐποιησάμεθα, καὶ τίνα ἦν τὰ καταβληθέντα εἰπεῖν, ἵνα ἴδωμεν ἐκ τῶν καταβληθέντων τὰ λειπόμενα. Τίνα οὖν ἐστι τὰ καταβληθέντα πρότερον; Εἶπον ἐκεῖ τίς ἦν ὁ τὸ βιβλίον γράψας τῶν Πράξεων, καὶ τίς ὁ πατὴρ τοῦ λόγου τούτου· μᾶλλον δὲ οὐχ ὁ πατὴρ τοῦ λόγου, ἀλλ' ὁ διάκονος· οὐ γὰρ αὐτὸς ἔτεκε τὰ εἰρημένα, ἀλλ' αὐτὸς διηκόνησε τοῖς εἰρημένοις.

Εἶπον περὶ τῶν Πράξεων αὐτῶν, καὶ τί ποτε' οὖν βούλεται ἐνδείξασθαι τὸ τῶν Πράξεων ὄνομα· εἶπον καὶ περὶ τῆς τῶν ἀποστόλων προσηγορίας. Ἀνάγκη λοιπὸν εἰπεῖν, τίνος ἕνεκεν οἱ Πατέρες ἡμῶν ἐν τῇ Πεντηκοστῇ τὸ βιβλίον τῶν Πράξεων ἀναγινώσκεσθαι ἐνομοθέτησαν. Τάχα γὰρ μέμνησθε ὅτι καὶ

6. Ἐφ. 6,4.

δὲ θὰ ὑπέμενες τὰ πάντα ὥστε νὰ θέσεις τέρμα στὴν πείνα του; Ὥστε, βλέποντάς το νὰ καταστρέφεται ἀπὸ ἔλλειψη τροφῆς δὲ θὰ τὸ παρέβλεπες, τώρα ὅμως ποὺ καταστρέφεται ἀπὸ ἔλλειψη θείας διδασκαλίας ἀνέχεσαι νὰ τὸ παραβλέπεις; Καὶ πῶς θὰ ἤσουν ἄξιος νὰ ὀνομάζεσαι πατέρας; Γιατὶ πραγματικὰ αὐτὴ ἡ πείνα εἶναι πιὸ φοβερὴ ἀπὸ ἐκείνη, ἀφοῦ καταλήγει καὶ σὲ μεγαλύτερο θάνατο, καὶ γι' αὐτὸ πρέπει ἐδῶ νὰ φροντίζουμε περισσότερο. «Ἀνατρέφετε», λέγει, «τὰ παιδιά σας μὲ τὴν παιδεία καὶ τὴ νουθεσία τοῦ Κυρίου»[6]. Αὐτὴ εἶναι ἡ πιὸ καλὴ φροντίδα τῶν πατέρων, αὐτὴ εἶναι ἡ γνήσια κηδεμονία τῶν γονέων. Γιατὶ ἐγὼ ἔτσι καταλαβαίνω τὴ συγγένεια τῆς φύσης, ἂν στὰ πνευματικὰ δείξουν μεγαλύτερη φροντίδα.

Ἀλλὰ σὰν εἰσαγωγὴ εἶναι ἀρκετὰ αὐτὰ τὰ λόγια· εἶναι ὅμως ἀνάγκη στὴ συνέχεια νὰ πληρώσω καὶ τὸ χρέος. Καὶ γι' αὐτὸ σᾶς μίλησα μὲ τόσο πολλὰ λόγια, γιὰ νὰ δεχθεῖτε μὲ κάθε ἀσφάλεια τὴν πληρωμή. Ποιό λοιπὸν εἶναι τὸ χρέος ποὺ σᾶς ὄφειλα μετὰ τὴν τελευταία ἀναχώρησή μου; Ἢ μήπως τὸ ἔχετε ξεχάσει καὶ αὐτό; Λοιπὸν εἶναι ἀνάγκη νὰ σᾶς τὸ θυμίσω ἐγώ, καὶ πρῶτα νὰ διαβάσω τὸ συμβόλαιο, μὲ τὸ ὁποῖο ἔκανα καὶ τὴν προηγούμενη πληρωμή, καὶ νὰ πῶ ποιά πληρώθηκαν, γιὰ νὰ δοῦμε τὰ ὑπόλοιπα ἀπ' αὐτὰ ποὺ πληρώθηκαν. Ποιά λοιπὸν εἶναι αὐτὰ ποὺ πληρώθηκαν σὲ προηγούμενες ὁμιλίες; Εἶπα ἐκεῖ ποιός ἦταν ὁ συγγραφέας τοῦ βιβλίου τῶν Πράξεων καὶ ποιός ὁ πατέρας τοῦ λόγου αὐτοῦ· ἢ καλύτερα, ὄχι ὁ πατέρας τοῦ λόγου, ἀλλὰ ὁ ὑπηρέτης, γιατὶ αὐτὸς δὲ γέννησε ὅσα λέχθηκαν, ἀλλὰ τὰ ὑπηρέτησε.

Εἶπα γιὰ τὸ βιβλίο τῶν Πράξεων καὶ τί τέλος πάντων θέλει νὰ φανερώσει τὸ ὄνομα τῶν Πράξεων· εἶπα καὶ γιὰ τὸ ὄνομα τῶν ἀποστόλων. Εἶναι ἀνάγκη νὰ πῶ στὴ συνέχεια γιὰ ποιό λόγο οἱ Πατέρες μας καθόρισαν νὰ διαβάζεται τὸ βιβλίο τῶν Πράξεων τὴν περίοδο τῆς Πεντηκοστῆς. Γιατὶ ἴσως θυμᾶστε

τοῦτο τότε ὑπεσχόμεθα ἐρεῖν. Οὐ γὰρ ἁπλῶς οὐδὲ εἰκῇ τοὺς καιροὺς ἡμῖν τούτους παρετήρησαν οἱ Πατέρες, ἀλλὰ μετά τινος λόγου σοφοῦ πεποιήκασι τοῦτο· οὐχ ἵνα ὑπὸ ἀνάγκην καιρῶν τὴν ἐλευθερίαν ἡμῖν ὑποβάλωσιν, ἀλλ' ἵνα τῇ τῶν ἀσθενεστέρων πτωχείᾳ συγκαταβάντες, ἐπὶ τὸν πλοῦτον τῆς γνώσεως αὐτοὺς ἀναγάγουσι. Καὶ ὅτι διὰ τοῦτο παρατηροῦσι καιρούς, οὐχ ἑαυτοὺς τῇ ἀνάγκῃ τῆς παρατηρήσεως ὑποβάλλοντες, ἀλλὰ τοῖς ἀσθενεστέροις συγκατιέναι σπουδάζοντες, ἄκουσον τί φησιν ὁ Παῦλος· «ἡμέρας παρατηρεῖτε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς; Φοβοῦμαι μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς».

Σὺ δὲ οὐ παρατηρεῖς ἡμέρας καὶ καιροὺς καὶ ἐνιαυτούς; Τί οὖν; εἰ ἴδωμεν τὸν κωλύοντα παρατηρεῖν ἡμέρας καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτοὺς παρατηροῦντα ταῦτα, τί ἐροῦμεν, εἰπέ μοι; ὅτι μάχεται ἑαυτῷ καὶ φιλονεικεῖ; Μὴ γένοιτο! ἀλλ' ὅτι τῶν παρατηρούντων τοὺς καιροὺς τὴν ἀσθένειαν ἀνελεῖν βουλόμενος συγκαταβαίνει διὰ τῆς παρατηρήσεως πρὸς ἐκείνους. Οὕτω καὶ ἰατροὶ ποιοῦσι, τῶν σιτίων τῶν διδομένων τοῖς νοσοῦσιν ἀπογεύονται πρότερον, οὐκ αὐτοὶ δεόμενοι τῶν σιτίων, ἀλλὰ τὴν ἐκείνων ἀσθένειαν διορθῶσαι σπουδάζοντες. Οὕτω καὶ ὁ Παῦλος ἐποίησεν· οὐδὲν δεόμενος τῆς παρατηρήσεως τῶν καιρῶν, τοὺς καιροὺς ἐτήρησεν, ἵνα τοὺς παρατηροῦντας ἀπαλλάξῃ τῆς ἀσθενείας τῆς κατὰ τὴν παρατήρησιν. Καὶ ποῦ παρετήρησε καιροὺς ὁ Παῦλος; Προσέχετε μετὰ ἀκριβείας, παρακαλῶ. «Τῇ δὲ ἐπιούσῃ», φησί, «κατεπλεύσαμεν εἰς Μίλητον. Κεκρίκει γὰρ ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ. Ἔσπευδε γάρ, εἰ δυνατὸν ἦν αὐτῷ, τὴν

---

7. Γαλ. 4,10.

ὅτι ὑποσχέθηκα τότε νὰ σᾶς πῶ καὶ αὐτό. Γιατὶ οἱ Πατέρες δὲ μᾶς ξεχώρισαν τυχαῖα καὶ ἄσκοπα τοὺς καιροὺς αὐτούς, ἀλλὰ τὸ ἔκαμαν αὐτὸ μὲ κάποιο σοφὸ λόγο. Ὄχι γιὰ νὰ θέσουν τὴν ἐλευθερία μας κάτω ἀπὸ τὸν ἐξαναγκασμὸ τῶν καιρῶν, ἀλλά, συγκαταβαίνοντας πρὸς τὴ φτώχεια τῶν πνευματικὰ ἀσθενέστερων ἀδελφῶν, νὰ τοὺς ὁδηγήσουν στὸν πλοῦτο τῆς γνώσης. Καὶ ὅτι γι' αὐτὸ διακρίνουν τοὺς καιρούς, ὄχι γιατὶ θέτουν τὸν ἑαυτό τους κάτω ἀπὸ τὸν ἐξαναγκασμὸ τῆς διάκρισης τῶν ἡμερῶν, ἀλλὰ θέλοντας νὰ δείξουν συγκατάβαση πρὸς τοὺς ἀσθενέστερους ἀδελφούς, ἄκουσε τί λέγει ὁ Παῦλος· «φυλάγετε κάποιες ἡμέρες καὶ μῆνες καὶ ἐποχὲς καὶ χρόνια; Φοβᾶμαι μήπως μάταια κόπιασα γιὰ σᾶς»[7].

Ἐσὺ ὅμως δὲ φυλάγεις ἡμέρες καὶ ἐποχὲς καὶ χρόνια; Τί λοιπόν; Ἂν δοῦμε αὐτὸν ποὺ μᾶς ἐμποδίζει νὰ διακρίνουμε ἡμέρες καὶ μῆνες καὶ ἐποχὲς καὶ χρόνια νὰ δίνει ξεχωριστὴ σημασία σ' αὐτά, πές μου, τί θὰ ποῦμε; Ὅτι συγκρούεται καὶ ἀντιδικεῖ μὲ τὸν ἑαυτό του; Μακριὰ μιὰ τέτοια σκέψη! Ἀλλ' ἐπειδὴ θέλει νὰ ἐξαλείψει τὴν ἀδυναμία ἐκείνων ποὺ διακρίνουν τοὺς καιρούς, συγκαταβαίνει πρὸς αὐτοὺς μὲ τὴ διάκριση. Ἔτσι κάνουν καὶ οἱ ἰατροί, γεύονται προηγουμένως τὰ φαγητὰ ποὺ δίνονται στοὺς ἀρρώστους, ὄχι γιατὶ αὐτοὶ ἔχουν ἀνάγκη ἀπὸ φαγητά, ἀλλὰ γιατὶ προσπαθοῦν νὰ θεραπεύσουν τὴν ἀρρώστια ἐκείνων. Ἔτσι ἔκαμε καὶ ὁ Παῦλος. Ἂν καὶ δὲν εἶχε καθόλου ἀνάγκη ἀπὸ τὴ διάκριση τῶν καιρῶν, φύλαξε τὴ διάκριση τῶν καιρῶν, γιὰ ν' ἀπαλλάξει ὅσους διακρίνουν αὐτοὺς ἀπὸ τὴν ἀσθένεια τῆς διάκρισης αὐτῆς. Καὶ ποῦ ἔκαμε διάκριση καιρῶν ὁ Παῦλος; Συγκεντρῶστε ὅλη σας τὴν προσοχή, παρακαλῶ. «Τὴν ἑπόμενη ἡμέρα», λέγει, «φθάσαμε στὴ Μίλητο. Γιατὶ ὁ Παῦλος εἶχε ἀποφασίσει νὰ παρακάμψει τὴν Ἔφεσο, γιὰ νὰ μὴ συμβεῖ καὶ χρονοτριβήσει στὴν Ἀσία. Γιατὶ βιαζόταν νὰ εἶναι στὰ Ἱεροσόλυμα, ἂν τοῦ ἦταν δυνατό, τὴν ἡμέρα τῆς

ἡμέραν τῆς Πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα». Εἶδες πῶς ὁ λέγων, «ἡμέρας μὴ παρατηρεῖσθε καὶ μῆνας καὶ καιρούς», τὴν ἡμέραν τῆς Πεντηκοστῆς παρετήρει;

Καὶ οὐ μόνον ἡμέραν παρετήρει, ἀλλὰ καὶ τόπον· οὐ γὰρ μόνον τὴν ἡμέραν τῆς Πεντηκοστῆς ἔσπευδε ποιῆσαι, ἀλλὰ καὶ ἐν Ἱεροσολύμοις αὐτὴν ἐπιτελέσαι. Τί τοῦτο ποιεῖς, ὦ μακάριε Παῦλε; Τὰ Ἱεροσόλυμα κατελύθη, ἠρημώθη τὰ Ἅγια τῶν ἁγίων, τῇ τοῦ Θεοῦ ψήφῳ, ἡ πολιτεία ἡ προτέρα ἐλύθη. Σὺ πρὸς Γαλάτας βοᾷς λέγων· «οἱ ἐν νόμῳ δικαιοῦσθαι προσδοκῶντες, τῆς χάριτος ἐξεπέσατε»· καὶ τί πάλιν ἡμᾶς πρὸς τὴν δουλείαν ἄγεις τοῦ νόμου; Οὐκ ἔστι μικρὸν τὸ κινούμενον, μαθεῖν εἰ μάχεται ἑαυτῷ ὁ Παῦλος. Οὐδὲ γὰρ ἡμέρας μόνον παρατηρεῖ ὁ Παῦλος, ἀλλὰ καὶ ἄλλα φυλάττει νομικὰ παραγγέλματα, καὶ βοᾷ λέγων τοῖς Γαλάταις· «ἰδοὺ ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει».

Οὗτος τοίνυν ὁ Παῦλος, ὁ λέγων ὅτι «ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει», φαίνεται ὁ Παῦλος ἐν Λύστροις τινὰ νεανίαν, υἱὸν Ἰουδαίας γυναικὸς πιστῆς, πατρὸς δὲ Ἕλληνος, περιέτεμεν αὐτόν· οὐκ ἐβούλετο γὰρ ἀκρόβυστον πέμπειν διδάσκαλον. Τί τοῦτο ποιεῖς, ὦ μακάριε Παῦλε; ἀναιρεῖς τῷ λόγῳ τὴν περιτομήν, καὶ βεβαιοῖς τῷ ἔργῳ πάλιν; Οὐ βεβαιῶ, φησίν, ἀλλ' ἀναιρῶ διὰ τῶν ἔργων. Καὶ γὰρ υἱὸς γυναικὸς ἦν Ἰουδαίας πιστῆς ὁ Τιμόθεος, πατρὸς δὲ Ἕλληνος, ἀκροβύστου δὲ γένους. Ἐπεὶ οὖν ἔμελλεν αὐτὸν ὁ Παῦλος προπέμπειν τοῖς Ἰουδαίοις διδάσκαλον, οὐκ ἐβούλετο δὲ ἀκρόβυστον πέμψαι, ἵνα μὴ εὐθέως ἀπὸ τῶν προοιμίων ἀποκλείσῃ τὰς θύρας τῷ λόγῳ. Προοδοποιῶν τοίνυν τῇ ἀναιρέσει τῆς περιτομῆς, καὶ ἀνοίγων

8. Πράξ. 20,15. 16.
9. Γαλ. 5,4.
10. Γαλ. 5,2.
11. Βλ. Πράξ. 16,1–3.

Πεντηκοστῆς»[8]. Εἶδες πῶς ἐκεῖνος ποὺ ἔλεγε, «μὴ διακρίνετε ἡμέρες καὶ μῆνες καὶ ἐποχές», ἔδινε ξεχωριστὴ σημασία στὴν ἡμέρα τῆς Πεντηκοστῆς;

4. Καὶ ὄχι μόνο τὴν ἡμέρα ξεχώριζε, ἀλλὰ καὶ τὸν τόπο. Γιατὶ ὄχι μόνο τὴν ἡμέρα τῆς Πεντηκοστῆς βιαζόταν νὰ ἑορτάσει, ἀλλὰ καὶ νὰ τὴν ἑορτάσει στὰ Ἱεροσόλυμα. Γιατὶ τὸ κάνεις αὐτό, μακάριε Παῦλε; Τὰ Ἱεροσόλυμα καταργήθηκαν, ἐρημώθηκαν τὰ Ἅγια τῶν ἁγίων μὲ τὴν ἀπόφαση τοῦ Θεοῦ, καταργήθηκε ὁ προηγούμενος τρόπος ζωῆς. Ἐσὺ φωνάζεις πρὸς τοὺς Γαλάτες λέγοντας, «ὅσοι περιμένετε νὰ βρεῖτε τὴ σωτηρία στὸ νόμο ξεπέσατε ἀπὸ τὴ χάρη»[9], καὶ γιατί πάλι μᾶς ὁδηγεῖς στὴ δουλεία τοῦ νόμου; Δὲν εἶναι μικρὸ τὸ ζητούμενο, νὰ μάθουμε δηλαδὴ ἂν ὁ Παῦλος συγκρούεται μὲ τὸν ἑαυτό του. Γιατὶ ὁ Παῦλος δὲν διακρίνει μόνο ἡμέρες, ἀλλὰ τηρεῖ καὶ ἄλλα παραγγέλματα τοῦ νόμου καὶ φωνάζει στοὺς Γαλάτες λέγοντας· «νά, ἐγὼ ὁ Παῦλος σᾶς λέγω πώς, ἂν περιτέμνεστε, ὁ Χριστὸς δὲ θὰ σᾶς ὠφελήσει σὲ τίποτε»[10].

Ὁ ἴδιος λοιπὸν ὁ Παῦλος ποὺ λέγει, «ἂν περιτέμνεστε, ὁ Χριστὸς δὲ θὰ σᾶς ὠφελήσει σὲ τίποτε», παρουσιάζεται νὰ περιτέμνει ὁ ἴδιος τὸν Τιμόθεο. Γιατί, ὅταν βρῆκε, λέγει, ὁ Παῦλος στὰ Λύστρα κάποιο νέο, ἀπὸ μητέρα Ἰουδαία ποὺ εἶχε πιστέψει καὶ ἀπὸ πατέρα Ἕλληνα, τὸν περιέτεμε, γιατὶ δὲν ἤθελε νὰ τὸν στείλει ἀπερίτμητο δάσκαλο[11]. Γιατί τὸ κάνεις αὐτό, μακάριε Παῦλε; Καταργεῖς μὲ τὸ λόγο τὴν περιτομὴ καὶ τὴν ἐπιβεβαιώνεις πάλι μὲ τὴν πράξη; Δὲν τὴν ἐπιβεβαιώνω, λέγει, ἀλλὰ τὴν καταργῶ μὲ τὰ ἔργα. Γιατὶ ὁ Τιμόθεος καταγόταν ἀπὸ μητέρα Ἰουδαία, ποὺ εἶχε πιστέψει, καὶ ἀπὸ πατέρα Ἕλληνα, ποὺ ἦταν ἀπὸ ἀπερίτμητο γένος. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο νὰ τὸν στείλει ὁ Παῦλος δάσκαλο στοὺς Ἰουδαίους, δὲν ἤθελε νὰ τὸν στείλει ἀπερίτμητο, γιὰ νὰ μὴν κλείσει ἀμέσως ἀπὸ τὴν ἀρχὴ τὶς πόρτες στὸ κήρυγμα. Προετοιμάζοντας λοιπὸν τὸ ἔδα-

ὁδὸν τῇ διδασκαλίᾳ τοῦ Τιμοθέου, περιέθηκεν αὐτῷ περιτομήν, ἵνα ἀνέλῃ περιτομήν. Διὰ τοῦτό φησιν, «ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος»· οὐχ ἵνα Ἰουδαῖος γένηται, τοῦτο εἴρηκεν ὁ Παῦλος, ἀλλ' ἵνα τοὺς μένοντας Ἰουδαίους πείσῃ μηκέτι εἶναι Ἰουδαίους· διὰ τοῦτο καὶ τοῦτον περιέτεμεν, ἵνα ἀνέλῃ τὴν περιτομήν.

Τῇ περιτομῇ τοίνυν κατὰ τῆς περιτομῆς ἐχρήσατο. Ἔλαβε γὰρ περιτομὴν καὶ ὁ Τιμόθεος, ἵνα ἐλθὼν κατὰ μιρκὸν ἐξελκύσῃ ταύτης αὐτοὺς τῆς παρατηρήσεως. Εἶδες τίνος ἕνεκεν καὶ Πεντηκοστὴν καὶ περιτομὴν ἐτήρησεν ὁ Παῦλος; Βούλεσθε καὶ ἄλλα ὑμῖν ἀποδείξω νόμιμα τηροῦντα αὐτόν; Προσέχετε ἀκριβῶς. Ἀνῆλθέ ποτε εἰς Ἱεροσόλυμα, καὶ ἰδόντες αὐτὸν οἱ ἀπόστολοι ἔλεγον αὐτῷ· «θεωρεῖς, ἀδελφὲ Παῦλε, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν συνεληλυθότων, καὶ οὗτοι πάντες κατήχηνται περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις. Τί οὖν; Ποίησον ὅ σοι λέγομεν. Εἰσὶ παρ' ἡμῖν ἄνδρες εὐχὴν ἔχοντες ἐν ἑαυτοῖς· τούτους λαβὼν ἁγνίσθητι σὺν αὐτοῖς, καὶ ξύρησαι τὴν κεφαλὴν μετ' αὐτῶν, ἵνα ἔργῳ πιστωθῶσιν, ὅτι ὧν κατήχηνται περὶ σοῦ οὐδέν ἐστιν, ἀλλὰ τηρεῖς καὶ αὐτὸς τὸν νόμον τοῦ Μωϋσέως».

Εἴδετε συγκατάβασιν θαυμασίαν; Καιροὺς παρατηρεῖ, ἵνα ἀνέλῃ καιρῶν παρατήρησιν· περιτομὴν περιτίθησιν, ἵνα παύσῃ περιτομήν· θυσίαν προσάγει, ἵνα καθέλῃ τὴν παρατήρησιν τῶν θυσιῶν. Καὶ ὅτι διὰ τοῦτο ταῦτα ἐποίει, ἄκουσον αὐτοῦ λέγοντος· «ἐγενόμην τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω, καὶ ἐλεύθερος ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν

---

12. Α' Κορ. 9,20.
13. Πράξ. 21,20–24.
14. Α' Κορ. 9,20. 19.

φος γιὰ τὴν κατάργηση τῆς περιτομῆς καὶ ἀνοίγοντας τὸ δρόμο στὴ διδασκαλία τοῦ Τιμοθέου, τὸν περιέτεμε, γιὰ νὰ καταργήσει τὴν περιτομή. Γι' αὐτὸ λέγει, «ἔγινα στοὺς Ἰουδαίους σὰν Ἰουδαῖος»[12]. Ὄχι γιὰ νὰ γίνει Ἰουδαῖος, εἶπε αὐτὸ ὁ Παῦλος, ἀλλὰ γιὰ νὰ πείσει ἐκείνους ποὺ παρέμεναν Ἰουδαῖοι νὰ μὴ συμπεριφέρονται πιὰ σὰν Ἰουδαῖοι. Γι' αὐτὸ περιέτεμε τὸν Τιμόθεο, γιὰ νὰ καταργήσει τὴν περιτομή.

Τὴν περιτομὴ λοιπὸν χρησιμοποίησε ἐναντίον τῆς περιτομῆς. Γιατὶ καὶ ὁ Τιμόθεος δέχθηκε τὴν περιτομή, γιὰ νὰ μπορέσει νὰ γίνει δεκτὸς ἀπὸ τοὺς Ἰουδαίους καὶ εἰσχωρώντας σ' αὐτοὺς νὰ τοὺς ἀπομακρύνει ἀπ' αὐτὴ τὴ διάκριση. Εἶδες γιὰ ποιό λόγο ὁ Παῦλος τήρησε καὶ τὴν Πεντηκοστὴ καὶ τὴν περιτομή; Θέλετε νὰ σᾶς δείξω ὅτι τηρεῖ καὶ ἄλλες ἐντολὲς τοῦ νόμου; Προσέχετε καλά. Ἀνέβηκε κάποτε στὰ Ἱεροσόλυμα καὶ ὅταν τὸν εἶδαν οἱ ἀπόστολοι τοῦ ἔλεγαν· «βλέπεις, ἀδελφὲ Παῦλε, πόσες χιλιάδες Ἰουδαῖοι ὑπάρχουν ποὺ ἔγιναν Χριστιανοί, καὶ ὅλοι αὐτοὶ πληροφορήθηκαν γιὰ σένα ὅτι διδάσκεις τὴν ἀποστασία ἀπὸ τὸ Μωυσῆ. Τί λοιπόν; Κάνε αὐτὸ ποὺ σοῦ λέμε. Ὑπάρχουν μεταξύ μας ἄνδρες ποὺ ἔχουν κάνει τάξιμο στὸν ἑαυτό τους. Πάρε τους μαζί σου, κάνε τὶς τελετὲς τοῦ καθαρισμοῦ μαζί τους καὶ ξύρισε τὸ κεφάλι σου μαζὶ μ' αὐτούς, γιὰ νὰ πιστέψουν μὲ ἔργο ὅτι ἀπ' ὅσα ἔχουν πληροφορηθεῖ γιὰ σένα τίποτε δὲ στέκει, ἀλλ' ὅτι καὶ σὺ τηρεῖς τὸ νόμο τοῦ Μωϋσῆ»[13].

Εἴδατε θαυμάσια συγκατάβαση; Διακρίνει καιροὺς γιὰ νὰ καταργήσει τὴ διάκριση τῶν καιρῶν. Κάνει περιτομή, γιὰ νὰ σταματήσει τὴν περιτομή. Προσφέρει θυσία, γιὰ νὰ καταργήσει τὴν τήρηση τῶν θυσιῶν. Καὶ ὅτι γι' αὐτὸ τὰ ἔκανε αὐτά, ἄκουσε τὸν ἴδιο ποὺ λέγει· «σ' ἐκείνους ποὺ ἦταν κάτω ἀπὸ τὴν ἐξουσία τοῦ νόμου συμπεριφέρθηκα καὶ ἐγὼ σὰν νὰ ἤμουν κάτω ἀπὸ τὸ νόμο, γιὰ νὰ τοὺς κερδίσω, καὶ μολονότι εἶμαι ἐλεύθερος ἀπ' ὅλους ἔκαμα τὸν ἑαυτό μου δοῦλο σὲ ὅλους»[14].

ἐδούλωσα». Ἐποίει δὲ ταῦτα ὁ Παῦλος μιμούμενος τὸν ἑαυτοῦ Δεσπότην. Καθάπερ γὰρ αὐτὸς «ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, καὶ ἐλεύθερος ὢν δοῦλος γέγονεν»· οὕτω καὶ οὗτος ἐλεύθερος ὢν ἐκ πάντων πᾶσιν ἑαυτὸν ἐδούλωσεν, ὥστε πάντας κερδᾶναι. Δοῦλος ἐγένετο τὴν φύσιν τὴν ὑμετέραν ἀναλαβὼν ὁ Δεσπότης, ἵνα τοὺς δούλους ἐλευθέρους ποιήσῃ· «ἔκλινεν οὐρανούς, καὶ κατέβη», ἵνα τοὺς κάτω μένοντας ἀναγάγῃ εἰς οὐρανόν. «Ἔκλινεν οὐρανούς»· οὐκ εἶπε· 'κατέλιπεν οὐρανούς', καὶ κατέβη, ἀλλ' «ἔκλινεν», εὐκολωτέραν σοι τὴν ἄνοδον ποιῶν τὴν εἰς τοὺς οὐρανούς. Τοῦτον καὶ ὁ Παῦλος ἐμιμήσατο κατὰ δύναμιν, διὸ καὶ ἔλεγε· «μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ».

Καὶ πῶς σύ, ὦ μακάριε Παῦλε, τοῦ Χριστοῦ ἐγένου μιμητής; Πῶς; Ἐπειδὴ οὐδαμοῦ ζητῶ τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ὅπως σωθῶσι, καὶ ἐλεύθερος ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα. Οὐδὲν τοίνυν ταύτης τῆς δουλείας βέλτιον, ἐλευθερίας γὰρ ἑτέροις αἰτία γίνεται. Ἁλιεὺς ἦν πνευματικὸς ὁ Παῦλος· «ποιήσω γὰρ ὑμᾶς», φησίν, «ἁλιεῖς ἀνθρώπων»· διὰ τοῦτο καὶ ταῦτα ἐποίει. Καὶ γὰρ καὶ οἱ ἁλιεῖς, ἐπειδὰν ἴδωσι τὸν ἰχθὺν καταπιόντα τὸ ἄγκιστρον, οὐκ εὐθέως ἀνθέλκουσιν, ἀλλ' ἐνδιδόντες μέχρι πολλοῦ διαστήματος ἀκολουθοῦσιν ἀναμένοντες ἐμπαγῆναι τὸ ἄγκιστρον καλῶς, ἵνα οὕτω μετὰ ἀσφαλείας τὴν θήραν ἑλκύσωσιν.

Οὕτω καὶ οἱ ἀπόστολοι τότε ἐποίουν· ἐνέβαλλον τὸ ἄγκιστρον τῆς διδασκαλίας τοῦ λόγου ψυχῇ τῇ ἰουδαϊκῇ, οἱ δὲ ἀνθεῖλκον εἰκῇ, καὶ κατέσχον εἰς περιτομὴν ἑαυτοὺς ἄγοντες, εἰς ἑορτάς, εἰς καιρῶν παρατήρησιν, εἰς θυσίας, εἰς τὸ ξυρᾶσθαι καὶ

15. Φιλιπ. 2,6–7.
16. Ψαλμ. 17,10.
17. Α' Κορ. 11,1.
18. Α' Κορ. 10,33.
19. Ματθ. 4,19.

Καὶ τὰ ἔκαμνε αὐτὰ ὁ Παῦλος μιμούμενος τὸν Κύριό του. Γιατί, ὅπως ἀκριβῶς αὐτός, «ἂν καὶ ἦταν Θεός, δὲ θεώρησε τὴν ἰσότητά του μὲ τὸ Θεὸ ἀποτέλεσμα ἁρπαγῆς, ἀλλὰ ἀπαρνήθηκε τὸν ἑαυτό του, πῆρε μορφὴ δούλου καὶ παρ' ὅλο ποὺ ἦταν ἐλεύθερος ἔγινε δοῦλος»[15], ἔτσι καὶ ὁ Παῦλος· μολονότι ἦταν ἐλεύθερος ἀπ' ὅλους, ἔκαμε τὸν ἑαυτό του δοῦλο σὲ ὅλους, γιὰ νὰ τοὺς κερδίσει ὅλους. Δοῦλος ἔγινε ὁ Κύριος παίρνοντας τὴ δική μας φύση, γιὰ νὰ ἐλευθερώσει τοὺς δούλους. «Χαμήλωσε τοὺς οὐρανοὺς καὶ κατέβηκε στὴ γῆ»[16], γιὰ νὰ ἀνεβάσει στὸν οὐρανὸ τοὺς ἀνθρώπους ποὺ μένουν στὴ γῆ. «Χαμήλωσε τοὺς οὐρανούς». Δὲν εἶπε, 'ἄφησε τοὺς οὐρανοὺς καὶ κατέβηκε', ἀλλὰ «χαμήλωσε», γιὰ νὰ κάνει πιὸ εὔκολη σὲ σένα τὴν ἄνοδο στοὺς οὐρανούς. Αὐτὸν μιμήθηκε καὶ ὁ Παῦλος ὅσο μποροῦσε, γι'αὐτὸ καὶ ἔλεγε· «μιμητές μου γίνεστε, ὅπως εἶμαι καὶ ἐγὼ μιμητὴς τοῦ Χριστοῦ»[17].

Καὶ πῶς ἐσύ, μακάριε Παῦλε, ἔγινες μιμητὴς τοῦ Χριστοῦ; Πῶς; Ἐπειδὴ δὲ ζητῶ πουθενὰ τὸ δικό μου συμφέρον, ἀλλὰ τὸ συμφέρον τῶν πολλῶν γιὰ νὰ σωθοῦν[18]· καὶ μολονότι ἤμουν ἐλεύθερος ἀπ' ὅλους ἔκαμα τὸν ἑαυτό μου δοῦλο σὲ ὅλους. Τίποτε λοιπὸν δὲν εἶναι καλύτερο ἀπ' αὐτὴ τὴ δουλεία, γιατὶ γίνεται αἰτία ἐλευθερίας σὲ ἄλλους. Ἦταν πνευματικὸς ψαρὰς ὁ Παῦλος –γιατὶ λέγει, «θὰ σᾶς κάνω ψαράδες ἀνθρώπων»[19]– καὶ γι' αὐτὸ τὰ ἔκαμνε αὐτά. Γιατὶ πραγματικὰ καὶ οἱ ψαράδες ὅταν δοῦν ὅτι τὸ ψάρι κατάπιε τὸ ἀγκίστρι δὲν τὸ τραβοῦν ἀμέσως, ἀλλὰ χαλαρώνουν τὸ ἀγκίστρι καὶ τὸ ἀκολουθοῦν γιὰ μεγάλο διάστημα, περιμένοντας νὰ καρφωθεῖ καλά, ὥστε νὰ τραβήξουν ἔτσι μὲ ἀσφάλεια τὸ ψάρι.

Ἔτσι ἔκαμναν καὶ οἱ ἀπόστολοι τότε. Ἄφηναν νὰ πέσει τὸ ἀγκρίστρι τῆς διδασκαλίας τοῦ λόγου στὴν ψυχὴ τῶν Ἰουδαίων, καὶ αὐτοὶ μάταια ἀντιστέκονταν καὶ ἐξακολουθοῦσαν νὰ τηροῦν τὴν περιτομή, τὶς ἑορτές, τὴ διάκριση τῶν καιρῶν, τὶς

ἕτερα τοιαῦτα ποιεῖν· οἱ δὲ ἀπόστολοι πανταχοῦ ἠκολούθουν αὐτοῖς, καὶ οὐκ ἀνθεῖλκον· ὥστε κἂν περιτομὴν ζητῇς, φησίν, οὐκ ἀντιτείνω, ἀλλ' ἕπομαι· κἂν θυσίαν αἰτῇς, θύω, κἂν ξυρᾶσθαι βουληθῇς ἐμὲ τὸν ἀποστάντα τῆς σῆς πολιτείας, πάρειμι, καὶ ποιῶ τὸ κελευόμενον· κἂν Πεντηκοστὴν κελεύῃς παρατηρῆσαί με, οὐδὲ ἐνταῦθα φιλονεικῶ· ἀλλ' ὅπουπερ ἂν περιάγῃς, ἀκολουθῶ καὶ ἐνδίδωμι, ἐμπαγῆναί σοι ἀναμένων τοῦ λόγου τὸ ἄγκιστρον, ὥστε δυνηθῆναι μετὰ ἀσφαλείας ἅπαν ὑμῶν ἐξελκύσαι τὸ ἔθνος τῆς παλαιᾶς λατρείας καὶ πολιτείας. Διὰ τοῦτο γὰρ καὶ ἀπὸ Ἐφέσου εἰς Ἱεροσόλυμα ἦλθον.

Ὁρᾷς πόσον παρηκολούθησεν ὁ Παῦλος τῇ ἁλείᾳ τῶν ἰχθύων ἐνδιδοὺς τῷ λόγῳ; ὁρᾷς ὅτι ἡ παρατήρησις τῶν καιρῶν καὶ ἡ συγκατάβασις τῆς περιτομῆς καὶ ἡ κοινωνία τῶν θυσιῶν διὰ τοῦτο ἐγίνετο, οὐχ ἵνα αὐτοὶ πρὸς τὴν παλαιὰν ἐπανέλθωσι πολιτείαν, ἀλλ' ἵνα ἐκείνους τοῖς τύποις παρακαθημένους πρὸς τὴν ἀλήθειαν ἐπαναγάγωσιν; Ὁ γὰρ ἐν ὕψει καθήμενος, ἐὰν διαπαντὸς ἐπὶ τοῦ ὕψους μένῃ, οὐδέποτε δυνήσεται τὸν κάτω κείμενον ἀναγαγεῖν, ἀλλὰ δεῖ πρότερον ἐκεῖνον ταπεινωθῆναι, καὶ τότε τοῦτον ὑψωθῆναι. Διὰ τοῦτο κατέβησαν οἱ ἀπόστολοι ἀπὸ τοῦ ὕψους τῆς πολιτείας τῆς εὐαγγελικῆς, ἵνα ἀπὸ τῆς ταπεινότητος τῆς πολιτείας τῆς ἰουδαϊκῆς ἀναγάγωσιν εἰς τὸ ὕψος ἐκεῖνο τοὺς Ἰουδαίους.

5. Ἀλλ' ὅτι μὲν ἡ τῶν καιρῶν παρατήρησις καὶ τὰ λοιπὰ πάντα χρησίμως καὶ συμφερόντως ἐγίνοντο, ἀπὸ τούτων δῆλον· ἴδωμεν δὲ λοιπὸν τίνος ἕνεκεν τὸ βιβλίον τῶν Πράξεων τῶν ἀποστόλων ἐν τῷ καιρῷ τῆς Πεντηκοστῆς ἀναγινώσκεται. Διὰ γὰρ τοῦτο ταῦτα πάντα ἐκινήσαμεν, ἵν', ὅταν ἴδητε καιρῶν πα-

θυσίες, τὸ νὰ ξυρίζουν τὸ κεφάλι τους καὶ νὰ κάμνουν ἄλλα παρόμοια. Οἱ ἀπόστολοι ὅμως παντοῦ τοὺς ἀκολουθοῦσαν καὶ δὲν τοὺς ἀντιστέκονταν. Ὥστε καὶ ἂν ζητᾶς περιτομή, λέγει, δὲν ἀντιλέγω, ἀλλ' ἀκολουθῶ· καὶ ἂν ζητᾶς θυσία, θυσιάζω, καὶ ἂν θελήσεις νὰ ξυρίσω τὸ κεφάλι ἐγὼ ποὺ ἀποστάτησα ἀπὸ τὸ δικό σου τρόπο ζωῆς, εἶμαι παρὼν καὶ ἐκτελῶ τὴν ἐντολή· καὶ ἂν μὲ προστάζεις νὰ δώσω ἰδιαίτερη σημασία στὴν Πεντηκοστή, οὔτε καὶ στὴν περίπτωση αὐτὴ ἀντιδικῶ· ἀλλ' ὅπου ἂν μὲ πᾶς, ἀκολουθῶ καὶ ὑποχωρῶ περιμένοντας νὰ καρφωθεῖ σὲ σένα τὸ ἀγκρίστρι τοῦ λόγου, ὥστε νὰ μπορέσω μὲ ἀσφάλεια νὰ ἀποσπάσω ὁλόκληρο τὸ ἔθνος σας ἀπὸ τὴν παλαιὰ λατρεία καὶ τὸν παλαιὸ τρόπο ζωῆς. Γι' αὐτὸ λοιπὸν ἦρθα καὶ ἀπὸ τὴν Ἔφεσο στὰ Ἱεροσόλυμα.

Βλέπεις πόσο ἀκολούθησε ὁ Παῦλος τὸν τρόπο τοῦ ψαρεύματος τῶν ψαριῶν ὑποχωρώντας μὲ τὸ λόγο; Βλέπεις πὼς ἡ διάκριση τῶν καιρῶν καὶ ἡ συγκατάβαση τῆς περιτομῆς καὶ ἡ συμμετοχὴ στὴ θυσία γίνονταν γι' αὐτό, ὄχι γιὰ νὰ ἐπιστρέψουν αὐτοί στὸν παλαιὸ τρόπο ζωῆς, ἀλλὰ γιὰ νὰ ἐπαναφέρουν στὴν ἀλήθεια ἐκείνους ποὺ ἔμεναν ἀφοσιωμένοι στοὺς τύπους; Γιατὶ αὐτὸς ποὺ κάθεται στὰ ὕψη, ἂν διαρκῶς μένει στὰ ὕψη, δὲ θὰ μπορέσει ποτὲ νὰ ἀνεβάσει ψηλὰ ἐκεῖνον ποὺ βρίσκεται κάτω, ἀλλὰ πρέπει πρῶτα νὰ ταπεινωθεῖ αὐτὸς καὶ ὕστερα νὰ ὑψωθεῖ ἐκεῖνος. Γι' αὐτὸ κατέβηκαν οἱ ἀπόστολοι ἀπὸ τὸ ὕψος τῆς εὐαγγελικῆς ζωῆς, γιὰ νὰ ἀνεβάσουν τοὺς Ἰουδαίους ἀπὸ τὴν ταπεινότητα τῆς ἰουδαϊκῆς ζωῆς σ' ἐκεῖνο τὸ ὕψος.

5. Ἀλλ' ὅτι ἡ διάκριση τῶν καιρῶν καὶ ὅλα τὰ ὑπόλοιπα γίνονταν γιὰ τὴν ὠφέλεια καὶ τὸ συμφέρον τῶν Ἰουδαίων εἶναι φανερὸ ἀπ' αὐτά. Ἂς δοῦμε ὅμως στὴ συνέχεια γιὰ ποιό λόγο τὸ βιβλίο τῶν Πράξεων τῶν ἀποστόλων διαβάζεται στὴν περίοδο τῆς Πεντηκοστῆς. Γιατὶ γι' αὐτὸ τὰ ἀνακινήσαμε ὅλα αὐτά, γιὰ νὰ μὴ νομίσετε πὼς οἱ ἀπόστολοι ἔπασχαν ἀπὸ τὸν ἰουδαϊ-

ρατήρησιν ἐγκειμένην, μὴ νομίσητε πολιτείαν νοσεῖν Ἰουδαϊκὴν τοὺς ἀποστόλους. Ἀλλὰ προσέχετε μετὰ ἀκριβείας, παρακαλῶ· οὐ γὰρ μικρόν ἐστι ζήτημα τὸ μέλλον ρηθήσεσθαι. Ἐν τῇ ἡμέρᾳ τοῦ σταυροῦ τὸ περὶ τοῦ σταυροῦ πάντα ἀναγινώσκομεν· ἐν τῷ σαββάτῳ τῷ μεγάλῳ πάλιν, ὅτι παρεδόθη ἡμῶν ὁ Κύριος, ὅτι ἐσταυρώθη, ὅτι ἀπέθανε τὸ κατὰ σάρκα, ὅτι ἐτάφη· τίνος οὖν ἕνεκεν καὶ τὰς Πράξεις τῶν ἀποστόλων οὐ μετὰ τὴν Πεντηκοστὴν ἀναγινώσκομεν, ὅτε καὶ ἐγένοντο, καὶ ἀρχὴν ἔλαβον; Καὶ οἶδα μὲν ὅτι πολλοὶ τοῦτο ἀγνοοῦσι· διόπερ ἀπὸ τοῦ βιβλίου τῶν Πράξεων αὐτὸ πιστώσασθαι ἀναγκαῖον, ἵνα μάθητε, ὅτι τὴν ἀρχὴν τῶν Πράξεων τῶν ἀποστολικῶν οὐχ ἡ Πεντηκοστὴ ἔχει, ἀλλ' ὁ καιρὸς ὁ μετὰ τὴν Πεντηκοστήν.

Διὸ καὶ δικαίως ἄν τις ζητήσειε, τί δήποτε τὸν μὲν σταυρὸν ἐν τῇ ἡμέρᾳ τοῦ σταυροῦ καὶ τοῦ πάθους ἀναγινώσκειν νενομοθέτηται, τὰς δὲ Πράξεις τὰς ἀποστολικὰς οὐκ αὐταῖς ταῖς ἡμέραις ἀναγινώσκομεν, οὐδὲ τῷ καιρῷ καθ' ὃν ἐπράχθησαν, ἀλλὰ προφθάνομεν τὸν καιρόν. Οὐδὲ γὰρ εὐθέως ὅτε ἀνέστη ὁ Χριστός, θαύματα ἐποίουν οἱ ἀπόστολοι, ἀλλὰ τεσσαράκοντα ἡμέρας αὐτοῖς συνηλίζετο ἐπὶ τῆς γῆς. Τίνος δὲ ἕνεκεν τὰς τεσσαράκοντα ἡμέρας αὐτοῖς συνεγένετο ἐπὶ τῆς γῆς, ἐν ἑτέρῳ καιρῷ δηλώσομεν· τέως δὲ ἐπὶ τὸ προκείμενον ἴωμεν τοῦ λόγου, δεικνύντες, ὅτι οὐκ εὐθέως εἰς τὸν οὐρανὸν ἀνέβη μετὰ τὴν ἀνάστασιν ὁ Χριστός, ἀλλὰ τεσσαράκοντα ἡμέρας ἐπὶ τῆς γῆς διέτριψε μετὰ τῶν μαθητῶν, καὶ οὐχ ἁπλῶς διέτριψεν, ἀλλὰ καὶ συναλιζόμενος, καὶ τραπέζης κοινωνῶν, καὶ ὁμιλίας μεταδιδούς, καὶ μετὰ τὰς τεσσαράκοντα ἡμέρας ἀνῆλθε πρὸς τὸν Πατέρα ἐν τοῖς οὐρανοῖς, καὶ οὐδὲ τότε ἐθαυματούργουν, ἀλλ' ἕτεραι δέκα ἐγίνοντο ἡμέραι, καὶ πληρουμένης τῆς Πεντηκοστῆς ἐπέμφθη αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τότε λαβόντες τὰς πυρίνας γλώσσας ἤρξαντο ποιεῖν θαύματα.

κὸ τρόπο ζωῆς, ὅταν δεῖτε νὰ τηρεῖτε ἡ διάκριση τῶν καιρῶν. Ἀλλὰ προσέχετε μὲ ἀκρίβεια, παρακαλῶ, γιατὶ δὲν εἶναι μικρὸ τὸ ζήτημα ποὺ πρόκειται νὰ λεχθεῖ. Κατὰ τὴν ἡμέρα τοῦ σταυροῦ διαβάζουμε ὅλα τὰ σχετικὰ μὲ τὸ σταυρό. Κατὰ τὸ μεγάλο Σάββατο πάλι, ὅτι παραδόθηκε ὁ Κύριός μας, ὅτι σταυρθώθηκε, ὅτι πέθανε κατὰ σάρκα, ὅτι θάφτηκε. Γιὰ ποιό λόγο λοιπὸν δὲ διαβάζουμε καὶ τὶς Πράξεις τῶν ἀποστόλων μετὰ τὴν Πεντηκοστή, ὅταν καὶ ἔγιναν καὶ ἄρχισαν; Καὶ ξέρω βέβαια ὅτι πολλοὶ δὲν τὸ γνωρίζουν αὐτό. Γι' αὐτὸ εἶναι ἀνάγκη ἀπὸ τὸ βιβλίο τῶν Πράξεων νὰ τὸ ἐπιβεβαιώσουμε αὐτό, γιὰ νὰ μάθετε πῶς ἡ ἀρχὴ τῶν Πράξεων τῶν ἀποστόλων δὲν εἶναι ἡ Πεντηκοστή, ἀλλ' ἡ περίοδος μετὰ τὴν Πεντηκοστή.

Γι' αὐτὸ καὶ δίκαια θὰ ἤθελε κανεὶς νὰ μάθει γιατί ἄραγε ἔχει καθορισθεῖ νὰ διαβάζουμε γιὰ τὰ τοῦ σταυροῦ κατὰ τὴν ἡμέρα τοῦ σταυροῦ καὶ τοῦ πάθους, ἐνῶ τὶς Πράξεις τῶν ἀποστόλων δὲν τὶς διαβάζουμε αὐτὲς τὶς ἡμέρες, οὔτε τὴν περίοδο κατὰ τὴν ὁποία ἔγιναν, ἀλλὰ πρὶν ἀπὸ τὸν καιρὸ πραγματοποίησής τους. Γιατὶ οὔτε ἀμέσως ὅταν ἀναστήθηκε ὁ Χριστὸς ἔκαναν θαύματα οἱ ἀπόστολοι, ἀλλὰ σαράντα ἡμέρες συναναστρεφόταν αὐτοὺς ἐπάνω στὴ γῆ. Γιὰ ποιό λόγο ὅμως συναναστράφηκε μ' αὐτοὺς ἐπάνω στὴ γῆ τὶς σαράντα ἡμέρες θὰ τὸ ποῦμε σὲ ἄλλη εὐκαιρία. Τώρα ὅμως ἂς ἔρθουμε στὸ θέμα μας, δείχνοντας πῶς ὁ Χριστὸς δὲν ἀνέβηκε στὸν οὐρανὸ ἀμέσως μετὰ τὴν ἀνάστασή του, ἀλλὰ παρέμεινε σαράντα ἡμέρες ἐπάνω στὴ γῆ μαζὶ μὲ τοὺς μαθητές, καὶ δὲν παρέμεινε ἁπλῶς, ἀλλὰ καὶ συναναστρεφόταν καὶ ἔτρωγε καὶ συνομιλοῦσε μ' αὐτούς, καὶ ὕστερα ἀπὸ τὶς σαράντα ἡμέρες ἀνέβηκε στὸν Πατέρα του στοὺς οὐρανούς, καὶ οὔτε τότε ἔκαναν θαύματα, ἀλλὰ πέρασαν ἄλλες δέκα ἡμέρες καὶ ὅταν συμπληρώθηκε ἡ Πεντηκοστὴ στάλθηκε σ' αὐτοὺς τὸ ἅγιο Πνεῦμα καὶ τότε, ἀφοῦ ἔλαβαν τὶς πύρινες γλῶσσες, ἄρχισαν νὰ κάνουν θαύματα.

Ταῦτα δὲ πάντα, ἀγαπητοί, ἀπὸ τῶν Γραφῶν πιστωσόμεθα· οἷον ὅτι τεσσαράκοντα ἡμέρας αὐτοῖς συνεγένετο, ὅτι μετὰ τὴν Πενστηκοστὴν κατῆλθε τὸ Πνεῦμα τὸ ἅγιον, ὅτι τότε τὰς γλώσσας ἔλαβον τὰς πυρίνας, ὅτι τῶν σημείων ἔκτοτε ἤρξαντο. Τίς οὖν ταῦτα πάντα φησιν; Ὁ τοῦ Παύλου μαθητής, ὁ τίμιος καὶ μέγας Λουκᾶς, οὕτω ποιούμενος τὴν ἀρχὴν καὶ λέγων· «τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ Πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη· οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν· αὐτόν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ. Καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι». Ὁρᾷς ὅτι μετὰ τὴν ἀνάστασιν τεσσαράκοντα ἡμέρας ἐπὶ τῆς γῆς ἦν ὁ Κύριος, λέγων περὶ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ συναλιζόμενος τοῖς ἀποστόλοις; ὁρᾷς ὅτι καὶ τραπέζης ἐκοινώνει;

«Καὶ παρήγγειλεν αὐτοῖς», φησίν, «ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρός, ἣν ἠκούσατέ μου, φησίν· ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας». Ταῦτα δὲ ἔλεγεν ὁ Σωτὴρ ἐν ταῖς τεσσαράκοντα ἡμέραις. «Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; Εἶπε δὲ πρὸς αὐτούς· οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ· ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἐν τῇ Ἱερουσαλήμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς. Καὶ ταῦτα εἰπών, βλεπόν-

---

20. Πράξ. 1,1–4.
21. Πράξ. 1,4–5.

Καὶ αὐτὰ ὅλα, ἀγαπητοί, θὰ τὰ ἐπιβεβαιώσουμε ἀπὸ τὶς Γραφές· δηλαδὴ ὅτι συναναστράφηκε μ' αὐτοὺς σαράντα ἡμέρες, ὅτι μετὰ τὴν Πεντηκοστὴ κατέβηκε τὸ ἅγιο Πνεῦμα, ὅτι τότε ἔλαβαν τὶς πύρινες γλῶσσες, ὅτι ἀπὸ τότε ἄρχισαν τὰ θαύματα. Ποιός λοιπὸν τὰ λέγει ὅλα αὐτά; Ὁ μαθητὴς τοῦ Παύλου, ὁ τίμιος καὶ μεγάλος Λουκᾶς, ἀρχίζοντας ἔτσι καὶ λέγοντας· «στὸ πρῶτο μου βιβλίο, Θεόφιλε, διηγήθηκα ὅλα ὅσα ὁ Ἰησοῦς ἔκαμνε καὶ δίδασκε, ἀπὸ τὴν ἀρχὴ μέχρι τὴν ἡμέρα ποὺ ἀναλήφθηκε, ἀφοῦ πρῶτα ἔδωσε ἐντολὲς μὲ τὴ δύναμη τοῦ ἁγίου Πνεύματος στοὺς ἀποστόλους ποὺ εἶχε διαλέξει ὁ ἴδιος. Σ' αὐτοὺς παρουσιάσθηκε ζωντανὸς μετὰ τὸ πάθος του μὲ πολλὲς ἀποδείξεις, ἐμφανιζόμενος σ' αὐτοὺς γιὰ σαράντα ἡμέρες καὶ λέγοντας τὰ σχετικὰ μὲ τὴ βασιλεία τοῦ Θεοῦ. Καὶ καθὼς τοὺς συναναστρεφόταν τοὺς παράγγειλε νὰ μὴ φύγουν ἀπὸ τὰ Ἱεροσόλυμα»[20]. Βλέπεις ὅτι μετὰ τὴν ἀνάσταση ὁ Κύριος ἦταν σαράντα ἡμέρες ἐπάνω στὴ γῆ μιλώντας γιὰ τὴ βασιλεία τοῦ Θεοῦ καὶ συναναστρεφόμενος μὲ τοὺς ἀποστόλους; Βλέπεις ὅτι καθόταν καὶ στὸ τραπέζι τους;

«Καὶ τοὺς παράγγειλε», λέγει, «νὰ μὴ φύγετε ἀπὸ τὰ Ἱεροσόλυμα, ἀλλὰ νὰ περιμένετε τὴν ὑπόσχεση τοῦ Πατέρα, γιὰ τὴν ὁποία σᾶς μίλησα· ὅτι δηλαδὴ ὁ Ἰωάννης βάπτισε μὲ νερό, ἐνῶ ἐσεῖς θὰ βαπτισθεῖτε σὲ λίγες ἡμέρες μὲ τὸ ἅγιο Πνεῦμα»[21]. Καὶ τὰ ἔλεγε αὐτὰ ὁ Σωτήρας κατὰ τὶς σαράντα ἡμέρες. «Οἱ μαθητὲς λοιπὸν συγκεντρώθηκαν μία ἡμέρα καὶ τὸν ἐρωτοῦσαν· 'Κύριε, μήπως ἔφθασε ἡ ὥρα ν' ἀποκαταστήσεις τὴ βασιλεία στὸν Ἰσραήλ;' Καὶ αὐτὸς τοὺς εἶπε· 'ἐσεῖς δὲν μπορεῖτε νὰ ξέρετε τοὺς χρόνους ἢ τοὺς καιροὺς ποὺ ὁ Πατέρας κρατάει στὴν ἀποκλειστική του ἐξουσία· θὰ λάβετε ὅμως δύναμη ὅταν θὰ ἔρθει τὸ ἅγιο Πνεῦμα σὲ σᾶς, καὶ θὰ γίνετε μάρτυρες δικοί μου, στὴν Ἰερουσαλήμ, σὲ ὅλη τὴν Ἰουδαία καὶ στὴ Σαμάρεια καὶ ὣς τὰ πέρατα τῆς γῆς». Μόλις τὰ εἶπε αὐτὰ καὶ ἐνῶ ἐκεῖνοι

των αὐτῶν, ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν».

Εἶδες πῶς καὶ τεσσαράκοντα ἡμέρας αὐτοῖς συνεγένετο ἐπὶ τῆς γῆς ὁ Χριστός, καὶ μετὰ τὰς τεσσαράκοντα ἡμέρας τότε ἀνελήφθη ἐν τοῖς οὐρανοῖς· ἀλλ' ἴδωμεν εἰ ἐν τῇ Πεντηκοστῇ τὸ Πνεῦμα ἐπέμφθη τὸ ἅγιον. «Καὶ ἐν τῷ συμπληροῦσθαι», φησί, «τὴν ἡμέραν τῆς Πεντηκοστῆς ἐγένετο ἄφνω ἦχος ἐκ τοῦ οὐρανοῦ ὡσεὶ φερομένης πνοῆς βιαίας, καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν». Εἴδετε ἀκριβῆ τὴν ἀπόδειξιν γεγενημένην, οἷον ὅτι τεσσαράκοντα ἡμέρας ἦν ἐπὶ γῆς ὁ Χριστός, καὶ οὐδὲ ἐθαυματούργουν οἱ ἀπόστολοι; Πῶς γὰρ ἔμελλον θαυματουργεῖν τὴν τοῦ ἁγίου καὶ ζωοποιοῦ Πνεύματος χάριν οὐδέπω ἔχοντες;

Εἴδετε, ὅτι μετὰ τὰς τεσσαράκοντα ἡμέρας ἀνελήφθη εἰς τὸν οὐρανὸν ὁ Ἰησοῦς· εἴδετε πάλιν, ὅτι μετὰ τὰς δέκα ἡμέρας ἐθαυμτούργουν οἱ ἀπόστολοι; Ἐν γὰρ τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς κατεπέμφθη τὸ Πνεῦμα τὸ ἅγιον. Τοῦτο οὖν ἐστι λοιπὸν τὸ ζητούμενον, τίνος ἕνεκεν αἱ Πράξεις τῶν ἀποστόλων ἐν τῇ Πεντηκοστῇ ἀναγινώσκονται. Εἰ γὰρ τότε ἤρξαντο ποιεῖν τὰ σημεῖα οἱ ἀπόστολοι, ἤγουν μετὰ τὴν Κυρίου ἀνάστασιν, τότε ἔδει καὶ τὸ βιβλίον ἀναγινώσκεσθαι τοῦτο. Ὥσπερ γὰρ τὰ περὶ τοῦ σταυροῦ ἐν τῇ ἡμέρᾳ σταυροῦ ἀναγινώσκομεν, καὶ τὰ ἐν τῇ ἀναστάσει ὁμοίως, καὶ τὰ ἐν ἑκάστῃ ἑορτῇ γεγονότα τῇ αὐτῇ πάλιν ἀναγινώσκομεν, οὕτως ἔδει καὶ τὰ θαύματα τὰ ἀποστολικὰ ἐν ταῖς ἡμέραις τῶν ἀποστολικῶν σημείων ἀναγινώσκεσθαι.

6. Τίνος οὖν ἕνεκεν οὐ τότε αὐτὰ ἀναγινώσκομεν, ἀλλ' εὐθέως μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν, ἀκούσατε μετὰ ἀκριβείας τὴν αἰτίαν ἅπασαν. Μετὰ τὸν σταυρὸν εὐθέως ἀνάστασιν κα-

22. Πράξ. 1,4–9.
23. Πράξ. 2,1–3.

τὸν κοίταζαν σηκώθηκε πρὸς τὸν οὐρανὸ καὶ μιὰ νεφέλη τὸν ἔκρυψε ἀπὸ τὰ μάτια τους»[22].

Εἶδες πῶς ὁ Χριστὸς συναναστράφηκε μὲ τοὺς μαθητές του σαράντα ἡμέρες ἐπάνω στὴ γῆ, καὶ πῶς μετὰ τὶς σαράντα ἡμέρες ἀναλήφθηκε στοὺς οὐρανούς. Ἀλλ' ἂς δοῦμε ἂν τὸ ἅγιο Πνεῦμα στάλθηκε κατὰ τὴν Πεντηκοστή. «Καὶ ὅταν ἔφθασε», λέγει, «ἡ ἡμέρα τῆς Πεντηκοστῆς, ξαφνικὰ ἦρθε ἀπὸ τὸν οὐρανὸ μιὰ βοὴ σὰν νὰ φυσοῦσε δυνατὸς ἄνεμος καὶ παρουσιάσθηκαν γλῶσσες σὰν φλόγες φωτιᾶς ποὺ μοιράστηκαν σ' αὐτοὺς καὶ κάθισαν ἀπὸ μία στὸν καθένα ἀπ' αὐτούς»[23]. Εἴδατε πὼς ἔχει γίνει ἀκριβὴς ἡ ἀπόδειξη, ὅτι δηλαδὴ ὁ Χριστὸς ἦταν ἐπάνω στὴ γῆ γιὰ σαράντα ἡμέρες, καὶ ὅτι δὲν ἔκαναν θαύματα οἱ ἀπόστολοι; Γιατί, πῶς μποροῦσαν νὰ κάνουν θαύματα, ἀφοῦ δὲν εἶχαν ἀκόμη τὴ χάρη τοῦ ἁγίου καὶ ζωοποιοῦ Πνεύματος;

Εἴδατε ὅτι μετὰ τὶς σαράντα ἡμέρες ὁ Ἰησοῦς ἀναλήφθηκε στὸν οὐρανό; Εἴδατε πάλι ὅτι μετὰ τὶς δέκα ἡμέρες οἱ ἀπόστολοι ἔκαναν θαύματα; Γιατὶ μόλις συμπληρώθηκε ἡ ἡμέρα τῆς Πεντηκοστῆς στάλθηκε τὸ ἅγιο Πνεῦμα. Αὐτὸ λοιπὸν εἶναι στὴ συνέχεια τὸ ζητούμενο, γιὰ ποιό λόγο οἱ Πράξεις τῶν ἀποστόλων διαβάζονται κατὰ τὴν Πεντηκοστή. Γιατί, ἂν τότε ἄρχιζαν νὰ κάμνουν τὰ θαύματα οἱ ἀπόστολοι, δηλαδὴ μετὰ τὴν ἀνάσταση τοῦ Κυρίου, τότε ἔπρεπε νὰ διαβάζεται καὶ τὸ βιβλίο αὐτό. Γιατί, ὅπως ἀκριβῶς τὰ σχετικὰ μὲ τὸ σταυρὸ τὰ διαβάζουμε τὴν ἡμέρα τοῦ σταυροῦ καὶ τὰ σχετικὰ μὲ τὴν ἀνάσταση ὁμοίως, καὶ τὰ γεγονότα τὰ σχετικὰ μὲ κάθε ἑορτὴ τὰ διαβάζουμε πάλι κατὰ τὴν ἡμέρα τῆς ἑορτῆς, ἔτσι ἔπρεπε καὶ τὰ θαύματα τῶν ἀποστόλων νὰ διαβάζονται κατὰ τὶς ἡμέρες τῶν ἀποστολικῶν θαυμάτων.

6. Γιὰ ποιό λοιπὸν λόγο δὲν τὰ διαβάζουμε αὐτὰ τότε, ἀλλὰ ἀμέσως μετὰ τὴ σταύρωση καὶ τὴν ἀνάσταση, ἀκοῦστε μὲ ἀκρίβεια ὅλη τὴν αἰτία. Ἀμέσως μετὰ τὴ σταύρωση κηρύττουμε τὴν

ταγγέλλομεν τοῦ Χριστοῦ, τῆς δὲ ἀναστάσεως ἀπόδειξίς ἐστι τὰ σημεῖα τὰ ἀποστολικά, τῶν δὲ σημείων ἀποστολικῶν διδασκαλεῖόν ἐστι τοῦτο τὸ βιβλίον. Ὁ τοίνυν μάλιστα πιστοῦται τὴν ἀνάστασιν τὴν Δεσποτικήν, τοῦτο μετὰ τὸν σταυρὸν καὶ τὴν ζωηφόρον ἀνάστασιν εὐθέως οἱ Πατέρες ἐνομοθέτησαν ἀναγινώσκεσθαι. Διὰ τοῦτο τοίνυν, ἀγαπητοί, μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν εὐθέως ἀναγινώσκομεν τὰ σημεῖα τῶν ἀποστόλων, ἵνα ἔχωμεν σαφῆ καὶ ἀναμφισβήτητον τῆς ἀναστάσεως τὴν ἀπόδειξιν. Οὐκ εἶδες αὐτὸν ἀναστάντα τοῖς ὀφθαλμοῖς τοῦ σώματος, ἀλλὰ βλέπεις αὐτὸν ἀναστάντα τοῖς ὀφθαλμοῖς τῆς πίστεως· οὐκ εἶδες αὐτὸν διὰ τῶν ὀμμάτων τούτων ἀναστάντα, ἀλλ' ὄψει αὐτὸν ἀναστάντα διὰ τῶν θαυμάτων ἐκείνων. Ἡ γὰρ τῶν σημείων ἐπίδειξις χειραγωγεῖ σε πρὸς τὴν τῆς πίστεως θεωρίαν. Ὅθεν τοῦ φανῆναι αὐτὸν ἀναστάντα πολλῷ μεῖζον ἦν ἀπόδειξις καὶ σαφεστέρα τὸ σημεῖα γίνεσθαι ἐν τῷ ὀνόματι αὐτοῦ.

Βούλει μαθεῖν, πῶς τοῦτο μᾶλλον πιστοῦται τὴν ἀνάστασιν, ἢ εἰ ἐφάνη πᾶσιν ἀνθρώποις κατ' ὀφθαλμούς; Ἀκούσατε νουνεχῶς· καὶ γὰρ πολλοὶ τοῦτο ἐρωτῶσι, καὶ λέγουσι· 'τίνος ἕνεκεν ἀναστὰς οὐκ εὐθέως ἐφάνη τοῖς Ἰουδαίοις;' ἀλλὰ περιττὸς ὁ λόγος οὗτος καὶ μάταιος. Εἰ γὰρ ἔμελλε πρὸς τὴν πίστιν αὐτοὺς ἐπισπάσασθαι, οὐκ ἂν παρῃτήσατο μετὰ τὴν ἀνάστασιν φανῆναι πᾶσιν· ὅτι δὲ οὐκ ἔμελλεν αὐτοὺς ἐπισπάσασθαι φανεὶς αὐτοῖς μετὰ τὴν ἀνάστασιν, δείκνυσι διὰ τοῦ Λαζάρου. Τοῦτον γὰρ τετραήμερον νεκρὸν ἀναστήσας, ὀδωδότα, διεφθορότα, καὶ μετὰ τῶν κειριῶν δεδεμένον ποιήσας αὐτὸν ἐξελθεῖν ὑπὸ τὰς ἁπάντων ὄψεις, οὐ μόνον οὐκ ἐπεσπάσατο πρὸς τὴν πίστιν αὐτούς, ἀλλὰ καὶ παρώξυνεν· ἐλθόντες γὰρ ἠβουλήθησαν καὶ αὐτὸν ἀνελεῖν διὰ τοῦτο. Εἰ οὖν ἕτερον ἀνέστησε καὶ οὐκ ἐπίστευ-

---

24. Ἰω. 12,10.

ἀνάσταση τοῦ Χριστοῦ, τῆς ἀνάστασης ὅμως ἀπόδειξη εἶναι τὰ θαύματα τῶν ἀποστόλων, καὶ γιὰ τὰ θαύματα τῶν ἀποστόλων διδασκαλεῖο εἶναι αὐτὸ τὸ βιβλίο. Αὐτὸ λοιπὸν ποὺ ἰδιαίτερα ἐπιβεβαιώνει τὴν ἀνάσταση τοῦ Κυρίου, τὸ καθόρισαν οἱ Πατέρες νὰ διαβάζεται ἀμέσως μετὰ τὴ σταύρωση καὶ τὴ ζωηφόρο ἀνάσταση. Γι' αὐτὸ λοιπόν, ἀγαπητοί, μετὰ τὴ σταύρωση καὶ τὴν ἀνάσταση ἀμέσως διαβάζουμε τὰ θαύματα τῶν ἀποστόλων, γιὰ νὰ ἔχουμε σαφὴ καὶ ἀναμφισβήτητη τὴν ἀπόδειξη τῆς ἀνάστασης. Δὲν τὸν εἶδες ἀναστημένο μὲ τὰ μάτια τοῦ σώματος, ἀλλὰ τὸν βλέπεις ἀναστημένο μὲ τὰ μάτια τῆς πίστης. Δὲν τὸν εἶδες ἀναστήμενο μὲ τὰ μάτια αὐτά, ἀλλὰ θὰ τὸν δεῖς ἀναστημένο μὲ τὰ θαύματα αὐτά. Γιατὶ ἡ φανέρωση τῶν θαυμάτων σὲ ὁδηγεῖ στὴ θεωρία τῆς πίστης. Ἑπομένως τὸ νὰ γίνονται θαύματα στὸ ὄνομά του ἦταν πολὺ μεγαλύτερη καὶ σαφέστερη ἀπόδειξη ἀπὸ τὸ νὰ παρουσιασθεῖ αὐτὸς ἀναστημένος.

Θέλεις νὰ μάθεις πῶς αὐτὸ ἐπιβεβαιώνει περισσότερο τὴν ἀνάσταση παρὰ ἂν παρουσιαζόταν στὰ μάτια ὅλων τῶν ἀνθρώπων; Ἀκοῦστε προσεκτικά· γιατὶ πραγματικὰ πολλοὶ τὸ ἐρωτοῦν αὐτὸ καὶ λέγουν, «γιατί ὅταν ἀναστήθηκε δὲν παρουσιάσθηκε ἀμέσως στοὺς Ἰουδαίους;». Ἀλλ' ὁ λόγος αὐτὸς εἶναι περιττὸς καὶ ἄσκοπος. Γιατί, ἂν ἐπρόκειτο νὰ τοὺς προσελκύσει στὴν πίστη, δὲ θὰ ἀπόφευγε νὰ ἐμφανισθεῖ μετὰ τὴν ἀνάσταση σὲ ὅλους. Καὶ ὅτι δὲν ἐπρόκειτο νὰ τοὺς προσελκύσει ἂν ἐμφανιζόταν σ' αὐτοὺς μετὰ τὴν ἀνάσταση, τὸ ἀποδεικνύει μὲ τὸ Λάζαρο. Γιατί, ἂν καὶ τὸν ἀνάστησε αὐτόν, μολονότι ἦταν τέσσερις ἡμέρες νεκρὸς καὶ μύριζε ἄσχημα καὶ εἶχε ἀρχίσει ἡ σήψη τοῦ σώματός του, καὶ τὸν ἔκαμε νὰ βγεῖ δεμένος μὲ τὶς λευκὲς ταινίες μπροστὰ στὰ μάτια ὅλων, ὄχι μόνο δὲν τοὺς προσείλκυσε στὴν πίστη, ἀλλὰ καὶ τοὺς ἐξόργισε. Γιατί, ὅταν ἦρθαν, θέλησαν νὰ θανατώσουν γι' αὐτὸ καὶ τὸ Λάζαρο[24]. Ἀφοῦ λοιπὸν ἀνάστησε ἄλλον καὶ δὲν πίστεψαν, ἂν ἔδειχνε τὸν ἑαυτό του

σαν, ἑαυτὸν ἀναστήσας εἰ ἔδειξεν ἑαυτόν, οὐκ ἂν πάλιν ἐμάνησαν κατ' αὐτοῦ; Εἰ καὶ μηδὲν ἔμελλον ἀνύειν, ἀλλ' ὅμως διὰ τῆς ἐπιχειρήσεως ἔμελλον ἀσεβεῖν.

Ὥστε βουλόμενος αὐτοὺς ἀπαλλάξαι μανίας περιττῆς, ἔκρυψεν ἑαυτόν· μᾶλλον γὰρ ἂν ἐποίησεν ὑπευθύνους κολάσει, εἰ μετὰ τὸν σταυρὸν ἐφάνη. Διὰ τοῦτο φειδόμενος αὐτῶν ἔκρυψε μὲν ἑαυτὸν ἐκ τῆς ἐκείνων ὄψεως, ἔδειξε δὲ διὰ τῆς τῶν σημείων ἀποδείξεως. Τοῦ γὰρ ἰδεῖν αὐτὸν ἀναστάντα οὐκ ἔλαττον ἦν ἀκοῦσαι Πέτρου λέγοντος, «ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ περιπάτει». Καὶ ὅτι τοῦτο ἀναστάσεως μεγίστη ἀπόδειξις, καὶ εὐκολώτερον πρὸς πίστιν ἢ ἐκεῖνο τὸ πρότερον, καὶ μᾶλλον ἠδύνατο πεῖσαι τὰς διανοίας τῶν ἀνθρώπων τὰ σημεῖα φαίνεσθαι ἐν τῷ ὀνόματι αὐτοῦ γινόμενα, ἢ τὸ ἰδεῖν αὐτὸν ἀναστάντα, δῆλον ἐκεῖθεν. Ἀνέστη καὶ ἔδειξεν ἑαυτὸν τοῖς μαθηταῖς ὁ Χριστός· ἀλλ' ὅμως εὑρέθη τις ἀπιστῶν καὶ ἐν ἐκείνοις Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ ἐδεήθη τοῦ τὰς χεῖρας εἰσενεγκεῖν εἰς τοὺς τύπους τῶν ἥλων· ἐδεήθη καὶ τὴν πλευρὰν αὐτοῦ καταμαθεῖν.

Εἰ δὲ ὁ μαθητὴς ἐκεῖνος ὁ τρεῖς χρόνους διατρίψας μετ' αὐτοῦ, ὁ τραπέζης Δεσποτικῆς κοινωνήσας, ὁ σημεῖα καὶ τέρατα θεασάμενος μέγιστα, ὁ ῥημάτων Δεσποτικῶν μετασχών, καὶ ἰδὼν αὐτὸν ἀναστάντα, οὐ πρότερον ἐπίστευσεν, ἕως ὅτε τοὺς τύπους τῶν ἥλων καὶ τῆς λόγχης τὰ τραύματα εἶδε, πῶς ἡ οἰκουμένη πιστεύειν ἔμελλεν, εἰπέ μοι, εἰ εἶδεν αὐτὸν ἀναστάντα; Καὶ τίς ἂν ταῦτα εἴποι; Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν δείξομεν, ὅτι μᾶλλον ἔπειθε τὰ σημεῖα τοῦ θεάσασθαι κατ' ὄψιν ἀναστάντα. Ἀκούσαντες γὰρ οἱ ὄχλοι τοῦ Πέτρου τῷ χωλῷ λέγοντος, «ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ περι-

---

25. Πράξ. 3,6. 26. Βλ. Ἰω. 20,24–25.

μετὰ τὴν ἀνάστασή του, δὲ θὰ κυριεύονταν ἀπὸ μανία καὶ πάλι ἐναντίον του; Ἂν καὶ δὲν ἐπρόκειτο νὰ κερδίσουν τίποτε, ἀλλ' ὅμως μὲ τὴν ἐπίθεσή τους ἐπρόκειτο νὰ ἀσεβήσουν.

Ὥστε, ἐπειδὴ ἤθελε νὰ τοὺς ἀπαλλάξει ἀπὸ περιττὴ μανία, ἔκρυψε τὸν ἑαυτό του. Γιατὶ πολὺ περισσότερο θὰ τοὺς καταστοῦσε ὑπεύθυνους γιὰ τιμωρία, ἂν ἐμφανιζόταν μετὰ τὴ σταύρωση. Γι' αὐτό, ἐπειδὴ τοὺς λυπόταν, ἔκρυψε τὸν ἑαυτό του ἀπὸ τὰ μάτια τους, τὸν ἔδειξε ὅμως μὲ τὴν ἀπόδειξη τῶν θαυμάτων. Γιατὶ ἀπὸ τὸ νὰ τὸν δοῦν ἀναστημένο δὲν ἦταν μικρότερο ν' ἀκούσουν τὸν Πέτρο νὰ λέγει· «στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ σήκω ἐπάνω καὶ περπάτα»[25]. Καὶ ὅτι αὐτὸ ἦταν μέγιστη ἀπόδειξη τῆς ἀνάστασης καὶ πιὸ εὔκολα ὁδηγοῦσε στὴν παραδοχή της παρὰ ἐκεῖνο τὸ πρῶτο, καὶ ὅτι μποροῦσε περισσότερο νὰ πείσει τὶς διάνοιες τῶν ἀνθρώπων τὸ νὰ φαίνονταν τὰ θαύματα πὼς γίνονται στὸ ὄνομά του παρὰ τὸ νὰ τὸν δοῦν ἀναστημένο, εἶναι φανερὸ ἀπὸ τὸ ἑξῆς. Ἀναστήθηκε ὁ Χριστὸς καὶ φανερώθηκε στοὺς μαθητές του. Βρέθηκε ὅμως ἀνάμεσά τους καὶ ἕνας ἄπιστος, ὁ Θωμᾶς, ὁ ὀνομαζόμενος Δίδυμος, καὶ ζήτησε νὰ βάλει τὰ χέρια του στὰ σημάδια ἀπὸ τὰ καρφιά· ζήτησε ἐπίσης νὰ παρατηρήσει καλὰ καὶ τὴν πλευρά του[26].

Ἂν λοπὸν ὁ μαθητὴς ἐκεῖνος ποὺ ἔζησε μαζί του τρία χρόνια, ποὺ ἔλαβε μέρος στὸ τραπέζι τοῦ Κυρίου, ποὺ εἶδε πάρα πολὺ μεγάλα σημεῖα καὶ τέρατα, ποὺ ἄκουσε τὰ λόγια τοῦ Κυρίου καὶ τὸν εἶδε ἀναστημένο, δὲν πίστεψε πρῶτα, μέχρι ποὺ εἶδε τὰ σημάδια ἀπὸ τὰ καρφιὰ καὶ τὶς πληγὲς ἀπὸ τὴ λόγχη, πῶς ἐπρόκειτο νὰ πιστέψει ἡ οἰκουμένη, πές μου, ἂν τὸν ἔβλεπε ἀναστημένο; Καὶ ποιός θὰ μποροῦσε νὰ τὰ πεῖ αὐτά; Ὄχι μόνο ἀπὸ ἐδῶ, ἀλλὰ καὶ ἀπὸ ἀλλοῦ θὰ δείξουμε πῶς περισσότερο ἔπειθαν τὰ θαύματα παρὰ ἂν τὸν ἔβλεπαν κατὰ πρόσωπο ἀναστημένο. Γιατί, ὅταν τὰ πλήθη ἄκουσαν τὸν Πέτρο νὰ λέγει στὸ χωλό, «στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ σήκω πάνω καὶ περ-

πάτει», τρισχίλιοι ἐπίστευσαν καὶ πεντακισχίλιοι τῷ Χριστῷ ἄνδρες· ὁ δὲ μαθητὴς ἰδὼν ἀναστάντα ἠπίστησεν. Ὁρᾷς πῶς τοῦτο εὐκολώτερον μᾶλλον πρὸς τὴν τῆς ἀναστάσεως πίστιν; Ἐκεῖνο μὲν γὰρ καὶ ὁ οἰκεῖος μαθητὴς ἰδὼν ἠπίστησε, ταῦτα δὲ καὶ οἱ ἐχθροὶ θεασάμενοι ἐπίστευσαν. Οὕτω μεῖζον τοῦτο ἐκείνου καὶ σαφέστερον, καὶ μᾶλλον αὐτοὺς ἐπεσπᾶτο καὶ ἔπειθε πρὸς τὴν ἀνάστασιν.

Καὶ τί λέγω τὸν Θωμᾶν; Ὅτι γὰρ οὐδὲ οἱ λοιποὶ μαθηταὶ ἐκ πρώτης ὄψεως ἐπίστευον, ἄκουσον νουνεχῶς. Ἀλλὰ μὴ καταγνῷς αὐτῶν, ἀγαπητέ· εἰ γὰρ ὁ Χριστὸς οὐ κατέγνω αὐτῶν, μηδὲ σὺ καταγνῷς αὐτῶν· καὶ γὰρ πρᾶγμα ξένον εἶδον οἱ μαθηταὶ καὶ παράδοξον, πρωτότοκον αὐτὸν ἐκ τῶν νεκρῶν ἀναστάντα· τὰ δὲ τοιαῦτα μέγιστα θαύματα ἐκ πρώτης ἐκπλήττειν εἴωθεν, ἕως ἂν τῷ χρόνῳ μόνιμα γένηται ἐν ταῖς τῶν πιστευόντων ψυχαῖς· ὅπερ οὖν καὶ ἐπὶ τῶν μαθητῶν ἐγένετο τότε. Ἐπειδὴ γὰρ ἀναστὰς ὁ Χριστὸς ἐκ νεκρῶν εἶπεν αὐτοῖς, «εἰρήνη ὑμῖν, πτοηθέντες», φησίν, «ἐκεῖνοι καὶ ἔμφοβοι γενόμενοι ἐδόκουν πνεῦμα θεωρεῖν, καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· τί τεταραγμένοι ἐστέ;» Καὶ μετὰ ταῦτα ἐπιδείξας αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας καὶ «ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς· ἔχετέ τι βρώσιμον ἐνθάδε;», διὰ τούτων βουλόμενος αὐτοῖς τὴν ἀνάστασιν πιστώσασθαι. Οὐ πείθει σε, φησίν, ἡ πλευρά, οὐδὲ τὰ τραύματα; πειθέτω κἂν ἡ τράπεζα.

7. Ἵνα δὲ μάθῃς ἀκριβῶς, ὅτι διὰ τοῦτο εἶπεν, «ἔχετέ τι βρώσιμον ἐνθάδε φαγεῖν;», ἵνα μὴ νομίσωσιν εἴδωλον εἶναι, μηδὲ πνεῦμα, μηδὲ φαντασίαν, ἀλλ' ἀληθῆ καὶ ἐνυπόστατον ἀνάστασιν, ἄκουσον, πῶς ὁ Πέτρος ἀπὸ τούτων πιστοῦται τὴν ἀνάστασιν. Εἰπὼν γὰρ ὅτι «ἀνέστησεν αὐτὸν ὁ Θεός, καὶ ἔδω-

---

27. Λουκᾶ 24,36–38.
28. Λουκᾶ 24,41.

πάτα», πίστεψαν στὸ Χριστὸ τρεῖς χιλιάδες καὶ πέντε χιλιάδες ἄνδρες, ἐνῶ ὁ μαθητὴς ὅταν τὸν εἶδε ἀναστημένο δὲν πίστεψε. Βλέπεις πῶς αὐτὸ ὁδηγεῖ πολὺ πιὸ εὔκολα στὴν πίστη τῆς ἀνάστασης; Γιατὶ ἐκεῖνο καὶ ὁ δικός του μαθητὴς ὅταν τὸ εἶδε δὲν πίστεψε, ἐνῶ αὐτὰ καὶ οἱ ἐχθροί του ὅταν τὰ εἶδαν πίστεψαν. Τόσο μεγαλύτερο καὶ σαφέστερο ἦταν αὐτὸ ἀπὸ ἐκεῖνο καὶ περισσότερο τοὺς προσείλκυε καὶ τοὺς ἔπειθε γιὰ τὴν ἀνάσταση.

Καὶ γιατί ἀναφέρω τὸ Θωμᾶ; Ὅτι λοιπὸν οὔτε οἱ ἄλλοι μαθητὲς δὲν πίστευαν ἀπὸ τὴν πρώτη ἐμφάνισή του, ἄκουσε προσεκτικά. Ἀλλὰ μὴν τοὺς κατηγορήσεις γι' αὐτό, ἀγαπητέ· γιατί, ἂν ὁ Χριστὸς δὲν τοὺς κατηγόρησε, οὔτε ἐσὺ νὰ τοὺς κατηγορήσεις. Γιατὶ πραγματικὰ οἱ μαθητὲς εἶδαν πράγμα ἀσυνήθιστο καὶ παράδοξο, τὸ ὅτι δηλαδὴ πρῶτος αὐτὸς ἀναστήθηκε ἀπὸ τοὺς νεκρούς. Καὶ αὐτὰ τὰ πολὺ μεγάλα θαύματα ἀπὸ τὴν πρώτη στιγμὴ προκαλοῦν συνήθως κατάπληξη, μέχρι ποὺ μὲ τὴν πάροδο τοῦ χρόνου νὰ γίνουν μόνιμα στὶς ψυχὲς τῶν πιστῶν. Αὐτὸ ἀκριβῶς τὸ πράγμα ἔγινε καὶ στοὺς μαθητὲς τότε. Γιατί, ὅταν μετὰ τὴν ἀνάστασή του ἀπὸ τοὺς νεκροὺς ὁ Χριστὸς τοὺς εἶπε, «εἰρήνη σὲ σᾶς, ἐκεῖνοι», λέγει, «ἀπὸ τὸν τρόμο καὶ τὸ φόβο τους νόμιζαν πὼς ἔβλεπαν φάντασμα, καὶ ὁ Ἰησοῦς τοὺς εἶπε· 'γιατί εἶστε τρομαγμένοι;'»[27]. Καὶ ὕστερα ἀπ' αὐτά, ἀφοῦ τοὺς ἔδειξε τὰ χέρια του καὶ τὰ πόδια του, καὶ «καθὼς αὐτοὶ ἀπὸ τὴ χαρά τους δὲν πίστευαν καὶ ἦταν κατάπληκτοι, τοὺς εἶπε· 'ἔχετε τίποτε φαγώσιμο ἐδῶ;'»[28], θέλοντας μ' αὐτὰ νὰ τοὺς ἐπιβεβαιώσει τὴν ἀνάσταση. Δὲ σὲ πείθει, λέγει, ἡ πλευρὰ οὔτε τὰ τραύματα; ἂς σὲ πείσει τουλάχιστο τὸ τραπέζι.

7. Καὶ γιὰ νὰ μάθεις μὲ ἀκρίβεια, ὅτι γι' αὐτὸ εἶπε, «ἔχετε τίποτε φαγώσιμο ἐδῶ νὰ φᾶμε;», γιὰ νὰ μὴ νομίσουν δηλαδὴ ὅτι εἶναι εἴδωλο, μήτε πνεῦμα, μήτε φάντασμα, ἀλλ' ἀληθινὴ καὶ πραγματικὴ ἀνάσταση, ἄκουσε μὲ ποιό τρόπο ὁ Πέτρος ἐπιβεβαιώνει ἀπ' αὐτὰ τὴν ἀνάσταση. Γιατί, ἀφοῦ εἶπε, «ὁ Θεὸς τὸν

κεν αὐτὸν ἐμφανῆ γενέσθαι μάρτυσι τοῖς προκεχειροτονημένοις· ἡμῖν», εἶτα καὶ ἀπόδειξιν τῆς ἀναστάσεως τιθείς, ἐπήγαγεν· «οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ». Διὰ τοῦτο καὶ ἀλλαχοῦ ἀναστήσας νεκρὰν ὁ Χριστός, ἵνα πιστώσηται τὴν ἀνάστασιν ἔφη· «δότε αὐτῇ φαγεῖν».

Ὅταν οὖν ἀκούσῃς, ὅτι παρέστησεν ἑαυτὸν ζῶντα δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ συναλιζόμενος, μάνθανε τῆς τραπέζης τὴν αἰτίαν, ὅτι οὐχὶ δεόμενος αὐτὸς τραπέζης ἔτρωγεν, ἀλλὰ βουλόμενος τὴν ἀσθένειαν διορθῶσαι τῶν μαθητῶν, ὅθεν δῆλον ὅτι τὰ τέρατα καὶ σημεῖα τῶν ἀποστόλων ἀπόδειξις ἦν μεγίστη τῆς ἀναστάσεως. Διὸ καὶ αὐτός φησιν· «ἀμήν, ἀμήν, λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ποιῶ ἐγώ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει». Ἐπειδὴ γὰρ ὁ σταυρὸς μεταξὺ παραμπεσὼν ἐσκανδάλισε πλείστους, διὰ τοῦτο καὶ μειζόνων ἐδέησε μετὰ ταῦτα σημείων. Καίτοι γε εἰ τελευτήσας ὁ Χριστὸς ἐναπέμεινε τῷ θανάτῳ καὶ τῷ τάφῳ, καὶ οὐκ ἀνέστη, καθάπερ οἱ Ἰουδαῖοί φασιν, οὐδὲ ἀνέβη εἰς τοὺς οὐρανούς, οὐ μόνον οὐκ ἔδει μείζονα γίνεσθαι τὰ μετὰ ταῦτα σημεῖα τὰ μετὰ τὸν σταυρόν, ἀλλὰ καὶ τὰ πρότερα γινόμενα ἀποσβεσθῆναι ἐχρῆν. Προσέχετέ μοι μετὰ ἀκριβείας ἐνταῦθα· ἀναστάσεως γάρ εἰσιν ἀναμφισβήτου ἀποδείξεις τὰ λεγόμενα, διὸ καὶ πάλιν τὰ αὐτὰ ἐρῶ.

Ἐποίησε σημεῖα πρὸ τούτου ὁ Χριστός, νεκροὺς ἤγειρε, λεπροὺς ἐκάθηρε, δαίμονας ἀπήλασεν· ἐσταυρώθη μετὰ ταῦτα, καὶ ὡς οἱ παράνομοι Ἰουδαῖοι λέγουσιν, οὐκ ἀνέστη ἐκ νεκρῶν. Τί οὖν ἂν εἴποιμεν πρὸς αὐτούς; Ὅτι, εἰ μὴ ἀνέστη, πῶς μετὰ

---

29. Πράξ. 10,40–41.
30. Μάρκ. 5,43.
31. Ἰω. 14,12.

ἀνάστησε καὶ τὸν ἔκανε νὰ ἐμφανισθεῖ σὲ μάρτυρες ποὺ εἶχε διαλέξει ἀπὸ πρίν, δηλαδὴ σὲ μᾶς», ἔπειτα, ἀνέφερε καὶ τὴν ἀπόδειξη τῆς ἀνάστασης καὶ πρόσθεσε· «οἱ ὁποῖοι φάγαμε καὶ ἤπιαμε μαζί του»[29]. Γι' αὐτὸ καὶ ἀλλοῦ, ὅταν ἀνέστησε κάποια νεκρή, γιὰ νὰ βεβαιώσει τὴν ἀνάσταση ὁ Χριστὸς εἶπε· «δῶστε της νὰ φάει»[30].

Ὅταν λοιπὸν ἀκούσεις πὼς παρουσίασε τὸν ἑαυτό του ζωντανὸ γιὰ σαράντα ἡμέρες ἐμφανιζόμενος σ' αὐτοὺς καὶ συναναστρεφόμενος μ' αὐτούς, μάθαινε τὴν αἰτία γιὰ τὸ φαγητό, ὅτι δηλαδὴ δὲν ἔτρωγε γιατὶ εἶχε ἀνάγκη ὁ ἴδιος ἀπὸ φαγητό, ἀλλὰ γιατὶ ἤθελε νὰ διορθώσει τὴν πνευματικὴ ἀδυναμία τῶν μαθητῶν του, καὶ ἑπομένως εἶναι φανερὸ πὼς τὰ σημεῖα καὶ τὰ τέρατα τῶν ἀποστόλων ἦταν ἡ πιὸ μεγάλη ἀπόδειξη τῆς ἀνάστασης. Γι' αὐτὸ καὶ ὁ ἴδιος λέγει· «ἀλήθεια, ἀλήθεια σᾶς λέγω, ἐκεῖνος ποὺ πιστεύει σὲ μένα θὰ κάνει καὶ αὐτὸς τὰ ἴδια ἔργα ποὺ κάνω ἐγώ, καὶ θὰ κάνει ἀκόμη μεγαλύτερα ἀπ' αὐτά»[31]. Ἐπειδὴ ἡ σταύρωση μπῆκε στὴ μέση καὶ σκανδάλισε πάρα πολλούς, γι' αὐτὸ καὶ χρειάσθηκαν στὴ συνέχεια μεγαλύτερα θαύματα. Καὶ βέβαια, ἂν πεθαίνοντας ὁ Χριστὸς παρέμεινε στὸ θάνατο καὶ στὸν τάφο καὶ δὲν ἀνασταινόταν, ὅπως ἰσχυρίζονται οἱ Ἰουδαῖοι, καὶ ἂν δὲν ἀνέβαινε στοὺς οὐρανούς, ὄχι μόνο δὲ ἔπρεπε νὰ γίνονται μεγαλύτερα τὰ ἑπόμενα θαύματα, δηλαδὴ τὰ μετὰ τὴ σταύρωση, ἀλλὰ καὶ ὅσα γίνονταν προηγουμένως ἔπρεπε νὰ λησμονηθοῦν τελείως. Προσέχετε, παρακαλῶ, μὲ ἀκρίβεια ἐδῶ· γιατὶ τὰ λεγόμενα εἶναι ἀποδείξεις ἀναμφισβήτητης ἀνάστασης, γι' αὐτὸ καὶ πάλι θὰ πῶ τὰ ἴδια.

Ἔκαμε πρὶν ἀπ' αὐτὸ θαύματα ὁ Χριστός· ἀνέστησε νεκρούς, καθάρισε λεπρούς, ἔδιωξε δαίμονες. Ὕστερα σταυρώθηκε, καί, ὅπως ἰσχυρίζονται οἱ παράνομοι Ἰουδαῖοι, δὲν ἀναστήθηκε ἀπὸ τοὺς νερκούς. Τί λοιπὸν θὰ μπορούσαμε νὰ ποῦμε σ' αὐτούς; Ὅτι, ἂν δὲν ἀνασταινόταν, πῶς ὕστερα γίνονταν με-

ταῦτα ἐν τῷ ὀνόματι αὐτοῦ μείζονα ἐγίνετο σημεῖα; Οὐδεὶς γὰρ τῶν ζώντων τελευτήσας μείζονα σημεῖα ἐποίησε μετὰ τὴν τελευτήν, ἐνταῦθα δὲ μείζονα καὶ τῷ τρόπῳ καὶ τῇ φύσει τὰ θαύματα μετὰ ταῦτα ἦν. Φύσει γὰρ μείζονα ἦν, ὅτι μὲν τοῦ Χριστοῦ οὐδέποτε σκιαὶ νεκροὺς ἀνέστησαν· ἐπὶ δὲ τῶν ἀποστόλων αἱ σκιαὶ αὐτῶν πολλὰ τοιαῦτα ἐποίουν. Τρόπῳ δὲ μείζονα ἐγένετο σημεῖα, ὅτι τότε μὲν αὐτὸς ἐπιτάττων ἐθαυματούργει· μετὰ δὲ τὸν σταυρὸν οἱ δοῦλοι αὐτοῦ τῷ σεβσμίῳ καὶ ἁγίῳ αὐτοῦ ὀνόματι χρώμενοι μείζονα καὶ ὑψηλότερα ἐποίουν, ὥστε μειζόνως αὐτοῦ καὶ ἐνδοξοτέρως διαλάμψαι τὴν ἰσχύν. Τοῦ γὰρ αὐτὸν ἐπιτάττειν πολλῷ μεῖζον ἦν τὸ ἕτερον τῷ ἐκείνου κεχρημένον ὀνόματι τοιαῦτα θαυματουργεῖν.

Εἶδες, ἀγαπητέ, καὶ τῇ φύσει καὶ τῷ τρόπῳ μείζονα ὄντα τὰ σημεῖα τῶν ἀποστόλων μετὰ τὴν ἀνάστασιν τοῦ Χριστοῦ; Οὐκοῦν ἀναμφισβήτητος ἡ ἀπόδειξις τῆς ἀναστάσεως. Ὅπερ γὰρ ἔλεγον, καὶ πάλιν ἐρῶ, εἰ ἐτετελευτήκει ὁ Χριστὸς καὶ οὐκ ἀνέστη, ἔδει καὶ τὰ σημεῖα τελευτῆσαι καὶ ἀποσβεσθῆναι· νυνὶ δὲ οὐ μόνον οὐκ ἀπεσβέσθη, ἀλλὰ καὶ λαμπρότερα καὶ ἐνδοξότερα γέγονε μετὰ ταῦτα. Εἰ γὰρ μὴ ἀνέστη ὁ Χριστός, οὐκ ἂν ἕτεροι ἐν τῷ ὀνόματι αὐτοῦ τοιαῦτα σημεῖα ἐποιήσαν. Ἡ αὐτὴ μὲν γὰρ δύναμις καὶ πρὸ τοῦ σταυροῦ καὶ μετὰ τὸν σταυρὸν ἐθαυματούργει· καὶ πρῶτον μὲν δι' ἑαυτοῦ, ὕστερον δὲ διὰ τῶν μαθητῶν· ἵνα δὲ σαφεστέρα καὶ ἐνδοξοτέρα γένηται τῆς ἀναστάσεως ἡ ἀπόδειξις, μείζονα καὶ ὑψηλότερα μετὰ τὸν σταυρὸν ἐγένετο τὰ σημεῖα. Καὶ πόθεν δῆλον ὅτι σημεῖα γέγονε τότε; ὁ ἄπιστος ἐρεῖ. Πόθεν δὲ καὶ δῆλον ὅτι ἐσταυρώθη ὁ Χριστός; Ἀπὸ τῶν θείων Γραφῶν, φησί.

Καὶ γὰρ ὅτι σημεῖα γέγονε τότε καὶ ὅτι ἐσταυρώθη ὁ Χρι-

γαλύτερα θαύματα στὸ ὄνομά του; Γιατὶ κανεὶς ἀπὸ τοὺς ζωντανοὺς ἀφοῦ πέθανε δὲν ἔκαμε μεγαλύτερα θαύματα μετὰ τὸ θάνατό του, ἐνῶ ἐδῶ τὰ θαύματα ὕστερα ἦταν μεγαλύτερα καὶ ὡς πρὸς τὸν τρόπο καὶ ὡς πρὸς τὴν φύση τους. Ὡς πρὸς τὴ φύση τους ἦταν μεγαλύτερα, γιατὶ οἱ σκιὲς τοῦ Χριστοῦ ποτὲ δὲν ἀνέστησαν νεκρούς, ἐνῶ στοὺς ἀποστόλους οἱ σκιές τους ἔκαναν πολλὰ παρόμοια θαύματα. Καὶ ὡς πρὸς τὸν τρόπο ἔγιναν μεγαλύτερα θαύματα, γιατὶ τότε ἔκανε θαύματα διατάζοντας ὁ ἴδιος, ἐνῶ μετὰ τὴ σταύρωση οἱ δοῦλοι του χρησιμοποιώντας τὸ σεβάσμιο καὶ ἅγιο ὄνομά του ἔκαναν μεγαλύτερα καὶ ἀνώτερα, μὲ ἀποτέλεσμα νὰ λάμψει ἡ δύναμή του πιὸ πολὺ καὶ πιὸ ἔνδοξα. Γιατὶ ἀπὸ τὸ νὰ διατάζει ὁ ἴδιος ἦταν πολὺ μεγαλύτερο τὸ νὰ κάμνει τέτοια θαύματα ἄλλος χρησιμοποιώντας τὸ δικό του ὄνομα.

Εἶδες, ἀγαπητέ, ὅτι μετὰ τὴν ἀνάσταση τοῦ Χριστοῦ τὰ θαύματα τῶν ἀποστόλων εἶναι μεγαλύτερα καὶ ὡς πρὸς τὴ φύση τους καὶ ὡς πρὸς τὸν τρόπο; Ἑπομένως εἶναι ἀναμφισβήτητη ἡ ἀπόδειξη τῆς ἀνάστασης. Αὐτὸ λοιπὸν ποὺ ἔλεγα καὶ πάλι θὰ τὸ πῶ, ἂν ὁ Χριστὸς πέθαινε καὶ δὲν ἀνασταινόταν, ἔπρεπε καὶ τὰ θαύματα νὰ σταματήσουν καὶ νὰ ἐξαλειφθοῦν τελείως. Τώρα ὅμως ὄχι μόνο δὲν ἐξαλείφθηκαν, ἀλλ' ὕστερα ἀπὸ αὐτὰ ἔγιναν καὶ λαμπρότερα καὶ ἐνδοξότερα. Γιατί, ἂν δὲν ἀνασταινόταν ὁ Χριστός, δὲ θὰ ἔκαναν ἄλλοι τέτοια θαύματα στὸ ὄνομά του. Γιατὶ ἡ ἴδια δύναμη θαυματουργοῦσε καὶ πρὶν τὴ σταύρωση καὶ μετὰ τὴ σταύρωση. Καὶ πρῶτα βέβαια μόνος του, ὕστερα ὅμως μὲ τοὺς μαθητές του. Καὶ γιὰ νὰ γίνει σαφέστερη καὶ λαμπρότερη ἡ ἀπόδειξη τῆς ἀνάστασης, ἔγιναν μεγαλύτερα καὶ ἀνώτερα θαύματα μετὰ τὴ σταύρωση. Καὶ ἀπὸ ποῦ φαίνεται πὼς τότε ἔγιναν θαύματα; θὰ πεῖ ὁ ἄπιστος. Καὶ ἀπὸ ποῦ φαίνεται πὼς σταυρώθηκε ὁ Χριστός; Ἀπὸ τὶς θεῖες Γραφές, λέγει.

Πραγματικά, τὸ ὅτι ἔγιναν θαύματα τότε καὶ ὅτι σταυρώ-

στός, ἀπὸ τῶν ἁγίων Γραφῶν δῆλον. Ἐκεῖναι μὲν γὰρ καὶ ταῦτα κἀκεῖνα λέγουσιν. Εἰ δὲ λέγει ὁ ὑπεναντίος, ὅτι οὐκ ἐποίησαν σημεῖα οἱ ἀπόστολοι, μειζόνως αὐτῶν δεικνύεις τὴν δύναμιν καὶ τὴν θεία χάριν, ὅτι χωρὶς σημείων τοσαύτην οἰκουμένην ἐπεσπάσαντο πρὸς θεοσέβειαν. Τοῦτο γὰρ μέγιστον σημεῖον καὶ παράδοξον θαῦμα, ὅταν οἱ πτωχοὶ καὶ πένητες καὶ εὐκαταφρόνητοι καὶ ἀγράμματοι καὶ ἰδιῶται καὶ εὐτελεῖς καὶ δώδεκα τὸν ἀριθμόν, πόλεις τοσαύτας καὶ ἔθνη καὶ δήμους καὶ βασιλεῖς καὶ τυράννους καὶ φιλοσόφους καὶ ῥήτορας καὶ πᾶσαν, ὡς εἰπεῖν, τὴν γῆν χωρὶς σημείων φαίνωνται πρὸς ἑαυτοὺς ἑλκύσαντες. Βούλει δὲ καὶ νῦν σημεῖα γινόμενα ἰδεῖν; Ἐγώ σοι δείξω καὶ μείζονα τῶν προτέρων, οὐχ ἕνα νεκρὸν ἐγειρόμενον, οὐχ ἕνα τυφλὸν ἀναβλέποντα, ἀλλὰ πᾶσαν τὴν γῆν τὸ σκότος τῆς πλάνης ἀποθεμένην· οὐχ ἕνα λεπρὸν καθαιρόμενον, ἀλλ' ἔθνη τοσαῦτα τὴν λέπραν τῆς ἁμαρτίας ἀποσμήξαντα καὶ διὰ τοῦ λουτροῦ παλιγγενεσίας καθαρθέντα. Τί τούτων τῶν σημείων μεῖζον ἐπιζητεῖς, ἄνθρωπε, ἀθρόον τοσαύτην τῆς οἰκουμένης μεταβολὴν ὁρῶν γεγενημένην;

8. Βούλει μαθεῖν πῶς ἀναβλέψαι τὴν οἰκουμένην ἐποίησεν ὁ Χριστός; Τὸ πρότερον τὸ ξύλον καὶ τὸν λίθον οὐκ ἐνόμιζον εἶναι ξύλον καὶ λίθον οἱ ἄνθρωποι, ἀλλὰ θεοὺς ἐκάλουν τὰ ἀναίσθητα· οὕτως ἦσαν ἀποτετυφλωμένοι· νυνὶ δὲ εἶδον τί ξύλον, τί λίθος· ἐπίστευσαν τί Θεός. Πίστει γὰρ μόνῃ θεωρεῖται ἡ ἀνώλεθρος καὶ μακαρία φύσις ἐκείνη. Βούλει δὲ καὶ ἕτερον ἀναστάσεως ἰδεῖν σημεῖον; Ἀπὸ τῆς τῶν μαθητῶν γνώμης ὄψει καὶ τοῦτο μεῖζον γινόμενον μετὰ τὴν ἀνάστασιν. Καὶ γὰρ παρὰ πᾶσιν ὡμολόγηται, ὅτι ὁ μὲν περὶ ζῶντα ἄνθρωπον εὐνοϊκῶς διακείμενος καὶ ἀποθανόντος ἴσως οὐδὲ μέμνηται· ὁ δὲ περὶ ζῶντα

θηκε ὁ Χριστός, φαίνεται ἀπὸ τὶς Γραφές. Γιατὶ ἐκεῖνες λέγουν καὶ αὐτὰ καὶ ἐκεῖνα. Ἂν ὅμως ὁ ἀντίπαλος λέγει ὅτι δὲν ἔκαμαν θαύματα οἱ ἀπόστολοι, ἀποδεικνύει σὲ μεγαλύτερο βαθμὸ τὴ δύναμή τους καὶ τὴ θεία χάρη, γιατὶ χωρὶς θαύματα προσείλκυσαν στὴν πρὸς τὸ Θεὸ εὐσέβεια τόση μεγάλη οἰκουμένη. Γιατὶ αὐτὸ εἶναι μέγιστο σημεῖο καὶ παράδοξο θαῦμα, ὅταν οἱ φτωχοὶ καὶ πένητες καὶ περιφρονημένοι καὶ ἀγράμματοι καὶ ἁπλοϊκοὶ καὶ ἀσήμαντοι καὶ δώδεκα στὸν ἀριθμὸ φαίνονται νὰ προσείλκυσαν χωρὶς θαύματα πρὸς τὸν ἑαυτό τους τόσες πολλὲς πόλεις καὶ ἔθνη καὶ λαοὺς καὶ βασιλεῖς καὶ τυράννους καὶ φιλοσόφους καὶ ρήτορες καὶ ὅλη γενικὰ τὴ γῆ. Θέλεις ὅμως νὰ δεῖς ὅτι καὶ τώρα γίνονται θαύματα; Ἐγὼ θὰ σοῦ δείξω καὶ μάλιστα μεγαλύτερα ἀπὸ τὰ προηγούμενα, ὄχι ἕνα νεκρὸ νὰ ἀνασταίνεται, ὄχι ἕναν τυφλὸ νὰ βλέπει, ἀλλ' ὅλη τὴ γῆ νὰ ἔχει ἀπομακρύνει τὸ σκοτάδι τῆς πλάνης· ὄχι ἕνα λεπρὸ νὰ καθαρίζεται, ἀλλὰ τόσα πολλὰ ἔθνη νὰ ἔχουν ἐξαλείψει τὴ λέπρα τῆς ἁμαρτίας καὶ μὲ τὸ λουτρὸ τῆς ἀναγέννησης νὰ ἔχουν καθαρισθεῖ. Γιατί ἐπιζητᾶς μεγαλύτερο ἀπ' αὐτὰ τὰ θαύματα, ἄνθρωπε, ἀφοῦ βλέπεις ὅτι ἔχει γίνει μὲ μιᾶς τόση μεγάλη μεταβολὴ στὴν οἰκουμένη;

8. Θέλεις νὰ μάθεις πῶς ὁ Χριστὸς ἔκαμε τὴν οἰκουμένη νὰ ἀναβλέψει; Πρὶν τὸ ξύλο καὶ τὴν πέτρα δὲν τὰ θεωροῦσαν πὼς εἶναι ξύλο καὶ πέτρα οἱ ἄνθρωποι, ἀλλ' ὀνόμαζαν θεοὺς τὰ ἄψυχα· τόσο πολὺ ἦταν τυφλωμένοι· τώρα ὅμως γνώρισαν τί εἶναι ξύλο καὶ τί εἶναι πέτρα, πίστεψαν τί εἶναι Θεός. Γιατὶ μόνο μὲ τὴν πίστη βλέπεται ἡ ἀθάνατη καὶ μακάρια ἐκείνη φύση. Θέλεις νὰ δεῖς καὶ ἄλλο θαῦμα τῆς ἀνάστασης; Θὰ δεῖς ὅτι καὶ αὐτὸ ἀπὸ τὴ διάθεση τῶν μαθητῶν γίνεται μεγαλύτερο μετὰ τὴν ἀνάσταση. Γιατὶ πραγματικὰ ὅλοι παραδέχονται ὅτι ἐκεῖνος ποὺ ἔχει εὐνοϊκὴ διάθεση γιὰ ἕνα ζωντανὸ ἄνθρωπο ἴσως καὶ νὰ μὴν τὸν θυμᾶται ὅταν πεθάνει, ἐνῶ ἐκεῖνος ποὺ συμπεριφέρ-

ἀγνωμόνως διατεθεὶς καὶ ἐγκαταλιπὼν περιόντα, πολλῷ μᾶλλον ἀποθανόντος ἐπιλήσεται. Ὅθεν οὐδεὶς τῶν ἀνθρώπων τὸν φίλον καὶ τὸν διδάσκαλον ἀφεὶς ζῶντα καὶ ἐγκαταλιπών, τελευτήσαντα περὶ πολλοῦ ποιεῖται, καὶ μάλιστα ὅταν κινδύνους μυρίους αὐτῷ προκειμένους ἀπὸ τῆς περὶ ἐκεῖνον σπουδῆς βλέπῃ.

Ἀλλ' ἰδοὺ τοῦτο τὸ ἐπὶ μηδενὸς συμβαῖνον, ἐπὶ τοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων ἐγένετο, καὶ οἱ ζῶντα αὐτὸν ἀρνησάμενοι καὶ ἐγκαταλιπόντες, καὶ συλληφθέντα ἀφέντες, καὶ ἀποπηδήσαντες, μετὰ μυρία ἐκεῖνα ὀνείδη καὶ τὸν σταυρόν, οὕτω περὶ πολλοῦ πεποίηνται, ὡς καὶ τὰς ψυχὰς ἐπιδοῦναι τὰς ἑαυτῶν ὑπὲρ τῆς εἰς αὐτὸν ὁμολογίας καὶ πίστεως. Καίτοι γε εἰ καὶ τετελευτήκει Χριστὸς καὶ οὐκ ἀνέστη, πῶς εἶχε λόγον τοὺς ἡνίκα ἔζη φυγόντας διὰ τὸν ἐπικείμενον κίνδυνον, ἡνίκα ἐτελεύτησε μυρίοις ἑαυτοὺς δι' ἐκεῖνον περιβάλλειν κινδύνοις; Οἱ μὲν οὖν ἄλλοι πάντες ἔφυγον, Πέτρος δὲ καὶ ἠρνήσατο μεθ' ὅρκου τρίτον, καὶ ὁ μεθ' ὅρκου τρίτον αὐτὸν ἀρνησάμενος καὶ θεραπαινιδίου φόβον εὐτελοῦς δείσας, ἐπειδὴ ἐτελεύτησε, βουλόμενος ἡμᾶς πεῖσαι διὰ τῶν πραγμάτων αὐτῶν, ὅτι εἶδεν αὐτὸν ἀναστάντα, οὕτως ἀθρόον μετεβάλλετο ὡς ὁλοκλήρου καταγελάσαι δήμου, καὶ εἰς μέσον τῶν Ἰουδαίων τὸ θέατρον εἰσπηδῆσαι καὶ εἰπεῖν, ὅτι ὁ σταυρωθεὶς καὶ ταφεὶς ἀνέστη ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ εἰς τοὺς οὐρανοὺς ἀνέβη, καὶ μηδὲν αὐτὸν ὑποδεῖσθαι δεινόν.

Πόθεν οὖν τὸ θαρρεῖν αὐτῷ ἐγένετο; Πόθεν ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ τῆς πληροφορίας τῆς κατὰ τὴν ἀνάστασιν; Ἐπειδὴ γὰρ εἶδεν αὐτὸν καὶ διελέχθη καὶ περὶ τῶν μελλόντων ἤκουσε, διὰ τοῦτο ὡς ὑπὲρ ζῶντας κινδυνεύων λοιπόν, οὕτως ἁπάντων κατετόλμησε τῶν δεινῶν, ἅτε δὴ καὶ πλείονα λαβὼν δύναμιν καὶ

---

32. Βλ. Πράξ. 2,14–36.

θηκε μὲ ἀχαριστία σὲ ζωντανὸ καὶ τὸν ἐγκατέλειψε ὅταν ζοῦσε, πολὺ περισσότερο θὰ τὸν ξεχάσει ὅταν πεθάνει. Ἑπομένως κανεὶς ἀπὸ τοὺς ἀνθρώπους, ποὺ ἄφησε καὶ ἐγκατέλειψε τὸ φίλο καὶ δάσκαλο ὅταν ζοῦσε, δὲ φροντίζει γι' αὐτὸν ὅταν πεθάνει, καὶ μάλιστα ὅταν βλέπει ὅτι ἀπὸ τὴ φροντίδα του γι' αὐτὸν ὑπάρχουν γιὰ τὸν ἴδιο ἄπειροι κίνδυνοι.

Ἀλλὰ νά, αὐτὸ ποὺ δὲ συμβαίνει σὲ κάνεναν, ἔγινε στὸ Χριστὸ καὶ τοὺς ἀποστόλους, καὶ ἐκεῖνοι ποὺ ὅταν ζοῦσε τὸν ἀρνήθηκαν καὶ τὸν ἐγκατέλειψαν καὶ ποὺ ὅταν συνελήφθηκε τὸν ἄφησαν καὶ ἀπομακρύνθηκαν ἀπ' αὐτόν, μετὰ τοὺς ἀμέτρητους ἐκείνους ὀνειδισμοὺς καὶ τὴ σταύρωση, τόση ἀφοσίωση ἔδειξαν πρὸς αὐτόν, ὥστε καὶ τὶς ψυχές τους νὰ παραδώσουν γιὰ τὴ δική του ὁμολογία καὶ πίστη. Καὶ ὅμως, ἂν πέθαινε ὁ Χριστὸς καὶ δὲν ἀνασταινόταν, πῶς δικαιολογοῦνταν, ἐκεῖνοι ποὺ ὅταν ζοῦσε ἔφυγαν λόγω τοῦ ἐπικειμένου κινδύνου, νὰ ὑποβάλλονται γι' αὐτὸν σὲ ἄπειρους κινδύνους ὅταν πέθανε; Ὅλοι λοιπὸν οἱ ἄλλοι ἔφυγαν, ἐνῶ ὁ Πέτρος ἐπὶ πλέον καὶ τὸν ἀρνήθηκε μὲ ὅρκο τρεῖς φορές, καὶ αὐτὸς ποὺ τὸν ἀρνήθηκε μὲ ὅρκο τρεῖς φορὲς καὶ ἔδειξε φόβο μιᾶς ἀσήμαντης ὑπηρέτριας, ὅταν πέθανε ὁ Χριστός, θέλοντας νὰ μᾶς πείσει μὲ τὰ πράγματα αὐτὰ ὅτι τὸν εἶδε ἀναστημένο, τόσο ξαφνικὰ ἄλλαξε ὥστε νὰ περιφρονήσει ὁλόκληρο λαὸ καὶ νὰ ὁρμήσει στὴ μέση τῶν Ἰουδαίων καὶ νὰ πεῖ ὅτι ἐκεῖνος ποὺ σταυρώθηκε καὶ θάφτηκε τὴν τρίτη ἡμέρα ἀναστήθηκε ἀπὸ τοὺς νεκροὺς καὶ ἀνέβηκε στοὺς οὐρανούς, χωρὶς νὰ φοβηθεῖ κανένα κακό[32].

Ἀπὸ ποῦ λοιπὸν πῆρε θάρρος ὁ Πέτρος; Ἀπὸ ποῦ ἀλλοῦ παρὰ ἀπὸ τὴ βεβαιότητά του γιὰ τὴν ἀνάσταση; Ἐπειδὴ λοιπὸν εἶδε τὸ Χριστὸ καὶ μίλησε μαζί του, καὶ ἄκουσε γιὰ τὰ μελλοντικά, γι' αὐτὸ στὴ συνέχεια σὰν νὰ κινδύνευε γιὰ ζωντανούς, τόσο πολὺ περιφρόνησε ὅλα τὰ δεινά, ἀφοῦ βέβαια καὶ περισσότερη δύναμη ἔλαβε καὶ μεγαλύτερο θάρρος, ὥστε νὰ πεθάνει

μεῖζον τὸ θάρσος ὡς ὑπὲρ αὐτοῦ ἀποθανεῖν, καὶ τῷ σταυρῷ κατὰ κεφαλῆς προσομιλῆσαι. Ὅταν τοίνυν ἴδῃς καὶ σημεῖα μείζονα γινόμενα, καὶ τοὺς μαθητὰς πλείονα κεκτημένους εὔνοιαν περὶ αὐτὸν τοὺς πρότερον ἐγκαταλιπόντας αὐτόν, καὶ παρρησίαν μείζονα ἐπιδεικνυμένους, καὶ πανταχόθεν λαμπροτέραν γινομένην τῶν πραγμάτων τὴν μεταβολήν, καὶ ἐπὶ τὸ πεπαρρησιασμένον καὶ φαιδρὸν προελθόντα ἅπαντα, μάνθανε δι' αὐτῆς τῶν πραγμάτων τῆς πείρας, ὅτι οὐ μέχρι θανάτου τὰ κατὰ τὸν Χριστὸν ἔμεινεν, ἀλλὰ ἀνάστασις αὐτὸν διεδέξατο, καὶ ζῇ καὶ μένει διηνεκῶς ὁ σταυρωθεὶς Θεὸς ἀναλοίωτος. Οὐ γὰρ ἂν εἰ μὴ ἀνέστη καὶ ἔζη, μείζονα μετὰ ταῦτα σημεῖα εἰργάσαντο οἱ μαθηταὶ τῶν πρὸ τοῦ σταυροῦ γινομένων.

Τότε μὲν γὰρ αὐτὸν καὶ οἱ μαθηταὶ ἐγκατέλιπον· νυνὶ δὲ αὐτῷ καὶ ἡ οἰκουμένη προστρέχει ἅπασα, καὶ οὐχὶ Πέτρος μόνον, ἀλλὰ καὶ ἕτεροι μυρίοι, καὶ πολλῷ πλέον μετὰ Πέτρον τῶν οὐχ ἑωρακότων αὐτὸν τὰς ψυχὰς ἐπέδωκαν τὰς ἑαυτῶν ὑπὲρ ἐκείνου, καὶ τὰς κεφαλὰς ἀπετμήθησαν, καὶ μυρία ἔπαθον δεινά, ὥστε τὴν εἰς αὐτὸν ὁμολογίαν ὑγιῆ καὶ ἀκέραιον ἔχοντας ἀπελθεῖν. Πῶς οὖν ὁ νεκρὸς καὶ ἐν τῷ τάφῳ μένων, ὡς σὺ λέγεις, ὦ Ἰουδαῖε, τοσαύτην καὶ ἐν τοῖς μετ' ἐκείνους ἅπασιν ἐπεδείξατο τὴν ἰσχὺν καὶ τὴν δύναμιν, πείθων αὐτοὺς αὐτὸν μόνον προσκυνεῖν, καὶ πάντα αἱρεῖσθαι ὑπομεῖναι καὶ πάσχειν ὑπὲρ τοῦ μὴ τὴν πίστιν ἀπολέσαι τὴν εἰς αὐτόν; Ὁρᾷς διὰ πάντων σαφῆ τῆς ἀναστάσεως τὴν ὑπόδειξιν, διὰ τῶν σημείων τῶν τότε, τῶν νῦν, διὰ τῆς εὐνοίας τῶν μαθητῶν τῶν τότε, τῶν νῦν, διὰ τῶν κινδύνων ἐν οἷς διετέλεσαν οἱ πιστεύσαντες;

Βούλει καὶ τοὺς ἐχθροὺς ἰδεῖν πεφοβημένους αὐτοῦ τὴν ἰσχὺν καὶ τὴν δύναμιν, καὶ πολλῷ μᾶλλον μετὰ τὸν σταυρὸν ἀγωνιῶντας; Ἄκουε καὶ περὶ τούτων συνετῶς. «Θεωροῦντες γάρ», φησίν, «οἱ Ἰουδαῖοι τὴν τοῦ Πέτρου παρρησίαν καὶ Ἰωάν-

γι' αὐτὸν καὶ νὰ καρφωθεῖ στὸ σταυρὸ μὲ τὸ κεφάλι κάτω. Ὅταν λοιπὸν δεῖς νὰ γίνονται θαύματα μεγαλύτερα καὶ οἱ μαθητὲς ποὺ προηγουμένως τὸν ἐγκατέλειψαν νὰ δείχνουν περισσότερη ἀγάπη γι' αὐτὸν καὶ νὰ φανερώνουν μεγαλύτερο θάρρος καὶ ἀπὸ παντοῦ ἡ μεταβολὴ τῶν πραγμάτων νὰ γίνεται πιὸ λαμπρὴ καὶ ὅλα νὰ νὰ γίνονται μὲ μεγαλύτερο θάρρος καὶ φαιδρότητα, μάθαινε μὲ τὴ γνώση τῶν ἴδιων τῶν πραγμάτων, ὅτι ὁ Χριστὸς δὲν ἔμεινε στὸ θάνατο, ἀλλὰ τὸν διαδέχτηκε ἡ ἀνάσταση καὶ ζεῖ καὶ παραμένει πάντοτε ὁ ἀναλλοίωτος Θεὸς ποὺ σταυρώθηκε. Γιατί, ἂν δὲν ἀνασταινόταν καὶ δὲ ζοῦσε, δὲ θὰ ἔκαμναν οἱ μαθητὲς του ἀργότερα μεγαλύτερα θαύματα ἀπ' αὐτὰ ποὺ γίνονταν πρὶν τὴ σταύρωση.

Τότε λοιπὸν τὸν ἐγκατέλειψαν καὶ οἱ μαθητές του· τώρα ὅμως τρέχει σ' αὐτὸν καὶ ἡ οἰκουμένη ὁλόκληρη, καὶ ὄχι μόνο ὁ Πέτρος, ἀλλὰ καὶ ἄπειροι ἄλλοι καὶ πολὺ περισσότεροι μετὰ τὸν Πέτρο, ἀπὸ ἐκείνους ποὺ δὲν τὸν εἶδαν, παρέδωσαν τὶς ψυχές τους γιὰ τὸ Χριστὸ καὶ ἀποκεφαλίσθηκαν καὶ ἔπαθαν ἄπειρα κακά, ὥστε νὰ πεθάνουν μὲ ὀρθὴ καὶ ἀκέραιη τὴν ὁμολογία τους σ' αὐτόν. Πῶς λοιπὸν αὐτὸς ποὺ ἦταν νεκρὸς καὶ παρέμενε στὸν τάφο, ὅπως ἐσὺ λέγεις, Ἰουδαῖε, ἔδειξε τόσο μεγάλη ἰσχὺ καὶ δύναμη καὶ σὲ ὅλους μετὰ ἀπὸ ἐκείνους, πείθοντας αὐτοὺς μόνο αὐτὸν νὰ προσκυνοῦν, καὶ νὰ προτιμοῦν νὰ ὑπομένουν καὶ νὰ πάσχουν τὰ πάντα γιὰ νὰ μὴ χάσουν τὴν πίστη τους σ' αὐτόν; Βλέπεις μὲ ὅλα καθαρὴ τὴν ἀπόδειξη τῆς ἀνάστασης, μὲ τὰ θαύματα τὰ τότε καὶ τὰ τωρινά, μὲ τὴν ἀγάπη τῶν μαθητῶν τῶν τότε καὶ τῶν τωρινῶν, μὲ τοὺς κινδύνους ποὺ πέρασαν ἐκεῖνοι ποὺ πίστεψαν στὸ Χριστό;

Θέλεις νὰ δεῖς καὶ τοὺς ἐχθρούς του νὰ φοβοῦνται τὴν ἰσχὺ καὶ τὴ δύναμή του καὶ νὰ ἀγωνιοῦν πολὺ περισσότερο μετὰ τὴ σταύρωση; Ἄκου καὶ γι' αὐτὰ προσεκτικά. «Ὅταν εἶδαν», λέγει, «οἱ Ἰουδαῖοι τὸ θάρρος τοῦ Πέτρου καὶ τοῦ Ἰωάν-

νου, καὶ καταλαβόμενοι, ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον», καὶ ἠγωνίων, οὐκ ἐπειδὴ ἀγράμματοι ἦσαν, ἀλλ' ἐπειδὴ ἀγράμματοι ὄντες πάντων τῶν σοφῶν περιεγένοντο, καὶ «τὸν ἄνθρωπον σὺν αὐτοῖς ὁρῶντες τὸν τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν»· καίτοι γε πρὸ τούτου ἀντέλεγον σημεῖα ὁρῶντες γινόμενα. Πῶς οὖν τότε οὐκ ἀντεῖπον; Ἀπέστησεν αὐτῶν τὴν γλῶτταν ἡ ἀόρατος τοῦ σταυρωθέντος δύναμις· ἐκεῖνος τὸ στόμα αὐτῶν ἐνέφραξεν· ἐκεῖνος τὴν παρρησίαν κατέστειλε· διὰ τοῦτο καὶ εἱστήκεισαν μηδὲν ἔχοντες ἀντειπεῖν. Ὅταν δὲ καὶ ἐφθέγξαντο, ὅρα πῶς τὴν δειλίαν ὁμολογοῦσι τὴν ἑαυτῶν. «Βούλεσθε», φησίν, «ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου».

Καὶ μήν, εἰ ἄνθρωπός ἐστι ψιλός, τί δέδοικας αὐτοῦ τὸ αἷμα; πόσους ἀνεῖλες προφήτας, πόσους ἔσφαξας δικαίους, ὦ Ἰουδαῖε, καὶ οὐδενὸς αὐτῶν τὸ αἷμα ἐφοβήθης; τίνος ἕνεκεν ἐνταῦθα φοβῇ; Κατέσεισεν αὐτῶν ὄντως τὸ συνειδὸς ὁ σταυρωθείς, καὶ τὴν ἀγωνίαν ἣν εἶχον κρύψαι μὴ δυνάμενοι, καὶ ἄκοντες ἐπὶ τῶν ἐχθρῶν ὁμολογοῦσι τὴν οἰκείαν ἀσθένειαν. Καὶ ὅτε μὲν ἐσταύρουν αὐτὸν ἐβόων λέγοντες· «τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν»· οὕτω κατεφρόνουν τοῦ αἵματος αὐτοῦ. Μετὰ δὲ τὸν σταυρὸν ἰδόντες αὐτοῦ τὴν δύναμιν διαλάμπουσαν, φοβοῦνται καὶ ἀγωνιῶσι, καὶ λέγουσι· «βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου;». Καίτοι γε εἰ πλάνος ἦν καὶ ἀντίθεος, καθὼς φατε, Ἰουδαῖοι παράνομοι, τίνος ἕνεκεν αὐτοῦ δεδοίκατε τὸ αἷμα; καὶ γὰρ καὶ ἐγκαλλωπίζεσθαι ἔδει τῷ φόνῳ, εἰ τοιοῦτος ἦν. Ἀλλ' ἐπειδὴ τοιοῦτος οὐκ ἦν, διὰ τοῦτο τρέμουσιν.

9. Ὁρᾷς πανταχόθεν καὶ τοὺς ἐχθροὺς ἀγωνιῶντας καὶ δεδοικότας; εἶδες αὐτῶν τὴν ἀγωνίαν; Μάθε καὶ τοῦ σταυρωθέντος

---

33. Πράξ. 4,13–14.

34. Πράξ. 5,28.

35. Ματθ. 27,25.

νη καὶ κατανόησαν ὅτι εἶναι ἄνθρωποι ἀγράμματοι καὶ ἁπλοϊκοί, ἔμειναν κατάπληκτοι», καὶ ἀγωνιοῦσαν ὄχι γιατὶ ἦταν ἀγράμματοι, ἀλλὰ γιατί, ἂν καὶ ἀγράμματοι, ἦταν ἀνώτεροι ἀπ' ὅλους τοὺς σοφούς, καὶ «ὅταν εἶδαν καὶ τὸν ἄνθρωπο ποὺ θεραπεύθηκε νὰ εἶναι μαζί τους, δὲν μποροῦσαν νὰ φέρουν καμμιὰ ἀντίρρηση»[33]. Καὶ ὅμως πρὶν ἀπ' αὐτὸ ἔφερναν ἀντιρρήσεις ὅταν ἔβλεπαν νὰ γίνονται θαύματα. Πῶς λοιπὸν τότε δὲν ἔφεραν; Ἐμπόδισε τὴ γλώσσα τους ἡ ἀόρατη δύναμη τοῦ σταυρωμένου· αὐτὸς ἔφραξε τὸ στόμα τους· αὐτὸς συγκράτησε τὴν παρρησία τους. Γι' αὐτὸ καὶ στάθηκαν χωρὶς νὰ μποροῦν νὰ φέρουν καμιὰ ἀντίρρηση. Ὅταν ὅμως μίλησαν, πρόσεχε πῶς ὁμολογοῦν τὴ δειλία τους. «Θέλετε», λέγει, «νὰ ρίξετε πάνω μας τὸ κρίμα γιὰ τὸ αἷμα αὐτοῦ τοῦ ἀνθρώπου;»[34].

Καὶ ὅμως, ἂν εἶναι ἁπλὸς ἄνθρωπος, γιατί φοβᾶσαι τὸ αἷμα του; πόσους προφῆτες θανάτωσες, πόσους δικαίους ἔσφαξες, Ἰουδαῖε, καὶ δὲ φοβήθηκες τὸ αἷμα κανενὸς ἀπ' αὐτούς; Γιὰ ποιό λόγο φοβᾶσαι ἐδῶ; Κατατρόμαξε πράγματι τὴ συνείδησή τους ὁ σταυρωμένος καί, μὴ μπορώντας νὰ κρύψουν τὴν ἀγωνία ποὺ εἶχαν, χωρὶς τὴ θέλησή τους ὁμολογοῦν ἐνώπιον τῶν ἐχθρῶν τὴ δική τους ἀδυναμία. Καὶ ὅταν τὸν σταύρωναν, φώναζαν λέγοντας, «τὸ κρίμα γιὰ τὸ αἷμα του ἂς πέσει πάνω μας καὶ πάνω στὰ παιδιά μας»[35]· τόσο πολὺ περιφρονοῦσαν τὸ αἷμα του. Ὅταν ὅμως μετὰ τὴ σταύρωση εἶδαν τὴ δύναμή του νὰ λάμπει, φοβοῦνται καὶ ἀγωνιοῦν καὶ λέγουν· «θέλετε νὰ ρίξετε πάνω μας τὸ κρίμα γιὰ τὸ αἷμα αὐτοῦ τοῦ ἀνθρώπου;». Καὶ ὅμως, ἂν ἦταν πλάνος καὶ ἀσεβής, καθὼς ἰσχυρίζεστε, παράνομοι Ἰουδαῖοι, γιὰ ποιό λόγο φοβᾶστε τὸ αἷμα του; Γιατί, πραγματικα ἔπρεπε καὶ νὰ καυχιένται ἀκόμη γιὰ τὸ φόνο, ἂν ἦταν τέτοιος. Ἐπειδὴ ὅμως δὲν ἦταν τέτοιος, γι' αὐτὸ τρέμουν.

9. Βλέπεις ἀπὸ παντοῦ καὶ τοὺς ἐχθρούς του νὰ ἀγωνιοῦν καὶ νὰ φοβοῦνται; Εἶδες τὴν ἀγωνία τους; Μάθε καὶ τοῦ σταυρωμέ-

τὴν φιλανθρωπίαν. Ἐκεῖνοι μὲν γὰρ ἔλεγον· «τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν»· ὁ δὲ Χριστὸς οὐκ ἐποίησεν οὕτως· ἀλλὰ πρὸς τὸν Πατέρα καθικετεύων λέγει· «Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν». Εἰ γὰρ ἐγένετο τὸ αἷμα αὐτοῦ ἐπ' αὐτοὺς καὶ ἐπὶ τὰ τέκνα αὐτῶν, οὐκ ἂν ἀπὸ τῶν τέκνων αὐτῶν ἐγένοντο ἀπόστολοι· οὐκ ἂν ὁμοῦ τρισχίλιοι ἐπίστευσαν, οὐκ ἂν ἀπηνεῖς περὶ τὰ ἔκγονα αὐτῶν ὄντες καὶ τὴν φύσιν αὐτὴν ἠγνόησαν, ὁ δὲ Θεὸς πατέρων ἁπάντων φιλανθρωπότερος, καὶ μητέρων φιλοστοργότερος γέγονεν; Ἐγένετο μὲν γὰρ τὸ αἷμα αὐτοῦ ἐπ' αὐτοὺς καὶ ἐπὶ τὰ τέκνα αὐτῶν· ἐπὶ τὰ τέκνα δὲ οὐχὶ πάντα, ἀλλ' ἐπ' ἐκεῖνα μόνον τὰ μιμησάμενα τὴν πατρικὴν ἀσέβειαν καὶ παρανομίαν, καὶ ὅσοι ἦσαν αὐτοῖς υἱοὶ οὐ κατὰ τὴν τῆς φύσεως διαδοχήν, ἀλλὰ κατὰ τὴν τῆς προαιρέσεως μανίαν, οὗτοι μόνοι γεγόνασιν ὑπεύθυνοι τῶν κακῶν.

Σκόπει δέ μοι καὶ ἑτέρωθεν τὴν ἀγαθότητα καὶ φιλανθρωπίαν τοῦ Θεοῦ. Οὐ γὰρ εὐθέως ἐπήγαγεν ἐπ' αὐτοὺς τὴν κόλασιν καὶ τὴν τιμωρίαν, ἀλλὰ τεσσαράκοντα καὶ πλείονα ἔτη διέλιπε μετὰ τὸν σταυρόν. Αὐτὸς μὲν γὰρ ὁ Σωτὴρ ἐπὶ Τιβερίου ἐσταυρώθη· ἡ δὲ πόλις αὐτῶν ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου ἑάλω. Τίνος οὖν ἕνεκεν τὸν μετὰ ταῦτα τοῦτον χρόνον διέλιπεν; Βουλόμενος αὐτοῖς δοῦναι καιρὸν μετανοίας, ὥστε ἀποδύσασθαι τὰ πεπλημμελημένα, ὥστε ἀποκρούσασθαι τὰ ἐγκλήματα. Ἐπειδὴ δὲ καὶ προθεσμίαν μετανοίας λαβόντες ἔμενον ἀνιάτως ἔχοντες, ἐπήγαγε λοιπὸν αὐτοῖς τὴν κόλασιν καὶ τὴν τιμωρίαν, καὶ τὴν πόλιν καθελὼν ἐξήγαγεν αὐτοὺς διασπείρας πανταχοῦ τῆς οἰκουμένης, καὶ τοῦτο διὰ φιλανθρωπίαν ποιῶν.

---

36. Λουκᾶ 23,24. 37. Βλ. Πράξ. 2,41 · 4,4.

38. Τιβέριος· δεύτερος αὐτοκράτορας τῆς Ρώμης (14–36 μ.Χ). Βεσπασιανός· αὐτοκράτορας κατὰ τὰ ἔτη 69–79 μ.Χ. Τίτος· υἱὸς καὶ διάδοχος τοῦ Βεσπασιανοῦ (79–81 μ.Χ.). Ἡ ἅλωση τῆς Ἱερουσαλὴμ ἀπὸ τοὺς Ρωμαίους, ὅπως

νου τὴ φιλανθρωπία. Γιατὶ ἐκεῖνοι ἔλεγαν, «τὸ κρίμα γιὰ τὸ αἷμα του ἂς πέσει πάνω μας καὶ πάνω στὰ παιδιά μας», ὁ Χριστὸς ὅμως δὲν ἔκαμε αὐτό, ἀλλὰ παρακαλώντας τὸν Πατέρα του λέγει· «Πατέρα, συγχώρησέ τους, γιατὶ δὲν ξέρουν τί κάνουν»[36]. Γιατί, ἂν τὸ κρίμα γιὰ τὸ αἷμα του ἔπεφτε πάνω σ' αὐτοὺς καὶ πάνω στὰ παιδιά τους, δὲ θὰ προέρχονταν ἀπὸ τὰ παιδιά τους ἀπόστολοι, δὲ θὰ πίστευαν τρεῖς χιλιάδες ἄνθρωποι μαζί, δὲ θὰ πίστευαν πέντε χιλιάδες[37]. Βλέπεις πῶς ἐκεῖνοι, ἐπειδὴ ἦταν ὠμοὶ καὶ σκληροὶ γιὰ τὰ παιδιά τους, ἀγνόησαν καὶ τὴν ἴδια τὴ φύση, ἐνῶ ὁ Θεὸς ἔγινε πιὸ φιλάνθρωπος ἀπ' ὅλους τοὺς πατέρες καὶ πιὸ φιλόστοργος ἀπὸ τὶς μητέρες; Ἔπεσε λοιπὸν τὸ κρίμα γιὰ τὸ αἷμα του πάνω σ' αὐτοὺς καὶ πάνω στὰ παιδιά τους, ὄχι ὅμως ἐπάνω σὲ ὅλα τὰ παιδιά τους, ἀλλα σ' ἐκεῖνα μόνο ποὺ μιμήθηκαν τὴν πατρικὴ ἀσέβεια καὶ παρανομία, καὶ ὅσοι ὑπῆρξαν παιδιά τους ὄχι σύμφωνα μὲ τὴ διαδοχὴ τῆς φύσης ἀλλὰ σύμφωνα μὲ τὴ μανία τῆς διάθεσης, αὐτοὶ μόνο ἔγιναν ὑπεύθυνοι γιὰ τὰ κακά.

Πρόσεχε ὅμως, παρακαλῶ, καὶ ἀπὸ ἀλλοῦ τὴν ἀγαθότητα καὶ φιλανθρωπία τοῦ Θεοῦ. Γιατὶ δὲν ἐπέφερε σ' αὐτοὺς ἀμέσως τὴν ποινὴ καὶ τὴν τιμωρία, ἀλλ' ἄφησε νὰ περάσουν πάνω ἀπὸ σαράντα χρόνια μετὰ τὴ σταύρωση. Γιατὶ ὁ ἴδιος ὁ Σωτήρας σταυρώθηκε τὴν ἐποχὴ τοῦ Τιβερίου, ἡ πόλη τους ὅμως ἔπεσε στὰ χρόνια τοῦ Βεσπασιανοῦ καὶ τοῦ Τίτου[38]. Γιὰ ποιό λόγο λοιπὸν ἄφησε αὐτὸν τὸν μετὰ τὴ σταύρωση χρόνο; Ἐπειδὴ ἤθελε νὰ τοὺς δώσει καιρὸ γιὰ μετάνοια, ὥστε νὰ ἀποβάλουν τὰ ἁμαρτήματα, ὥστε νὰ ἀπορρίψουν τὰ ἐγκλήματα. Ἐπειδη ὅμως παρέμειναν ἀθεράπευτοι παρ' ὅλο ποὺ ἔλαβαν προθεσμία γιὰ μετάνοια, ἐπέφερε στὴ συνέχεια σ' αὐτοὺς τὴν ποινὴ καὶ τὴν τιμωρία, καί, ἀφοῦ κατέστρεψε τὴν πόλη, τοὺς διασκόρπισε σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης, κάνοντας καὶ αὐτὸ ἐξ αἰτίας τῆς φιλανθρωπίας του.

εἶναι γνωστό, ἔγινε τὸ 70 μ.Χ.

Διέσπειρε γὰρ αὐτούς, ἵνα πανταχοῦ τῆς οἰκουμένης προσκυνούμενον ἴδωσι τὸν ὑπ' αὐτῶν σταυρωθέντα Χριστόν, ἵνα ὁρῶντες αὐτὸν προσκυνούμενον ὑπὸ πάντων καὶ μαθόντες αὐτοῦ τὴν δύναμιν, ἐπιγνῶσι τῆς οἰκείας ἀσεβείας τὴν ὑπερβολήν, καὶ ἐπιγνόντες ἐπανέλθωσι πρὸς τὴν ἀλήθειαν. Καὶ λοιπὸν ἡ αἰχμαλωσία αὐτοῖς διδασκαλία ἐγίνετο, καὶ ἡ τιμωρία νουθεσία· εἰ γὰρ ἔμενον ἐπὶ τῆς Ἰουδαίας γῆς, οὐκ ἂν ἔγνωσαν τῶν προφητῶν τὴν ἀλήθειαν. Τί γὰρ καὶ ἔλεγον οἱ προφῆται; «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς». Ἔδει τοίνυν αὐτοὺς ἐξελθεῖν εἰς τὰ πέρατα τῆς γῆς, ἵνα ἴδωσιν οἰκείοις ὀφθαλμοῖς, ὅτι καὶ τὰ πέρατα τῆς γῆς κατέχει ὁ Χριστός. Πάλιν οὖν ἕτερος προφήτης λέγει· «καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ». Ἔδει τοίνυν αὐτοὺς εἰς ἅπαντα διασπαρῆναι τόπον τῆς γῆς, ἵνα ἴδωσιν οἰκείοις ὄμμασιν ἕκαστον ἐκ τοῦ τόπου αὐτοῦ προσκυνοῦντα αὐτόν.

Πάλιν ἄλλος εἶπε· «πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας». Ἔδει τοίνυν αὐτοὺς εἰς ἅπασαν τὴν γῆν ἀπελθεῖν, ὥστε ἰδεῖν αὐτὴν πεπληρωμένην τοῦ γνῶναι τὸν Κύριον, καὶ τὰς θαλάσσας, τουτέστι τὰς πνευματικὰς ταύτας Ἐκκλησίας, τῆς θεοσεβείας μεμεστωμένας. Διὰ ταῦτα διέσπειρεν αὐτοὺς ὁ Θεὸς πανταχοῦ τῆς γῆς· εἰ γὰρ ἐν Ἰουδαίᾳ ἐκάθηντο, ταῦτα ἂν ἠγνόησαν. Λοιπὸν βούλεται αὐτοὺς καὶ τῆς τῶν προφητῶν ἀληθείας καὶ τῆς αὐτοῦ δυνάμεως αὐταῖς ὄψεσι τὴν πεῖραν λαβεῖν· ἵνα ἐὰν μὲν εὐγνωμονῶσι, διὰ τούτων χειραγωγηθῶσι πρὸς τὴν ἀλήθειαν· ἂν δὲ ἐπιμένωσι τῇ ἀσεβείᾳ, μηδεμίαν ἔχωσιν ἀπολογίαν ἐν τῇ φοβερᾷ τῆς κρίσεως ἡμέρᾳ.

Διὰ τοῦτο διέσπειρεν αὐτοὺς πανταχοῦ τῆς οἰκουμένης, ἵνα καὶ ἡμεῖς ἐκ τούτου κερδάνωμέν τι, τουτέστιν ἐκείνας τὰς

---

39. Ψαλμ. 2,8. 40. Σοφον. 2,11. 41. Ἀβακ. 2,14.

Καὶ τοὺς διασκόρπισε, γιὰ νὰ δοῦν ὅτι σὲ ὅλα τὰ μέρη τῆς οἰκουμένης λατρεύεται ὁ Χριστὸς ποὺ οἱ ἴδιοι σταύρωσαν, γιὰ νὰ καταλάβουν τὸ μέγεθος τῆς δικῆς τους ἀσέβειας, ὅταν βλέπουν ὅτι αὐτὸς λατρεύεται ἀπ' ὅλους καὶ νὰ μάθουν τὴ δύναμή του, καί, ἀφοῦ ἀντιληφθοῦν τὴν ἀσέβειά τους, νὰ ἐπιστρέψουν στὴν ἀλήθεια. Καὶ ἔτσι ἡ αἰχμαλωσία τοὺς ἔγινε μάθημα καὶ ἡ τιμωρία νουθεσία. Γιατί, ἂν παρέμεναν στὴν Ἰουδαία, δὲ θὰ γνώριζαν τὴν ἀλήθεια τῶν προφητῶν. Τί λοιπὸν ἔλεγαν καὶ οἱ προφῆτες; «Ζήτησε ἀπὸ μένα, καὶ ἐγὼ θὰ τοῦ δώσω σὰν κληρονομία ὅλα τὰ ἔθνη καὶ θὰ θέσω κάτω ἀπὸ τὴν ἐξουσία σου ὅλη τὴ γῆ»[39]. Ἔπρεπε λοιπὸν νὰ ἐξορισθοῦν στὰ πέρατα τῆς γῆς, γιὰ νὰ δοῦν μὲ τὰ μάτια τους ὅτι ὁ Χριστὸς ἐξουσιάζει ἀκόμη καὶ τὰ πέρατα τῆς γῆς. Πάλι λοιπὸν ἄλλος προφήτης λέγει· «καὶ θὰ προσκυνήσουν αὐτὸν ὁ καθένας στὸν τόπο του»[40]. Ἔπρεπε λοιπὸν νὰ διασκορπισθοῦν σὲ κάθε τόπο τῆς γῆς, γιὰ νὰ δοῦν μὲ τὰ μάτια τους πὼς ὁ καθένας ἀπὸ τὸν τόπο του προσκυνάει αὐτόν.

Πάλι ἄλλος προφήτης εἶπε· «θὰ γεμίσει ἡ γῆ μὲ τὴ γνώση τοῦ Κυρίου, ὅπως τὸ πολὺ νερὸ καλύπτει τὶς θάλασσες»[41]. Ἔπρεπε λοιπὸν νὰ φθάσουν σὲ ὅλη τὴ γῆ, γιὰ νὰ τὴ δοῦν γεμάτη μὲ τὴ γνώση τοῦ Κυρίου, καὶ τὶς θάλασσες, δηλαδὴ τὶς πνευματικὲς θάλασσες τῆς Ἐκκλησίας, γεμάτες μὲ τὴ θεοσέβεια. Γι' αὐτὸ τοὺς διασκόρπισε ὁ Θεὸς σὲ ὅλα τὰ μέρη τῆς γῆς. Γιατί, ἂν ἔμεναν στὴν Ἰουδαία, δὲ θὰ γνώριζαν αὐτά. Ἐπομένως θέλει νὰ γνωρίσουν μὲ τὰ ἴδια τους τὰ μάτια καὶ τὴν ἀλήθεια τῶν προφητῶν καὶ τὴ δύναμη τοῦ Θεοῦ, γιὰ νὰ ὁδηγηθοῦν μ' αὐτὰ πρὸς τὴν ἀλήθεια, ἂν βέβαια ἔχουν ἀγαθὴ διάθεση· ἂν ὅμως ἐπιμένουν στὴν ἀσέβεια, δὲ θὰ ἔχουν καμιὰ δικαιολογία κατὰ τὴ φοβερὴ ἡμέρα τῆς κρίσης.

Γι' αὐτὸ τοὺς διασκόρπισε σὲ ὅλα τὰ μέρη τῆς οἰκουμένης, γιὰ νὰ κερδίσουμε καὶ μεῖς κάτι ἀπ' αὐτό, δηλαδή, βλέπο-

προρρήσεις ὁρῶντες τὰς περὶ τῆς διασπορᾶς αὐτῶν εἰρημένας, τὰς περὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων, ἃς καὶ ὁ Δανιὴλ τοῦ βδελύγματος τῆς ἐρημώσεως μνησθείς, καὶ ὁ Μαλαχίας εἰπών, «ὅτι καὶ ἐν ὑμῖν συγκλεισθήσονται πύλαι», καὶ ὁ Δαυῒδ καὶ ὁ Ἡσαΐας καὶ ἕτεροι πολλοὶ προφῆται περὶ τούτων προανεφώνησαν, ἵνα ὁρῶντες τοὺς περὶ τὸν Δεσπότην ἀγνώμονας γεγενημένους οὕτω κολαζομένους, ἐκπεπτωκότας τῆς ἐλευθερίας τῆς πατρικῆς καὶ τῶν οἰκείων ἁπάντων θεσμῶν τε καὶ πατρικῶν παραδόσεων, μάθωμεν αὐτοῦ τὴν δύναμιν τὴν προειποῦσαν αὐτὰ καὶ ἐργασαμένην, καὶ οἱ μὲν ἐχθροὶ διὰ τῶν ἡμετέρων ἀγαθῶν ἴδωσιν αὐτοῦ τὴν ἰσχύν· ἡμεῖς δὲ διὰ τῶν εἰς ἐκείνους τιμωριῶν μάθωμεν αὐτοῦ τὴν ἄφατον φιλανθρωπίαν καὶ δύναμιν, καὶ διὰ παντὸς δοξάζοντες αὐτὸν διατελῶμεν, ὅπως καὶ τῶν αἰωνίων καὶ ἀπορρήτων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι τιμὴ καὶ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

42. Δαν. 9,27.
43. Μαλαχ. 1,10.

ντας ἐκεῖνες τὶς προφητεῖες ποὺ λέχθηκαν γιὰ τὴ διασπορὰ τῶν Ἰουδαίων καὶ γιὰ τὴν ἅλωση τῶν Ἱεροσολύμων, τὶς ὁποῖες εἶπαν καὶ ὁ Δανιήλ, μιλώντας γιὰ τὸ «βδέλυγμα τῆς ἐρημώσεως»[42], καὶ ὁ Μαλαχίας, λέγοντας, «γιατὶ καὶ σὲ σᾶς θὰ κλεισθοῦν οἱ θύρες τοῦ ναοῦ»[43], καὶ ὁ Δαβὶδ καὶ ὁ Ἠσαΐας καὶ πολλοὶ ἄλλοι προφῆτες ποὺ προεῖπαν γι' αὐτά, καὶ βλέποντας αὐτοὺς ποὺ ἔγιναν ἀχάριστοι πρὸς τὸν Κύριο νὰ τιμωροῦνται ἔτσι καὶ νὰ ἔχουν χάσει τὴν πατρική τους ἐλευθερία καὶ ὅλες τὶς δικές τους συνήθειες καὶ τὶς πατρικές τους παραδόσεις, νὰ μάθουμε τὴ δύναμη τοῦ Θεοῦ ποὺ προεῖπε καὶ πραγματοποίησε αὐτά, καί, οἱ ἐχθροί του βέβαια μέσα ἀπὸ τὰ δικά μας ἀγαθὰ νὰ δοῦν τὴ δύναμή του, ἐμεῖς πάλι νὰ μάθουμε μέσα ἀπὸ τὶς τιμωρίες πρὸς ἐκείνους τὴν ἀνείπωτη φιλανθρωπία καὶ δύναμή του, καὶ νὰ τὸν δοξάζουμε πάντοτε, γιὰ νὰ ἐπιτύχουμε καὶ τὰ αἰώνια καὶ ἀπόρρητα ἀγαθά, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο καὶ ζωοποιὸ Πνεῦμα ἀνήκει ἡ τιμὴ καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΠΡΟΣ ΤΟΥΣ ΕΓΚΑΛΟΥΝΤΑΣ ΥΠΕΡ ΤΟΥ ΜΗΚΟΥΣ ΤΩΝ ΕΙΡΗΜΕΝΩΝ

Καὶ πρὸς τοὺς δυσχεραίνοντας ὑπὲρ τῆς βραχυλογίας, καὶ περὶ τῆς τοῦ Σαύλου προσηγορίας καὶ Παύλου, καὶ τίνος ἕνεκεν Ἀδὰμ ὁ πρῶτος ἄνθρωπος ἐκλήθη, ὅτι χρησίμως καὶ συμφερόντως, καὶ εἰς τοὺς νεοφωτίστους

1. *Τί ποτε ἄρα χρὴ ἡμᾶς ποιῆσαι τήμερον; Τὸ μὲν γὰρ πλῆθος ὑμῶν ὁρῶν, δέδοικα πρὸς μῆκος ἐκτεῖναι τὸν λόγον. Καὶ γὰρ ὅταν ἡ διδασκαλία μακροτέρω προβαίνῃ, ὁρῶ συμπατουμένους ὑμᾶς, στενοχωρουμένους, καὶ τὴν ἀπὸ τῆς στενοχωρίας θλῖψιν τῇ τῆς ἀκροάσεως ἀκριβείᾳ λυμαινομένην· ἀκροατὴς γὰρ ἀνέσεως οὐκ ἀπολαύων, οὐδὲ μετὰ σπουδῆς προσέχειν τοῖς λεγομένοις δύναιτ' ἄν.*

Τὸ μὲν οὖν πλῆθος ὑμῶν, ὡς ἔφην, ὁρῶν, δέδοικα πρὸς μῆκος ἐκτεῖναι τὸν λόγον· τὸν δὲ πόθον ὑμῶν λογιζόμενος φοβοῦμαι συστεῖλαι τὴν διδασκαλίαν. Ὁ γὰρ διψῶν, ἐὰν μὴ πρότερον πεπληρωμένην ἴδῃ τὴν φιάλην, οὐδὲ τοῖς χείλεσιν αὐτὴν ἡδέως ἂν προσαγάγοι· ἀλλὰ κἂν μὴ πᾶσαν αὐτὴν ἐκπίνειν μέλλοι, πᾶσαν αὐτὴν γέμουσαν ἰδεῖν ἐπιθυμεῖ. Διὰ τοῦτο οὐκ ἔχω τί χρήσομαι τῇ δημηγορίᾳ. Καὶ γὰρ τῇ βραχυλογίᾳ τὸν κάματον

ΟΜΙΛΙΑ

ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΚΑΤΗΓΟΡΟΥΝ ΓΙΑ ΤΟ ΜΑΚΡΟΣ ΤΩΝ ΟΜΙΛΙΩΝ

Καὶ πρὸς αὐτοὺς ποὺ δυσανασχετοῦν γιὰ τὴ συντομία τους· ἐπίσης γιὰ τὰ ὀνόματα Σαῦλος καὶ Παῦλος, γιὰ ποιό λόγο ὁ πρῶτος ἄνθρωπος ὀνομάσθηκε Ἀδάμ (ὅτι ὀνομάσθηκε γιὰ τὴν ὠφέλεια καὶ τὸ συμφέρον του), καὶ στοὺς νεοφώτιστους

1. Τί ἄραγε πρέπει νὰ κάνουμε σήμερα; Γιατὶ βλέποντας τὸ πλῆθος σας φοβᾶμαι νὰ μακρύνω τὸ λόγο. Πραγματικὰ ὅταν ἡ διδασκαλία προχωράει περισσότερο, βλέπω πὼς πατάει ὁ ἕνας τὸν ἄλλο, πὼς στενοχωριέστε καὶ ἡ θλίψη ἀπὸ τὴ στενοχώρια ζημιώνει τὴν προσεκτικὴ ἀκρόαση. Γιατὶ ἕνας ἀκροατὴς ποὺ δὲν ἔχει ἄνεση, δὲν μπορεῖ νὰ προσέχει μὲ ἐνδιαφέρον τὰ λεγόμενα.

Βλέποντας λοιπὸν τὸ πλῆθος σας, ὅπως εἶπα, φοβᾶμαι νὰ μακρύνω τὸ λόγο· συλλογιζόμενος ὅμως τὸν πόθο σας, φοβᾶμαι νὰ συντομεύσω τὴ διδασκαλία. Γιατὶ αὐτὸς ποὺ διψάει, ἂν δὲ δεῖ πρῶτα γεμάτη τὴ φιάλη, οὔτε στὰ χείλη του θὰ τὴ φέρει μὲ εὐχαρίστηση· ἀλλὰ καὶ ἂν ἀκόμη δὲν πρόκειται νὰ τὴν πιεῖ ὁλόκληρη, θέλει νὰ τὴ δεῖ γεμάτη ὅλη. Γι' αὐτὸ δὲν ξέρω ποιά μορφὴ νὰ δώσω στὴν ὁμιλία. Γιατὶ θέλω μὲ τὴ συντομία νὰ

ὑποτέμνεσθαι τὸν ὑμέτερον βούλομαι, καὶ τῷ μήκει τοῦ λόγου τὴν ἐπιθυμίαν ὑμῶν ἐμπλῆσαι. Ἀλλ' ἑκάτερα πολλάκις ταῦτα ἐποίησα, καὶ οὐδὲ ἅπαξ τὴν αἰτίαν διέφυγον. Οἶδα ὅτι πολλάκις φειδόμενος ὑμῶν πρὸ τοῦ τέλους κατέλυσα τὸν λόγον, καὶ κατεβόησαν ἡμῶν οἱ ψυχὴν ἀκόρεστον ἔχοντες, οἱ συνεχῶς μὲν τῶν θείων ἀπολαύοντες ναμάτων, οὐδέποτε δὲ ἐμπιπλάμενοι οἱ «μακάριοι ἐκεῖνοι, οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην», καὶ τὰς παρὰ τούτων καταβοήσεις φοβηθεὶς πάλιν προῆλθον μέχρι πολλοῦ τὴν διδασκαλίαν ἐκτείνων, καὶ διὰ τοῦτο αἰτίαν ὑπέμενον. Οἱ γὰρ βραχυλογίας ἐρῶντες ἀπαντῶντες παρεκάλουν τῆς αὐτῶν ἀσθενείας φείδεσθαι, καὶ συστέλλειν τὸ μῆκος τῶν λεγομένων.

Ὅταν μὲν οὖν στενοχωρουμένους ὑμᾶς ἴδω, πρὸς σιγὴν συνελαύνω τὸν λόγον· ὅταν δὲ στενοχωρουμένους καὶ οὐκ ἀφισταμένους, ἀλλ' ἐκκρεμαμένους πρὸς πλείονα δρόμον, τὴν γλῶτταν διεγείρειν ἐπιθυμῶ. Στενά μοι πάντοθεν. Τί πάθω; Ὁ μὲν γὰρ ἑνὶ δουλεύων κυρίῳ καὶ μιᾷ γνώμῃ ὑπηρετεῖν ἀναγκαζόμενος, μετ' εὐκολίας ἀρέσκειν δύναται τῷ δεσπότῃ καὶ μὴ διαμαρτάνειν· ἐγὼ δὲ πολλοὺς ἔχω δεσπότας, δήμῳ τοσούτῳ δουλεύειν ἀναγκαζόμενος διάφορον ἔχοντι γνώμην. Ταῦτα δὲ εἶπον οὐ δυσχεραίνων τὴν δουλείαν, μὴ γένοιτο, οὐδὲ δραπετεύων τὴν δεσποτείαν ὑμῶν. Οὐδὲν γάρ μοι τῆς δουλείας ταύτης σεμνότερον. Οὐχ οὕτω βασιλεὺς ἐπὶ τῷ διαδήματι καὶ τῇ πορφυρίδι μέγα φρονεῖ, ὡς ἐγὼ νῦν ἐπὶ τῇ δουλείᾳ τῆς ὑμετέρας ἀγάπης ἐγκαλλωπίζομαι. Ἐκείνην μὲν γὰρ τὴν βασιλείαν θάνατος διαδέχεται· ταύτην δὲ τὴν δουλείαν, ἂν ἀπαρτισθῇ καλῶς, βασιλεία οὐρανῶν ἀναμένει. «Μακάριος γὰρ ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ διδόναι τὸ σιτομέτριον τοῖς

---

1. Ματθ. 5,6.

ἐλαττώσω τὴν κούρασή σας καὶ μὲ τὸ μάκρος τοῦ λόγου νὰ χορτάσω τὴν ἐπιθυμία σας. Ἀλλὰ καὶ τὰ δύο αὐτὰ πολλὲς φορὲς τὰ ἔκανα, καὶ οὔτε μία φορὰ ξέφυγα τὴν κατηγορία. Ξέρω ὅτι πολλὲς φορές, ἐπειδὴ σᾶς λυπόμουν, σταμάτησα τὸ λόγο πρὶν ἀπὸ τὸ τέλος του καὶ μὲ ἀποδοκίμασαν αὐτοὶ ποὺ ἔχουν ἀχόρταγη ψυχή, αὐτοὶ ποὺ συνέχεια ἀπολαμβάνουν τὰ θεῖα νάματα, ἀλλὰ ποτὲ δὲ χορταίνουν, οἱ «μακάριοι ἐκεῖνοι ποὺ πεινοῦν καὶ διψοῦν τὴ δικαιοσύνη»[1], καὶ ἐπειδὴ φοβήθηκα τὶς ἀποδοκιμασίες τους πάλι προχώρησα μακρύνοντας πολὺ τὴ διδασκαλία, καὶ γι' αὐτὸ δέχθηκα τὶς κατηγορίες ἄλλων. Γιατὶ ἐκεῖνοι ποὺ ἐπιθυμοῦσαν τὴ συντομία, ὅταν μὲ συναντοῦσαν, μὲ παρακαλοῦσαν νὰ λυπηθῶ τὴν ἀδυναμία τους καὶ νὰ ἐλαττώνω τὸ μάκρος τῶν λεγομένων.

Ὅταν λοιπὸν σᾶς δῶ στενοχωρημένους, ὁδηγῶ τὸ λόγο στὸ τέλος· ὅταν ὅμως σᾶς δῶ νὰ στενοχωριέστε καὶ νὰ μὴν ἀπομακρύνεστε, ἀλλὰ νὰ εἶστε ἀποφασισμένοι γιὰ περισσότερο δρόμο, ἐπιθυμῶ νὰ διεγείρω τὴ γλώσσα μου. Ἀπὸ παντοῦ μοῦ εἶναι στενὰ τὰ πράγματα. Τί νὰ κάνω; Γιατὶ ἐκεῖνος ποὺ δουλεύει σ' ἕνα κύριο καὶ εἶναι ἀναγκασμένος νὰ ὑπηρετεῖ σὲ μία γνώμη, εὔκολα μπορεῖ ν' ἀρέσει στὸν κύριό του καὶ νὰ μὴν κάνει σφάλματα, ἐνῶ ἐγὼ ἔχω πολλοὺς κυρίους, ἀφοῦ ἀναγκάζομαι νὰ δουλεύω σὲ τόσο λαὸ ποὺ ἔχει διαφορετικὴ γνώμη. Καὶ αὐτὰ τὰ εἶπα ὄχι γιατὶ δυσανασχετῶ γιὰ τὴ δουλεία αὐτὴ –μακριὰ μιὰ τέτοια σκέψη–, οὔτε γιατὶ θέλω νὰ φύγω ἀπὸ τὴν ἐξουσία σας. Γιατὶ τίποτε δὲ μοῦ εἶναι σεμνότερο ἀπ' αὐτὴ τὴ δουλεία. Οὔτε ὁ βασιλιὰς ὑπερηφανεύεται τόσο γιὰ τὸ στέμμα καὶ τὴν πορφύρα, ὅσο ἐγὼ τώρα καυχιέμαι γιὰ τὴ δουλεία τῆς ἀγάπης σας. Γιατὶ ἐκείνη τὴ βασιλεία τὴ διαδέχεται θάνατος, ἐνῶ αὐτὴ τὴ δουλεία, ἂν ἐφαρμοσθεῖ σωστά, τὴν περιμένει ἡ βασιλεία τῶν οὐρανῶν. «Γιατὶ εἶναι μακάριος ὁ πιστὸς καὶ συνετὸς δοῦλος, ποὺ ὁ κύριός του τὸν ὅρισε ὑπεύθυνο γιὰ νὰ δίνει

συνδούλοις αὐτοῦ. Ἀμὴν λέγω ὑμῖν, ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν».

Εἶδες πόσον τὸ κέρδος τῆς δουλείας ταύτης, ὅταν σπουδαίως γένηται; Ἐπὶ πᾶσι τοῖς ὑπάρχουσι τοῦ δεσπότου καθίσταται. Οὐ φεύγω τοίνυν τὴν δουλείαν· μετὰ γὰρ Παύλου δουλεύω. Καὶ γὰρ ἐκεῖνός φησιν, ὅτι «οὐχ ἑαυτοὺς κηρύττομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν». Καὶ τί λέγω Παῦλον; Εἰ ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν διὰ τοὺς δούλους, τί μέγα εἰ ὁ δοῦλος ἐγὼ δοῦλος ἐγενόμην τοῖς συνδούλοις δι' ἐμαυτόν; Οὐ τοίνυν δραπετεύων ὑμῶν τὴν δεσποτείαν ταῦτα εἶπον, ἀλλ' ἀξιῶν συγγνώμης τυχεῖν, ἐὰν μὴ ταῖς ἁπάντων γνώμαις κατάλληλον παραθῶμαι τὴν τράπεζαν. Μᾶλλον δὲ τοῦτο ποιήσατε ὃ λέγω νῦν. Ὑμεῖς οἱ μὴ δυνάμενοι ἐμπλησθῆναι ποτε, ἀλλὰ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, καὶ μακρῶν ἐπιθυμοῦντες λόγων, διὰ τὴν ἀσθένειαν τῶν ὑμετέρων ἀδελφῶν ἀνάσχεσθε τοῦ συνήθους περικοπτομένου μέτρου τῶν λόγων. Πάλιν ὑμεῖς οἱ βραχυλογίας ἐρῶντες καὶ ἀσθενέστερον διακείμενοι, διὰ τοὺς ἀδελφοὺς τοὺς ὑμετέρους τοὺς ἀκορέστους μικρὸν καρτερήσατε πόνον, ἀλλήλων τὰ βάρη βαστάζοντες, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Οὐχ ὁρᾶτε τοὺς Ὀλυμπιακοὺς ἀθλητὰς εἰς μέσον τοῦ θεάτρου ἑστῶτας ἐν μεσημβρίᾳ μέσῃ καθάπερ ἐν καμίνῳ τῷ σκάμματι καὶ γυμνῷ τῷ σώματι τὴν ἀκτῖνα δεχομένους ὥσπερ τινὰς ἀνδριάντας χαλκοῦς καὶ ἡλίῳ καὶ κονιορτῷ καὶ πνίγει μαχομένους, ἵνα τὴν τοσαῦτα ταλαιπωρήσασαν κεφαλὴν φύλλοις δάφνης ἀναδήσωνται; Ὑμῖν δὲ οὐ στέφανος δάφνης, ἀλλὰ στέφανος δικαιοσύνης πρόκειται τῆς ἀκροάσεως ὁ μισθός, καὶ οὐδὲ μέχρι

2. Λουκᾶ 12,42.44.
3. Β' Κορ. 4,5.
4. Βλ. Φιλιπ. 2,6.7.
5. Βλ. Γαλ. 6,2.

στοὺς συνδούλους του τὸ σιτηρέσιό του. Ἀλήθεια σᾶς λέγω, θὰ τὸν βάλει ὑπεύθυνο σὲ ὅλα τὰ ὑπάρχοντα»[2].

Εἶδες πόσο εἶναι τὸ κέρδος ἀπ' αὐτὴ τὴ δουλεία, ὅταν γίνονται μὲ προσοχή; Ὁρίζεται ὑπεύθυνος σὲ ὅλα τὰ ὑπάρχοντα τοῦ κυρίου. Δὲν ἀποφεύγω λοιπὸν τὴ δουλεία, γιατὶ ἀσκῶ τὴ δουλεία αὐτὴ μαζὶ μὲ τὸν Παῦλο. Γιατὶ πραγματικὰ ἐκεῖνος λέγει, «δὲν κηρύττουμε τὸν ἑαυτό μας, ἀλλὰ τὸν Ἰησοῦ Χριστὸ ὡς Κύριο, καὶ τοὺς ἑαυτούς μας δούλους σας γιὰ χάρη τοῦ Ἰησοῦ»[3]. Καὶ γιατί λέγω γιὰ τὸν Παῦλο; Ἂν αὐτὸς ποὺ εἶχε θεϊκὴ ὕπαρξη κένωσε τὸν ἑαυτό του παίρνοντας μορφὴ δούλου γιὰ χάρη τῶν δούλων[4], τί τὸ σπουδαῖο πράγμα ἂν ἐγω ὁ δοῦλος ἔγινα δοῦλος στοὺς συνδούλους μου γιὰ χάρη τοῦ ἑαυτοῦ μου; Δὲν τὰ εἶπα λοιπὸν αὐτὰ γιατὶ θέλω ν' ἀποφύγω τὴν ἐξουσία σας, ἀλλὰ γιατὶ ζητῶ νὰ μὲ συγχωρήσετε, ἂν δὲν παραθέσω τὸ τραπέζι κατάλληλο μὲ τὶς γνῶμες ὅλων. Ἢ καλύτερα κάμετε αὐτὸ ποὺ λέγω τώρα. Ἐσεῖς ποὺ δὲν μπορεῖτε νὰ χορτάσετε ποτέ, ἀλλὰ πεινᾶτε καὶ διψᾶτε τὴ δικαιοσύνη καὶ ἐπιθυμεῖτε μακροὺς λόγους, νὰ ἀνέχεστε ἐξ αἰτίας τῆς ἀδυναμίας τῶν ἀδελφῶν σας τὴν περικοπὴ τοῦ συνηθισμένου μέτρου τῶν λόγων. Ἐπίσης ἐσεῖς ποὺ ἐπιθυμεῖτε τὴ συντομία τῶν λόγων καὶ εἶστε πιὸ ἀδύνατοι, ὑπομείνετε γιὰ χάρη τῶν ἀνικανοποίητων ἀδελφῶν σας μικρὸ κόπο, βαστάζοντας ὁ ἕνας τὰ βάρη τοῦ ἄλλου, ὥστε ἔτσι νὰ ἐφαρμόσετε πλήρως τὸ νόμο τοῦ Χριστοῦ[5].

Δὲ βλέπετε τοὺς ἀθλητὲς τῶν Ὀλυμπιακῶν ἀγώνων ποὺ στέκονται στὴ μέση τοῦ σταδίου τὸ καταμεσήμερο καὶ σὰν σὲ καμίνι δέχονται μέσα στὸ σκάμμα μὲ γυμνὸ τὸ σῶμα τὶς ἀκτίνες τοῦ ἥλιου, σὰν κάποιοι χάλκινοι ἀνδριάντες, καὶ ἀγωνίζονται μὲ τὸν ἥλιο καὶ τὴ σκόνη καὶ τὸν καύσωνα, γιὰ νὰ στεφανώσουν μὲ φύλλα δάφνης τὸ κεφάλι τους ποὺ τόσο πολὺ ταλαιπωρήθηκε; Σὲ σᾶς ὅμως σὰν μισθὸς γιὰ τὴν ἀκρόαση δὲν ἔχει ορισθεῖ στεφάνι δάφνης, ἀλλὰ στεφάνι δικαιοσύνης, καὶ δὲ σᾶς

μεσημβρίας μέσης ὑμᾶς κατέχομεν, ἀλλ᾽ ἀπ᾽ αὐτῶν τῶν προοιμίων τῆς ὑμετέρας ἕνεκα ὀλιγωρίας διαφίεμεν, ἔτι τοῦ ἀέρος ὄντος ψυχροτέρου, καὶ οὐ διαθερμαινομένου ταῖς ἀπὸ τῶν ἀκτίνων βολαῖς, οὐ γυμνῇ τῇ κεφαλῇ κελεύοντες ὑμᾶς τὴν ἀκτῖνα δέχεσθαι, ἀλλ᾽ ὑπὸ τὸν θαυμαστὸν τοῦτον ἄγομεν ὄροφον, καὶ τὴν ἀπὸ τῆς στέγης παρέχομεν παραμυθίαν παντὶ τρόπῳ ἐπινοοῦντες ὑμῖν ἄνεσιν, ὥστε γενέσθαι τῶν λεγομένων μόνιμον τὴν ἀκρόασιν.

Μὴ δὲ γενώμεθα μαλακώτεροι τῶν παιδίων τῶν ἡμετέρων τῶν εἰς διδασκαλεῖα βαδιζόντων· ἐκεῖνα πρὸ τῆς μεσημβρίας οὐ τολμᾷ ἀναχωρῆσαι οἴκαδε, ἀλλ᾽ ἄρτι τοῦ γάλακτος ἀποσπασθέντα, ἄρτι τῆς θηλῆς ἀποστάντα, οὐδέπω οὐδὲ πέντε ἐτῶν ἡλικίαν ἄγοντα, ἐν νεαρῷ καὶ ἀπαλῷ σώματι πᾶσαν καρτερίαν ἐπιδείκνυται· κἂν πνῖγος, κἂν δίψος, κἂν ἄλλο ὁτιοῦν παρενοχλῇ, πρὸς μεσημβρίαν μέσην διακαρτερεῖ, καὶ ταλαιπωρεῖται ἐν τῷ διδασκαλείῳ καθήμενα. Εἰ καὶ μηδένα οὖν ἕτερον, ἐκεῖνα μιμησώμεθα τὰ παιδία ἡμεῖς οἱ ἄνδρες οἱ φθάσαντες εἰς μέτρον ἡλικίας. Εἰ γὰρ τοὺς λόγους τοὺς περὶ ἀρετῆς μὴ ἀνεχόμεθα ἀκούειν, τίς ἡμῖν πιστεῦσαι δυνήσεται, ὅτι τοὺς πόνους τοὺς ὑπὲρ τῆς ἀρετῆς ὑπομενοῦμεν; εἰ πρὸς τὴν ἀκρόασιν οὕτω βάναυσοι, πόθεν δῆλον, ὅτι πρὸς τὴν πρᾶξίν ἐσμεν διεγηγερμένοι; εἰ τὸ εὐκολώτερον παραπεμψώμεθα, πῶς τὸ δυσκολώτερον οἴσομεν;

Ἀλλὰ πολλὴ ἡ στενοχωρία, πολλὴ ἡ βία. Ἀλλ᾽ ἄκουσον ὅτι βιασταὶ ἁπράζουσι τὴν βασιλείαν τῶν οὐρανῶν, ὅτι στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. Ἐπεὶ οὖν στενὴν καὶ τεθλιμμένην ὁδὸν βαδίζομεν, δεῖ ἡμᾶς καὶ ἑαυτοὺς στενοχωρεῖν καὶ θλίβειν, ἵνα δυνηθῶμεν διοδεῦσαι τὴν στενὴν καὶ

---

6. Ματθ. 11,12.
7. Ματθ. 7,14.

κρατᾶμε μέχρι τὸ μεσημέρι, ἀλλὰ σᾶς ἀπολύουμε ἀπ' τὴν ἀρχὴ τῆς ἡμέρας ἐξ αἰτίας τῆς ἀδιαφορίας σας, ἐνῶ ὁ ἀέρας εἶναι ἀκόμη δροσερότερος καὶ δὲν ἔχει ζεσταθεῖ ἀπὸ τὴν ἀκτινοβολία τοῦ ἥλιου, χωρὶς νὰ σᾶς προστάζουμε νὰ δέχεστε μὲ γυμνὸ τὸ κεφάλι τὶς ἀκτίνες τοῦ ἥλιου, ἀλλὰ σᾶς φέρνουμε κάτω ἀπὸ τὴ θαυμάσια αὐτὴ ὀροφὴ καὶ σᾶς παρέχουμε τὴν ἀνακούφιση ἀπὸ τὴ στέγη, ἐπινοώντας μὲ κάθε τρόπο ἄνεση γιὰ σᾶς, γιὰ νὰ γίνει μόνιμη ἡ ἀκρόαση τῶν λεγομένων.

Ἂς μὴ γινόμαστε λοιπὸν πιὸ μαλακοὶ ἀπὸ τὰ παιδιά μας ποὺ πηγαίνουν στὰ σχολεῖα. Ἐκεῖνα πρὶν τὸ μεσημέρι δὲν τολμοῦν νὰ ἐπιστρέψουν στὸ σπίτι τους, ἀλλά, παρ' ὅλο ποὺ πρὶν ἀπὸ λίγο ἔκοψαν τὸ γάλα καὶ σταμάτησαν τὸ θηλασμὸ καὶ παρ' ὅλο ποὺ δὲν εἶναι ἀκόμη πέντε χρόνων, δείχνουν μὲ τὸ νεαρὸ καὶ ἀπαλό τους σῶμα κάθε καρτερία. Καὶ εἴτε τὰ ἐνοχλεῖ ἡ μεγάλη ζέστη, εἴτε ἡ δίψα, εἴτε ὁτιδήποτε ἄλλο, περιμένουν μέχρι τὸ μεσημέρι καὶ ταλαιπωροῦνται καθισμένα στὸ σχολεῖο. Ἂν λοιπὸν ἐμεῖς οἱ ἄνδρες ποὺ φθάσαμε σὲ ὥριμη ἡλικία δὲ μιμηθοῦμε κανένα ἄλλον, ἂς μιμηθοῦμε τουλάχιστο ἐκεῖνα τὰ παιδιά. Γιατί, ἂν δὲν ἀνεχόμαστε ν' ἀκοῦμε τοὺς λόγους γιὰ τὴν ἀρετή, ποιός θὰ μπορέσει νὰ μᾶς πιστέψει ὅτι θὰ ὑπομείνουμε τοὺς κόπους ὑπὲρ τῆς ἀρετῆς; Ἂν εἴμαστε τόσο βάναυσοι γιὰ τὴν ἀκρόαση, ἀπὸ ποῦ θὰ γίνει φανερὸ ὅτι εἴμαστε διεγερμένοι γιὰ τὴν πράξη; Ἂν τὸ πιὸ εὔκολο περιφρονήσουμε, πῶς θὰ ὑποφέρουμε τὸ πιὸ δύσκολο;

Ἀλλ' εἶναι μεγάλη ἡ στενοχώρια, ὑπάρχει μεγάλη βία. Ἄκουσε ὅμως ὅτι οἱ βιαστὲς ἁρπάζουν τὴ βασιλεία τῶν οὐρανῶν[6] καὶ ὅτι «εἶναι στενὸς καὶ γεμάτος δυσκολίες ὁ δρόμος ποὺ ὁδηγεῖ στὴ ζωή»[7]. Ἀφοῦ λοιπὸν βαδίζουμε σὲ στενὸ καὶ γεμάτο δυσκολίες δρόμο, πρέπει νὰ στενοχωροῦμε καὶ νὰ πιέζομε τοὺς ἑαυτούς μας, γιὰ νὰ μπορέσουμε νὰ περάσουμε τὸ στενὸ

τεθλιμμένην ὁδόν. Ὁ γὰρ ἐμπλατύνων ἑαυτόν, οὐκ ἂν οὕτω ῥᾳδίως τὴν ἐστενωμένην ὁδὸν διαδράμοι, ἀλλ' ὁ συνέχων καὶ θλίβων καὶ πιέζων .

2. Οὐδὲ γὰρ περὶ τῶν τυχόντων ἐστὶν ἡμῖν ἡ ζήτησις τήμερον, ἀλλ' ὑπὲρ ζητήματος τὴν ἀρχὴν μὲν λαβόντος χθές, τὴν δὲ λύσιν μὴ λαβόντος διὰ τὸ πολλὰ γενέσθαι τὰ προβληθέντα. Τί δὴ τοῦτό ἐστι; Περὶ τῆς τῶν ὀνομάτων θέσεως ἐζητοῦμεν, ἅπερ ἐπέθηκε τοῖς ἁγίοις ὁ Θεός. Τοῦτο δὲ τὸ πρᾶγμα δοκεῖ μὲν ψιλὸν εἶναι, εἴ τις ἀκούσειε, πολὺν δὲ ἔχει θησαυρόν, εἴ τις μετὰ ἀκριβείας προσέχοι. Καὶ γὰρ τὴν χρυσῖτιν γῆν τὴν ἐν τοῖς μετάλλοις κειμένην οἱ μὲν ἄπειροι καὶ ἁπλῶς ὁρῶντες γῆν νομίζουσιν εἶναι μόνον ψιλήν, καὶ οὐδὲν πλέον ἔχειν τῆς ἑτέρας· οἱ δὲ τοῖς ὀφθαλμοῖς τῆς τέχνης καταμανθάνοντες ἴσασι τῆς γῆς ταύτης τὴν εὐγένειαν, καὶ τῷ πυρὶ παραδόντες αὐτῆς τὴν βάσανον, ἅπασαν αὐτῆς ἐκκαλύπτουσι τὴν ὑπεροχήν. Οὕτω δὴ καὶ ἐπὶ τῶν θείων Γραφῶν, οἱ μὲν ἁπλῶς ἀναγινώσκοντες τὰ γράμματα, γράμματα εἶναι νομίζουσι ψιλὰ καὶ τῶν ἄλλων πλέον ἔχειν οὐδέν· οἱ δὲ τοῖς τῆς πίστεως ὀφθαλμοῖς αὐτὰ καταμανθάνοντες, καθάπερ ἐκεῖνοι τοῖς τῆς τέχνης ὀργάνοις, πυρὶ τοῦ Πνεύματος παραδιδόντες αὐτῶν τὴν ἐξέτασιν, ἅπαντα τὸν χρυσὸν αὐτῶν ὄψονται ῥᾳδίως.

Πόθεν οὖν ἡ ἀρχὴ τῆς ζητήσεως γέγονεν; Οὐδὲ γὰρ ἁπλῶς ἐνεπέσαμεν εἰς τὴν πραγματείαν ταύτην, ἵνα μή τις ἡμῶν ἀκαιρίαν καταγινώσκῃ· ἀλλ' ἐπεθυμήσαμεν εἰπεῖν τὰ Παύλου κατορθώματα, τῶν πράξεων τῶν ἀποστολικῶν ὑμῖν ὑπαναγινωσκομένων, καὶ ἡψάμεθα τοῦ προοιμίου τῆς ἱστορίας· ηὕραμεν δὲ τὴν ἀρχὴν τοῦ διηγήματος οὕτως ἔχουσαν· «Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου». Εὐ-

---

8. Πράξ. 9,1.

καὶ δύσκολο δρόμο. Γιατὶ ἐκεῖνος ποὺ πλαταίνει τὸν ἑαυτό του δὲν θὰ μπορεῖ νὰ τρέξει τόσο εὔκολα τὸ στενὸ δρόμο, ἀλλ' ἐκεῖνος ποὺ τὸν συγκρατεῖ καὶ τὸν θλίβει καὶ τὸν πιέζει.

2. Οὔτε βέβαια ἡ ἐξέτασή μας σήμερα εἶναι γιὰ ἀσήμαντα πράγματα, ἀλλὰ γιὰ ἕνα ζήτημα ποὺ ξεκίνησε χθὲς ἀλλὰ δὲ λύθηκε, γιατὶ ἦταν πολλὰ τὰ προβλήματα ποὺ προέκυψαν. Ποιό λοιπὸν εἶναι αὐτό; Ἐξετάζαμε τὴ χορήγηση τῶν ὀνομάτων, ποὺ ὁ Θεὸς ἔδωσε στοὺς ἁγίους. Καὶ τὸ πράγμα αὐτὸ φαίνεται πὼς εἶναι ἁπλό, ἂν τὸ ἀκούσει μόνο κανείς· περιέχει ὅμως μεγάλο θησαυρό, ἂν τὸ ἐξετάσει κανεὶς μὲ προσοχή. Γιατὶ καὶ τὸ χρυσοφόρο χῶμα, ποὺ βρίσκεται στὰ μεταλλεῖα, οἱ ἄπειροι καὶ αὐτοὶ ποὺ τὸ βλέπουν ἁπλῶς τὸ θεωροῦν πὼς εἶναι ἁπλὸ μόνο χῶμα καὶ δὲν ἔχει τίποτε περισσότερο ἀπὸ τὸ ἄλλο χῶμα· ἐκεῖνοι ὅμως ποὺ τὸ παρατηροῦν καλὰ ἀπὸ κοντὰ μὲ τὰ μάτια τῆς τέχνης γνωρίζουν τὴν εὐγένεια τοῦ χώματος αὐτοῦ καί, ἀφοῦ τὸ παραδώσουν στὴ δοκιμασία τῆς φωτιᾶς, ἀποκαλύπτουν ὅλη του τὴν ὑπεροχή. Ἔτσι λοιπὸν καὶ στὶς θεῖες Γραφές, αὐτοὶ ποὺ διαβάζουν ἁπλῶς τὰ γράμματα νομίζουν πὼς εἶναι μόνο γράμματα καὶ δὲν ἔχουν τίποτε περισσότερο ἀπὸ τὰ ἄλλα· ἐκεῖνοι ὅμως ποὺ τὰ παρατηροῦν αὐτὰ καλὰ μὲ τὰ μάτια τῆς πίστης, ὅπως ἀκριβῶς ἐκεῖνοι μὲ τὰ ὄργανα τῆς τέχνης, ἀφοῦ παραδώσουν τὸν ἔλεγχό τους στὴ φωτιὰ τοῦ Πνεύματος, θὰ δοῦν εὔκολα ὅλο τὸ χρυσάφι τους.

Ἀπὸ ποῦ λοιπὸν ἄρχισε ἡ ἐξέταση; Γιατὶ δὲν πέσαμε τυχαῖα στὴν ὑπόθεση αὐτή, γιὰ νὰ μὴ μᾶς κατηγορεῖ κανεὶς γιὰ ἀκαταλληλότητα χρόνου, ἀλλὰ ἐπιθυμήσαμε νὰ ποῦμε τὰ κατορθώματα τοῦ Παύλου, καθὼς διαβάζονταν σὲ σᾶς οἱ πράξεις τῶν ἀποστόλων, καὶ ἀσχοληθήκαμε μὲ τὸ προοίμιο τῆς ἱστορίας. Καὶ βρήκαμε τὴν ἀρχὴ τῆς διήγησης νὰ ἔχει ἔτσι· «ὁ Σαῦλος ὅμως συνέχιζε νὰ ἔχει ἀπειλητικὲς καὶ φονικὲς διαθέσεις γιὰ τοὺς μαθητὲς τοῦ Κυρίου»[8]. Ἀμέσως σᾶς τάραξε ἡ ἀλλαγὴ

θέως ὑμᾶς διετάραξεν ἡ τοῦ ὀνόματος ἐναλλαγή· εὑρίσκομεν γὰρ ἐν ταῖς ἐπιστολαῖς ἁπάσαις, καὶ ἐν τοῖς προοιμίοις ἐκείνοις οὐ Σαῦλον αὐτόν, ἀλλὰ Παῦλον καλούμενον, καὶ τοῦτο οὐκ ἐπὶ τούτου μόνου, ἀλλὰ καὶ ἐπὶ πολλῶν ἑτέρων γινόμενον. Καὶ γὰρ καὶ ὁ Πέτρος Σίμων ἐλέγετο πρὸ τούτου, καὶ τὰ τέκνα Ζεβεδαίου Ἰάκωβος καὶ Ἰωάννης Υἱοὶ βροντῆς μετωνομάσθησαν ὕστερον, καὶ ἐν τῇ Παλαιᾷ δὲ τὸ ἔθος αὐτὸ τοῦτο ἴδοι τις ἂν ἐπ' ἐνίων κρατῆσαν· καὶ γὰρ ὁ Ἀβραὰμ πρότερον Ἀβρὰμ λεγόμενος μετὰ ταῦτα Ἀβραὰμ ἐκαλεῖτο, καὶ Σάρρα πρὸ τούτου Σάρα, μετὰ δὲ ταῦτα Σάρρα ὠνομάσθη, καὶ ὁ Ἰακὼβ δὲ μετὰ ταῦτα Ἰσραὴλ προσηγορεύετο· ἄτοπον οὖν ἔδοξεν ἡμῖν εἶναι τοσοῦτον ὀνομάτων θησαυρὸν παραδραμεῖν ἁπλῶς.

Τοῦτο δὲ καὶ ἐπὶ ἀρχόντων τῶν ἔξωθεν συμβαῖνον εὕροι τις ἄν· καὶ γὰρ καὶ ἐκείνοις διπλοῦς ὁ χρηματισμὸς τῶν ὀνομάτων. Ὅρα δέ· «διεδέξατο», φησί, «τὸν Φήλικα Πόρτιος Φῆστος»· καὶ πάλιν, «συνῆν τις τῷ ἀνθυπάτῳ καλουμένῳ Σεργίῳ Παύλῳ»· καὶ ὁ τὸν Χριστὸν ἐκδοὺς τοῖς Ἰουδαίοις Πόντιος Πιλάτος ἐλέγετο. Οὐ τοῖς ἄρχουσι δὲ μόνον, ἀλλὰ καὶ τοῖς στρατιώταις πολλάκις διπλᾶ τὰ ὀνόματα, καὶ τοῖς τὸν ἰδιωτικὸν ἀνῃρημένοις βίον ἀπὸ αἰτίας τινὸς καὶ ὑποθέσεως διπλῆ γέγονεν ἡ προσηγορία. Ἀλλ' ὑπὲρ μὲν ἐκείνων οὐδὲν ἡμῖν ὄφελος ζητεῖν πόθεν οὕτως ἐκλήθησαν· ὅταν δὲ ὁ Θεὸς ὀνομάζῃ, πᾶσαν ἐπιδείκνυσθαι σπουδὴν χρὴ ὡς εὑρεῖν τὴν αἰτίαν.

Οὐδὲν γὰρ ἁπλῶς οὔτε εἰκῇ οὔτε ποιεῖν οὔτε λέγειν ὁ Θεὸς εἴωθεν, ἀλλ' ἕκαστον μετὰ τῆς αὐτῷ προσηκούσης σοφίας. Τί δή ποτε οὖν Σαῦλος ἐλέγετο, ὅτε ἐδίωκεν, καὶ Παῦλος μετωνομάσθη, ὅτε ἐπίστευσε; Τινές φασιν ὅτι ἡνίκα μὲν ἐθορύβει καὶ ἐτάραττε καὶ συνέχεεν ἅπαντα, καὶ τὴν Ἐκκλησίαν ἐσάλευε, Σαῦλος ἐλέγετο, δι' αὐτὸ τοῦτο τὸ σαλεύειν τὴν Ἐκκλησίαν, ἀπὸ τοῦ πράγματος λαβὼν τὴν προσηγορίαν· ἐπειδὴ δὲ

9. Πράξ. 24,27. 10. Πράξ. 13,7.

τοῦ ὀνόματός του, γιατὶ βρίσκουμε σὲ ὅλες τὶς ἐπιστολὲς καὶ στὰ προοίμια ἐκεῖνα νὰ ὀνομάζεται ὄχι Σαῦλος ἀλλὰ Παῦλος, καὶ αὐτὸ νὰ γίνεται ὄχι μόνο σ' αὐτόν, ἀλλὰ καὶ σὲ πολλοὺς ἄλλους. Γιατὶ βέβαια καὶ ὁ Πέτρος λεγόταν Σίμων πρὶν ἀπ' αὐτό, καὶ τὰ παιδιὰ τοῦ Ζεβεδαίου, ὁ Ἰάκωβος καὶ ὁ Ἰωάννης, ὀνομάσθηκαν ὕστερα Υἱοὶ βροντῆς, ἀλλὰ καὶ στὴν Παλαιὰ Διαθήκη μπορεῖ νὰ δεῖ κανεὶς νὰ ἔχει ἐπικρατήσει σὲ μερικοὺς ἡ συνήθεια αὐτή. Γιατὶ καὶ ὁ Ἀβραὰμ ποὺ πρῶτα λεγόταν Ἀβράμ, μετὰ ὀνομαζόταν Ἀβραάμ, καὶ ἡ Σάρρα πρὶν ἀπ' αὐτὸ λεγόταν Σάρα καὶ μετὰ ὀνομάσθηκε Σάρρα, καὶ ὁ Ἰακὼβ μετὰ ὀνομάσθηκε Ἰσραήλ· μᾶς φάνηκε λοιπὸν ἄτοπο νὰ παρατρέξουμε ἁπλῶς ἕνα τόσο μεγάλο θησαυρὸ ὀνομάτων.

Αὐτὸ ὅμως μπορεῖ νὰ τὸ βρεῖ κανεὶς νὰ συμβαίνει καὶ στοὺς ἐθνικοὺς ἄρχοντες· γιατὶ πραγματικὰ καὶ αὐτοὶ ἔπαιρναν διπλὰ ὀνόματα. Πρόσεχε· «διαδέχθηκε», λέγει, «τὸ Φήλικα ὁ Πόρτιος Φῆστος»[9]· καὶ πάλι, «ἦταν κάποιος μαζὶ μὲ τὸν ἀνθύπατο ποὺ ὀνομαζόταν Σέργιος Παῦλος»[10]. Καὶ αὐτὸς ποὺ παρέδωσε τὸ Χριστὸ στοὺς Ἰουδαίους λεγόταν Πόντιος Πιλάτος. Καὶ ὄχι μόνο στοὺς ἄρχοντες, ἀλλὰ καὶ στοὺς στρατιῶτες πολλὲς φορὲς ἦταν διπλὰ τὰ ὀνόματα καὶ στοὺς ἰδιῶτες ἀπὸ κάποια αἰτία καὶ ἀφορμὴ ὑπῆρχαν διπλὰ ὀνόματα. Ἀλλὰ γιὰ ἐκείνους δὲν ἔχουμε κανένα ὄφελος νὰ ἐξετάζουμε ἀπὸ ποῦ ὀνομάσθηκαν ἔτσι, ὅταν ὅμως ὁ Θεὸς δίνει τὸ ὄνομα πρέπει νὰ δείχνουμε κάθε ἐνδιαφέρον γιὰ νὰ βροῦμε τὴν αἰτία.

Γιατὶ ὁ Θεὸς δὲ συνηθίζει νὰ κάνει οὔτε νὰ λέγει τίποτε ἄσκοπα καὶ μάταια, ἀλλὰ τὸ καθένα μὲ τὴ σοφία ποὺ τοῦ ταιριάζει. Γιατί λοιπὸν λεγόταν Σαῦλος ὅταν καταδίωκε, καὶ μετονομάσθηκε Παῦλος ὅταν πίστεψε; Μερικοὶ ἰσχυρίζονται πώς, ὅταν προκαλοῦσε θόρυβο καὶ ταραχὴ καὶ σύγχυση σὲ ὅλα καὶ σάλευε τὴν Ἐκκλησία, λεγόταν Σαῦλος, γιὰ τὸ ὅτι ἀκριβῶς σάλευε τὴν Ἐκκλησία, παίρνοντας τὸ ὄνομα ἀπὸ τὸ γεγονὸς αὐτό·

ἀπέστη τῆς μανίας ἐκείνης καὶ τὴν ταραχὴν ἀπέθετο, πάλιν Παῦλος ἀπὸ τοῦ παύσασθαι μετωνομάσθη· ἀλλ' ἕωλος οὗτος ὁ λόγος καὶ οὐκ ἀληθής, καὶ διὰ τοῦτο αὐτὸν τέθεικα εἰς μέσον, ἵνα μὴ παρακρούησθε ταῖς ψιλαῖς αἰτιολογίαις. Πρῶτον μὲν γὰρ οἱ γονεῖς αὐτῷ τοῦτο τεθείκασι τοὔνομα οὐχὶ προφῆταί τινες ὄντες, καὶ τὸ μέλλον προορῶντες. Ἔπειτα εἰ διὰ τοῦτο Σαῦλος ἐλέγετο, ἐπειδὴ τὴν Ἐκκλησίαν ἐσάλευε καὶ ἐτάραττεν, ἔδει παυσάμενον αὐτὸν τοῦ σαλεύειν τὴν Ἐκκλησίαν εὐθέως καὶ τὸ ὄνομα ἀποθέσθαι· νῦν δὲ ὁρῶμεν αὐτὸν τοῦ μὲν σάλου τῶν κατὰ τῆς Ἐκκλησίας ἀποστάντα, τὸ ὄνομα δὲ οὐκ ἀποθέμενον, ἀλλ' ἔτι Σαῦλον λεγόμενον.

Καὶ ἵνα μὴ νομίσητε ὅτι παρακρουόμενος ὑμᾶς ταῦτα λέγω, ἄνωθεν ὑμῖν τοῦτο ἀπαριθμήσομαι. «Ἐξέβαλον τὸν Στέφανον», φησί, «καὶ ἐλιθοβόλουν αὐτόν, καὶ οἱ μάρτυρες ἀπέθοντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου»· καὶ πάλιν, «Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ»· καὶ ἀλλαχοῦ, «Σαῦλος δὲ ἐλυμαίνετο τὴν Ἐκκλησίαν κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας»· καὶ πάλιν, «Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου»· καὶ πάλιν, «ἤκουσε φωνὴν λέγουσαν αὐτῷ, Σαούλ, Σαούλ, τί με διώκεις;». Οὐκοῦν ἐντεῦθεν αὐτὸν ἔδει λοιπὸν ἀποθέσθαι τὸ ὄνομα, καὶ γὰρ ἀπέστη τοῦ διώκειν.

Τί οὖν; εὐθέως ἀπέθετο; Οὐδαμῶς, καὶ τοῦτο ἐκ τῶν ἑξῆς δῆλον· σκοπεῖτε δέ· «ἠγέρθη Σαῦλος ἀπὸ τῆς γῆς, καὶ ἀνεῳγμένων τῶν ὀφθαλμῶν αὐτοῦ οὐδένα ἔβλεπε»· καὶ πάλιν· «εἶπε δὲ Κύριος τῷ Ἀνανίᾳ· πορεύθητι εἰς τὴν ρύμην καλουμέ-

11. Πράξ. 7,58.
12. Πράξ. 8,1.
13. Πράξ. 8,3.
14. Πράξ. 9,1.
15. Πράξ. 9,4.
16. Πράξ. 9,8.

ὅταν ὅμως ἀπομακρύνθηκε ἀπὸ τὴ μανία ἐκείνη καὶ ἀπέβαλε τὴν ταραχὴ καὶ σταμάτησε τὸν πόλεμο καὶ ἔπαυσε τὴν καταδίωξη, πάλι μετονομάσθηκε Παῦλος ἀπὸ τὸ ὅτι ἔπαυσε ὅλα αὐτά. Ἀλλ' ὁ ἰσχυρισμὸς αὐτὸς εἶναι παλιὸς καὶ ὄχι ἀληθινός, καὶ γι' αὐτὸ σᾶς τὸν παρουσίασα, γιὰ νὰ μὴ σᾶς παραπλανοῦν οἱ ἁπλὲς αἰτιολογίες. Πρῶτα λοιπὸν τοῦ ἔδωσαν αὐτὸ τὸ ὄνομα οἱ γονεῖς του, χωρὶς νὰ εἶναι κάποιοι προφῆτες καὶ νὰ προβλέπουν τὸ μέλλον. Ὕστερα, ἂν γι' αὐτὸ λεγόταν Σαῦλος, ἐπειδὴ σάλευε καὶ τάραζε τὴν Ἐκκλησία, ἔπρεπε ὅταν σταμάτησε νὰ σαλεύει τὴν Ἐκκλησία νὰ χάσει ἀμέσως καὶ τὸ ὄνομα. Τώρα ὅμως τὸν βλέπουμε νὰ ἔχει σταματήσει τὸ σάλο ἐναντίον τῆς Ἐκλησίας, χωρὶς ὅμως νὰ ἔχει χάσει τὸ ὄνομα, ἀλλὰ νὰ ὀνομάζεται ἀκόμη Σαῦλος.

Καὶ γιὰ νὰ μὴ νομίσετε πὼς τὰ λέγω αὐτὰ γιὰ νὰ σᾶς παραπλανήσω, θὰ σᾶς ἐκθέσω τὸ πράγμα μὲ τὴ σειρὰ ἀπὸ τὴν ἀρχή. «Ἔσυραν τὸ Στέφανο ἔξω ἀπὸ τὴν πόλη», λέγει, «καὶ τὸν λιθοβολοῦσαν, καὶ οἱ μάρτυρες κατηγορίας ἀπέθεσαν τὰ ροῦχα τους στὰ πόδια ἑνὸς νέου ποὺ ὀνομαζόταν Σαῦλος»[11]. Καὶ πάλι· «ὁ Σαῦλος ἐπικροτοῦσε τὴ θανάτωσή του»[12]. Καὶ σὲ ἄλλο σημεῖο λέγει· «στὸ μεταξὺ ὁ Σαῦλος ρήμαζε τὴν Ἐκκλησία, ἔμπαινε μὲ τὴ βία στὰ σπίτια καὶ ἔσερνε ἔξω ἄνδρες καὶ γυναῖκες»[13]. Καὶ πάλι· «ὁ Σαῦλος ὅμως συνέχιζε νὰ ἔχει ἀπειλητικὲς καὶ φονικὲς διαθέσεις γιὰ τοὺς μαθητὲς τοῦ Κυρίου»[14]. Καὶ πάλι· «ἄκουσε μιὰ φωνὴ νὰ τοῦ λέγει, 'Σαούλ, Σαούλ, γιατί μὲ καταδιώκεις;'»[15]. Ἔπρεπε λοιπὸν ἐξ αἰτίας αὐτοῦ ν' ἀποβάλει αὐτὸς στὴ συνέχεια τὸ ὄνομα, ἐφόσον πραγματικὰ ἐγκατέλειψε τοὺς διωγμούς.

Τί λοιπὸν ἔγινε; ἀμέσως τὸ ἀπέβαλε; Καθόλου, καὶ αὐτὸ φαίνεται ἀπὸ τὰ ἑπόμενα. Προσέχετε ὅμως. «Ὁ Σαῦλος σηκώθηκε ἀπὸ τὸ ἔδαφος καὶ ἐνῶ τὰ μάτια του ἦταν ἀνοιχτὰ δὲν ἔβλεπε κανένα»[16]. Καὶ πάλι· «καὶ ὁ Κύριος εἶπε στὸν Ἀνα-

νην Εὐθεῖαν, εὑρήσεις ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι»· καὶ πάλιν, «εἰσελθὼν ὁ Ἀνανίας εἶπε, Σαοὺλ ἀδελφέ, ἀπέσταλκέ με ὁ Κύριος, ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ, ἵνα ἀναβλέψῃς». Εἶτα ἤρξατο κηρύσσειν καὶ συνέχεε τοὺς Ἰουδαίους, καὶ οὐδὲ οὕτως τὸ ὄνομα ἀπέθετο, ἀλλ' ἔτι Σαῦλος ἐλέγετο. «Ἐγνώσθη γάρ», φησί, «τῷ Σαύλῳ ἡ ἐπιβουλὴ τῶν Ἰουδαίων».

Ἆρ' οὖν ἐνταῦθα μόνον; Οὐδαμῶς, ἀλλ', «ἐγένετο λιμός», φησί, «καὶ ὥρισαν οἱ μαθηταὶ πέμψαι εἰς Ἱεροσόλυμα τοῖς ἁγίοις εἰς διακονίαν. Ἔπεμψαν δὲ διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου». Ἰδοὺ διακονεῖ τοῖς ἁγίοις, καὶ ἔτι Σαῦλος λέγεται. Εἰσῆλθε καὶ μετὰ ταῦτα Βαρνάβας εἰς Ἀντιόχειαν, καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ, καὶ ὅτι πλῆθος ἦν ἐκεῖ πολύ, ἐξῆλθεν εἰς Ταρσὸν ἀναζητῆσαι Σαῦλον. Ἰδοὺ καὶ ἐπιστρέφει πολλούς, καὶ Σαῦλος λέγεται· καὶ πάλιν· «ἦσαν», φησίν, «ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν Ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, Συμεὼν ὁ καλούμενος Νίγερ, καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναήν τε Ἡρῴδου τοῦ τετράρχου σύντροφος, καὶ Σαῦλος». Ἰδοὺ καὶ διδάσκαλος ἐγένετο καὶ προφήτης, καὶ ἔτι Σαῦλος ἐλέγετο. Καὶ πάλιν, «λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ καὶ νηστευόντων, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· ἀφορίσατέ μοι τὸν Βαρνάβαν καὶ τὸν Σαῦλον».

3. Ἰδοὺ καὶ ἀφορίζεται ὑπὸ τοῦ Πνεύματος, καὶ οὐδέπω τὸ ὄνομα ἀποτίθεται, ἀλλ' ὅτε ἦλθεν εἰς Σαλαμῖνα, ὅτε τὸν μάγον εὗρε, τότε φησὶν ὁ Λουκᾶς περὶ αὐτοῦ· «Σαῦλος δέ, ὁ καὶ Παῦλος, πλησθεὶς Πνεύματος ἁγίου, εἶπεν». Ἐντεῦθεν ἡ ἀρχὴ τῆς μετονομασίας ἐγίνετο. Μὴ τοίνυν ἀποκάμωμεν τὸν περὶ τῶν

---

17. Πράξ. 9,11.
18. Πράξ. 9,17.
19. Πράξ. 9,24.
20. Πράξ. 11,29–30.
21. Βλ. Πράξ. 11,22.
22. Πράξ. 13,1.
23. Πράξ. 13,2.
24. Πράξ. 13,9.

νία, 'πήγαινε στὴν ὁδὸ ποὺ ὀνομάζεται Εὐθεία, καὶ θὰ βρεῖς στὸ σπίτι τοῦ Ἰούδα κάποιον ποὺ ὀνομάζεται Σαῦλος»[17]. Καὶ πάλι· «μπαίνοντας μέσα ὁ Ἀνανίας εἶπε, 'Σαοὺλ ἀδελφέ μου, μὲ ἔστειλε ὁ Κύριος, ποὺ σοῦ φανερώθηκε στὸ δρόμο, γιὰ νὰ ξαναδεῖς»[18]. Ἔπειτα ἄρχισε νὰ κηρύττει καὶ προκαλοῦσε σύγχυση στοὺς Ἰουδαίους, καὶ οὔτε ἔτσι ἀπέβαλε τὸ ὄνομα, ἀλλ' ἀκόμη λεγόταν Σαῦλος. «Ἔγινε», λέγει, «γνωστὴ στὸ Σαῦλο ἡ ἐπιβουλὴ τῶν Ἰουδαίων»[19].

Μήπως λοιπὸν ἐδῶ μόνο λέγεται Σαῦλος; Καθόλου, ἀλλὰ «ἔπεσε μεγάλη πείνα», λέγει, «καὶ οἱ μαθητὲς ἀποφάσισαν νὰ στείλουν στὰ Ἱεροσόλυμα βοήθεια στοὺς ἀδελφούς. Καὶ τὴν ἔστειλαν μὲ τὸ Βαρνάβα καὶ τὸ Σαῦλο»[20]. Νά, ὑπηρετεῖ τοὺς ἀδελφοὺς καὶ ὀνομάζεται ἀκόμη Σαῦλος. Ἔφθασε ὕστερα ἀπ' αὐτὰ καὶ ὁ Βαρνάβας στὴν Ἀντιόχεια καὶ ὅταν εἶδε τὴ χάρη τοῦ Θεοῦ καὶ ὅτι κόσμος πολὺς ἦταν ἐκεῖ, ἀναχώρησε στὴν Ταρσὸ γιὰ νὰ ζητήσει τὸ Σαῦλο[21]. Νά, καὶ πολλοὺς ἐπιστρέφει καὶ Σαῦλος ὀνομάζεται. Καὶ πάλι, «ὑπῆρχαν», λέγει, «στὴν ἐκκλησία τῆς Ἀντιόχειας προφῆτες καὶ δάσκαλοι, ὁ Συμεὼν ποὺ λεγόταν Νίγερ, ὁ Λούκιος, ὁ Κυρηναῖος, ὁ Μαναήν, ποὺ εἶχε μεγαλώσει μαζὶ μὲ τὸν Ἡρώδη τὸν τετράρχη, καὶ ὁ Σαῦλος»[22]. Νά, καὶ δάσκαλος ἔγινε καὶ προφήτης, καὶ ἀκόμη ὀνομαζόταν Σαῦλος. Καὶ πάλι· «ἐνῶ προσεύχονταν αὐτοὶ στὸν Κύριο καὶ νήστευαν, εἶπε τὸ ἅγιο Πνεῦμα, 'νὰ μοῦ ξεχωρίσετε τὸ Βαρνάβα καὶ τὸ Σαῦλο'»[23].

3. Νὰ καὶ ξεχωρίζεται ἀπὸ τὸ ἅγιο Πνεῦμα, καὶ ἀκόμη δὲν ἀποβάλλει τὸ ὄνομα, ἀλλ' ὅταν ἦρθε στὴ Σαλαμίνα καὶ βρῆκε τὸ μάγο, τότε λέγει ὁ Λουκᾶς γι' αὐτόν· «καὶ ὁ Σαῦλος, ποὺ ὀνομαζόταν καὶ Παῦλος, πλημμύρισε ἀπὸ τὸ ἅγιο Πνεῦμα καὶ εἶπε»[24]. Ἀπὸ ἐδῶ γινόταν ἡ ἀρχὴ τῆς ἀλλαγῆς τοῦ ὀνόματός του. Ἂς μὴν ἀποκάμουμε λοιπὸν ἀναζητώντας τὸ λόγο αὐτὸν

ὀνομάτων τοῦτον ζητοῦντες λόγον. Ὀνομάτων γὰρ εὕρεσις καὶ ἐν τοῖς βιωτικοῖς πράγμασι πολλὴν ἔχει τὴν ἰσχύν. Καὶ γὰρ ἀναγνωρισμὸν διὰ πολλοῦ χρόνου πολλάκις εἰργάσατο, καὶ συγγένειαν λανθάνουσαν ἐφανέρωσεν ὀνομάτων εὕρεσις, καὶ ἀμφισβητήσεις ἐν δικαστηρίῳ ἔλυσε, καὶ μάχας καθεῖλε, καὶ πόλεμον ἔσβεσεν ὀνομάτων εὕρεσις, καὶ πολλάκις ὑπόθεσις εἰρήνης γέγονεν. Εἰ δὲ ἐν τοῖς βιωτικοῖς πράγμασι τοσαύτη ἡ δύναμις τῆς τῶν ὀνομάτων εὑρέσεως, πολλῷ μᾶλλον ἐν τοῖς πνευματικοῖς.

Πρότερον δὲ ἀνάγκη αὐτὰ τὰ ζητήματα διακρῖναι μετὰ ἀκριβείας. Ζητεῖται τοίνυν πρῶτον μέν, διὰ τί τῶν ἁγίων τοὺς μὲν ὠνόμασεν ὁ Θεός, τοὺς δὲ οὐκ ὠνόμασεν. Οὐ γὰρ δὴ πάντας τοὺς ἁγίους αὐτὸς ὠνόμασεν, οὔτε ἐν τῇ Καινῇ, οὔτε ἐν τῇ Παλαιᾷ· καὶ ὅπερ γέγονεν ἐν τῇ Καινῇ, τοῦτο καὶ ἐν τῇ Παλαιᾷ, ἵνα μάθῃς, ὅτι εἷς ἐστιν ὁ Δεσπότης ἑκατέρων τῶν διαθηκῶν. Ἐν μὲν οὖν τῇ Καινῇ τὸν Σίμωνα ὁ Χριστὸς Πέτρον ὠνόμασε, καὶ τὰ τέκνα Ζεβεδαίου Ἰάκωβον καὶ Ἰωάννην Υἱοὺς βροντῆς, τούτους μόνους· τῶν δὲ λοιπῶν μαθητῶν οὐδένα, ἀλλ' ἀφῆκεν αὐτοὺς ἐν ταῖς προσηγορίαις, ἐν αἷς ἔθεντο αὐτοὺς οἱ γονεῖς ἐξ ἀρχῆς· ἐν δὲ τῇ Παλαιᾷ τὸν Ἀβραὰμ ὁ Θεὸς μετωνόμασε καὶ τὸν Ἰακώβ· οὔτε δὲ τὸν Ἰωσήφ, οὔτε τὸν Σαμουήλ, οὔτε τὸν Δαυΐδ, οὔτε τὸν Ἠλίαν, οὔτε τὸν Ἐλισσαῖον, οὔτε τοὺς λοιποὺς προφήτας, ἀλλ' ἀφῆκεν αὐτοὺς ἐπὶ τῆς προσηγορίας μένειν τῆς ἐν ἀρχῇ.

Ἓν μὲν τοῦτο πρῶτον ζήτημά ἐστι, διὰ τί τῶν ἁγίων οἱ μὲν μετωνομάσθησαν, οἱ δὲ οὔ· δεύτερον δὲ μετ' ἐκεῖνο, διὰ τί τούτων οἱ μὲν ἐν μέσῃ τῇ ἡλικίᾳ μετωνομάζοντο, οἱ δὲ ἐξ ἀρχῆς, καὶ πρὸ αὐτῶν τῶν ὠδίνων. Τὸν μὲν γὰρ Πέτρον καὶ Ἰά-

γιὰ τὰ ὀνόματα. Γιατὶ ἡ ἐξήγηση τῶν ὀνομάτων ἔχει καὶ στὰ βιοτικὰ πράγματα μεγάλη δύναμη. Γιατὶ πραγματικὰ προκάλεσε πολλὲς φορὲς καὶ ἀναγνώριση ὕστερα ἀπὸ πολλὰ χρόνια, καὶ συγγένεια ποὺ ἔμενε κρυφὴ φανέρωσε ἡ ἐξήγηση τῶν ὀνομάτων, καὶ ἀμφιβολίες στὸ δικαστήριο διέλυσε, καὶ μάχες σταμάτησε, καὶ πόλεμο ἔσβησε ἡ ἐξήγηση τῶν ὀνομάτων, καὶ πολλὲς φορὲς ἔγινε ἀφορμὴ γιὰ εἰρήνη. Ἂν ὅμως στὰ βιοτικὰ πράγματα εἶναι τόσο μεγάλη ἡ δύναμη τῆς ἐξήγησης τῶν ὀνομάτων, πολὺ περισσότερο εἶναι στὰ πνευματικά.

Πρῶτα ὅμως εἶναι ἀνάγκη νὰ ξεχωρίσουμε μὲ ἀκρίβεια αὐτὰ τὰ ζητήματα. Ζητεῖται λοιπὸν πρῶτα, γιατί ἀπὸ τοὺς ἁγίους ἄλλους τοὺς ἔδωσε ὄνομα ὁ Θεὸς καὶ ἄλλους ὄχι. Γιατὶ βέβαια δὲν ἔδωσε αὐτὸς ὄνομα σὲ ὅλους τοὺς ἁγίους, οὔτε στὴν Καινὴ οὔτε στὴν Παλαιὰ Διαθήκη. Καὶ αὐτὸ ποὺ ἔγινε στὴν Καινή, τὸ ἴδιο ἔγινε καὶ στὴν Παλαιὰ Διαθήκη, γιὰ νὰ μάθεις πὼς ἕνας εἶναι ὁ Κύριος καὶ στὶς δύο Διαθῆκες. Στὴν Καινὴ λοιπὸν τὸν Σίμωνα ὁ Χριστὸς τὸν ὀνόμασε Πέτρο καὶ τὰ παιδιὰ τοῦ Ζεβεδαίου, τὸν Ἰάκωβο καὶ τὸν Ἰωάννη, τὰ ὀνόμασε «Υἱοὺς βροντῆς», καὶ αὐτοὺς μόνο. Ἀπὸ τοὺς ἄλλους ὅμως μαθητὲς κανένα δὲν ὀνόμασε, ἀλλὰ τοὺς ἄφησε τὰ ὀνόματα, ποὺ τοὺς ἔδωσαν ἀπὸ τὴν ἀρχὴ οἱ γονεῖς τους. Καὶ στὴν Παλαιὰ Διαθήκη ὁ Θεὸς ἄλλαξε τὸ ὄνομα στὸν Ἀβραὰμ καὶ στὸν Ἰακώβ. Καὶ οὔτε τὸν Ἰωσὴφ μετονόμασε, οὔτε τὸν Σαμουήλ, οὔτε τὸν Δαβίδ, οὔτε τὸν Ἠλία, οὔτε τὸν Ἐλισσαῖο, οὔτε τοὺς ἄλλους προφῆτες, ἀλλὰ τοὺς ἄφησε νὰ ἔχουν τὴν ἀρχική τους ὀνομασία.

Ἕνα ζήτημα, τὸ πρῶτο, εἶναι αὐτό, γιατὶ δηλαδή ἄλλοι ἀπὸ τοὺς ἁγίους ἄλλαξαν ὄνομα καὶ ἄλλοι ὄχι. Καὶ δεύτερο μετὰ ἀπὸ ἐκεῖνο, γιατί ἀπ' αὐτοὺς ἄλλοι ἄλλαξαν ὄνομα στὴ μέση τῆς ἡλικίας τους καὶ ἄλλοι ἀπὸ τὴν ἀρχή, καὶ μάλιστα

κωβον καὶ Ἰωάννην ἐν μέσῃ τῇ ἡλικίᾳ μετωνόμασεν ὁ Χριστός· Ἰωάννην δὲ τὸν βαπτιστὴν πρὸ αὐτῶν τῶν ὠδίνων. «Ἦλθε γὰρ ἄγγελος Κυρίου, καὶ εἶπε· μὴ φοβοῦ, Ζαχαρία· ἰδού, ἡ γυνή σου Ἐλισάβετ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην». Εἶδες πῶς πρὸ τῶν ὠδίνων ἡ προσηγορία; Τοῦτο καὶ ἐν τῇ Παλαιᾷ γέγονεν.

Ὥσπερ γὰρ ἐν τῇ Καινῇ ὁ μὲν Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης εἰς ἄνδρας τελοῦντες μετωνομάσθησαν, καὶ διώνυμοι γεγόνασιν, Ἰωάννης δὲ ὁ βαπτιστὴς πρὸ αὐτῶν τῶν ὠδίνων καὶ τῶν τόκων ἔλαβε τὴν προσηγορίαν· οὕτω καὶ ἐν τῇ Παλαιᾷ ὁ μὲν Ἀβραὰμ καὶ Ἰακὼβ ἐν μέσῃ τῇ ἡλικίᾳ μετωνομάζοντο· ὁ μὲν γὰρ ἐκαλεῖτο Ἀβράμ, καὶ ἐκλήθη Ἀβραάμ· ὁ δὲ ἐκαλεῖτο Ἰακώβ, ἐκλήθη δὲ Ἰσραήλ. Ὁ δὲ Ἰσαὰκ οὐκ ἔτι οὕτως, ἀλλὰ πρὸ αὐτῶν τῶν ὠδίνων τὸ ὄνομα δέχεται· καὶ καθάπερ ἐκεῖ ὁ ἄγγελος εἶπεν, «ἡ γυνή σου λήψεται ἐν γαστρί, καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην», οὕτω καὶ ἐνταῦθα ὁ Θεὸς εἶπε πρὸς τὸν Ἀβραάμ· «ἡ γυνή σου Σάρρα τέξεται υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ».

Ἓν μὲν οὖν τοῦτο ζήτημα, τίνος ἕνεκεν οἱ μὲν μετωνομάσθησαν, οἱ δὲ οὐκέτι· δεύτερον δὲ μετ' ἐκεῖνο, τί δήποτε οἱ μὲν ἐν μέσῃ τῇ ἡλικίᾳ, οἱ δὲ πρὸ αὐτῶν τῶν ὠδίνων, καὶ ταῦτα μὲν ἐν ἑκατέραις διαθήκαις. Ἡμεῖς δὲ ἐπὶ τὸ δεύτερον ἴωμεν πρότερον· οὕτω γὰρ καὶ ἐκεῖνο σαφέστερον ἔσται· καὶ ἴδωμεν τοὺς ἐξ ἀρχῆς ὀνομασθέντας, καὶ ἀναβαίνοντες μετὰ μικρὸν ἐπὶ τὸν πρῶτον ὀνομασθέντα ἄνθρωπον παρὰ τοῦ Θεοῦ ἔλθωμεν, ἵνα ἀπὸ τῆς ἀρχῆς τὰ ζητήματα τὴν λύσιν λαμβάνῃ. Τίνα οὖν πρῶτον ὠνόμασεν ὁ Θεός; Τίνα δὲ ἄλλον, ἀλλ' ἢ τὸν πρῶτον πλασθέντα; Οὐδὲ γὰρ ἦν ἄλλος ἄνθρωπος οὐδείς, ὥστε ἐπιθεῖ-

---

25. Λουκᾶ 1,13.
26. Γεν. 17,19.

πρὶν τὴ γέννησή τους. Γιατὶ τὸν Πέτρο καὶ τὸν Ἰάκωβο καὶ τὸν Ἰωάννη τοὺς ἄλλαξε ὄνομα ὁ Χριστὸς στὰ μέσα τῆς ἡλικίας τους, ἐνῶ τὸν Ἰωάννη τὸ βαπτιστὴ πρὶν τὴ γέννησή του. «Γιατὶ ἦρθε ἕνας ἄγγελος Κυρίου καὶ εἶπε· 'μὴ φοβᾶσαι, Ζαχαρία, γιατὶ ἡ γυναίκα σου Ἐλισάβετ θὰ γεννήσει υἱὸ καὶ θὰ τοῦ δώσεις τὸ ὄνομα Ἰωάννης»[25]. Εἶδες πῶς δόθηκε τὸ ὄνομα πρὶν τὴ γέννηση; Αὐτὸ ἔγινε καὶ στὴν Παλαιὰ Διαθήκη.

Γιατί, ὅπως ἀκριβῶς στὴν Καινὴ Διαθήκη ὁ Πέτρος, ὁ Ἰάκωβος καὶ ὁ Ἰωάννης μετονομάσθηκαν ὅταν ἦταν ἄνδρες καὶ εἶχαν δύο ὀνόματα, καὶ ὁ Ἰωάννης ὁ βαπτιστὴς πῆρε τὸ ὄνομα πρὶν ἀπὸ τὴ γέννησή του, ἔτσι καὶ στὴν Παλαιὰ ὁ Ἀβραὰμ καὶ ὁ Ἰακὼβ μετονομάζονταν στὰ μέσα τῆς ἡλικίας τους. Γιατὶ ὁ ἕνας ὀνομαζόταν Ἀβράμ, καὶ ὀνομάσθηκε Ἀβραάμ· καὶ ὁ ἄλλος ὀνομαζόταν Ἰακώβ, καὶ ὀνομάσθηκε Ἰσραήλ. Ὁ Ἰσαὰκ ὅμως δὲν ὀνομάσθηκε ἔτσι, ἀλλὰ δέχεται τὸ ὄνομα πρὶν τὴ γέννησή του. Καὶ ὅπως ἀκριβῶς ἐκεῖ ὁ ἄγγελος εἶπε, «ἡ γυναίκα σου θὰ μείνει ἔγκυος καὶ θὰ γεννήσει υἱὸ καὶ θὰ τοῦ δώσεις τὸ ὄνομα Ἰωάννης», ἔτσι καὶ ἐδῶ ὁ Θεὸς εἶπε στὸν Ἀβραάμ· «ἡ γυναίκα σου Σάρρα θὰ γεννήσει υἱὸ καὶ θὰ τοῦ δώσεις τὸ ὄνομα Ἰσαάκ»[26].

Πρῶτο λοιπὸν ζήτημα εἶναι αὐτό, γιὰ ποιό δηλαδὴ λόγο ἄλλοι μετονομάσθηκαν καὶ ἄλλοι ὄχι. Καὶ δεύτερο στὴ συνέχεια, γιατί ἄλλοι μετονομάσθηκαν στὴ μέση τῆς ἡλικίας τους καὶ ἄλλοι πρὶν τὴ γέννησή τους· καὶ αὐτὰ βέβαια ἔγιναν καὶ στὶς δύο Διαθῆκες. Ἐμεῖς ὅμως ἂς ἔρθουμε πρῶτα στὸ δεύτερο (γιατὶ ἔτσι καὶ τὸ πρῶτο θὰ γίνει σαφέστερο) καὶ ἂς δοῦμε ἐκείνους ποὺ ἀπὸ τὴν ἀρχὴ ὀνομάσθηκαν καὶ προχωρώντας σιγά-σιγὰ ἂς ἔρθουμε στὸν πρῶτο ἄνθρωπο ποὺ πῆρε τὸ ὄνομά του ἀπὸ τὸ Θεό, γιὰ νὰ βροῦν τὴ λύση τὰ ζητήματα ἀπὸ τὴν ἀρχή. Ποιόν λοιπὸν ὀνόμασε πρῶτα ὁ Θεός; Καὶ ποιόν ἄλλον, παρὰ ἐκεῖνον ποὺ ἔπλασε πρῶτα; Γιατὶ δὲν ὑπῆρχε κανεὶς ἄλλος ἄν-

ναι αὐτῷ προσηγορίαν. Τίνα οὖν τοῦτον ὠνόμασεν; Ἀδὰμ τῇ Ἑβραίων φωνῇ· οὐ γάρ ἐστιν Ἑλληνικὸν τὸ ὄνομα, εἰς δὲ τὴν Ἑλλάδα μεταβαλλόμενον, οὐδὲν ἄλλο δηλοῖ, ἀλλ' ἢ τὸν γήϊνον· τὸ γὰρ Ἐδὲμ τὴν παρθένον σημαίνει γῆν· τοιοῦτον δὲ ἦν τὸ χωρίον ἐκεῖνο, ἐν ᾧ τὸν παράδεισον ἐφύτευσεν ὁ Θεός.

«Ἐφύτευσε γὰρ τὸν παράδεισον ὁ Θεός», φησίν, «ἐν Ἐδὲμ κατὰ ἀνατολάς»· ἵνα μάθῃς, ὅτι οὐκ ἀνθρωπίνων χειρῶν ἔργον ἦν ὁ παράδεισος· παρθένος γὰρ ἦν ἡ γῆ, καὶ οὔτε ἄροτρον δεξαμένη ἦν, οὔτε εἰς αὔλακα διανοιγεῖσα, ἀλλ' ἄπειρος οὖσα γεωργικῶν χειρῶν ἀπὸ ἐπιταγῆς μόνον ἐβλάστησε τὰ δένδρα ἐκεῖνα. Διὰ τοῦτο Ἐδὲμ αὐτὴν ἐκάλεσεν, ὅπερ ἐστὶ παρθένος γῆ· αὕτη ἡ παρθένος ἐκείνης τῆς παρθένου τύπος ἦν. Ὥσπερ γὰρ αὕτη ἡ γῆ μὴ δεξαμένη σπέρματα ἐβλάστησεν ἡμῖν τὸν παράδεισον, οὕτω καὶ ἐκείνη μὴ δεξαμένη σπέρμα ἀνδρὸς ἐβλάστησεν ἡμῖν τὸν Χριστόν.

Ὅταν οὖν εἴποι σοι ὁ Ἰουδαῖος, 'πῶς ἔτεκεν ἡ παρθένος;' εἰπὲ πρὸς αὐτόν, 'πῶς ἐβλάστησεν ἡ παρθένος γῆ τὰ δένδρα ἐκεῖνα τὰ παράδοξα;' Τὸ γὰρ Ἐδὲμ παρθένος γῆ λέγεται τῇ Ἑβραίων γλώττῃ· καὶ εἴ τις διαπιστεῖ, τοὺς τῆς γλώττης τῆς Ἑβραίων ἐμπείρους διερωτάτω, καὶ θεάσεται ταύτην οὖσαν τὴν ἑρμηνείαν τοῦ Ἐδὲμ ὀνόματος. Οὐδὲ γὰρ ἐπειδὴ ἀγνοοῦσι λέγομεν, διὰ τοῦτο παραλογίσασθαι ὑμᾶς βούλομαι, ἀλλὰ σπουδάζοντες ἀχειρώτους ποιεῖν, ὥσπερ αὐτῶν τῶν ἐχθρῶν παρόντων τῶν ταῦτα εἰδότων, οὕτω μετὰ ἀκριβείας ἅπαντα ἑρμηνεύομεν. Ἐπειδὴ οὖν ἀπὸ τῆς Ἐδὲμ τῆς παρθένου γῆς ἐπλάσθη ἄνθρωπος, ἐκλήθη Ἀδὰμ συνώνυμος τῇ μητρί. Οὕτω καὶ ἄνθρωποι ποιοῦσι, τὰ τικτόμενα παιδία εἰς ὄνομα τῶν μητέρων καλοῦσι πολλάκις· οὕτω καὶ ὁ Θεὸς τὸν πλασθέντα ἄνθρωπον ἀπὸ τῆς

---

27. Γεν. 2,8.

θρωπος, ὥστε νὰ τοῦ δώσει ὄνομα. Πῶς λοιπὸν τὸν ὀνόμασε αὐτόν; Ἀδάμ, στὴν ἑβραϊκὴ γλώσσα. Γιατὶ τὸ ὄνομα δὲν εἶναι ἑλληνικὸ καὶ μεταφραζόμενο στὰ ἑλληνικὰ τίποτε ἄλλο δὲ σημαίνει παρὰ τὸν χωματένιο ἄνθρωπο. Καὶ τὸ ὄνομα Ἐδὲμ σημαίνει τὴν παρθένα γῆ. Καὶ τέτοιος ἦταν ὁ τόπος ἐκεῖνος στὸν ὁποῖο ὁ Θεὸς φύτεψε τὸν παράδεισο.

«Καὶ φύτεψε», λέγει, «ὁ Θεὸς τὸν παράδεισο στὴν Ἐδὲμ ἀνατολικά»[27], γιὰ νὰ μάθεις πὼς ὁ παράδεισος δὲν ἦταν ἔργο ἀνθρώπινων χεριῶν. Γιατὶ ἡ γῆ ἦταν παρθένα καὶ οὔτε ἄροτρο εἶχε δεχθεῖ, οὔτε εἶχε ὀργωθεῖ, ἀλλὰ καθὼς ἦταν ἄπειρη ἀπὸ γεωργικὰ χέρια βλάστησε τὰ δένδρα ἐκεῖνα μόνο ὕστερα ἀπὸ προσταγή. Γι' αὐτὸ τὴν ὀνόμασε Ἐδέμ, ποὺ σημαίνει παρθένα γῆ. Αὐτὴ ἡ παρθένος ἦταν τύπος ἐκείνης τῆς Παρθένου. Γιατί, ὅπως ἀκριβῶς αὐτὴ ἡ γῆ χωρὶς νὰ δεχθεῖ σπέρματα βλάστησε γιὰ μᾶς τὸν παράδεισο, ἔτσι καὶ ἐκείνη χωρὶς νὰ δεχθεῖ σπέρμα ἀνδρικὸ βλάστησε γιὰ μᾶς τὸ Χριστό.

Ὅταν λοιπὸν σοῦ πεῖ ὁ Ἰουδαῖος, πῶς γέννησε ἡ Παρθένος; πές του, πῶς βλάστησε ἡ παρθένα γῆ τὰ δένδρα ἐκεῖνα τὰ παράξενα; Τὸ ὄνομα λοιπὸν Ἐδὲμ σημαίνει στὴν ἑβραϊκὴ παρθένα γῆ. Καὶ ἂν κάποιος δυσπιστεῖ, ἂς ἐρωτήσει αὐτοὺς ποὺ γνωρίζουν καλὰ τὴν ἑβραϊκὴ γλώσσα καὶ θὰ δεῖ πὼς αὐτὴ εἶναι ἡ ἑρμηνεία τοῦ ὀνόματος Ἐδέμ. Οὔτε βέβαια ἐπειδὴ ὁμιλῶ σὲ ἀνθρώπους ποὺ δὲν τὰ γνωρίζουν αὐτά, γι' αὐτὸ θέλω νὰ σᾶς ἐξαπατήσω, ἀλλὰ προσπαθώντας νὰ σᾶς κάνω ἀκατανίκητους, σὰν νὰ ἦταν παρόντες οἱ ἴδιοι οἱ ἐχθροὶ ποὺ τὰ γνωρίζουν αὐτά, ἔτσι τὰ ἑρμηνεύω ὅλα πολὺ προσεκτικά. Ἀφοῦ λοιπὸν ἀπὸ τὴν Ἐδέμ, τὴν παρθένα γῆ, πλάσθηκε ὁ ἄνθρωπος, ὀνομάσθηκε Ἀδάμ, συνώνυμος μὲ τὴ μητέρα του. Ἔτσι καὶ οἱ ἄνθρωποι κάνουν· τὰ παιδιὰ ποὺ γεννιοῦνται τὰ ὀνομάζουν πολλὲς φορὲς στὸ ὄνομα τῆς μητέρας τους. Ἔτσι καὶ ὁ Θεὸς τὸν ἄνθρωπο

γῆς εἰς ὄνομα τῆς μητρὸς ἐκάλεσεν Ἀδάμ. Ἐκείνη Ἐδέμ, οὗτος Ἀδάμ.

4. Ἀλλὰ τί τὸ χρήσιμον; Ἄνθρωποι μὲν γὰρ καλοῦσιν εἰς ὄνομα τῶν μητέρων διὰ τὴν τιμὴν τῶν τετοκυιῶν γυναικῶν· ὁ Θεὸς τίνος ἕνεκεν εἰς ὄνομα τῆς μητρὸς ἐκάλεσεν; τί μέγα ἢ μικρὸν οἰκονομῶν ἐντεῦθεν; Οὐδὲν γὰρ ἁπλῶς οὐδὲ εἰκῆ ποιεῖ, ἀλλὰ μετὰ λόγου καὶ σοφίας πολλῆς· «τῆς γὰρ συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός».

Ἐδὲμ ἡ γῆ, Ἀδὰμ ὁ γήϊνος, ὁ χοϊκός, ὁ γηγενής. Διὰ τί οὖν οὕτως αὐτὸν ἐκάλεσεν; Ἀναμιμνήσκων αὐτὸν διὰ τοῦ ὀνόματος τῆς εὐτελείας τῆς κατὰ φύσιν, καὶ καθάπερ ἐν στήλῃ χαλκῇ τῇ προσηγορίᾳ κατατιθέμενος τὴν ταπεινότητα τῆς οὐσίας, ἵνα τὸ ὄνομα διδασκαλίαν ἔχῃ μετριοφροσύνης· ἵνα μὴ μείζονα τῆς οἰκείας ἀξίας ἔννοιαν λάβῃ. Ἡμεῖς μὲν γὰρ ὅτι γῆ ἐσμεν, ἴσμεν σαφῶς, καὶ ἀπ' αὐτῆς τῆς πείρας τῶν πραγμάτων· ἐκεῖνος δὲ οὐδένα εἶδε πρὸ αὐτοῦ τετελευτηκότα, οὐδὲ διαλυθέντα εἰς κόνιν, ἀλλὰ πολὺ τὸ κάλλος ἦν αὐτῷ τοῦ σώματος, καὶ καθάπερ χρυσοῦ ἀνδριὰς ἀπὸ χωνευτηρίου ἄρτι προελθών, οὕτως ἀπέλαμπεν. Ἵνα μὴ οὖν τὸ ὑπερέχον τῆς ὄψεως εἰς ἀπόνοιαν αὐτὸν ἐπάρῃ, ἀντέστησεν αὐτῷ ὄνομα ἱκανὴν ταπεινοφροσύνης διδασκαλίαν ἔχον· ἔμελλε γὰρ αὐτῷ καὶ ὁ διάβολος προσελθὼν διαλέγεσθαι περὶ ἀπονοίας· ἔμελλεν ἐρεῖν αὐτῷ, ὅτι «ἔσεσθε ὡς θεοί».

Ἵνα οὖν μεμνημένος τοῦ ὀνόματος τοῦ διδάσκοντος αὐτόν, ὅτι γῆ ἐστι, μηδέποτε ἰσοθεΐαν φαντάζηται, διὰ τοῦτο προκαταλαμβάνει αὐτοῦ τὸ συνειδὸς τῷ ὀνόματι, ἱκανὴν αὐτῷ διὰ τῆς προσηγορίας προαποτιθέμενος ἀσφάλειαν τῆς μελλούσης ἐπάγεσθαι παρὰ τοῦ πονηροῦ δαίμονος ἐπιβουλῆς, καὶ τῆς πρὸς

---

28. Ψαλμ. 146,5.

29. Γεν. 3,5.

ποὺ πλάσθηκε ἀπὸ τὴ γῆ τὸν ὀνόμασε Ἀδὰμ στὸ ὄνομα τῆς μητέρας του. Ἐκείνη Ἐδέμ, αὐτὸς Ἀδάμ.

4. Ἀλλὰ ποιά ἡ χρησιμότητα; Γιατὶ οἱ ἄνθρωποι ὀνομάζουν τὰ παιδιὰ στὸ ὄνομα τῶν μητέρων γιὰ νὰ τιμήσουν τὶς γυναῖκες ποὺ τὰ γέννησαν. Ὁ Θεὸς γιὰ ποιό λόγο τὸν ὀνόμασε στὸ ὄνομα τῆς μητέρας του; Ποιό μεγάλο ἢ μικρὸ πράγμα ἤθελε νὰ οἰκονομήσει ἀπὸ ἐδῶ; Γιατὶ δὲν τὸ κάνει τυχαῖα οὔτε ἄσκοπα, ἀλλὰ μὲ λογικὴ καὶ σοφία πολλή· «γιατὶ ἡ σοφία του εἶναι ἄπειρη»[28].

Ἐδὲμ ἡ γῆ, Ἀδὰμ ὁ γήϊνος, ὁ χωματένιος, ὁ γεννημένος ἀπὸ τὴ γῆ. Γιατί λοιπὸν τὸν ὀνόμασε ἔτσι; Γιὰ νὰ τοῦ ὑπενθυμίζει μὲ τὸ ὄνομα τὴν ἀσήμαντη φύση του καὶ σὰν σὲ χάλικνη στήλη νὰ χαράξει στὸ ὄνομα τὴν ταπεινότητα τῆς οὐσίας του, ὥστε νὰ ἔχει τὸ ὄνομα σὰν μάθημα μετριοφροσύνης καὶ νὰ μὴ σχηματίζει γιὰ τὸν ἑαυτό του ἰδέα μεγαλύτερη ἀπὸ τὴν ἀξία του. Γιατὶ ἐμεῖς γνωρίζουμε καλὰ πὼς εἴμαστε χῶμα καὶ ἀπὸ τὴν ἴδια τὴν πείρα τῶν πραγμάτων. Ἐκεῖνος ὅμως δὲν εἶδε κανέναν πρὶν ἀπ' αὐτὸν νὰ ἔχει πεθάνει, οὔτε νὰ διαλύθηκε σὲ σκόνη, ἀλλὰ ἡ ὀμορφιὰ τοῦ σώματός του ἦταν πολλὴ καὶ σὰν χρυσὸς ἀνδριάντας, ποὺ μόλις βγῆκε ἀπὸ τὸ χωνευτήρι, ἔτσι ἔλαμπε. Γιὰ νὰ μὴν τὸν ὁδηγήσει λοιπὸν σὲ ἀλαζονεία ἡ ὑπεροχὴ τοῦ σώματος, τοῦ ἔδωσε σὲ ἀντίθεση ὄνομα ποὺ περιεῖχε ἀρκετὴ διδασκαλία ταπεινοφροσύνης. Γιατὶ ἐπρόκειτο καὶ ὁ διάβολος νὰ ἔρθει καὶ νὰ τοῦ μιλήσει γιὰ ἀλαζονεία· ἐπρόκειτο νὰ τοῦ πεῖ, «θὰ εἶστε σὰν θεοί»[29].

Γιὰ νὰ μὴ φαντάζεται λοιπὸν ποτὲ ὅτι εἶναι ἴσος μὲ τὸ Θεό, ὅταν θὰ θυμᾶται τὸ ὄνομα ποὺ τὸν διδάσκει ὅτι εἶναι χῶμα, γι' αὐτο προλαβαίνει μὲ τὸ ὄνομα τὴ συνείδησή του, καὶ ἀπὸ τὴν ἀρχὴ τὸν ἐξασφαλίζει ἀρκετὰ μὲ τὸ ὄνομα ἀπὸ τὴ μελλοντικὴ ἐπιβουλὴ τοῦ πονηροῦ δαίμονα καὶ ὑπενθυμίζει σ' αὐτὸν τὴ συγγένειά του μὲ τὴ γῆ καὶ τοῦ δείχνει ὅλη τὴν εὐγένεια

τὴν γῆν αὐτὸν ἀναμιμνήσκων συγγενείας, καὶ ἐμφαίνων τῆς φύσεως τὴν εὐγένειαν ἅπασαν, καὶ μονονουχὶ λέγων, ὅτι ἐὰν εἴποι σοι, ὅτι ἔσῃ ὡς Θεός, ἀναμνήσθητι τοῦ ὀνόματος, καὶ ἱκανὴν ἔλαβες παραίνεσιν, ὥστε μὴ δέξασθαι τὴν συμβουλήν. Ἀναμνήσθητι τῆς μητρός, ἀπὸ τῆς συγγενείας ἐπίγνωθι τὴν εὐτέλειαν, οὐχ ἵνα τὴν ταπεινότητα μάθῃς, ἀλλ' ἵνα μηδέποτε εἰς ἀπόνοιαν ἐπαρθῇς.

Διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν, «ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ ἐκ γῆς χοϊκός». Τὸ γὰρ Ἀδὰμ ἑρμηνεύων ἡμῖν τί ποτέ ἐστιν, ἔλεγε τό, «ἐκ γῆς χοϊκός· ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ». Ἀλλ' ἐπιπηδῶσιν ἡμῖν οἱ αἱρετικοὶ λέγοντες· ἰδοὺ οὐκ ἀνέλαβε σάρκα ὁ Χριστός· «ὁ δεύτερος γάρ», φησίν, «ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ». Ἀκούεις ὅτι δεύτερος ἄνθρωπος, καὶ λέγεις, ὅτι οὐκ ἀνέλαβε σάρκα; Καὶ τί ταύτης ἀναισχυντίας γένοιτ' ἂν ἴσον; τίς γάρ ἐστιν ἄνθρωπος σάρκα οὐκ ἔχων; Διὰ γὰρ τοῦτο καὶ ἄνθρωπον καὶ δεύτερον αὐτὸν ἐκάλεσεν ἄνθρωπον, ἵνα ἴδῃς αὐτοῦ τὴν συγγένειαν, καὶ ἀπὸ τοῦ ἀριθμοῦ καὶ ἀπὸ τῆς φύσεως. Τίς οὖν ἐστι, φησίν, ὁ δεύτερος ἄνθρωπος; «Ὁ Κύριος ἐξ οὐρανοῦ». Ἀλλ' ὁ τόπος με σκανδαλίζει, φησί, καὶ τὸ λέγεσθαι «ἐξ οὐρανοῦ». Ὅταν ἀκούσῃς, ὅτι πρῶτος ἄνθρωπος Ἀδὰμ ἐκ γῆς χοϊκός, ἆρα γήϊνον αὐτὸν νομίζεις εἶναι; ἆρα χοϊκὸν ὑποπτεύεις μόνον εἶναι, μὴ ἔχειν δὲ δύναμιν ἀσώματον, τὴν ψυχὴν λέγω καὶ τὴν ἐκείνης φύσιν; Καὶ τίς ἂν τοῦτο εἴποι; Ὥσπερ οὖν περὶ τοῦ Ἀδὰμ ἀκούων, ὅτι χοϊκὸς ἦν, οὐκ ἔρημον τῆς ψυχῆς τὸ σῶμα ὑποπτεύεις· οὕτως ἀκούων, «ὁ Κύριος ἐξ οὐρανοῦ», μὴ ἀθέτει τὴν οἰκονομίαν διὰ τὸ προσκεῖσθαι, «ἐξ οὐρανοῦ».

Τέως μὲν οὖν τὸ πρῶτον ὄνομα ἱκανὴν ἔλαβεν ἀπολογίαν·

---

30. Α' Κορ. 15,47.

τῆς φύσης καὶ σχεδὸν τοῦ λέγει πῶς ἂν σοῦ πεῖ ὅτι θὰ εἶσαι σὰν θεός, θυμήσου τὸ ὄνομα καὶ θὰ λάβεις ἀρκετὴ παραίνεση, ὥστε νὰ μὴ δεχθεῖς τὴ συμβουλή. Θυμήσου τὴ μητέρα σου, ἀπὸ τὴ συγγένεια κατανόησε πόσο ἀσήμαντος εἶσαι, ὄχι γιὰ νὰ μάθεις τὴν ταπεινότητά σου, ἀλλὰ γιὰ νὰ μὴν ὁδηγηθεῖς σὲ ἀλαζονεία.

Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε, «ὁ πρῶτος ἄνθρωπος, ὁ Ἀδάμ, προέρχεται ἀπὸ τὴ γῆ καὶ εἶναι χωματένιος»[30]. Ἑρμηνεύοντας λοιπὸν τί σημαίνει τὸ ὄνομα Ἀδὰμ ἔλεγε, «προέρχεται ἀπὸ τὴ γῆ καὶ εἶναι χωματένιος· ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος, προέρχεται ἀπὸ τὸν οὐρανό». Ἀλλὰ μᾶς ἐπιτίθενται οἱ αἱρετικοὶ λέγοντας· νά, ὁ Χριστὸς δὲν ἔλαβε σάρκα, γιατὶ λέγει «ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος, προέρχεται ἀπὸ τὸν οὐρανό». Ἀκοῦς γιὰ δεύτερο ἄνθρωπο καὶ λέγεις ὅτι δὲν ἔλαβε σάρκα; Καὶ τί θὰ μποροῦσε νὰ ὑπάρξει ἴσο μ' αὐτὴ τὴν ἀναισχυντία; Γιατί ποιός εἶναι ἄνθρωπος χωρὶς νὰ ἔχει σάρκα; Γι' αὐτὸ καὶ ἄνθρωπο τὸν ὀνόμασε καὶ μάλιστα δεύτερο ἄνθρωπο, γιὰ νὰ δεῖς τὴ συγγένειά του καὶ ἀπὸ τὸν ἀριθμὸ καὶ ἀπὸ τὴ φύση. Ποιός λοιπὸν εἶναι, λέγει, ὁ δεύτερος ἄνθρωπος; «Ὁ Κύριος ποὺ προέρχεται ἀπὸ τὸν οὐρανό». Ὅμως, λέγει, μὲ σκανδαλίζει ὁ τόπος καὶ τὸ ὅτι λέγεται «προέρχεται ἀπὸ τὸν οὐρανό». Ὅταν ἀκούσεις ὅτι ὁ πρῶτος ἄνθρωπος, ὁ Ἀδάμ, προέρχεται ἀπὸ τὴ γῆ καὶ εἶναι χωματένιος, ἄραγε τὸν θεωρεῖς πὼς εἶναι γήινος; Ἄραγε φαντάζεσαι πὼς εἶναι μόνο χωματένιος καὶ δὲν ἔχει δύναμη ἀσώματη, δηλαδὴ τὴν ψυχὴ καὶ τὴ φύση της; Καὶ ποιός μπορεῖ νὰ τὸ πεῖ αὐτό; Ὅπως ἀκριβῶς λοιπὸν ὅταν ἀκοῦς γιὰ τὸν Ἀδὰμ ὅτι ἦταν χωματένιος, δὲ φαντάζεσαι τὸ σῶμα του χωρὶς τὴν ψυχή, ἔτσι ὅταν ἀκοῦς «ὁ Κύριος, ποὺ προέρχεται ἀπὸ τὸν οὐρανό», μὴν ἀπορρίπτεις τὴν οἰκονομία γιὰ τὸ ὅτι προστίθεται «ἀπὸ τὸν οὐρανό».

Μέχρι τώρα λοιπὸν τὸ πρῶτο ὄνομα δικαιολογήθηκε σὲ

Ἀδὰμ γὰρ ἐκλήθη ἀπὸ τοῦ ὀνόματος τῆς μητρός, ἵνα μὴ μεῖζον φρονῇ τῆς οἰκείας δυνάμεως· ἵνα ἀχείρωτος γένηται πρὸς τὴν ἀπάτην τοῦ διαβόλου· καὶ γὰρ ἔλεγεν· «ἔσεσθε ὡς θεοί». Δεῦρο δὴ λοιπόν, καὶ ἐφ' ἕτερον τὸν πρὸ αὐτῶν τῶν τόκων ὀνομασθέντα παρὰ τοῦ Θεοῦ μεταβάντες καταπαύσωμεν τὸν λόγον. Τίς οὖν μετὰ τὸν Ἀδὰμ ὑπὸ τοῦ Θεοῦ προσηγορίαν ἔλαβε πρὶν ἢ γενέσθαι; Ὁ Ἰσαάκ· «ἰδοὺ γάρ», φησίν, «ἡ γυνή σου Σάρρα λήψεται ἐν γαστρί, καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ». Ἐπειδὴ δὲ ἔτεκεν αὐτόν, ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰσαὰκ λέγουσα· «γέλωτά μοι ἐποίησεν ὁ Θεός». Διὰ τί; «Τίς γάρ», φησίν, «ἀναγγελεῖ τῷ Ἀβραάμ, ὅτι Σάρρα θηλάζει υἱόν;». Προσέχετέ μοι ἀκριβῶς ἐνταῦθα ἵνα ἴδητε τὸ θαῦμα. Οὐκ εἶπεν, 'ὅτι ἔτεκε παιδίον', ἀλλ' ὅτι «θηλάζει παιδίον».

Ἵνα γὰρ μή τις ὑποβολιμαῖον εἶναι νομίσῃ τὸ παιδίον, αἱ τοῦ γάλακτος πηγαὶ τὸν τοκετὸν ἐνεγγυήσαντο, ὥστε ἀναμιμνησκόμενος τοῦ ὀνόματος καὶ αὐτὸς ἱκανὴν εἶχε διδασκαλίαν τῆς παραδόξου γεννήσεως. Διὰ τοῦτό φησι, «γέλωτά μοι ἐποίησεν ὁ Θεός», ὅτι ἦν ἰδεῖν γυναῖκα γεγηρακυῖαν ἐν βαθυτάτῃ πολιᾷ τιθηνουμένην, ὑπομάζιον ἔχουσαν παιδίον. Ἀλλ' ὁ γέλως τῆς τοῦ Θεοῦ χάριτος ὑπόμνησις ἦν, καὶ ἡ γαλακτοτροφία τὴν θαυματοποιίαν ἐπιστοῦτο· οὐδὲ γὰρ φύσεως ἔργον ἦν, ἀλλὰ τὸ πᾶν τῆς χάριτος κατόρθωμα ἐγίνετο. Διὰ τοῦτό φησι καὶ ὁ Παῦλος, «κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν». Ὥσπερ γὰρ ἐκεῖ ἡ χάρις εἰργάσατο, οὕτω καὶ ἐνταῦθα προῆλθεν ἐκεῖνος ἀπὸ μήτρας κατεψυγμένης. Ἀνέβης σὺ ἀπὸ ὑδάτων ψυχρῶν· ὅπερ οὖν ἐκείνῳ ἡ μήτρα, τοῦτό σοι ἡ κολυμβήθρα ἐγένετο τῶν ὑδάτων.

Εἶδες τόκου συγγένειαν; εἶδες χάριτος συμφωνίαν; εἶδες πανταχοῦ τὴν φύσιν σχολάζουσαν καὶ τὴν δύναμιν τοῦ Θεοῦ τὸ πᾶν ἐργαζομένην; Διὰ τοῦτο «κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα

---

31. Γεν. 17,19.
32. Γεν. 21,6.
33. Γεν. 21,7.
34. Γαλ. 4,28.

ἱκανοποιητικὸ βαθμό. Γιατὶ ὀνομάσθηκε Ἀδὰμ ἀπὸ τὸ ὄνομα τῆς μητέρας του γιὰ νὰ μὴν ἔχει ἰδέα μεγαλύτερη ἀπὸ τὴ δύναμή του, γιὰ νὰ γίνει ἀνίκητος στὴν ἀπάτη τοῦ διαβόλου· γιατὶ πραγματικὰ τοῦ ἔλεγε, «θὰ εἶστε σὰν θεοί». Ἐμπρὸς λοιπὸν στὴ συνέχεια, ἀφοῦ ἔρθουμε καὶ σὲ ἄλλον ποὺ πρὶν τὴ γέννησή του ὀνομάσθηκε ἀπὸ τὸ Θεό, ἂς σταματήσουμε τὸ λόγο. Ποιός λοιπὸν μετὰ τὸν Ἀδὰμ πῆρε τὸ ὄνομά του ἀπὸ τὸ Θεὸ προτοῦ νὰ γεννηθεῖ; Ὁ Ἰσαάκ. Γιατὶ λέγει ἡ Γραφή· «νά, ἡ γυναίκα σου Σάρρα θὰ μείνει ἔγκυος καὶ θὰ γεννήσει υἱὸ καὶ θὰ τὸν ὀνομάσεις Ἰσαάκ»[31]. Καὶ ὅταν τὸν γέννησε, τοῦ ἔδωσε τὸ ὄνομα Ἰσαὰκ λέγοντας, «χαρὰ μοῦ ἔδωσε ὁ Θεός»[32]. Γιατί; «Ποιός», λέει, «θ' ἀναγγείλει στὸν Ἀβραὰμ ὅτι ἡ Σάρρα θηλάζει υἱό;»[33]. Προσέχετε, σᾶς παρακαλῶ, πολὺ ἐδῶ. Δὲν εἶπε 'ὅτι γέννησε παιδί', ἀλλ' ὅτι «θηλάζει παιδί».

Γιὰ νὰ μὴ νομίσει κανεὶς πὼς τὸ παιδὶ ἦταν νόθο, οἱ μαστοὶ ἐγγυήθηκαν τὸν τοκετό, ὥστε ἐνθυμούμενος τὸ ὄνομα εἶχε καὶ αὐτὸς ἱκανὴ διδασκαλία γιὰ τὴν παράδοξη γέννηση. Γι' αὐτὸ λέγει, «μοῦ ἔδωσε χαρὰ ὁ Θεός», γιατὶ ἦταν δυνατὸ νὰ δεῖ κανεὶς μιὰ γυναίκα γηρασμένη μὲ ἄσπρα μαλλιὰ νὰ θηλάζει, νὰ ἔχει παιδὶ στοὺς μαστούς της. Ἀλλὰ ἡ χαρὰ αὐτὴ ἦταν ὑπόμνηση τῆς χάριτος τοῦ Θεοῦ καὶ ὁ θηλασμὸς ἐπιβεβαίωνε τὸ θαῦμα ποὺ ἔγινε. Γιατὶ δὲν ἦταν ἔργο τῆς φύσης, ἀλλὰ ὅλο ἦταν κατόρθωμα τῆς χάριτος. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει, «εἴμαστε παιδιὰ τῆς ὑπόσχεσης, ὅπως ὁ Ἰσαάκ»[34]. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖ τὸ κατόρθωμα ἦταν τῆς χάριτος τοῦ Θεοῦ, ἔτσι καὶ ἐδῶ γεννήθηκε ἐκεῖνος ἀπὸ μήτρα κατεψυγμένη. Ἀνέβηκες ἐσὺ ἀπὸ κρύα νερά. Αὐτὸ λοιπὸν ποὺ ἦταν γιὰ ἐκεῖνον ἡ μήτρα, τοῦτο ἔγινε γιὰ σένα ἡ κολυμβήθρα μὲ τὸ νερό.

Εἶδες τὴ συγγένεια τοῦ τοκετοῦ; εἶδες τὴ συμφωνία τῆς χάριτος; εἶδες παντοῦ τὴ φύση νὰ σχολάζει καὶ τὴ δύναμη τοῦ Θεοῦ νὰ κάνει τὰ πάντα; Γι' αὐτὸ «εἴμαστε παιδιὰ τῆς ὑπόσχε-

ἐσμέν». Ἀλλ' ἕν ἐστιν ἔτι τὸ ζητούμενον· περὶ ἡμῶν εἶπεν, ὅτι «οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός». Πῶς; Οὐδὲ Ἰσαὰκ ἐξ αἱμάτων· «ἐξέλιπε γὰρ Σάρρᾳ τοῦ γίνεσθαι τὰ γυναικεῖα αὐτῆς». Ἀπεσβέσθησαν αἱ τοῦ αἵματος πηγαί, ἀνῃρέθη τῆς γεννήσεως ἡ ὕλη, ἄχρηστον ἦν τῆς φύσεως τὸ ἐργαστήριον, καὶ ὁ Θεὸς τὴν δύναμιν ἐπεδείξατο τὴν ἑαυτοῦ. Ἰδοὺ καὶ τῆς τοῦ Ἰσαὰκ προσηγορίας ἀπηρτισμένην τὴν διδασκαλίαν ἔχομεν.

Λείπεται μὲν γὰρ ἐπὶ τὸν Ἀβραάμ, καὶ τοὺς υἱοὺς Ζεβεδαίου καὶ τὸν Πέτρον ἐλθεῖν· ἀλλ' ὥστε μὴ ἐνοχλῆσαι τῷ μήκει, εἰς ἑτέραν ταῦτα διάλεξιν ὑπερθέμενοι, καταπαύσομεν τὸν λόγον, παρακαλέσαντες ὑμᾶς, τοὺς γεννηθέντας κατὰ τὸν Ἰσαάκ, μιμεῖσθαι τοῦ Ἰσαὰκ τὴν πρᾳότητα καὶ τὴν ἐπιείκειαν καὶ τὴν ἄλλην ἅπασαν φιλοσοφίαν, ἵνα εὐχαῖς ἐκείνου τοῦ δικαίου καὶ τῶν προέδρων τούτων ἁπάντων εἰς κόλπους Ἀβραὰμ ἅπαντες καταντῆσαι δυνηθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμή, κράτος, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

35. Ἰω. 1,13.

36. Γεν. 18,11.

σης, ὅπως ὁ Ἰσαάκ». Ὑπάρχει ὅμως ἕνα ἀκόμη ζήτημα· γιὰ μᾶς εἶπε, «δὲ γεννηθήκαμε ἀπὸ τὸ αἷμα τῆς γυναίκας οὔτε ἀπὸ ἐπιθυμία τῆς σάρκας»[35]. Πῶς; Οὔτε ὁ Ἰσαὰκ γεννήθηκε ἀπὸ τὸ αἷμα γυναίκας, γιατὶ «σταμάτησαν στὴ Σάρρα νὰ ὑπάρχουν τὰ ἔμμηνά της»[36]. Στέρεψαν οἱ πηγὲς τοῦ αἵματος, καταστράφηκε ἡ ὕλη τῆς γέννησης, ἦταν ἄχρηστο τὸ ἐργαστήριο τῆς φύσης καὶ ὁ Θεὸς φανέρωσε τὴ δύναμή του. Νά, ἔχουμε πλήρη τὴ διδασκαλία καὶ γιὰ τὸ ὄνομα τοῦ Ἰσαάκ.

Μᾶς μένει νὰ ἔρθουμε στὸν Ἀβραάμ, στὰ παιδιὰ τοῦ Ζεβεδαίου καὶ στὸν Πέτρο. Ἀλλά, γιὰ νὰ μὴ σᾶς ἐνοχλήσω μὲ τὸ μάκρος τοῦ λόγου, ἀναβάλλοντας αὐτὰ γιὰ ἄλλη ὁμιλία, θὰ σταματήσω τὸ λόγο, ἀφοῦ παρακαλέσω ἐσᾶς, ποὺ γεννηθήκατε ὅπως ὁ Ἰσαάκ, νὰ μιμεῖστε τὴν πραότητα καὶ τὴν ἐπιείκεια καὶ ὅλη τὴν ἄλλη ἀρετὴ τοῦ Ἰσαάκ, γιὰ νὰ μπορέσουμε μὲ τὶς προσευχὲς ἐκείνου τοῦ δικαίου καὶ ὅλων αὐτῶν τῶν ἐπισκόπων νὰ καταλήξουμε ὅλοι στοὺς κόλπους τοῦ Ἀβραάμ, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο καὶ ζωοποιὸ Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ τιμὴ καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΠΡΟΣ ΤΟΥΣ ΕΓΚΑΛΕΣΑΝΤΑΣ ΥΠΕΡ ΤΟΥ ΜΗΚΟΥΣ ΤΩΝ ΠΡΟΟΙΜΙΩΝ

Καὶ ὅτι χρήσιμον τὸ φέρειν ἐλέγχους, καὶ τίνος ἕνεκεν οὐκ εὐθέως πιστεύσας μετωνομάσθη Παῦλος, καὶ ὅτι οὐκ ἐξ ἀνάγκης, ἀλλ' ἐκ προαιρέσεως γέγονεν αὐτῷ ἡ μεταβολή, καὶ εἰς τὸ ρητόν· «Σαῦλε, Σαῦλε, τί με διώκεις;»

1. *Ἐνεκάλεσαν ἡμῖν τινες τῶν ἀγαπητῶν τῶν ἡμετέρων, ὅτι τοῦ λόγου τὰ προοίμια πρὸς μῆκος ἐκτείνομεν, καὶ εἰ μὲν δικαίως ἢ ἀδίκως ἐνεκάλεσαν, τότε εἴσεσθε, ἐπειδὰν καὶ τὰ παρ' ἡμῶν ἀκούσαντες, ὡς ἐν κοινῷ δικαστηρίῳ τὴν ψῆφον ἐνέγκητε. Ἐγὼ δὲ καὶ πρὶν ἀποδεῖξαι τοῦτο, χάριν αὐτοῖς ἔχω τῶν ἐγκλημάτων· κηδεμονίας γάρ, οὐ πονηρίας ἐστὶ τὰ ἐγκλήματα· καὶ τὸν φιλοῦντά με, οὐχ ὅταν ἐπαινῇ με μόνον, ἀλλὰ καὶ ὅταν ἐγκαλῇ καὶ διορθῶται, τότε φαίην ἂν ἔγωγε φιλεῖν. Τὸ μὲν γὰρ ἁπλῶς πάντα ἐπαινεῖν, καὶ τὰ καλῶς ἔχοντα, καὶ τὰ μὴ καλῶς, οὐκ ἔστι φιλοῦντος, ἀλλ' ἀπατεῶνος καὶ εἴρωνος· τὸ δὲ ἐπαινεῖν μὲν ἄν τι τῶν δεόντων γίνηται, ἐγκαλεῖν δὲ ἄν τι διαμαρτάνηται, τοῦτο φίλου καὶ κηδεμόνος. Καὶ ἵνα μάθητε, ὅτι τὸ ἁπλῶς πάν-*

ΟΜΙΛΙΑ

ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΤΟΝ ΚΑΤΗΓΟΡΗΣΑΝ ΓΙΑ ΤΟ ΜΑΚΡΟΣ ΤΩΝ ΠΡΟΟΙΜΙΩΝ

Καὶ ὅτι εἶναι χρήσιμο τὸ νὰ ὑπομένει κανεὶς ἐλέγχους· ἐπίσης γιατί ὅταν πίστεψε δὲν ὀνομάσθηκε ἀμέσως Παῦλος, ὅτι ἡ μεταβολή του δὲν ἔγινε ἀναγκαστικά, ἀλλὰ μὲ τὴ θέλησή του, καὶ στὴ φράση, «Σαῦλε, Σαῦλε, γιατί μὲ καταδιώκεις;»

1. Μὲ κατηγόρησαν μερικοὶ ἀπὸ τοὺς ἀγαπητούς μας ὅτι μακραίνω τὰ προοίμια τῶν λόγων, καὶ ἂν μὲ κατηγόρησαν δίκαια ἢ ἄδικα τότε θὰ τὸ γνωρίσετε, ὅταν ἀκούσετε καὶ τὰ δικά μου καὶ σὰν σὲ κοινὸ δικαστήριο βγάλετε τὴν ἀπόφασή σας. Ἐγὼ ὅμως καὶ πρὶν νὰ τὸ ἀποδείξω αὐτό, τοὺς ὀφείλω εὐγνωμοσύνη γιὰ τὶς κατηγορίες. Γιατὶ οἱ κατηγορίες εἶναι ἀπόδειξη φροντίδας καὶ ὄχι κακίας, καὶ αὐτὸν ποὺ μὲ ἀγαπάει, ὄχι μόνο ὅταν μὲ ἐπαινεῖ, ἀλλὰ καὶ ὅταν μὲ κατηγορεῖ καὶ μὲ διορθώνει, τότε θὰ ἔλεγα ἐγὼ βέβαια ὅτι μὲ ἀγαπάει. Γιατὶ τὸ νὰ ἐπαινεῖ κανεὶς γενικὰ ὅλα, καὶ τὰ καλὰ καὶ τὰ μὴ καλά, δὲν εἶναι δεῖγμα ἀνθρώπου ποὺ ἀγαπάει, ἀλλ' ἀνθρώπου ἀπατεώνα καὶ εἴρωνα. Τὸ νὰ ἐπαινεῖ ὅμως ἂν κάτι γίνεται σωστὰ καὶ νὰ κατηγορεῖ ἂν κάτι γίνεται λανθασμένα, αὐτὸ εἶναι δεῖγμα φίλου καὶ κηδεμόνα. Καὶ γιὰ νὰ μάθετε ὅτι τὸ νὰ ἐπαινεῖ κανεὶς γενικὰ ὅλα καὶ νὰ

τὰ ἐπαινεῖν καὶ μακαρίζειν ἐπὶ πᾶσιν, οὐκ ἔστι φίλου, ἀλλὰ πλανῶντος· «λαός μου γάρ», φησίν, «οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς, καὶ τὸν τρίβον τῶν ποδῶν ὑμῶν ἐκταράσσουσι».

Τὸν μὲν οὖν ἐχθρὸν οὐδὲ ἐπαινοῦντα δέχομαι, τὸν δὲ φίλον καὶ ἐγκαλοῦντα προσίεμαι. Ἐκεῖνος, κἂν φιλῇ με, ἀηδής ἐστιν· οὗτος, κἂν τραυματίζῃ με, ποθεινός ἐστιν· ἐκείνου τὸ φίλημα ὑποψίας γέμει, τούτου τὸ τραῦμα κηδεμονίαν ἔχει. Διὰ τοῦτό φησί τις· «ἀξιοπιστότερα τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ». Τί λέγεις; Τραύματα φιλημάτων βελτίονα, φησίν· οὐ γὰρ τῇ φύσει τῶν γινομένων, ἀλλὰ τῇ διαθέσει τῶν ποιούντων προσέχω. Βούλει μαθεῖν, πῶς ἀξιοπιστότερα τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ; Ἐφίλησε τὸν Κύριον ὁ Ἰούδας, ἀλλὰ προδοσίας αὐτοῦ τὸ φίλημα ἔγεμεν, ἰὸν αὐτοῦ τὸ στόμα εἶχε, πονηρίας ἡ γλῶσσα ἐπέπληστο. Τὸν παρὰ Κορινθίοις πεπορνευκότα ἐτραυμάτισεν ὁ Παῦλος, ἀλλ' ἔσωσε. Καὶ πῶς ἐτραυμάτισε, φησί; Τῷ σατανᾷ παραδούς. «Παράδοτε γάρ», φησί, «τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός». Διὰ τί; «Ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ». Εἶδες τραύματα σωτηρίαν ἔχοντα; εἶδες φίλημα προδοσίας γέμον; Οὕτως «ἀξιοπιστότερα τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ».

Τοῦτο μὴ ἐπ' ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ Θεοῦ, καὶ ἐπὶ τοῦ διαβόλου ἐξετάσωμεν. Ὁ μὲν φίλος, ὁ δὲ ἐχθρός· ὁ μὲν σωτὴρ καὶ κηδεμών, ὁ δὲ ἀπατεὼν καὶ πολέμιος. Ἀλλ' ὁ μὲν ἐφίλησέ ποτε, ὁ δὲ ἐτραυμάτισε. Πῶς ὁ μὲν ἐφίλησεν, ὁ δὲ ἐτραυμάτισεν; Ὁ μὲν εἶπεν, «ἔσεσθε ὡς θεοί», ὁ δὲ εἶπε, «γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ». Τίς οὖν ὠφέλησε μᾶλλον, ἐκεῖνος ὁ εἰ-

1. Ἡσ. 3,12.
2. Παροιμ. 27,6.
3. Βλ. Ματθ. 26,49.
4. Α' Κορ. 5,5.
5. Γεν. 3,5.

μακαρίζει γιὰ ὅλα δὲν εἶναι δεῖγμα φίλου ἀλλ' ἀνθρώπου ποὺ ἐξαπατάει, λέγει ἡ Γραφή· «λαέ μου, ἐκεῖνοι ποὺ σᾶς μακαρίζουν, σᾶς παραπλανοῦν καὶ δημιουργοῦν σύγχυση στὸ δρόμο σας»[1].

Τὸν ἐχθρὸ λοιπὸν δὲν τὸν δέχομαι οὔτε ὅταν μὲ ἐπαινεῖ, ἐνῶ τὸ φίλο τὸν παραδέχομαι καὶ ὅταν μὲ κατηγορεῖ. Ἐκεῖνος καὶ ἂν ἀκόμη μὲ ἀσπάζεται μοῦ εἶναι ἀηδιαστικός, ἐνῶ αὐτὸς καὶ ἂν ἀκόμη μὲ τραυματίζει μοῦ εἶναι ἐπιθυμητός. Τὸ φίλημα τοῦ ἐχθροῦ εἶναι γεμάτο ὑποψία, τὸ τραῦμα τοῦ φίλου περιέχει φροντίδα. Γι' αὐτὸ κάποιος λέγει· «εἶναι πιὸ ὠφέλιμα τὰ τραύματα τοῦ φίλου παρὰ τὰ αὐθόρμητα φιλήματα τοῦ ἐχθροῦ»[2]. Τί λέγεις; Τὰ τραύματα, λέγει, εἶναι καλύτερα ἀπὸ τὰ φιλήματα, γιατὶ δὲν προσέχω στὴ φύση τῶν πράξεων, ἀλλὰ στὴ διάθεση ἐκείνων ποὺ τὰ κάνουν. Θέλεις νὰ μάθεις πῶς εἶναι πιὸ ὠφέλιμα τὰ τραύματα τοῦ φίλου ἀπὸ τὰ αὐθόρμητα φιλήματα τοῦ ἐχθροῦ; Φίλησε τὸν Κύριο ὁ Ἰούδας, ἀλλὰ τὸ φίλημά του ἦταν γεμάτο προδοσία, τὸ στόμα του εἶχε δηλητήριο, ἡ γλώσσα του ἦταν γεμάτη κακία[3]. Τραυμάτισε ὁ Παῦλος ἐκεῖνον ποὺ στὴν Κόρινθο διέπραξε πορνεία, ἀλλὰ τὸν ἔσωσε. Καὶ πῶς, λέγει, τὸν τραυμάτισε; Παραδίδοντάς τον στὸ σατανά. «Παραδῶστε», λέγει, «τὸν ἄνθρωπο αὐτὸν στὸ σατανᾶ γιὰ τὸ σωματικό του ἀφανισμό». Γιατί; «Γιὰ νὰ σωθεῖ τὸ πνεῦμα του τὴν ἡμέρα τοῦ Κυρίου Ἰησοῦ»[4]. Εἶδες τραύματα ποὺ περιέχουν σωτηρία; εἶδες φίλημα γεμάτο προδοσία; Ἔτσι «εἶναι πιὸ ὠφέλιμα τὰ τραύματα τοῦ φίλου παρὰ τὰ φιλήματα τοῦ ἐχθροῦ».

Αὐτὸ ὄχι μόνο στοὺς ἀνθρώπους, ἀλλὰ καὶ στὸ Θεὸ καὶ στὸ διάβολο ἂς τὸ ἐξετάσουμε. Ὁ Θεὸς εἶναι φίλος, ὁ διάβολος ἐχθρός· ὁ Θεὸς σωτήρας καὶ προστάτης, ὁ διάβολος ἀπατεώνας καὶ ἐχθρός. Ἀλλὰ ὁ διάβολος φίλησε κάποτε, ὁ Θεὸς τραυμάτισε. Πῶς ὁ ἕνας φίλησε καὶ ὁ ἄλλος τραυμάτισε; Ὁ ἕνας εἶπε, «θὰ εἶστε σὰν θεοί»[5] καὶ ὁ ἄλλος εἶπε, «χῶμα εἶσαι καὶ στὸ

πών, ὅτι «ἔσεσθε ὡς θεοί», ἢ οὗτος ὁ εἰπών, ὅτι «γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ»; Οὗτος θάνατον ἠπείλησεν, ἐκεῖνος ἀθανασίαν ἐπηγγείλατο· ἀλλ' ὁ μὲν ἀθανασίαν ἐπαγγειλάμενος, καὶ τοῦ παραδείσου ἐξέβαλεν, ὁ δὲ θάνατον ἀπειλήσας, εἰς τὸν οὐρανὸν ἀνήγαγεν.

Εἶδες πῶς «ἀξιοπιστότερα τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ»; Διὰ τοῦτο καὶ πρὶν ἀποδεῖξαι, χάριν ἔχω τοῖς ἐγκαλοῦσιν. Οἱ μὲν γάρ, κἂν δικαίως κἂν ἀδίκως ἐγκαλῶσιν, οὐκ ὀνειδίσαι βουλόμενοι ἀλλὰ διορθῶσαι, τοῦτο ποιοῦσιν· οἱ δὲ ἐχθροί, κἂν δικαίως ἐγκαλῶσιν, οὐχὶ διορθῶσαι, ἀλλ' ἐκπομπεῦσαι σπουδάζοντες ἐλέγχουσιν. Οὗτοι τοίνυν ἐπαινοῦντες, σπουδαιότερον ζητοῦσι ποιῆσαι, ἐκεῖνοι δέ, κἂν ἐπαινῶσιν, ὑποσκελίσαι σπεύδουσι.

Πλὴν ὅπως ἂν ὁ ἔλεγχος κινῆται, μέγα ἀγαθὸν τὸ δύνασθαι φέρειν ἐλέγχους καὶ ἐγκλήματα, καὶ μὴ ἐκθηριοῦσθαι. «Ὁ γὰρ μισῶν ἐλέγχους, ἄφρων ἐστί», φησίν. Οὐκ εἶπε, τοιούσδε ἢ τοιούσδε ἐλέγχους, ἀλλ' ἁπλῶς, ἐλέγχους. Εἰ μὲν γὰρ δικαίως ἐνεκάλεσεν ὁ φίλος, διόρθωσαι τὸ ἁμάρτημα· εἰ δὲ ἀλόγως ἐμέμψατο, τέως ἐπαίνεσον αὐτὸν τῆς γνώμης, ἀπόδειξαι τὸν σκοπόν, χάριν ὁμολόγησον τῆς φιλίας· ἀπὸ γὰρ τοῦ σφόδρα φιλεῖν τὸ ἐγκαλεῖν γίνεται. Μὴ δυσχεραίνωμεν ἐλεγχόμενοι. Καὶ γὰρ μεγάλα ὀνίνησι τοῦτο τὴν ζωὴν τὴν ἡμετέραν, εἰ γίνοιτο παρὰ πάντων, εἰ καὶ ἐλέγχοιμεν τοὺς ἁμαρτάνοντας, καὶ ἁμαρτάνοντες φέροιμεν τοὺς ἐλέγχους εὐκόλως· ὅπερ γὰρ ἐπὶ τῶν τραυμάτων ἐστὶ τὰ φάρμακα, τοῦτο ἐπὶ τῶν ἁμαρτημάτων οἱ

---

6. Γεν. 3,19.
7. Παροιμ. 12,1.

χῶμα θὰ καταλήξεις»[6]. Ποιός λοιπὸν ὠφέλησε περισσότερο, ἐκεῖνος ποὺ εἶπε «θὰ εἶστε σὰν θεοί», ἢ αὐτὸς ποὺ εἶπε «χῶμα εἶσαι καὶ στὸ χῶμα θὰ καταλήξεις»; Αὐτὸς ἀπείλησε θάνατο, ἐκεῖνος ὑποσχέθηκε ἀθανασία. Ἀλλ' ἐκεῖνος ποὺ ὑποσχέθηκε ἀθανασία τὸν ἔβγαλε ἔξω καὶ ἀπὸ τὸν παράδεισο, ἐνῶ αὐτὸς ποὺ ἀπείλησε θάνατο τὸν ἀνέβασε στὸν οὐρανό.

Εἶδες πῶς «εἶναι πιὸ ὠφέλιμα τὰ τραύματα τοῦ φίλου παρὰ τὰ αὐθόρμητα φιλήματα τοῦ ἐχθροῦ»; Γι' αὐτὸ καὶ πρὶν τὸ ἀποδείξω εὐγνωμονῶ αὐτοὺς ποὺ μὲ κατηγοροῦν. Γιατὶ αὐτοὶ εἴτε δίκαια εἴτε ἄδικα μὲ κατηγοροῦν, τὸ κάνουν αὐτὸ ὄχι γιατὶ θέλουν νὰ μὲ κατηγορήσουν, ἀλλὰ γιὰ νὰ μὲ διορθώσουν· ἐνῶ οἱ ἐχθροὶ καὶ ἂν ἀκόμη μὲ κατηγοροῦν δίκαια, δὲν μὲ ἐλέγχουν γιὰ νὰ μὲ διορθώσουν, ἀλλὰ τὸ κάνουν προσπαθώντας νὰ μὲ ἐκθέσουν. Οἱ πρῶτοι λοιπὸν ὅταν μὲ ἐπαινοῦν, ζητοῦν νὰ μὲ κάνουν καλύτερο, ἐνῶ οἱ δεύτεροι, καὶ ὅταν ἀκόμη μὲ ἐπαινοῦν, βιάζονται νὰ μὲ ὑπονομεύσουν.

Πλὴν ὅμως ὅπως καὶ ἂν γίνεται ὁ ἔλεγχος, εἶναι μεγάλο ἀγαθὸ τὸ νὰ μπορεῖ κανεὶς νὰ ἀνέχεται ἐλέγχους καὶ κατηγορίες καὶ νὰ μὴν ἐξαγριώνεται. «Γιατὶ ὅποιος μισεῖ τοὺς ἐλέγχους εἶναι ἀνόητος», λέγει[7]. Δὲν εἶπε γιὰ τέτοιους καὶ τέτοιους ἐλέγχους, ἀλλὰ γενικὰ γιὰ ἐλέγχους. Γιατί, ἂν δίκαια σὲ κατηγόρησε ὁ φίλος, νὰ διορθώσεις τὸ σφάλμα σου· ἂν ὅμως σὲ μέμφθηκε χωρὶς λόγο, πρῶτα νὰ τὸν ἐπαινέσεις γιὰ τὴ γνώμη του, νὰ δεχθεῖς τὸ σκοπό του, νὰ τὸν εὐχαριστήσεις γιὰ τὴ φιλία του· γιατὶ ἡ κατηγορία προέρχεται ἀπὸ τὴν ὑπερβολικὴ ἀγάπη. Ἂς μὴ δυσανασχετοῦμε ὅταν ἐλεγχόμαστε. Γιατὶ πραγματικὰ αὐτὸ ὠφελεῖ πολὺ τὴ ζωή μας, ἂν γινόταν ἀπ' ὅλους, ἂν ἐλέγχαμε ἐκείνους ποὺ σφάλλουν καὶ ἂν ἀνεχόμασταν εὔκολα τοὺς ἐλέγχους ὅταν σφάλλουμε. Ἐκεῖνο δηλαδὴ ποὺ εἶναι στὰ τραύματα τὰ φάρμακα, αὐτὸ στὰ ἁμαρτήματα εἶναι ὁ ἔλεγχοι.

ἔλεγχοι· ὥσπερ οὖν ὁ τὰ φάρμακα διακρουόμενος, ἀνόητος, οὕτω καὶ ὁ τοὺς ἐλέγχους μὴ καταδεχόμενος, ἄφρων.

Ἀλλ' ἐκθηριοῦνται πολλοὶ πολλάκις, πρὸς αὐτοὺς ἐννοοῦντες καὶ λέγοντες· σοφός, φησίν, ἐγὼ καὶ συνετὸς τοῦ δεῖνος ἀνέξομαι; οὐκ εἰδότες, ὅτι τοῦτο αὐτὸ ἐσχάτης ἀνοίας τεκμήριον. «Εἶδον γάρ», φησίν, «ἄνθρωπον δοκοῦντα σοφὸν εἶναι παρ' ἑαυτῷ, ἐλπίδα δὲ ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ». Διὰ τοῦτο καὶ Παῦλος λέγει, «μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς». Κἂν γὰρ μυριάκις εἶ σοφός, καὶ τὰ δέοντα συνορῶν, ἀλλ' ἄνθρωπος εἶ, καὶ χρείαν ἔχεις συμβούλου. Ὁ Θεὸς γὰρ μόνος ἐστὶν ἀνενδεής, καὶ μόνος οὐ δεῖται συμβούλου. Δι' ὃ καὶ περὶ ἐκείνου μόνου λέγεται· «τίς γὰρ ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;», ἄνθρωποι δέ, κἂν μυριάκις ὦμεν σοφοί, μυριάκις ἐλεγχόμεθα, καὶ τὸ τῆς φύσεως ἡμῶν ἀσθενὲς διαφαίνεται. «Οὐ γὰρ δύναται πάντα εἶναι ἐν ἀνθρώποις», φησί. Διὰ τί; «Ὅτι οὐκ ἀθάνατος υἱὸς ἀνθρώπου». Τί φωτεινότερον ἡλίου; Ἀλλ' ὅμως καὶ τοῦτο ἐκλείπει. Καθάπερ οὖν ἐκεῖνο τὸ φῶς τὸ λαμπρόν, τὴν ἀπαστράπτουσαν ἀκτῖνα σκότος ἐπελθὸν ἀποκρύπτει· οὕτω πολλάκις καὶ τὴν σύνεσιν τὴν ἡμετέραν, καθάπερ ἐν σταθηρᾷ μεσημβρίᾳ λάμπουσαν καὶ διαφαινομένην, ἐπελθοῦσα ἄνοια ἀπέκρυψε πολλάκις· καὶ ὁ μὲν σοφὸς τὸ δέον οὐ συνεῖδεν, ὁ δὲ ἐλάττων ἐκείνου πολλῷ ὀξύτερον ἐκείνου τοῦτο ἐφώρασε. Καὶ τοῦτο γίνεται, ἵνα μήτε ὁ σοφὸς ἐπαίρηται, μήτε ὁ εὐτελὴς ἑαυτὸν ταλανίζῃ.

Μέγα ἀγαθὸν ἐλέγχους δύνασθαι φέρειν, μέγα ἀγαθὸν δύνασθαι ἐλέγχειν· τοῦτο κηδεμονίας μεγίστης. Νυνὶ δὲ ἂν μὲν ἴδωμεν ἄνθρωπον τὸν χιτωνίσκον ἔχοντα παραλελυμένον ἐκ

8. Παροιμ. 26,12.
9. Ρωμ. 12,16.
10. Ρωμ. 11,34.
11. Σοφ. Σειρ. 17,30.

῞Οπως λοιπὸν ἐκεῖνος ποὺ ἀποφεύγει τὰ φάρμακα εἶναι ἀνόητος, ἔτσι καὶ αὐτὸς ποὺ δὲ δέχεται τοὺς ἐλέγχους εἶναι ἀνόητος.

᾿Αλλὰ πολλοὶ ἐξαγριώνονται πολλὲς φορές, σκεπτόμενοι μέσα τους καὶ λέγοντας· 'ἐγὼ ὁ σοφὸς καὶ συνετὸς θ' ἀνεχθῶ τὸν τάδε;' Χωρὶς νὰ γνωρίζουν πὼς αὐτὸ εἶναι ἀπόδειξη τῆς χειρότερης ἀνοησίας. «Γιατὶ εἶδα», λέγει, «ἕναν ἄνθρωπο ποὺ φαντάσθηκε τὸν ἑαυτό του ὅτι εἶναι σοφός, μεγαλύτερη ὅμως ἐλπίδα γιὰ διόρθωση ἔχει ὁ ἀνόητος παρὰ αὐτός»[8]. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «μὴ θεωρεῖτε τοὺς ἑαυτούς σας σοφούς»[9]. Γιατί, καὶ ἂν ἀκόμη εἶσαι ἄπειρες φορὲς σοφὸς καὶ βλέπεις ἀμέσως τὰ σωστά, εἶσαι ὅμως ἄνθρωπος καὶ ἔχεις ἀνάγκη ἀπὸ σύμβουλο. Γιατὶ μόνο ὁ Θεὸς εἶναι χωρὶς ἀνάγκες καὶ μόνο αὐτὸς δὲ χρειάζεται σύμβουλο. Γι' αὐτὸ καὶ γιὰ ἐκεῖνον μόνο λέγεται· «ποιός γνώρισε τὴ σκέψη τοῦ Κυρίου καὶ ποιός ἔγινε σύμβουλός του;»[10]. ᾿Εμεῖς οἱ ἄνθρωποι ὅμως, ἔστω καὶ ἂν εἴμαστε ἄπειρες φορὲς σοφοί, ἐλεγχόμαστε ἀμέτρητες φορές, καὶ φαίνεται ἔτσι ἡ ἀδυναμία τῆς φύσης μας. «Γιατὶ δὲν εἶναι δυνατὸ νὰ ὑπάρχουν ὅλα στοὺς ἀνθρώπους», λέγει. Γιὰ ποιό λόγο; «Γιατὶ κανεὶς ἄνθρωπος δὲν εἶναι ἀθάνατος»[11]. Ποιό πράγμα εἶναι φωτεινότερο ἀπὸ τὸν ἥλιο; Καὶ ὅμως καὶ αὐτὸ ἐξαφανίζεται. ῞Οπως ἀκριβῶς λοιπὸν ἐκεῖνο τὸ λαμπρὸ φῶς, ὅταν πέσει τὸ σκοτάδι, κρύβει τὴν ἀστραφτερὴ ἀκτίνα του, ἔτσι πολλὲς φορὲς καὶ τὴ δική μας σύνεση, σὰν νὰ λάμπει καὶ νὰ ἀκτινοβολεῖ ἀκριβῶς μέσα στὸ μεσημέρι, ἦρθε καὶ τὴν ἔκρυψε πολλὲς φορὲς ἡ ἀνοησία. Καὶ ὁ σοφὸς βέβαια δὲ γνώρισε τὸ σωστό, ἐνῶ ὁ κατώτερός του τὸ ἀνακάλυψε πολὺ πιὸ γρήγορα ἀπὸ ἐκεῖνον. Καὶ αὐτὸ γίνεται γιὰ νὰ μὴν ὑπερηφανεύεται ὁ σοφός, ἀλλ' οὔτε καὶ ὁ ἀσήμαντος νὰ ταλανίζει τὸν ἑαυτό του.

Εἶναι μεγάλο ἀγαθὸ νὰ μπορεῖ κανεὶς νὰ ὑποφέρει τοὺς ἐλέγχους, εἶναι μεγάλο ἀγαθὸ νὰ μπορεῖ νὰ ἐλέγχει· αὐτὸ εἶναι ἀπόδειξη πολὺ μεγάλης φροντίδας. Τώρα ἂν δοῦμε ἕνα ἄνθρω-

πλαγίων, ἢ τὴν ἄλλην στολὴν κακῶς περικειμένην, διορθοῦμεν καὶ ὑπομιμνήσκομεν· ἂν δὲ ἴδωμεν αὐτοῦ τὴν ζωὴν παραλελυμένην, οὐδὲ λόγον προϊέμεθα. Ἂν ἴδωμεν αὐτοῦ τὸν βίον ἀσχήμονα ὄντα, παρατρέχομεν· καίτοι τὰ μὲν τῶν ἱματίων μέχρι γέλωτος, τὰ δὲ τῆς ψυχῆς μέχρι κινδύνου καὶ τιμωρίας ἐστίν. Ὁρᾷς τὸν ἀδελφόν, εἰπέ μοι, κατὰ κρημνοῦ φερόμενον, ἠμελημένον ἔχοντα βίον, οὐ συνορῶντα τὸ δέον, καὶ οὐκ ὀρέγεις χεῖρα; οὐκ ἀνιστᾷς ἐκ τοῦ πτώματος; οὐκ ἐγκαλεῖς καὶ ἐλέγχεις; ἀλλὰ τὸ μὴ προσκροῦσαι αὐτῷ καὶ φανῆναι ἐπαχθὴς προτιμᾷς τῆς ἐκείνου σωτηρίας; Καὶ ποίαν ἕξεις συγγνώμην παρὰ τοῦ Θεοῦ; τίνα ἀπολογίαν; Οὐκ ἤκουσας τί τοῖς Ἰουδαίοις ἐκέλευσεν ὁ Θεός· τὰ ὑποζύγια τῶν ἐχθρῶν μὴ περιορᾶν πλανώμενα, μηδὲ παρατρέχειν πεπτωκότα; Εἶτα Ἰουδαῖοι μὲν τὰ ἄλογα κελεύονται μὴ περιορᾶν τῶν ἐχθρῶν, ἡμεῖς δὲ τὰς ψυχὰς τῶν ἀδελφῶν καθ' ἑκάστην ὑποσκελιζομένας ἡμέραν περιοψόμεθα; Καὶ πῶς οὐκ ἐσχάτης τοῦτο ὠμότητος καὶ θηριωδίας, μηδὲ τοσαύτην ἀπονέμειν ἀνθρώποις πρόνοιαν, ὅσην τοῖς ἀλόγοις ἐκεῖνοι;

Τοῦτο πάντα ἀνέτρεψε, τοῦτο τὸν βίον ἡμῶν συνέχεεν, ὅτι οὔτε ἐλεγχόμενοι φέρομεν γενναίως, οὔτε ἑτέρους ἐλέγχειν βουλόμεθα· διὰ γὰρ τοῦτο καὶ ἐπαχθεῖς ἐσμεν ἐλέγχοντες, ἐπειδὴ ἐκθηριούμεθα ἐλεγχόμενοι. Εἰ γὰρ ᾔδει ὁ ἀδελφός, ὅτι ἐλέγξας σε ἐπῃνεῖτο παρὰ σοῦ, καὶ αὐτὸς ἐλεγχόμενος τὴν αὐτὴν ἀμοιβὴν ἀπέδωκεν ἄν.

2. Βούλει μαθεῖν ὅτι κἂν σφόδρα συνετὸς ᾖς, κἂν σφόδρα ἀπηρτισμένος, κἂν πρὸς αὐτὴν τὴν ἄκραν κορυφὴν ἔλθῃς τῆς ἀρετῆς, χρείαν ἔχεις συμβούλου καὶ διορθοῦντος καὶ ἐλέγχοντος;

---

12. Βλ. Ἐξ. 23,4-5 καὶ Δευτ. 22,1.

πο νὰ ἔχει τὸ ὑποκάμισό του βγαλμένο στὰ πλάγια ἢ νὰ μὴ φοράει καλὰ τὰ ὑπόλοιπα ροῦχα του τὸν διορθώνουμε καὶ τοῦ τὸ ὑπενθυμίζουμε· ἂν ὅμως δοῦμε νὰ ἔχει παραμελήσει τὴ ζωή του, δὲν τοῦ λέμε οὔτε ἕνα λόγο. Ἂν δοῦμε πὼς ἡ ζωή του εἶναι ἄσχημη, τὸ παρατρέχουμε. Ἂν καὶ βέβαια τὰ σχετικὰ μὲ τὰ ροῦχα προκαλοῦν μόνο γέλωτα, ἐνῶ τὰ σχετικὰ μὲ τὴν ψυχὴ γίνονται πρόξενα καὶ κινδύνων καὶ τιμωριῶν. Πές μου, βλέπεις τὸν ἀδελφό σου νὰ πέφτει στὸ γκρεμό, νὰ ἔχει παραμελήσει τὴ ζωή του, νὰ μὴ βλέπει τὸ σωστό, καὶ δὲν ἁπλώνεις τὸ χέρι σου γιὰ βοήθεια; δὲν τὸν σηκώνεις ἀπὸ κάτω; δὲν τὸν κατηγορεῖς καὶ δὲν τὸν ἐλέγχεις; ἀλλὰ προτιμᾶς ἀπὸ τὴ σωτηρία του νὰ μὴ συγκρουσθεῖς μαζί του καὶ νὰ μὴ φανεῖς ἐνοχλητικός; Καὶ ποιά συγγνώμη θὰ ἔχεις ἀπὸ τὸ Θεό; ποιά ἀπολογία; Δὲν ἄκουσες τί πρόσταξε ὁ Θεὸς στοὺς Ἰουδαίους, νὰ μὴν ἀδιαφοροοῦν γιὰ τὰ περιπλανώμενα ζῶα τῶν ἐχθρων τους οὔτε νὰ τὰ προσπερνοῦν ὅταν πέσουν[12]; Ἔπειτα, οἱ Ἰουδαῖοι παίρνουν ἐντολὴ νὰ μὴν ἀδιαφοροῦν γιὰ τὰ ζῶα τῶν ἐχθρῶν τους, καὶ ἐμεῖς θ' ἀνεχθοῦμε νὰ ὑπονομεύονται κάθε ἡμέρα οἱ ψυχὲς τῶν ἀδελφῶν μας; Καὶ πῶς δὲν εἶναι αὐτὸ ἀπόδειξη τῆς χειρότερης σκληρότητας καὶ θηριωδίας, νὰ μὴ δείχνουμε οὔτε τόση φροντίδα γιὰ τοὺς ἀνθρώπους, ὅση δείχνουν ἐκεῖνοι γιὰ τὰ ζῶα;

Αὐτὸ ἀνέτρεψε τὰ πάντα, αὐτὸ τάραξε τὴ ζωή μας, γιατὶ δὲν ὑπομένουμε μὲ γενναιότητα τοὺς ἐλέγχους, οὔτε θέλουμε νὰ ἐλέγχουμε ἄλλους. Γι' αὐτὸ λοιπὸν καὶ ὅταν ἐλέγχουμε γινόμαστε ἐνοχλητικοί, ἐπειδὴ ἐξαγριωνόμαστε ὅταν μᾶς ἐλέγχουν. Γιατί, ἂν γνώριζε ὁ ἀδελφὸς ὅτι ἂν σὲ ἐλέγξει θὰ τὸν ἐπαινοῦσες, καὶ αὐτὸς ὅταν ἐλέγχεται θὰ ἀνταπέδιδε τὴν ἴδια ἀμοιβή.

2. Θέλεις νὰ μάθεις πώς, καὶ ἂν ἀκόμη εἶσαι πάρα πολὺ συνετὸς καὶ ὑπερβολικὰ καταρτισμένος, καὶ ἂν ἀκόμη ἔχεις φθάσει στὴν ὑψηλότερη κορυφὴ τῆς ἀρετῆς ἔχεις ἀνάγκη ἀπὸ σύμβουλο, ποὺ νὰ σὲ διορθώνει καὶ νὰ σὲ ἐλέγχει; Ἄκουσε μιὰ πα-

Ἄκουσον ἱστορίαν παλαιάν. Οὐδὲν Μωϋσέως ἦν ἴσον. «Καὶ γὰρ πρᾳότατος», φησίν, «ἦν πάντων ἀνθρώπων ἐκεῖνος», καὶ τῷ Θεῷ φίλος, καὶ τῆς ἔξωθεν φιλοσοφίας ἐνεπέπληστο, καὶ τῆς πνευματικῆς πλήρης ἦν συνέσεως. «Ἐπαιδεύθη γάρ», φησί, «Μωϋσῆς πᾶσαν σοφίαν Αἰγυπτίων». Εἶδες ἀπηρτισμένην αὐτοῦ τὴν παίδευσιν; «Καὶ ἦν δυνατὸς ἐν λόγῳ καὶ ἄλλῃ ἀρετῇ». Ἀλλ' ἄκουσον καὶ ἑτέραν μαρτυρίαν. «Πολλοῖς», φησί, «προφήταις ὡμίλησεν ὁ Θεός, ἀλλ' οὐδενὶ οὕτως ὡμίλησεν· ἀλλὰ τοῖς μὲν ἄλλοις ἐν αἰνίγμασι καὶ δι' ὀνειράτων, τῷ δὲ Μωϋσῇ πρόσωπον πρὸς πρόσωπον». Τί μεῖζον τούτου ζητεῖς τεκμήριον τῆς ἀρετῆς ἐκείνου, ὅταν ὁ πάντων Δεσπότης τῷ δούλῳ ὡς φίλῳ διαλέγηται;

Ἦν τοίνυν σοφὸς καὶ τὴν ἔξω καὶ τὴν ἔσω παιδείαν· ἦν δυνατὸς ἐν λόγῳ καὶ ἔργῳ· ἐπέτασσεν αὐτῇ τῇ κτίσει, ἐπειδὴ φίλος ἦν τοῦ Δεσπότου τῆς κτίσεως· ἐξήγαγε λαὸν τοσοῦτον ἐξ Αἰγύπτου· τὴν θάλασσαν ἔσχισε, καὶ πάλιν συνήγαγε· καὶ ἦν ἰδεῖν θαῦμα παράδοξον. Τότε γὰρ πρῶτον ἐπεῖδεν ἥλιος θάλασσαν οὐ πλεομένην, ἀλλὰ πεζευομένην, πέλαγος οὐχὶ κώπαις καὶ πλοίοις, ἀλλὰ ποσὶν ἵππων περώμενον. Ἀλλ' ὅμως ὁ σοφός, ὁ δυνατὸς ἐν λόγῳ καὶ ἔργῳ, ὁ φίλος τοῦ Θεοῦ, ὁ τῇ κτίσει ἐπιτάξας, ὁ τοσαῦτα θαυματουργήσας, οὐ συνεῖδε πρᾶγμα πολλοῖς τῶν ἀνθρώπων εὐσύνοπτον· ἀλλ' ὁ μὲν κηδεστὴς αὐτοῦ, βάρβαρος ἄνθρωπος καὶ εὐτελής, συνεῖδεν αὐτό, καὶ εἰς μέσον ἤγαγεν, ἐκεῖνος δὲ αὐτὸ οὐχ εὗρε. Τί οὖν ἐστι τοῦτο; Ἀκούσατε, ἵνα μάθητε, ὅτι ἕκαστος συμβούλου δεῖται, κἂν κατὰ Μωϋσέα γένηται, καὶ ὅτι τὰ τοὺς μεγάλους λανθάνοντα καὶ θαυμαστοὺς τοὺς ἀνθρώπους, τοὺς μικροὺς καὶ εὐτελεῖς πολλάκις οὐκ ἔλαθεν.

Ἐπειδὴ γὰρ ἐξῆλθεν ὁ Μωϋσῆς ἐξ Αἰγύπτου, καὶ ἦν ἐν τῇ

13. Ἀριθμ. 12,3.
14. Πράξ. 7,22.
15. Βλ. Δευτ. 34,10.

λιὰ ἱστορία. Τίποτε δὲν ἦταν ἴσο μὲ τὸ Μωϋσῆ. Γιατὶ λέγει, «ἐκεῖνος ἦταν ὁ πιὸ πράος ἀπ' ὅλους τοὺς ἀνθρώπους»[13], καὶ φίλος μὲ τὸ Θεὸ καὶ κάτοχος τῆς εἰδωλολατρικῆς φιλοσοφίας καὶ γεμάτος πνευματικὴ σύνεση. «Γιατὶ ὁ Μωϋσῆς», λέγει, «διδάχθηκε ὅλη τὴ σοφία τῶν Αἰγυπτίων». Εἶδες τὴν τέλεια μόρφωσή του; «Καὶ ἦταν δυνατὸς τόσο στὰ λόγια ὅσο καὶ στὰ ἔργα»[14]. 'Αλλ' ἄκουσε καὶ ἄλλη μαρτυρία. Σὲ πολλούς, λέγει, προφῆτες μίλησε ὁ Θεός, σὲ κανέναν ὅμως δὲ μίλησε ἔτσι. 'Αλλὰ στοὺς ἄλλους μίλησε μὲ αἰνίγματα καὶ ὄνειρα, ἐνῶ στὸ Μωϋσῆ κατὰ πρόσωπο[15]. Ποιά μεγαλύτερη ἀπόδειξη ζητᾶς γιὰ τὴν ἀρετή του, ὅταν ὁ Κύριος τῶν πάντων συζητάει μὲ τὸ δοῦλο σὰν νὰ ἦταν φίλος;

Ἦταν λοιπὸν σοφὸς καὶ γνώριζε καὶ τὴν εἰδωλολατρικὴ καὶ τὴν ἰουδαϊκὴ παιδεία· ἦταν δυνατὸς καὶ στὰ λόγια καὶ στὰ ἔργα. Πρόσταζε τὴν ἴδια τὴν κτίση, ἐπειδὴ ἦταν φίλος τοῦ Κυρίου τῆς κτίσης. Ἔβγαλε ἀπὸ τὴν Αἴγυπτο τόσο πολὺ λαό. Ἔσχισε στὰ δύο τὴ θάλασσα καὶ πάλι τὴν ἕνωσε· καὶ μποροῦσε νὰ δεῖ κανεὶς ἕνα θαῦμα παράδοξο. Γιατὶ τότε γιὰ πρώτη φορὰ εἶδε ὁ ἥλιος θάλασσα νὰ μὴ τὴ διαπλέουν πλοῖα, ἀλλὰ νὰ τὴν περνοῦν πεζοί, πέλαγος νὰ διασχίζεται ὄχι ἀπὸ κουπιὰ καὶ πλοῖα, ἀλλὰ ἀπὸ πόδια ἀλόγων. 'Αλλ' ὅμως ὁ σοφός, ὁ δυνατὸς στὰ λόγια καὶ στὰ ἔργα, ὁ φίλος τοῦ Θεοῦ, αὐτὸς ποὺ διέταξε τὴν κτίση, αὐτὸς ποὺ ἔκανε τόσα πολλὰ θαύματα, δὲν κατάλαβε ἕνα πράγμα εὐκολονόητο σὲ πολλοὺς ἀνθρώπους. 'Αλλὰ ὁ πεθερός του, ἄνθρωπος βάρβαρος, καὶ ἀσήμαντος, τὸ κατάλαβε καὶ τὸ ἔφερε στὴ μέση· ἐκεῖνος ὅμως δὲν τὸ βρῆκε. Ποιό λοιπὸν εἶναι αὐτό; 'Ακοῦστε, γιὰ νὰ μάθετε πῶς ὁ καθένας ἔχει ἀνάγκη ἀπὸ σύμβουλο, ἔστω καὶ ἂν γίνει ὅπως ὁ Μωυσῆς, καὶ πῶς αὐτὰ ποὺ ξεφεύγουν ἀπὸ τοὺς μεγάλους καὶ σπουδαίους ἀνθρώπους, δὲν ξέφυγαν πολλὲς φορὲς τοὺς μικροὺς καὶ ἀσήμαντους.

Ὅταν λοιπὸν ὁ Μωυσῆς βγῆκε ἀπὸ τὴν Αἴγυπτο καὶ βρι-

ἐρήμῳ, εἱστήκει πλησίον αὐτοῦ ὁ λαὸς ἅπας, ἑξακόσιαι χιλιάδες, καὶ πᾶσι διέλυσε τὰ ἐγκλήματα τοῖς πρὸς ἀλλήλους ἀμφισβητοῦσιν. Ἰδὼν τοίνυν αὐτὸν ὁ κηδεστὴς τοῦτο ποιοῦντα ὁ Ἰοθώρ, ἄνθρωπος καὶ ἀνόητος καὶ ἐν ἐρήμῳ βεβιωκώς, καὶ οὔτε νόμων οὔτε πολιτείας τινὶ κοινωνήσας ποτέ, ἀλλ' ἐν ἀσεβείᾳ ζῶν, οὗ τί γένοιτ' ἂν μεῖζον ἀνοίας τεκμήριον; Οὐδὲν γὰρ Ἑλλήνων ἀνοητότερον. Ἀλλ' ὅμως ἐκεῖνος ὁ βάρβαρος, ὁ ἀσεβής, ὁ ἀνόητος, ἰδὼν οὐ δεόντως αὐτὸν ποιοῦντα, διώρθωσε τὸν Μωϋσέα, τὸν σοφὸν καὶ συνετὸν καὶ τοῦ Θεοῦ φίλον. Καὶ εἰπὼν πρὸς αὐτόν, «τί οὗτοι ἑστήκασιν ἐνώπιόν σου», καὶ μαθὼν τὴν αἰτίαν λέγει· «οὐκ ὀρθῶς σὺ τοῦτο ἐποίησας», φησί.

Μετ' ἐπιτιμήσεως ἡ συμβουλή· καὶ οὔτε οὕτως ἠγρίανεν ἐκεῖνος, ἀλλ' ἠνείχετο ὁ σοφός, ὁ συνετὸς καὶ τοῦ Θεοῦ φίλος, τοσαύταις ἐφεστηκὼς μυριάσιν. Οὐδὲ γὰρ τοῦτο μικρόν, τὸ παρὰ τοῦ βαρβάρου καὶ ἰδιώτου παιδεύεσθαι. Καὶ οὔτε τὰ θαύματα, ἅπερ εἰργάσατο, οὔτε τὸ μέγεθος τῆς ἀρχῆς αὐτὸν ἐπῆρεν, οὔτε τὸ παρόντων τῶν ὑπηκόων διορθοῦσθαι, ἐρυθριάσαι ἐποίησεν· ἀλλ' ἐννοήσας ὅτι εἰ καὶ μεγάλα αὐτῷ εἴργασται σημεῖα, ἀλλ' ὅμως ἀνθρωπίνης φύσεως μετέχει, ἣν πολλὰ λανθάνει πολλάκις, μετ' ἐπιεικείας ἐδέξατο τὴν συμβουλήν. Πολλοὶ δὲ πολλάκις ὑπὲρ τοῦ μὴ φανῆναι δεόμενοι συμβουλῆς τῆς παρ' ἑτέρων, εἵλοντο προδοῦναι τὴν ὠφέλειαν τὴν ἀπὸ τῆς γνώμης, ἢ δεξάμενοι τὴν παραίνεσιν διορθῶσαι τὸ ἁμάρτημα· μᾶλλον ἀγνοεῖν ἢ μαθεῖν κατεδέξαντο, οὐκ εἰδότες ὅτι οὐ τὸ μαθεῖν ἔγκλημα, ἀλλὰ τὸ ἀγνοεῖν κατηγορία· οὐ τὸ διδάσκεσθαι, ἀλλὰ

σκόταν στὴν ἔρημο, στάθηκε κοντά του ὅλος ὁ λαός, ἑξακόσιες χιλιάδες, καὶ διέλυσε τὶς κατηγορίες σὲ ὅλους τοὺς ἀντιδίκους. Ὅταν λοιπὸν τὸν εἶδε νὰ κάμνει αὐτὸ ὁ πεθερός του Ἰοθώρ, ἄνθρωπος καὶ ἀνόητος καὶ ποὺ πέρασε τὴ ζωή του στὴν ἔρημο καὶ δὲν ἔζησε ποτὲ μὲ νόμους οὔτε σὲ πολιτεία μὲ κάποιον, ἀλλὰ ζοῦσε μέσα στὴν ἀσέβεια, πράγμα ἀπὸ τὸ ὁποῖο τί μπορεῖ νὰ ὑπάρξει μεγαλύτερη ἀπόδειξη ἀνοησίας; Γιατὶ τίποτε δὲν εἶναι πιὸ ἀνόητο ἀπὸ τοὺς εἰδωλολάτρες. Ἀλλ' ὅμως ἐκεῖνος ὁ βάρβαρος, ὁ ἀσεβής, ὁ ἀνόητος, ὅταν τὸν εἶδε νὰ μὴν ἐνεργεῖ ὅπως πρέπει, διόρθωσε τὸ Μωυσῆ, τὸ σοφὸ καὶ συνετὸ καὶ φίλο τοῦ Θεοῦ. Καὶ ἀφοῦ τοῦ εἶπε, «γιατί αὐτοὶ στέκονται μπροστά σου;»[16] καὶ ἔμαθε τὴν αἰτία, λέγει· «δὲν τὸ ἔκαμες σωστὰ αὐτό»[17].

Ἡ συμβουλὴ ἔγινε μαζὶ μὲ ἐπιτίμηση. Καὶ οὔτε ἔτσι ἐξαγριώθηκε ἐκεῖνος, ἀλλὰ τὸν ἀνεχόταν ὁ σοφός, ὁ συνετὸς καὶ ὁ φίλος τοῦ Θεοῦ, μολονότι διοικοῦσε τόσες πολλὲς μυριάδες. Γιατὶ οὔτε αὐτὸ εἶναι μικρό, τὸ νὰ διδάσκεται κανεὶς ἀπὸ βάρβαρο καὶ ἀμόρφωτο. Καὶ οὔτε τὰ θαύματα ποὺ ἔκαμε, οὔτε τὸ μέγεθος τῆς ἐξουσίας τὸν ἔκανε ἀλαζόνα, οὔτε τὸ ὅτι τὸν διόρθωσε μπροστὰ στοὺς ὑπηκόους του τὸν ἔκαμε νὰ κοκκινίσει ἀπὸ ντροπή, ἀλλά, ἀφοῦ κατάλαβε ὅτι, παρ' ὅλο ποὺ ἔχει κάνει μεγάλα θαύματα, ἔχει ὅμως ἀνθρώπινη φύση, ἐξ αἰτίας τῆς ὁποίας πολλὲς φορὲς κάνει πολλὰ λάθη, δέχθηκε μὲ ἀνοχὴ τὴ συμβουλή. Πολλοὶ ὅμως πολλὲς φορὲς γιὰ νὰ μὴ φανοῦν πὼς χρειάζονται τὴ συμβουλὴ τῶν ἄλλων προτίμησαν νὰ χάσουν τὴν ὠφέλεια ἀπὸ τὴ συμβουλή, παρὰ νὰ δεχθοῦν τὴν παραίνεση καὶ νὰ διορθώσουν τὸ σφάλμα τους· ἢ καλύτερα, προτίμησαν νὰ ἀγνοοῦν παρὰ νὰ μάθουν, μὴ γνωρίζοντας πὼς δὲν εἶναι ἄξιο κατηγορίας τὸ νὰ μάθουν, ἀλλὰ τὸ νὰ ἀγνοοῦν εἶναι ἄξιο κατηγορίας· ὄχι τὸ νὰ διδάσκονται, ἀλλὰ τὸ νὰ βρίσκονται στὴν

τὸ ἐν ἀμαθείᾳ εἶναι· οὐ τὸ ἐλέγχεσθαι, ἀλλὰ τὸ ἁμαρτάνειν ἀδιόρθωτα.

Ἔστι γάρ, ἔστι καὶ παρὰ ἀνθρώπῳ μικρῷ καὶ εὐτελεῖ εὑρεθῆναί τι τῶν δεόντων, ὃ παρὰ τῷ σοφῷ καὶ μεγάλῳ πολλάκις οὐχ εὕρηται. Ὅπερ οὖν συνιδὼν ὁ Μωϋσῆς ἤκουε μετὰ πάσης ἐπιεικείας ἐκείνου συμβουλεύοντος καὶ λέγοντος, «ποίησόν σοι χιλιάρχους, ἑκατοντάρχους, πεντηκοντάρχους, δεκάρχους· καὶ τὸ ῥῆμα τὸ βαρὺ ἀνοίσουσιν ἐπὶ σέ, τὸ δὲ κοῦφον αὐτοὶ διαλύσονται». Καὶ ἀκούσας οὐκ ᾐσχύνθη, οὐκ ἠρυθρίασεν, οὐκ ᾐδέσθη τοὺς ὑπηκόους, οὐκ εἶπε πρὸς ἑαυτόν, ὅτι 'καταγνώσονταί μου οἱ ἀρχόμενοι, εἰ ἄρχων ὢν παρ' ἑτέρου μανθάνω τὰ δέοντα'· ἀλλὰ καὶ ἐπείσθη καὶ ἐποίησε τὸ πρόσταγμα, καὶ οὐ μόνον ἐκείνους οὐκ ᾐσχύνθη τοὺς τότε, ἀλλ' οὐδὲ ἡμᾶς τοὺς μετὰ ταῦτα ἐσομένους· ἀλλ' ὥσπερ ἐγκαλλωπιζόμενος τῇ διορθώσει τῇ παρὰ τοῦ κηδεστοῦ γενομένῃ, οὐ τοὺς τότε μόνον ἀνθρώπους, ἀλλὰ καὶ τοὺς ἐξ ἐκείνου μέχρι σήμερον γενομένους, καὶ τοὺς αὖθις ἐσομένους μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας κατὰ τὴν οἰκουμένην ἅπασαν διὰ τῶν γραμμάτων ἐδίδαξε, καὶ ὅτι αὐτὸς τὸ δέον συνιδεῖν οὐκ ἠδυνήθη, καὶ ὅτι τὴν διόρθωσιν ἐδέξατο παρὰ τοῦ κηδεστοῦ.

Ἡμεῖς δέ, ἐὰν ἄνθρωπον ἴδωμεν παρόντα ἐλεγχομένων ἡμῶν καὶ διορθουμένων, ἰλιγγιῶμεν, ἐξιστάμεθα, νομίζομεν τῆς ζωῆς ἐκπεπτωκέναι πάσης. Ἀλλ' οὐκ ἐκεῖνος· ἀλλ' ὁρῶν τοσαύτας χιλιάδας παρούσας οὐκ ἠρυθρίασε, μᾶλλον δὲ τοσαύτας μυριάδας τότε, τὰς ἐξ ἐκείνου μέχρι νῦν κατὰ τὴν γῆν ἅπασαν, ἀλλὰ κηρύττει πᾶσι καθ' ἑκάστην ἡμέραν διὰ τῶν γραμμάτων,

---

18. Ἐξ. 18,21. 22.

19. Γιὰ τὸ σχετικὸ περιστατικὸ βλ. Ἐξ. 18,1–27.

ἀμάθεια· ὄχι τὸ νὰ ἐλέγχονται, ἀλλὰ τὸ νὰ σφάλλουν ἀδιόρθωτα.

Γιατὶ εἶναι δυνατό, πραγματικὰ εἶναι δυνατὸ καὶ σὲ ἄνθρωπο μικρὸ καὶ ἀσήμαντο νὰ βρεθεῖ κάτι ἀπὸ τὰ χρήσιμα, ποὺ πολλὲς φορὲς δὲν ἔχει βρεθεῖ στὸ σοφὸ καὶ μεγάλο. Αὐτὸ τὸ πράγμα λοιπὸν γνωρίζοντας ὁ Μωυσῆς ἄκουε μὲ κάθε ἀνοχὴ ἐκεῖνον ποὺ συμβούλευε καὶ ἔλεγε· «διόρισε κοντά σου χιλιάρχους, ἑκατοντάρχους, πεντηκοντάρχους, δεκάρχους, ποὺ θὰ ἀναφέρουν σὲ σένα τὶς σπουδαῖες ὑποθέσεις, ἐνῶ τὶς μικρὲς καὶ ἀσήμαντες θὰ τὶς λύνουν αὐτοί»[18]. Καὶ ὅταν τὸ ἄκουσε δὲν ντροπιάστηκε, οὔτε κοκκίνησε, οὔτε ντράπηκε τοὺς ὑπηκόους του, δὲν εἶπε μέσα του, 'θὰ μὲ κατηγορήσουν οἱ πολίτες πώς, ἂν καὶ εἶμαι ἄρχοντας, μαθαίνω ἀπὸ ἄλλον αὐτὰ ποὺ πρέπει νὰ κάνω', ἀλλὰ καὶ πείσθηκε καὶ ἐκτέλεσε τὴν προσταγή, καὶ ὄχι μόνο δὲν ντράπηκε ἐκείνους ποὺ ζοῦσαν τότε, ἀλλ' οὔτε ἐμᾶς ποὺ ἐπρόκειτο νὰ ζήσουμε μετὰ ἀπὸ ἐκείνους. Ἀλλὰ σὰν νὰ ὑπερηφανευόταν γιὰ τὴ διόρθωση ποὺ τοῦ ἔγινε ἀπὸ τὸν πεθερό του, ὄχι μόνο τοὺς ἀνθρώπους ποὺ ζοῦσαν τότε, ἀλλὰ καὶ ὅσους γεννήθηκαν ἀπὸ τότε μέχρι σήμερα καὶ ὅσους στὴ συνέχεια θὰ ζήσουν μέχρι τὴ δεύτερη παρουσία τοῦ Χριστοῦ σὲ ὅλη τὴν οἰκουμένη τοὺς δίδαξε μὲ τὰ συγγράμματά του πὼς ὁ ἴδιος δὲν μπόρεσε νὰ καταλάβει τὸ σωστὸ καὶ πὼς τὴ διόρθωση τὴ δέχθηκε ἀπὸ τὸν πεθερό του[19].

Ἐμεῖς βέβαια ἂν δοῦμε ἕναν ἄνθρωπο παρόντα, ὅταν μᾶς ἐλέγχουν καὶ μᾶς διορθώνουν, ζαλιζόμαστε, ταραζόμαστε, νομίζουμε πὼς ἔχουμε χάσει ὅλη τὴ ζωή μας. Ἐκεῖνος ὅμως δὲν ἔκανε ἔτσι, ἀλλὰ παρ' ὅλο ποὺ ἔβλεπε τόσες χιλιάδες παροῦσες, ἢ καλύτερα τόσες μυριάδες τότε, αὐτὲς ποὺ ἔζησαν ἀπὸ τότε μέχρι σήμερα σὲ ὅλη τὴ γῆ, δὲν κοκκίνισε ἀπὸ ντροπή, ἀλλὰ κηρύττει σὲ ὅλους κάθε ἡμέρα μὲ τὰ συγγράμματά του

ὅτι ὅπερ αὐτὸς οὐ συνεῖδε, τοῦτο ὁ κηδεστὴς συνεῖδε. Τίνος οὖν ἕνεκεν τοῦτο ἐποίησε, καὶ μνήμῃ παρέδωκε τὸ γεγενημένον; Ἵνα ἡμᾶς πείσῃ μηδέποτε ἐφ' ἑαυτοῖς μέγα φρονεῖν, κἂν ἁπάντων ὦμεν σοφώτεροι, μηδὲ ἀτιμάζειν τὰς παρ' ἑτέρων συμβουλίας, κἂν ἁπάντων ὦσιν εὐτελέστεροι.

Ἂν μὲν γάρ τι τῶν δεόντων συμβουλεύσῃ τις, κἂν οἰκέτης ᾖ, δέξαι τὴν παραίνεσιν· ἂν δέ τι τῶν ὀλεθρίων, κἂν ἐν ἀξιώματι τυγχάνῃ μεγίστῳ, παράπεμψαι τὴν γνώμην· οὐ γὰρ τῇ ποιότητι τῶν προσώπων τῶν συμβουλευόντων, ἀλλ' αὐτῇ τῆς συμβουλῆς τῇ φύσει προσέχειν δεῖ πανταχοῦ. Ὅπερ οὖν καὶ Μωϋσῆς ἐποίησε, παιδεύων ἡμᾶς μὴ ἐρυθριᾶν ἐλεγχομένους, κἂν ὁλόκληρος ἡμῖν δῆμος παρῇ. Ἐγκώμιον γὰρ τοῦτο μέγιστον, καὶ ἔπαινος οὐχ ὁ τυχών, καὶ φιλοσοφίας ἔπαινος τῆς ἀνωτάτω, τὸ φέρειν ἔλεγχον γενναίως. Οὐχ οὕτω γὰρ τὸν Ἰοθὼρ ἐπαινοῦμεν καὶ θαυμάζομεν νῦν, ὅτι τὸν Μωϋσέα διώρθωσεν, ὡς ἐκπληττόμεθα τὸν ἅγιον ἐκεῖνον, ὅτι οὔτε ᾐσχύνθη διορθούμενος τοσούτων παρόντων, καὶ μνήμῃ τὸ γεγενημένον παρέδωκε, διὰ πάντων τὴν αὐτοῦ φιλοσοφίαν δείξας, καὶ ὅτι μετὰ πολλῆς τῆς ὑπερβολῆς τὴν παρὰ τῶν πολλῶν κατεπάτησε δόξαν.

3. Ἀλλὰ γὰρ ὑπὲρ προοιμίων ἀπολογούμενοι, πάλιν μεῖζον τὸ προοίμιον πεποιήκαμεν· ἀλλ' οὐχ ἁπλῶς οὐδὲ εἰκῇ, ἀλλ' ὑπὲρ τῶν μεγίστων ὑμῖν διαλεγόμενοι καὶ ἀναγκαιοτάτων, ἵνα γενναίως ἐλεγχόμενοι φέρωμεν, ἵνα προθύμως ἐλέγχωμεν τοὺς ἁμαρτάνοντας καὶ διορθῶμεν. Ἀνάγκη δὲ λοιπὸν ἀπολογήσασθαι ὑπὲρ τοῦ μήκους, καὶ εἰπεῖν τίνος ἕνεκεν μακρὰ ποιοῦμεν

πῶς αὐτὸ ποὺ ὁ ἴδιος δὲν κατάλαβε, τὸ κατάλαβε ὁ πεθερός του. Γιὰ ποιό λόγο τὸ ἔκαμε αὐτὸ καὶ παρέδωσε τὸ γεγονὸς στὴ μνήμη ὅλων; Γιὰ νὰ μᾶς πείσει νὰ μὴν ἔχουμε ποτὲ μεγάλη ἰδέα γιὰ τὸν ἑαυτό μας, ἔστω καὶ ἂν εἴμαστε πιὸ σοφοὶ ἀπ' ὅλους, οὔτε νὰ περιφρονοῦμε τὶς συμβουλὲς ἀπὸ τοὺς ἄλλους, ἔστω καὶ ἂν εἶναι πιὸ ἀσήμαντοι ἀπ' ὅλους.

Ἂν λοιπὸν κάποιος σὲ συμβουλέψει κάτι ἀπὸ τὰ πρέποντα, ἔστω καὶ ἂν εἶναι δοῦλος, δέξου τὴν παραίνεση· ἂν ὅμως συμβουλέψει κάτι ἀπὸ τὰ ὀλέθρια, ἔστω καὶ ἂν κατέχει πάρα πολὺ μεγάλο ἀξίωμα, ἀπόρριψε τὴ γνώμη του. Γιατὶ δὲν πρέπει νὰ προσέχουμε τὴν ποιότητα τῶν προσώπων ποὺ συμβουλεύουν, ἀλλὰ νὰ προσέχουμε παντοῦ τὴν ἴδια τὴ φύση τῆς συμβουλῆς. Αὐτὸ λοιπὸν ἔκανε καὶ ὁ Μωϋσῆς, διδάσκοντας ἐμᾶς νὰ μὴν κοκκινίζουμε ἀπὸ ντροπὴ ὅταν μᾶς ἐλέγχουν, ἔστω καὶ ἂν εἶναι μπροστά μας ὁλόκληρος λαός. Γιατὶ αὐτὸ εἶναι ἐγκώμιο μέγιστο καὶ ἔπαινος ὄχι ὁ τυχαῖος καὶ μάλιστα ἔπαινος τῆς ὕψιστης φιλοσοφίας, τὸ νὰ ὑπομένει δηλαδὴ κανεὶς μὲ γενναιότητα τὸν ἔλεγχο. Γιατὶ τώρα δὲν ἐπαινοῦμε καὶ δὲ θαυμάζουμε τόσο τὸν Ἰοθώρ, ἐπειδὴ διόρθωσε τὸ Μωυσῆ, ὅσο ἀποροῦμε γιὰ τὸν ἅγιο ἐκεῖνον, ἐπειδὴ οὔτε ντροπιάστηκε ὅταν τὸν διόρθωνε μπροστὰ σὲ τόσους πολλοὺς καὶ ἐπειδὴ παρέδωσε στὴ μνήμη ὅλων τὸ γεγονός, δείχνοντας μὲ ὅλα τὴ σωφροσύνη του, καὶ ἐπειδὴ μὲ πολλὴ δύναμη καταπάτησε τὴ δόξα ἀπὸ τοὺς πολλούς.

3. Ἀλλά, ἐνῶ ἀπολογοῦμαι γιὰ τὰ προοίμια, πάλι ἔχω κάμει μεγαλύτερο τὸ προοίμιο. Δὲν τὸ ἔκανα ὅμως τυχαῖα καὶ χωρὶς λόγο, ἀλλὰ μιλώντας σας γιὰ πράγματα πάρα πολὺ σπουδαῖα καὶ ἀναγκαῖα, ὅπως γιὰ νὰ ὑπομένουμε μὲ γενναιότητα τοὺς ἐλέγχους, γιὰ νὰ ἐλέγχουμε καὶ νὰ διορθώνουμε μὲ προθυμία ἐκείνους ποὺ σφάλλουν. Πρέπει λοιπὸν τώρα ν' ἀπολογηθῶ γιὰ τὸ μάκρος τῶν προοιμίων καὶ νὰ πῶ γιὰ ποιό λόγο κάμνω αὐτὰ

προοίμια. Τίνος οὖν ἕνεκεν τοῦτο ποιοῦμεν; Πλήθει τοσούτῳ διαλεγόμεθα, ἀνθρώποις γυναῖκας ἔχουσιν, οἰκίας προεστηκόσιν, ἐν ἐργασίᾳ καθημερινῇ ζῶσιν, ἐν βιωτικοῖς πράγμασι. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δυσχερές, ὅτι διηνεκῶς εἰσιν ἠσχολημένοι, ἀλλ' ὅτι καὶ ἅπαξ τῆς ἑβδομάδος αὐτοὺς ἐνταῦθα λαμβάνομεν.

Βουλόμενοι τοίνυν εὐσύνοπτα κατασκευάζειν αὐτοῖς τὰ λεγόμενα, διὰ τῶν προοιμίων σαφεστέραν ποιῆσαι τὴν διδασκαλίαν σπουδάζομεν. Ὁ μὲν γὰρ μηδὲν ἔργον ἔχων, ἀλλ' ἀεὶ ταῖς Γραφαῖς προσηλωμένος, οὐ δέεται προοιμίων, οὐ δεῖται κατασκευῆς, ἀλλ' ἀκούσας εὐθέως τοῦ λέγοντος, δέχεται τῶν λεγομένων τὴν διάνοιαν· ἄνθρωπος δὲ τὸν μὲν πλείω χρόνον πράγμασι βιωτικοῖς προσδεδεμένος, ὀλίγον δὲ καὶ βραχὺ ἐνταῦθα παραγενόμενος, ἂν μὴ προοιμίων ἀκούσῃ καὶ κατασκευῆς πλείονος, καὶ πανταχόθεν ἴδῃ προοδοποιηθέντα αὐτῷ τὸν λόγον, οὐδὲν κερδάνας ἀπέρχεται. Οὐ τοῦτο δὲ μόνον ἡμῖν ἐστιν αἴτιον τοῦ μήκους τῶν προοιμίων, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου. Τῶν γὰρ πολλῶν τούτων οἱ μὲν παραγίνονται, οἱ δὲ οὐ παραγίνονται πολλάκις. Ἀνάγκη τοίνυν τοὺς μὲν παραγενομένους ἐπαινέσαι, τοὺς δὲ μὴ παραγενομένους μέμψασθαι, ἵνα ἐκεῖνοι μὲν τοῖς ἐπαίνοις σπουδαιότεροι γένωνται, οὗτοι δὲ διὰ τῶν ἐγκλημάτων τὴν ῥᾳθυμίαν ἀποθῶνται.

Ἔστι καὶ ἑτέρα χρεία προοιμίων ὑμῖν. Ὑποθέσεως ἁπτόμεθα μακροτέρας πολλάκις, ἣν οὐ δυνατὸν ἐν ἡμέρᾳ μιᾷ πρὸς τέλος ἀγαγεῖν, ἀλλὰ καὶ δευτέρας καὶ τρίτης καὶ τετάρτης ἡμῖν ἔστιν ὅτε ἐξηγήσεως εἰς τὴν αὐτὴν ἐδέησε πραγματείαν. Ἀνάγκη τοίνυν καὶ ταύτῃ τῇ δευτέρᾳ ἡμέρᾳ τὰ τέλη τῆς προτέρας διδασκαλίας ἀναλαβεῖν, ἵν' οὕτως ἁρμοσθὲν τῇ ἀρχῇ τὸ τέλος, σαφεστέραν ποιῇ τοῖς παροῦσι τὴν ἐξήγησιν, καὶ μὴ τῆς ἀκολουθίας ἀπηρτημένος ὁ λόγος ἀφανέστερος ᾖ τοῖς ἀκροαταῖς.

μεγάλα. Γιὰ ποιό λόγο λοιπὸν τὸ κάμνω αὐτό; Μιλῶ σὲ τόσο μεγάλο πλῆθος, σὲ ἀνθρώπους ποὺ ἔχουν γυναῖκες, ποὺ προστατεύουν οἰκογένεια, ποὺ ζοῦν μὲ καθημερινὴ ἐργασία, μὲ βιοτικὰ πράγματα. Καὶ δὲν εἶναι μόνο αὐτὸ ἡ δυσκολία, ὅτι δηλαδὴ εἶναι διαρκῶς ἀπασχολημένοι, ἀλλὰ καὶ ὅτι τοὺς ἔχω ἐδῶ μιὰ φορὰ τὴν ἑβδομάδα.

Θέλοντας λοιπὸν νὰ κάνω εὐσύνοπτα τὰ λεγόμενα σ' αὐτούς, φροντίζω μὲ τὰ προοίμια νὰ κάμω σαφέστερη τὴ διδασκαλία. Γιατὶ αὐτὸς ποὺ δὲν ἔχει καμιὰ ἐργασία, ἀλλὰ πάντοτε εἶναι προσηλωμένος στὶς Γραφές, δὲ χρειάζεται προοίμια, δὲ χρειάζεται ἑτοιμασία, ἀλλ' ὅταν ἀκούσει τὸν ὁμιλητὴ δέχεται ἀμέσως τὸ νόημα τῶν λεγομένων. Ὁ ἄνθρωπος ὅμως ἐκεῖνος ποὺ τὸν περισσότερο καιρὸ εἶναι δεμένος στὰ βιοτικὰ πράγματα καὶ ἔρχεται ἐδῶ γιὰ λίγο καὶ πολὺ σύντομα, ἂν δὲν ἀκούσει προοίμια καὶ περισσότερη πλοκὴ νοημάτων καὶ δὲ δεῖ ἀπὸ παντοῦ καταρτισμένο σωστὰ τὸ λόγο, φεύγει ἀπὸ ἐδῶ χωρὶς νὰ κερδίσει τίποτε. Δὲν εἶναι ὅμως αὐτὴ μόνο ἡ αἰτία γιὰ τὸ μάκρος τῶν προοιμίων, ἀλλὰ ὑπάρχει καὶ ἄλλη ὄχι μικρότερη ἀπ' αὐτή. Γιατὶ ἀπὸ τοὺς πολλοὺς αὐτοὺς ἄλλοι ἔρχονται ἐδῶ καὶ ἄλλοι δὲν ἔρχονται πολλὲς φορές. Εἶναι ἀνάγκη λοιπὸν ἐκείνους ποὺ ἦρθαν νὰ τοὺς ἐπαινέσω καὶ αὐτοὺς ποὺ δὲν ἦρθαν νὰ τοὺς ψέξω, γιὰ νὰ γίνουν ἐκεῖνοι μὲ τοὺς ἐπαίνους πιὸ πρόθυμοι καὶ αὐτοὶ μὲ τὶς κατηγορίες νὰ ἀποβάλουν τὴν ἀδιαφορία τους.

Ὑπάρχει καὶ ἄλλη ἀνάγκη προοιμίων γιὰ σᾶς. Πολλὲς φορὲς ἀσχολούμαστε μὲ μακρότερη ὑπόθεση, ποὺ δὲν εἶναι δυνατὸ σὲ μία ἡμέρα νὰ τὴν τελειώσουμε, ἀλλὰ μᾶς χρειάσθηκε καὶ δεύτερη καὶ τρίτη καὶ τέταρτη καμιὰ φορὰ ἐξήγηση γιὰ τὸ ἴδιο θέμα. Εἶναι ἀνάγκη λοιπὸν καὶ τὴ δεύτερη ἡμέρα νὰ ἐπαναλάβω τὸ τέλος τῆς προηγούμενης διδασκαλίας, γιὰ νὰ συνδεθεῖ ἔτσι τὸ τέλος μὲ τὴν ἀρχὴ καὶ νὰ κάνει σαφέστερη στοὺς παρόντες τὴν ἐξήγηση καὶ γιὰ νὰ μὴν ἀποχωρισθεῖ ὁ λόγος ἀπὸ τὴ συνέχεια καὶ γίνει ἀσαφέστερος στοὺς ἀκροατές. Καὶ γιὰ νὰ

Καὶ ἵνα μάθῃς ὅτι χωρὶς προοιμίων εἰσαγόμενος λόγος οὐδενὶ γνώριμος ἔσται, ἰδοὺ χωρὶς προοιμίων αὐτὸν εἰσάγω νῦν πείρας ἕνεκεν.

«Ἐμβλέψας δὲ αὐτῷ ὁ Ἰησοῦς εἶπε, σὺ εἶ Σίμων υἱὸς Ἰωνᾶ, σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος». Ὁρᾶτε, μὴ συνίετε τὸ λεχθέν; μὴ ἴστε τὴν ἀκολουθίαν, τίνος ἕνεκεν εἴρηται; ἐπειδὴ χωρὶς προοιμίου αὐτὸ εἰσήγαγον, ταὐτὸν ποιήσας, ὥσπερ ἄν εἴ τις ἄνθρωπον πάντοθεν περιβαλὼν εἰς τὸ θέατρον εἰσαγάγοι. Φέρε οὖν, αὐτὸν λοιπὸν ἐκκαλύψωμεν, τὸ προοίμιον ἀποδόντες αὐτῷ. Περὶ Παύλου δὲ ὁ λόγος ἦν πρῴην ἡμῖν ἐνταῦθα, ὅτε περὶ τῶν ὀνομάτων διελεγόμεθα, καὶ ἐζητοῦμεν, διὰ τί ποτὲ μὲν Σαῦλος, μετὰ δὲ ταῦτα Παῦλος ἐκλήθη. Ἐντεῦθεν ἐξέβημεν εἰς παλαιὰν ἱστορίαν, καὶ τοὺς ἔχοντας ἐπωνυμίας ἐξητάσαμεν ἅπαντας. Εἶτα ἐκεῖθεν καὶ Σίμωνος ἐμνήσθημεν, καὶ τῆς τοῦ Χριστοῦ φωνῆς λεγούσης πρὸς αὐτόν, «σὺ εἶ Σίμων υἱὸς Ἰωνᾶ, σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος». Εἶδες πῶς τὸ πρὸ μικροῦ δόξαν ἀπορίας γέμειν, γνωριμώτερον ἐγένετο νῦν; Ὥσπερ γὰρ σῶμα κεφαλῆς, καὶ ῥίζης δένδρον, καὶ ποταμὸς δεῖται πηγῆς, οὕτω καὶ προοιμίων λόγος. Ἐπεὶ οὖν ἐστήσαμεν ὑμᾶς ἐπ' αὐτὴν τὴν ἀρχὴν τῆς ὁδοῦ, καὶ τὴν ἀκολουθίαν ἐδείξαμεν, ἀψώμεθα λοιπὸν αὐτοῦ τῆς ἱστορίας τοῦ προοιμίου.

«Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου». Καὶ μὴν ἐν ταῖς ἐπιστολαῖς Παῦλος καλεῖται· τίνος οὖν ἕνεκεν αὐτοῦ τὴν προσηγορίαν μετάβαλε τὸ Πνεῦμα τὸ ἅγιον; Καθάπερ δεσπότης οἰκέτην πριάμενος, εἶτα βουλόμενος αὐτὸν διδάξαι τὴν δεσποτείαν, μετατίθησιν αὐτοῦ τὸ ὄνομα· οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐποίησε τότε. Καὶ γὰρ ἐξ αἰχ-

---

20. Ἰω. 1,42.

21. Πράξ. 9,1.

διαπιστώσεις πὼς ὁ λόγος παρουσιαζόμενος χωρὶς προοίμια σὲ κανένα δὲ θὰ εἶναι κατανοητός, νὰ τώρα τὸν παρουσιάζω γιὰ δοκιμὴ χωρὶς προοίμιο.

«Καὶ ἀφοῦ ὁ Ἰησοῦς τὸν κοίταξε καλὰ τοῦ εἶπε· 'ἐσὺ εἶσαι ὁ Σίμων, ὁ υἱὸς τοῦ Ἰωνᾶ, ἐσὺ θὰ ὀνομασθεῖς Κηφᾶς', ποὺ σημαίνει Πέτρος»[20]. Προσέχετε, μήπως καταλάβατε αὐτὸ ποὺ λέχθηκε; μήπως γνωρίζετε τὴ συνέχεια, γιὰ ποιό λόγο ἔχει λεχθεῖ; Ἐπειδὴ σᾶς τὸ παρουσίασα χωρὶς προοίμιο, κάνοντας τὸ ἴδιο, ὅπως ἀκριβῶς θὰ ἔκαμνε κάποιος ἂν κάλυπτε ἀπὸ παντοῦ ἕναν ἄνθρωπο καὶ τὸν ὁδηγοῦσε στὸ θέατρο. Ἐμπρὸς λοιπόν, ἂς τὸν ἀποκαλύψουμε τώρα, ἀποδίδοντας σ' αὐτὸν τὸ προοίμιο. Ὁ λόγος μας προηγουμένως ἐδῶ ἦταν γιὰ τὸν Παῦλο, ὅταν μιλήσαμε γιὰ τὰ ὀνόματα καὶ ζητούσαμε νὰ μάθουμε γιατί κάποτε ὀνομαζόταν Σαῦλος καὶ ἀργότερα ὀνομάσθηκε Παῦλος. Ἀπὸ ἐδῶ προχωρήσαμε σὲ μιὰ παλιὰ ἱστορία καὶ ἐξετάσαμε ὅλους ἐκείνους ποὺ εἶχαν ἐπωνυμίες. Στὴ συνέχεια ἀπὸ ἐκεῖ θυμηθήκαμε καὶ τὸ Σίμωνα καὶ τὴ φωνὴ τοῦ Χριστοῦ ποὺ τοῦ ἔλεγε, «ἐσὺ εἶσαι ὁ Σίμων, ὁ υἱὸς τοῦ Ἰωνᾶ, καὶ θὰ ὀνομασθεῖς Κηφᾶς, ποὺ σημαίνει Πέτρος». Εἶδες πῶς αὐτὸ ποὺ πρὶν λίγο φαινόταν γεμάτο ἀπορία ἔγινε τώρα πιὸ κατανοητό; Γιατί, ὅπως τὸ σῶμα χρειάζεται τὸ κεφάλι καὶ τὸ δένδρο τὴ ρίζα καὶ ὁ ποταμὸς τὶς πηγές, ἔτσι καὶ ὁ λόγος χρειάζεται τὰ προοίμια. Ἀφοῦ λοιπὸν σᾶς στήσαμε σ' αὐτὴν τὴν ἀρχὴ τοῦ δρόμου καὶ σᾶς δείξαμε τὴ συνέχεια, ἂς ἀσχοληθοῦμε στὸ ἑξῆς μὲ τὸ προοίμιο αὐτῆς τῆς ἱστορίας.

«Καὶ ὁ Σαῦλος συνέχιζε νὰ ἔχει ἀπειλητικὲς καὶ φονικὲς διαθέσεις γιὰ τοὺς μαθητὲς τοῦ Κυρίου»[21]. Καὶ ὅμως στὶς ἐπιστολὲς ὀνομάζεται Παῦλος. Γιὰ ποιό λόγο λοιπὸν ἄλλαξε τὸ ὄνομά του τὸ ἅγιο Πνεῦμα; Ὅπως ἀκριβῶς ἕνας κύριος ποὺ ἀγόρασε ἕνα δοῦλο καὶ στὴ συνέχεια θέλοντας νὰ τοῦ διδάξει τὴν ἐξουσία του τοῦ ἀλλάζει τὸ ὄνομα, ἔτσι ἔκαμε τότε καὶ τὸ

μαλωσίας τὸν Παῦλον ἔλαβε, καὶ προσφάτως ἦν τῇ δεσποτείᾳ ταύτῃ προσελθών. Διὰ τοῦτο αὐτοῦ μετέβαλε τὴν προσηγορίαν, ἵνα μάθῃ κἀντεῦθεν τὴν δεσποτείαν ἐκεῖνος. Ὅτι γὰρ ὀνομάτων θέσεις δεσποτείας ἐστὶ σύμβολον, μάλιστα μὲν καὶ ἐξ ὧν ποιοῦμεν δῆλον· γνωριμώτερον δὲ ἔσται ἐξ ὧν ἐπὶ τοῦ Ἀδὰμ ἐποίησεν ὁ Θεός. Βουλόμενος γὰρ αὐτὸν διδάξαι, ὅτι πάντων ἐστὶν ἄρχων καὶ δεσπότης, ἤγαγε πρὸς αὐτὸν πάντα τὰ θηρία, «ἰδεῖν τί καλέσει αὐτά», δεικνὺς ὅτι τῶν ὀνομάτων ἡ θέσις τὴν δεσποτείαν κυροῖ. Εἰ δὲ βούλοισθε καὶ ἐπ' ἀνθρώπων ἰδεῖν τοῦτο γινόμενον, καὶ μαθεῖν, ὅτι ἔθος πολλάκις τοῖς ἀπὸ αἰχμαλωσίας λαμβάνουσι δούλους μετατιθεῖν αὐτῶν τὰ ὀνόματα, ἀκούσατε τί ἐποίησεν ὁ τῶν Βαβυλωνίων βασιλεύς. Λαβὼν γὰρ οὗτος ἐκ τῆς αἰχμαλωσίας τὸν Ἀνανίαν καὶ Ἀζαρίαν καὶ Μισαήλ, οὐκ ἀφῆκεν ἐπὶ τῶν προτέρων ὀνομάτων, ἀλλὰ Σεδράκ, Μισάκ, Ἀβδεναγὼ αὐτοὺς ἐκάλεσεν.

Ἀλλὰ τίνος ἕνεκεν οὐκ εὐθέως αὐτὸν μετωνόμασεν, ἀλλ' ἀνέμεινε χρόνον γενέσθαι πολύν; Ὅτι εὐθέως εἰ αὐτὸν μετωνόμασε μεταστάντα, οὐκ ἂν ἐγένετο φανερὰ ἡ μεταβολὴ τοῦ Παύλου, καὶ ἡ πρὸς τὴν πίστιν μετάστασις. Ἀλλ' ὅπερ ἐπὶ τῶν οἰκετῶν συβμαίνει, ὅταν φυγόντες εὐθέως ἀμείβωσιν αὐτῶν τὰ ὀνόματα, ἀφανεῖς γίνονται, τοῦτο καὶ ἐπὶ τοῦ Παύλου γέγονεν ἄν· εἰ εὐθέως ἀφεὶς τοὺς Ἰουδαίους καὶ πρὸς ἡμᾶς ἐλθὼν μετωνομάσθη, οὐδεὶς ἂν ἔγνω ὅτι ὁ διώκτης αὐτός ἐστιν ὁ εὐαγγελιστής. Τὸ δὲ σπουδαζόμενον τοῦτο ἦν, μαθεῖν ὅτι ὁ διώκτης αὐτός ἐστι, καὶ ἀπόστολος γέγονε. Τοῦτο γὰρ ἦν ὃ συνεῖχε τοὺς Ἰουδαίους, ὅτι τὸν διδάσκαλον τὸν ὑπὲρ αὐτῶν ἱστάμενον, ηὕρισκον κατ' αὐτῶν ὄντα. Ἵνα οὖν μὴ ἡ τοῦ ὀνόματος ἀθρόα μεταβολὴ ἀποκρύψῃ τὴν μεταβολὴν τῆς προαιαρέσεως, ἀφίησιν αὐτὸν μέχρι πολλοῦ τὴν προτέραν ἔχειν προσηγορίαν ἵν', ὅταν μάθωσι

---

22. Γεν. 2,19.

23. Δαν. 1,6–7.

ἅγιο Πνεῦμα. Γιατὶ πραγματικὰ ἀπὸ αἰχμαλωσία πῆρε τὸν Παῦλο καὶ πρὶν ἀπὸ λίγο ἦρθε σ' αὐτὴ τὴν ἐξουσία. Γι' αὐτὸ ἄλλαξε τὸ ὄνομά του, γιὰ νὰ μάθει ἐκεῖνος καὶ ἀπὸ ἐδῶ τὴν ἐξουσία. Ὅτι βέβαια ἡ ὀνομασία εἶναι σύμβολο ἐξουσίας εἶναι φανερὸ κυρίως καὶ ἀπ' αὐτὰ ποὺ κάνουμε, ὅμως θὰ γίνει πιὸ κατανοητὸ ἀπ' αὐτὰ ποὺ ἔκαμε ὁ Θεὸς στὸν Ἀδάμ. Θέλοντας λοιπὸν νὰ τὸν διδάξει πὼς εἶναι ἄρχοντας καὶ κύριος ὅλων ὁδήγησε σ' αὐτὸν ὅλα τὰ θηρία «γιὰ νὰ δεῖ ποιό ὄνομα νὰ τὰ δώσει»[22], δείχνοντας ὅτι ἡ ὀνομασία ἐπιβεβαιώνει τὴν ἐξουσία. Ἂν ὅμως θέλετε νὰ δεῖτε νὰ γίνεται αὐτὸ καὶ στοὺς ἀνθρώπους καὶ νὰ μάθετε ὅτι εἶναι συνήθεια πολλὲς φορὲς ν' ἀλλάζουν τὰ ὀνόματα στοὺς δούλους ποὺ παίρνουν ἀπὸ αἰχμαλωσία, ἀκοῦστε τί ἔκαμε ὁ βασιλιὰς τῶν Βαβυλωνίων. Παίρνοντας λοιπὸν αὐτὸς ἀπὸ τὴν αἰχμαλωσία τὸν Ἀνανία, τὸν Ἀζαρία καὶ τὸν Μισαὴλ δὲν τοὺς ἄφησε νὰ ἔχουν τὰ προηγούμενα ὀνόματά τους, ἀλλὰ τοὺς ὀνόμασε Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγώ[23].

Ὅμως γιὰ ποιό λόγο δὲν τοῦ ἄλλαξε ἀμέσως τὸ ὄνομα, ἀλλὰ περίμενε νὰ περάσει πολὺς χρόνος; Γιατί, ἂν τοῦ ἄλλαζε τὸ ὄνομα ἀμέσως μόλις προσχώρησε στὴν πίστη, δὲ θὰ γινόταν φανερὴ ἡ μεταβολὴ τοῦ Παύλου καὶ ἡ προσχώρησή του στὴν πίστη. Ἀλλ' ἐκεῖνο ποὺ συμβαίνει μὲ τοὺς δούλους, ὅταν ἀλλάξουν τὰ ὀνόματά τους ἀμέσως μόλις φύγουν, γίνονται ἄγνωστοι, αὐτὸ θὰ γινόταν καὶ μὲ τὸν Παῦλο. Ἂν ἄλλαζε τὸ ὄνομά του ἀμέσως μόλις ἐγκατέλειψε τοὺς Ἰουδαίους καὶ ἦρθε σὲ μᾶς, κανεὶς δὲ θὰ γνώριζε πὼς ὁ ἴδιος ὁ διώκτης εἶναι ὁ εὐαγγελιστής. Ἐκεῖνο ὅμως ποὺ ἐνδιέφερε ἦταν αὐτό, νὰ μάθουν δηλαδὴ πὼς αὐτὸς εἶναι ὁ διώκτης καὶ ἔγινε ἀπόστολος. Γιατὶ αὐτὸ ἦταν ποὺ ἐνοχλοῦσε τοὺς Ἰουδαίους, ὅτι τὸ δάσκαλο ποὺ τοὺς ὑπεράσπιζε τὸν ἔβρισκαν νὰ στρέφεται ἐναντίον τους. Γιὰ νὰ μὴν ἀποκρύψει λοιπὸν ἡ ξαφνικὴ ἀλλαγὴ τοῦ ὀνόματός του τὴν ἀλλαγὴ τῆς προαίρεσής του, τὸν ἀφήνει γιὰ πολὺ νὰ ἔχει τὸ προη-

πάντες, ὅτι αὐτός ἐστιν ὁ διώξας τὴν Ἐκκλησίαν ἔμπροσθεν, τότε λοιπὸν γνωρίμου γενομένου πᾶσι, μεταθῇ καὶ τὴν προσηγορίαν.

Καὶ ὅτι τοῦτο αἴτιον, ἄκουσον αὐτοῦ λέγοντος. «Ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλικίας· ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ ταῖς Ἐκκλησίαις τῆς Ἰουδαίας ταῖς ἐν Παλαιστίνῃ», φησίν. Εἰ δὲ ταῖς ἐν Παλαιστίνῃ ἠγνοεῖτο ἔνθα διέτριβε, πολλῷ μᾶλλον ταῖς ἀλλαχοῦ κειμέναις. «Ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ», φησίν, οὐχὶ τῷ ὀνόματι. Διὰ τί «ἀγνοούμενος τῷ προσώπῳ»; Οὐδεὶς γὰρ οὐδὲ ἰδεῖν αὐτὸν ἐτόλμα τῶν πιστῶν, ἡνίκα ἡμῖν ἐπολέμει· τοσούτου φόνου, τοσαύτης ἔγεμε μανίας. Διὸ πάντες ἀπεπήδων, πάντες ἔφευγον, εἴ που παραγενόμενον εἶδον, καὶ οὐδὲ ἀντιβλέψαι ἐτόλμων· οὕτως ἦν ἐκτεθηριωμένος κατὰ τῶν πιστῶν· μόνον δὲ ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων ἡμᾶς ποτε, νῦν εὐαγγελίζεται τὴν πίστιν ἥν ποτε ἐπόρθει.

Ἐπεὶ οὖν τῷ μὲν προσώπῳ αὐτὸν ἠγνόουν, μόνον δὲ ἀκούοντες ἦσαν, εἰ τὸ ὄνομα αὐτοῦ μετεβλήθη εὐθέως, οὐκ ἂν οὐδὲ οἱ ἀκούοντες ἔγνωσαν, ὅτι ὁ διώκων τὴν πίστιν, οὗτος εὐαγγελίζεται. Ἐπειδὴ γὰρ τὸ πρότερον αὐτοῦ ὄνομα ᾔδεσαν, ὅτι Σαῦλος ἐλέγετο, εἰ μεταβληθεὶς εὐθέως Παῦλος ἐκλήθη, εἶτα ἀπήγγειλάν τινες αὐτοῖς, ὅτι Παῦλος εὐαγγελίζεται, ὁ διώκων τὴν Ἐκκλησίαν, οὐκ ἂν ἔγνωσαν ὅτι οὗτος ἐκεῖνος ἦν, διὰ τὸ μὴ Παῦλον αὐτὸν καλεῖσθαι, ἀλλὰ Σαῦλον. Διὰ τοῦτο ἀφῆκεν αὐτὸν μέχρι πολλοῦ τὴν προτέραν ἔχειν προσηγορίαν, ἵνα πᾶσι γνώριμος γένηται τοῖς πιστοῖς, καὶ τοῖς πόρρωθεν οὖσι καὶ οὐχ ἑωρακόσι αὐτόν.

4. Τίνος μὲν οὖν ἕνεκεν οὐκ εὐθέως μετεβλήθη αὐτοῦ τοὔνο-

---

24. Γαλ. 1,21–22.

γούμενο ὄνομα, ὥστε, ὅταν μάθουν ὅλοι πὼς αὐτὸς εἶναι ἐκεῖνος ποὺ δίωξε τὴν Ἐκκλησία προηγουμένως, τότε πλέον, ἀφοῦ γίνει γνωστὸς σὲ ὅλους, ν' ἀλλάξει καὶ τὸ ὄνομα.

Καὶ ὅτι αὐτὴ εἶναι ἡ αἰτία, ἄκουσε τὸν ἴδιο ποὺ λέγει. Ἦρθα στὴν περιοχὴ τῆς Συρίας καὶ τῆς Κιλικίας· καὶ ἤμουν προσωπικὰ ἄγνωστος στὶς ἐκκλησίες ποὺ βρίσκονται στὴν Ἰουδαία καὶ στὴν Παλαιστίνη»[24], λέγει. Ἂν ὅμως ἦταν ἄγνωστος στὶς ἐκκλησίες τῆς Παλαιστίνης ὅπου ζοῦσε, πολὺ περισσότερο θὰ ἦταν ἄγνωστος στὶς ἐκκλησίες ποὺ βρίσκονται ἀλλοῦ. «Καὶ ἤμουν προσωπικὰ ἄγνωστος», λέγει, ὄχι στὸ ὄνομα. Γιατί ἦταν «προσωπικὰ ἄγνωστος»; Γιατὶ κανεὶς ἀπὸ τοὺς πιστοὺς δὲν τολμοῦσε οὔτε νὰ τὸν δεῖ, ὅταν μᾶς πολεμοῦσε· ἀπὸ τόσα φονικὰ αἰσθήματα καὶ τόση μανία ἦταν γεμάτος. Γι' αὐτὸ ὅλοι ἀπομακρύνονταν, ὅλοι ἔφευγαν, ἂν τὸν ἔβλεπαν κάπου νὰ ἔρχεται καὶ δὲν τολμοῦσαν οὔτε νὰ τὸν ἀντικρύσουν. Ἦταν τόσο θηριώδης ἐναντίον τῶν πιστῶν. Καὶ μόνο ἄκουαν πὼς αὐτὸς ποὺ κάποτε μᾶς καταδίωκε, τώρα εὐαγγελίζεται τὴν πίστη, τὴν ὁποία κάποτε πολεμοῦσε.

Ἀφοῦ λοιπὸν δὲν ἤξεραν τὸ πρόσωπό του καὶ μόνο τὸν ἄκουαν, ἂν ἄλλαζε ἀμέσως τὸ ὄνομά του, οὔτε ὅσοι ἄκουαν δὲν θὰ γνώριζαν ὅτι ἐκεῖνος ποὺ καταδίωκε τὴν πίστη ὁ ἴδιος κηρύττει τὸ εὐαγγέλιο. Ἐπειδὴ δηλαδὴ ἤξεραν τὸ προηγούμενο ὄνομά του, ὅτι λεγόταν Σαῦλος, ἂν ἄλλαζε ὄνομα ἀμέσως καὶ ὀνομαζόταν Παῦλος, στὴ συνέχεια, ἂν τοὺς πληροφοροῦσαν μερικοὶ πὼς ὁ Παῦλος κηρύττει τὸ εὐαγγέλιο, αὐτὸς ποὺ καταδίωκε τὴν Ἐκκλησία, δὲ θὰ γνώριζαν ὅτι αὐτος ἦταν ἐκεῖνος, γιατὶ αὐτὸς δὲν ὀνομαζόταν Παῦλος ἀλλὰ Σαῦλος. Γι' αὐτὸ τὸν ἄφησε γιὰ πολὺ νὰ ἔχει τὸ προηγούμενο ὄνομα, γιὰ νὰ γίνει γνωστὸς σὲ ὅλους τοὺς πιστούς, καὶ σ' αὐτοὺς ἀκόμη ποὺ βρίσκονταν μακριὰ καὶ δὲν τὸν εἶχαν δεῖ.

4. Γιὰ ποιό λόγο λοιπὸν δὲν ἄλλαξε ἀμέσως τὸ ὄνομά του

μα, ἱκανῶς ἀποδέδεικται. Ἀνάγκη λοιπὸν ἐπ' αὐτὴν ἐλθεῖν τοῦ λόγου τὴν ἀρχήν. «Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου». Τί ἐστιν, «ἔτι»; Τί γὰρ ἐποίησε πρὸ τούτου, ὅτι λέγει, «ἔτι»; Τὸ γάρ, «ἔτι», περὶ ἀνθρώπου πολλὰ κακὰ πεποιηκότος ἔμπροσθεν λέγεται. Τί οὖν ἐποίησε; Τί γὰρ οὐκ ἐποίησεν, εἰπέ μοι, κακόν; Αἱμάτων ἐνέπλησε τὰ Ἱεροσόλυμα τοὺς πιστοὺς ἀναιρῶν, τὴν Ἐκκλησίαν ἐπόρθει, τοὺς ἀποστόλους ἐδίωκε, τὸν Στέφανον ἔσφαξεν, οὐκ ἀνδρῶν, οὐ γυναικῶν ἐφείδετο. Ἄκουσον γοῦν τοῦ μαθητοῦ αὐτοῦ λέγοντος· «Σαῦλος δὲ ἐλυμαίνετο τὴν Ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας».

Οὐδὲ γὰρ ἤρκει αὐτῷ ἡ ἀγορά, ἀλλὰ καὶ εἰς τὰς οἰκίας ἐπεπήδα· «κατὰ τοὺς οἴκους γὰρ εἰσπορευόμενος», φησί. Καὶ οὐκ εἶπεν, 'ἄγων', οὐδέ, 'ἕλκων ἄνδρας καὶ γυναῖκας', ἀλλά, «σύρων ἄνδρας καὶ γυναῖκας»· καὶ οὐκ ἄνδρας μόνον, ἀλλὰ καὶ γυναῖκας. Οὐδὲ τὴν φύσιν ᾐδεῖτο, οὐδὲ τὸ γένος ἠλέει, οὐδὲ πρὸς τὴν ἀσθένειαν ἀπεκλᾶτο. Ζήλῳ γάρ, οὐχὶ θυμῷ ταῦτα ἐποίει. Διὰ τοῦτο οἱ μὲν Ἰουδαῖοι τὰ αὐτὰ ποιοῦντες, ἄξιοι κατηγορίας, οὗτος δὲ τὰ αὐτὰ ποιῶν, ἄξιος συγγνώμης. Καὶ γὰρ ἀπ' αὐτῶν ὧν ἐποίουν δῆλον ἦσαν, ὅτι ἐκεῖνοι μὲν τιμῆς ἕνεκεν καὶ δόξης τῆς παρὰ τῶν πολλῶν ταῦτα ἔπραττον, οὗτος δὲ οὐχ οὕτως, ἀλλὰ τῷ Θεῷ ζηλῶν, εἰ καὶ μὴ κατ' ἐπίγνωσιν· διὰ τοῦτο ἐκεῖνοι τὰς μὲν γυναῖκας ἠφίεσαν, τοῖς δὲ ἀνδράσιν ἐπολέμουν, ἐπειδὴ εἰς ἐκείνους ἑώρων τὴν ἑαυτῶν περιελθοῦσαν τιμήν· οὗτος δέ, ἅτε ζηλοτυπῶν, πρὸς ἅπαντας ἵστατο.

Ταῦτ' οὖν ἅπαντα ἐννοήσας ὁ Λουκᾶς καὶ ὁρῶν αὐτὸν οὔπω κορεννύμενον, ἔλεγε· «Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου». Οὐκ ἐκόρεσεν αὐτὸν ὁ

---

25. Πράξ. 9,1.
26. Πράξ. 8,3.

ἔχει ἀποδειχθεῖ ἀρκετά. Εἶναι ἀνάγκη στὴ συνέχεια νὰ ἔρθουμε σ' αὐτὴ τὴν ἀρχὴ τοῦ λόγου. «Καὶ ὁ Σαῦλος ἀκόμη συνέχιζε νὰ ἔχει ἀπειλητικὲς καὶ φονικὲς διαθέσεις γιὰ τοὺς μαθητὲς τοῦ Κυρίου»[25]. Τί σημαίνει «ἀκόμη»; Τί ἔκαμε δηλαδὴ πρὶν ἀπ' αὐτὸ καὶ λέγει «ἀκόμη»; Γιατὶ τὸ «ἀκόμη» λέγεται γιὰ ἕναν ἄνθρωπο ποὺ ἔχει κάνει προηγουμένως πολλὰ κακά. Τί λοιπὸν ἔκαμε; Καὶ τί κακό, πές μου, δὲν ἔκαμε; Γέμισε αἷμα τὰ Ἱεροσόλυμα φονεύοντας τοὺς πιστούς, πολεμοῦσε τὴν Ἐκκλησία, καταδίωκε τοὺς ἀποστόλους, θανάτωσε τὸ Στέφανο, δὲ λυπόταν οὔτε ἄνδρες οὔτε γυναῖκες. Ἄκουσε λοιπὸν τὸ μαθητή του ποὺ λέγει· «ὁ Σαῦλος ὅμως ρήμαζε τὴν Ἐκκλησία, ἔμπαινε μὲ τὴ βία στὰ σπίτια, ἔσερνε ἔξω ἄνδρες καὶ γυναῖκες»[26].

Δὲν τὸν ἔφθανε δηλαδὴ ἡ ἀγορά, ἀλλὰ καὶ στὰ σπίτια ὁρμοῦσε. «Ἔμπαινε μὲ τὴ βία στὰ σπίτια», λέγει. Καὶ δὲν εἶπε, 'ὁδηγοῦσε', οὔτε 'τραβοῦσε ἄνδρες καὶ γυναῖκες', ἀλλ' «ἔσερνε ἄνδρες καὶ γυναῖκες». Σὰν νὰ μιλοῦσε γιὰ κάποιο θηρίο, λέγει, «ἔσερνε ἔξω ἄνδρες καὶ γυναῖκες»· καὶ ὄχι μόνο ἄνδρες ἀλλὰ καὶ γυναῖκες. Οὔτε τὴ φύση σεβόταν, οὔτε τὸ γένος συμπονοῦσε, οὔτε στὴν ἀδυναμία ὑποχωροῦσε. Γιατὶ ἀπὸ ζῆλο καὶ ὄχι ἀπὸ θυμὸ τὰ ἔκαμνε αὐτά. Γι' αὐτὸ βέβαια οἱ Ἰουδαῖοι κάμνοντας τὰ ἴδια εἶναι ἀξιοκατάκριτοι, ἐνῶ αὐτὸς κάμνοντας τὰ ἴδια εἶναι ἄξιος γιὰ συγγνώμη. Γιατὶ καὶ ἀπ' αὐτὰ ποὺ ἔκαμναν ἦταν φανερὸ πὼς ἐκεῖνοι τὰ ἔκαμναν ἐπιδιώκοντας τιμὴ καὶ δόξα ἀπὸ τοὺς πολλούς, ἐνῶ αὐτὸς δὲν ἐνεργοῦσε ἔτσι, ἀλλὰ ἀπὸ ζῆλο στὸ Θεό, ἔστω καὶ ἂν δὲν εἶχε τὴ σωστὴ γνώση. Γι' αὐτὸ ἐκεῖνοι ἄφησαν τὶς γυναῖκες καὶ πολεμοῦσαν τοὺς ἄνδρες, ἐπειδὴ ἔβλεπαν πὼς ἡ τιμὴ ἔχει περιέλθει σ' αὐτούς· αὐτὸς ὅμως, ἐπειδὴ εἶχε ζῆλο, προχωροῦσε σὲ ὅλους.

Ὅλα αὐτὰ λοιπὸν σκεπτόμενος ὁ Λουκᾶς καὶ βλέποντας πὼς αὐτὸς δὲ χόρτασε ἀκόμη ἔλεγε· «καὶ ὁ Σαῦλος ἀκόμη συνέχιζε νὰ ἔχει ἀπειλητικὲς καὶ φονικὲς διαθέσεις γιὰ τοὺς μαθη-

φόνος Στεφάνου, οὐκ ἐνέπλησεν αὐτοῦ τὴν ἐπιθυμίαν ἡ δίωξις τῆς Ἐκκλησίας, ἀλλὰ περαιτέρω προήει, καὶ οὐδαμοῦ ἵστατο τῆς μανίας· ζῆλος γὰρ ἦν. Ἀλλ' ἐπανελθὼν ἄρτι ἀπὸ τῆς σφαγῆς Στεφάνου, ἐδίωκε τοὺς ἀποστόλους· καὶ ταὐτὸν ἐποίει, ὥσπερ ἂν εἰ λύκος ἄγριος ἐπιπηδήσας ποίμνῃ προβάτων, καὶ ἀρνίον ἁρπάσας ἐκεῖθεν, καὶ τῷ οἰκείῳ σπαράξας στόματι, θρασύτερος ὑπὸ τῆς ἁρπαγῆς ἐγένετο. Οὕτω καὶ Σαῦλος ἐπεπήδησε τῷ χορῷ τῶν ἀποστόλων, ἥρπασεν ἐκεῖθεν τὸ ἀρνίον τοῦ Χριστοῦ, τὸν Στέφανον, διεσπάραξεν, ἐγένετο λοιπὸν ὑπὸ τῆς σφαγῆς ταύτης θρασύτερος. Διὰ τοῦτό φησιν, «ἔτι».

Καίτοι τίνα οὐκ ἂν ἐνέπλησεν ὁ φόνος ἐκεῖνος; τίνα οὐκ ἂν κατήδεσεν ἡ ἐπιείκεια τοῦ σφαττομένου, τὰ ῥήματα ἅπερ λιθαζόμενος ὑπὲρ τῶν λιθαζόντων ηὔχετο, «Κύριε», λέγων, «μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην»; Διὰ τοῦτο ὁ διώκτης εὐαγγελιστὴς γέγονεν. Εὐθέως γὰρ μετὰ τὸν φόνον οὗτος μετεβάλλετο, ἐκείνου τῆς φωνῆς ἤκουσεν ὁ Θεός. Καὶ γὰρ ἄξιος ἦν ἀκούεσθαι Στέφανος καὶ διὰ τὴν ἀρετὴν Παύλου τὴν ἐσομένην, καὶ διὰ οἰκείαν ὁμολογίαν, «Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην». Ἀκουέτωσαν ὅσοι ἐχθροὺς ἔχουσιν, ὅσοι πλεονεκτοῦνται. Κἂν γὰρ μυρία πάθῃς δεινά, οὐδέπω ἐλιθάσθης, καθάπερ ὁ Στέφανος. Καὶ ὅρα τί γίνεται. Ἐνεφράττετο μία πηγὴ ἡ τοῦ Στεφάνου, καὶ ἠνοίγετο ἑτέρα μυρίους ἀφιεῖσα ποταμούς. Ἐπειδὴ γὰρ ἐσίγησε τὸ στόμα Στεφάνου, ἤχησεν εὐθέως ἡ σάλπιγξ τοῦ Παύλου. Οὕτως οὐδέποτε ὁ Θεὸς εἰς τέλος ἐγκαταλιμπάνει τοὺς αὐτῷ προστρέχοντας, ἀλλὰ μείζονα ὧν ἀποστεροῦσιν οἱ ἐχθροὶ δίδωσιν αὐτὸς τὰ δῶρα. Οὐ γὰρ τοιοῦτον ἐξέβαλον ἀπὸ τῆς φάλαγγος στρατιώτην ἐκεῖνοι, οἷον ἀντεισήγαγεν ὁ Χριστός.

«Σαῦλος δὲ ἔτι». Καὶ ἄλλο τι δηλοῖ τό, «ἔτι», τοῦτο· οἷον,

---

27. Πράξ. 7,60.

τὲς τοῦ Κυρίου». Δὲν τὸν χόρτασε ὁ φόνος τοῦ Στεφάνου, δὲν τοῦ ἱκανοποίησε τὴν ἐπιθυμία ἡ δίωξη τῆς Ἐκκλησίας, ἀλλὰ προχωροῦσε παραπέρα καὶ δὲ σταματοῦσε πουθενὰ ἡ μανία του· γιατὶ ἦταν ζῆλος. Ἀλλὰ μόλις γύρισε ἀπὸ τὴ σφαγὴ τοῦ Στεφάνου, καταδίωκε τοὺς ἀποστόλους. Καὶ ἔκαμνε τὸ ἴδιο, ὅπως ἀκριβῶς ἕνας ἄγριος λύκος, πού, ἀφοῦ ὅρμησε σὲ κοπάδι προβάτων καὶ ἅρπαξε ἀπὸ ἐκεῖ ἀρνὶ καὶ τὸ κατασπάραξε μὲ τὸ στόμα του, ἔγινε θρασύτερος ἀπὸ τὴν ἁρπαγή. Ἔτσι καὶ ὁ Παῦλος ὅρμησε στὸ χορὸ τῶν ἀποστόλων, ἅρπαξε ἀπὸ ἐκεῖ τὸ ἀρνὶ τοῦ Χριστοῦ, τὸ Στέφανο, τὸ κατασπάραξε, καὶ ἔγινε στὴ συνέχεια θρασύτερος ἀπὸ τὴ σφαγὴ αὐτή. Γι' αὐτὸ λέγει, «ἀκόμη».

Ἂν καὶ βέβαια ποιόν δὲ θὰ χόρταινε ὁ φόνος ἐκεῖνος; ποιόν δὲ θὰ συγκινοῦσε ἡ καλωσύνη τοῦ θύματος, τὰ λόγια ποὺ ὅταν λιθοβολοῦνταν προσευχόταν καὶ ἔλεγε γι' αὐτοὺς ποὺ τὸν λιθοβολοῦσαν, «Κύριε, μὴν τοὺς λογαριάσεις τὴν ἁμαρτία αὐτή»[27]; Γι' αὐτὸ ὁ διώκτης ἔγινε εὐαγγελιστής. Γιατὶ ἀμέσως μετὰ τὸ φόνο ἄλλαζε αὐτός, ἐκείνου τὴ φωνὴ ἄκουσε ὁ Θεός. Γιατὶ πραγματικὰ ὁ Στέφανος ἦταν ἄξιος ν' ἀκούεται καὶ γιὰ τὴ μελλοντικὴ ἀρετὴ τοῦ Παύλου καὶ γιὰ τὴ δική του ὁμολογία, «Κύριε, μὴν τοὺς λογαριάσεις τὴν ἁμαρτία αὐτή». Ἂς τὸ ἀκούσουν ὅσοι ἔχουν ἐχθρούς, ὅσοι ἀδικοῦνται. Γιατί, καὶ ἂν ἀκόμη πάθεις ἄπειρα δεινά, δὲ λιθοβολήθηκες ἀκόμη, ὅπως ὁ Στέφανος. Καὶ πρόσεχε τί γίνεται. Κλεινόταν μία πηγή, ἡ πηγὴ τοῦ Στεφάνου, καὶ ἀνοιγόταν ἄλλη, ἀφήνοντας ἀμέτρητα ποτάμια. Ἐπειδὴ δηλαδὴ σίγησε τὸ στόμα τοῦ Στεφάνου, ἤχησε ἀμέσως ἡ σάλπιγγα τοῦ Παύλου. Ἔτσι ποτὲ ὁ Θεὸς δὲν ἐγκαταλείπει στὸ τέλος ἐκείνους ποὺ καταφεύγουν σ' αὐτόν, ἀλλὰ τοὺς δίνει δῶρα μεγαλύτερα ἀπ' αὐτὰ ποὺ τοὺς στεροῦν οἱ ἐχθροί τους. Γιατὶ ἐκεῖνοι δὲν ἔδιωξαν ἀπὸ τὴ φάλαγγα τέτοιο στρατιώτη, σὰν αὐτὸν ποὺ ἔβαλε στὴ θέση του ὁ Χριστός.

«Καὶ ὁ Σαῦλος ἀκόμη». Καὶ κάτι ἄλλο σημαίνει αὐτὸ τὸ

ὅτι ἔτι μαινόμενον, ἔτι ἀγριαίνοντα, ἔτι ἐν ἀκμῇ τοῦ θυμοῦ ὄντα, ἔτι τῷ φόνῳ ζέοντα ἐπεσπάσατο ὁ Χριστός. Οὐδὲ γὰρ ἀνέμεινε λῆξαι τὸ νόσημα καὶ σβεσθῆναι τὸ πάθος καὶ πρᾳότερον γενέσθαι τὸν ἄγριον καὶ οὕτως εἵλκυσεν, ἀλλ' ἐν αὐτῇ τῇ ἀκμῇ τῆς μανίας αὐτὸν ἐχειρώσατο, ἵνα δείξῃ τὴν ἑαυτοῦ δύναμιν, ὅτι ἐν μέσῃ τῇ βακχείᾳ τότε ἐκείνῃ ζέοντος ἔτι τοῦ θυμοῦ κρατεῖ καὶ περιγίνεται τοῦ διώκτου. Καὶ γὰρ ἰατρὸν τότε θαυμάζομεν μάλιστα, ὅταν δυνηθῇ τὸν πυρετὸν αἰρόμενον καὶ τὴν φλόγα τοῦ νοσήματος οὖσαν ἐν ἄκρᾳ σφοδρότητι κατασβέσαι καὶ παντελῶς ἀφανίσαι, ὃ καὶ ἐπὶ τοῦ Παύλου γέγονεν. Ἐν ἀκμῇ γὰρ αὐτὸν ὄντα τῆς φλογός, ὥσπερ τις δρόσος ἄνωθεν κατενεχθεῖσα, ἡ φωνὴ τοῦ Κυρίου τοῦ νοσήματος ἀπήλλαξε παντελῶς.

«Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου», ἀφῆκε τὸ πλῆθος, καὶ τοῖς ἄρχουσι λοιπὸν ἐπεπήδα. Ὥσπερ γὰρ ὁ δένδρον βουλόμενος ἐκτεμεῖν, τοὺς κλάδους ἀφείς, κάτωθεν ἐκκόπτει τὴν ρίζαν, οὕτω δὴ καὶ οὗτος ἐπὶ τοὺς μαθητὰς ἦλθε, τὴν ρίζαν τοῦ κηρύγματος βουλόμενος ἀνελεῖν. Ἀλλ' οὐκ ἦσαν ρίζαι τοῦ κηρύγματος οἱ μαθηταί, ἀλλ' ὁ τῶν μαθητῶν Δεσπότης. Διὰ τοῦτο καὶ ἔλεγεν· «ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα». Ἐκείνη δὲ ἀκαταγώνιστος ἡ ρίζα. Διὰ τοῦτο ὅσῳ πλείονα ἐξέτεμνον κλήματα, τοσούτῳ καὶ πλείονα καὶ μείζονα πάλιν ἐβλάστανεν. Ἐξετμήθη γοῦν Στέφανος, καὶ ἀνεβλάστησε Παῦλος καὶ οἱ διὰ Παύλου πιστεύσαντες.

«Ἐγένετο δέ», φησίν, «ἐν τῷ ἐγγίζειν αὐτὸν τῇ Δαμασκῷ, ἐξαίφνης περιήστραψεν αὐτὸν φῶς ἐκ τοῦ οὐρανοῦ, καὶ πεσὼν ἐπὶ τῆς γῆς ἤκουσε φωνὴν λέγουσαν αὐτῷ, Σαῦλε, Σαῦλε, τί με

---

28. Ἰω. 15,5.

«ἀκόμη». Ὅτι δηλαδή, ἐνῶ ἀκόμη μαινόταν, ἐνῶ ἀκόμη ἐξαγριωνόταν, ἐνῶ ἀκόμη εἶχε πολὺ θυμό, ἐνῶ ἀκόμη ἔβραζε ἀπὸ φονικὲς διαθέσεις, τὸν ἀπέσπασε ὁ Χριστός. Γιατὶ δὲν περίμενε νὰ τελειώσει ἡ ἀρρώστια καὶ νὰ σβησθεῖ τὸ πάθος καὶ νὰ γίνει πιὸ πράος ὁ ἄγριος, καὶ τότε νὰ τὸν προσελκύσει, ἀλλὰ τὸν αἰχμαλώτισε στὴν ἀκμὴ τῆς μανίας του, γιὰ νὰ φανερώσει τὴ δύναμή του, ὅτι δηλαδὴ μέσα σ' ἐκείνη τὴ μανία καὶ ἐνῶ ὁ θυμὸς ἔβραζε ἀκόμη συλλαμβάνει καὶ νικάει τὸ διώκτη. Γιατὶ καὶ τὸ γιατρὸ τότε κυρίως τὸν θαυμάζουμε, ὅταν μπορέσει νὰ σβήσει καὶ νὰ ἐξαλείψει τελείως τὸν πυρετὸ ποὺ ἀνεβαίνει καὶ τὴ φλόγα τῆς ἀρρώστιας ποὺ βρίσκεται στὴ πιὸ μεγάλη ἔξαψη, πράγμα ποὺ ἔγινε καὶ μὲ τὸν Παῦλο. Γιατί, ἐνῶ βρισκόταν στὴν ἔξαψη τῆς φλόγας, ἡ φωνὴ τοῦ Κυρίου, ποὺ σὰν κάποια δροσιὰ ἔπεσε ἀπὸ τὸν οὐρανό, τὸν ἀπάλλαξε τελείως ἀπὸ τὴν ἀρρώστια.

«Καὶ ὁ Σαῦλος συνεχίζοντας ἀκόμη νὰ ἔχει ἀπειλητικὲς καὶ φονικὲς διαθέσεις γιὰ τοὺς μαθητὲς τοῦ Κυρίου», ἄφησε τὸ πλῆθος καὶ ὁρμοῦσε πλέον στοὺς ἀρχηγούς. Γιατί, ὅπως ἐκεῖνος ποὺ θέλει νὰ ξερριζώσει ἕνα δένδρο, ἀφοῦ ἀφήσει τὰ κλαδιά, κόβει ἀπὸ κάτω τὴ ρίζα, ἔτσι ἀκριβῶς καὶ αὐτός· ἦρθε ἐναντίον τῶν μαθητῶν, ἐπειδὴ ἤθελε νὰ ξερριζώσει τὴ ρίζα τοῦ κηρύγματος. Δὲν ἦταν ὅμως ρίζες τοῦ κηρύγματος οἱ μαθητές, ἀλλὰ ὁ Κύριος τῶν μαθητῶν. Γι' αὐτὸ καὶ ἔλεγε· «ἐγὼ εἶμαι τὸ ἀμπέλι, ἐσεῖς τὰ κλήματα»[28]. Καὶ ἡ ρίζα αὐτὴ εἶναι ἀκαταμάχητη. Γι' αὐτὸ ὅσο περισσότερα κλήματα ἔκοβαν, τόσο περισσότερα καὶ μεγαλύτερα βλάσταινε πάλι. Ἀποκόπηκε δηλαδὴ ὁ Στέφανος, καὶ ἀναβλάστησε ὁ Παῦλος καὶ ὅσοι πίστεψαν μὲ τὴ μεσολάβηση τοῦ Παύλου.

«Καθώς», λέγει, «πλησίαζε στὴ Δαμασκό, ξαφνικὰ τὸν φώτισε μιὰ ἀστραπὴ ἀπὸ τὸν οὐρανό, καὶ ἀφοῦ ἔπεσε στὴ γῆ ἄκουσε μιὰ φωνὴ νὰ τοῦ λέγει· Σαῦλε, Σαῦλε, γιατί μὲ καταδιώ-

διώκεις;» Τίνος ἕνεκεν οὐχὶ πρῶτον ἡ φωνὴ ἠνέχθη, ἀλλὰ πρότερον φῶς αὐτὸν περιήστραψεν; Ἵνα μεθ' ἡσυχίας ἀκούσῃ τῆς φωνῆς. Ἐπειδὴ γὰρ ὁ πρός τι πρᾶγμα τεταμένος καὶ θυμοῦ πλήρης ὤν, κἂν μυρίοι καλῶσιν, οὐκ ἐπιστρέφεται, ὅλος τῆς προκειμένης ὑποθέσεως ὤν· ἵνα μὴ καὶ ἐπὶ Παύλου τοῦτο γένηται καὶ μεθύων τῇ μανίᾳ τῶν γεγενημένων παραπέμψηται τὴν φωνήν, ἢ μηδὲ ἀκούσῃ τὴν ἀρχήν, τὴν διάνοιαν ἅπασαν πρὸς τὴν λεηλασίαν ἐκείνην ἔχων, πρότερον διὰ τοῦ φωτὸς πηρώσας αὐτοῦ τοὺς ὀφθαλμοὺς καὶ τὸν θυμὸν καταστείλας καὶ σβέσας ἅπαντα τῆς ψυχῆς τὸν θόρυβον καὶ πολλὴν ἐν τῇ διανοίᾳ γαλήνην ποιήσας, οὕτω τὴν φωνὴν ἀφῆκεν, ἵνα κατενεχθείσης τῆς ἀλαζονείας σώφρονι τῷ λογισμῷ προσέχῃ τοῖς λεγομένοις λοιπόν.

«Σαῦλε, Σαῦλε, τί με διώκεις;». Οὐ τοσοῦτον ἐγκαλοῦντός ἐστιν, ὅσον ἀπολογουμένου. Τί με διωκκεις; Τί μικρὸν ἢ μέγα ἐγκαλεῖν ἔχων ἐμοί; τί παρ' ἐμοῦ ἠδικημένος; ὅτι τοὺς νεκροὺς ὑμῶν ἀνέστησα; ὅτι τοὺς λεπροὺς ἐκάθηρα; ὅτι τοὺς δαίμονας ἀπήλασα; Ἀλλὰ διὰ ταῦτα προσκυνεῖσθαί με, οὐχὶ διώκεσθαι ἔδει. Καὶ ἵνα μάθῃς, ὅτι τό, «τί με διώκεις;», ἀπολογουμένου μᾶλλόν ἐστιν, ἄκουσον πῶς καὶ ὁ Πατὴρ αὐτοῦ πρὸς τοὺς Ἰουδαίους τούτῳ κέχρηται τῷ ῥήματι. Ὥσπερ γὰρ οὗτος λέγει, «Σαῦλε, Σαῦλε, τί με διώκεις;», οὕτω κἀκεῖνος πρὸς τοὺς Ἰουδαίους φησί· «λαός μου, τί ἐποίησά σοι, ἢ τί ἐλύπησά σε;»

«Σαῦλε, Σαῦλε, τί με διώκεις;». Ἰδοὺ κεῖσαι πρηνής, ἰδοὺ δέδεσαι χωρὶς ἀλύσεως. Ὥσπερ οὖν ὅταν δεσπότης οἰκέτην πολλὰ περιφεύγοντα καὶ μυρία ἐργαζόμενον δεινὰ λαβὼν ὑπὸ χεῖρας καὶ δήσας λέγοι πρὸς αὐτὸν δεδεμένον, τί σοι βούλει ποιήσω νῦν; ἰδοὺ γέγονας ὑποχείριος, οὕτω καὶ ὁ Χριστὸς τὸν

---

29. Πράξ. 9,3–4.

30. Μιχ. 6,3.

κεις;»[29]. Γιὰ ποιό λόγο δὲν ἀκούσθηκε πρῶτα ἡ φωνή, ἀλλὰ πρῶτα τὸν φώτισε ἡ ἀστραπή; Γιὰ ν' ἀκούσει μὲ ἡσυχία τὴ φωνή. Γιατὶ πραγματικὰ αὐτὸς ποὺ ἀποβλέπει σὲ κάποιο πράγμα καὶ εἶναι γεμάτος θυμό, καὶ ἂν ἀκόμη τὸν φωνάζουν χιλιάδες ἄνθρωποι, δὲ γυρίζει τὸ κεφάλι του, ἐπειδὴ εἶναι ἀφοσιωμένος ὁλόκληρος στὸ ζήτημα ποὺ τὸν ἀπασχολεῖ. Γιὰ νὰ μὴ γίνει καὶ στὴν περίπτωση τοῦ Παύλου αὐτὸ καὶ μεθυσμένος ἀπὸ τὴ μανία αὐτῶν ποὺ ἔγιναν ἀδιαφορήσει γιὰ τὴ φωνὴ ἢ δὲν ἀκούσει τὴν ἀρχή, ἔχοντας τὴ σκέψη του ὅλη στὴ λεηλασία ἐκείνη, πρῶτα μὲ τὸ φῶς καὶ τοῦ τύφλωσε τὰ μάτια καὶ συγκράτησε τὸ θυμό του καὶ ἔσβησε ὅλη τὴν ταραχὴ τῆς ψυχῆς του καὶ δημιούργησε πολλὴ γαλήνη στὴ σκέψη του, καὶ ὕστερα ἔβγαλε τὴ φωνή, ὥστε, ἀφοῦ πέσει ἡ ἀλαζονεία του, νὰ προσέχει πλέον μὲ καθαρὴ τὴ σκέψη τὰ λεγόμενα.

«Σαῦλε, Σαῦλε, γιατί μὲ καταδιώκεις;» Δὲν ἀνήκουν τὰ λόγια τόσο σὲ κατήγορο, ὅσο σὲ ἀπολογούμενο. Γιατί μὲ καταδιώκεις; Γιὰ ποιό μικρὸ ἢ μεγάλο μπορεῖς νὰ μὲ κατηγορεῖς; σὲ τί σὲ ἔχω ἀδικήσει; ὅτι ἀνέστησα τοὺς νεκρούς σας; ὅτι καθάρισα τοὺς λεπρούς; ὅτι ἔδιωξα τοὺς δαίμονες; Ἀλλὰ γι' αὐτὰ ἔπρεπε νὰ μὲ προσκυνεῖς καὶ ὄχι νὰ μὲ καταδιώκεις. Καὶ γιὰ νὰ μάθεις πὼς τὸ «γιατί μὲ καταδιώκεις;» ἀνήκει περισσότερο σὲ ἀπολογούμενο, ἄκουσε πῶς καὶ ὁ Πατέρας του χρησιμοποιεῖ τὰ ἴδια λόγια πρὸς τοὺς Ἰουδαίους. Γιατί, ὅπως αὐτὸς λέγει, «Σαῦλε, Σαῦλε, γιατί μὲ καταδιώκεις;», ἔτσι καὶ ἐκεῖνος λέγει στοὺς Ἰουδαίους· «λαέ μου, τί κακὸ σοῦ ἔκαμα ἢ σὲ τί σὲ λύπησα;»[30].

«Σαῦλε, Σαῦλε, γιατί μὲ καταδιώκεις;» Νά, εἶσαι πρηνής· νά, εἶσαι δεμένος χωρὶς ἀλυσίδες. Ὅπως λοιπὸν ὅταν ἕνας κύριος πιάνοντας στὰ χέρια του ἕνα δοῦλο, ποὺ ξέφυγε πολλὲς φορὲς καὶ ἔκανε ἄπειρα κακά, καὶ ἀφοῦ τὸν δέσει τοῦ λέγει καθὼς εἶναι δεμένος, τί θέλεις νὰ σοῦ κάμω τώρα; νά, εἶσαι κρατούμενος στὰ χέρια μου· ἔτσι καὶ ὁ Χριστός· ἀφοῦ ἔπιασε τὸν

Παῦλον λαβών, ρίψας πρηνῆ καὶ ὁρῶν τρέμοντα καὶ δεδοικότα καὶ οὐδὲν ἐργάζεσθαι δυνάμενον, φησί· «Σαῦλε, Σαῦλε, τί με διώκεις;». Ποῦ οὖν ὁ θυμὸς ἐκεῖνος οἴχεται; ποῦ δὲ ἡ μανία; ποῦ δὲ ἡ ἀγριότης ἐκείνη; Ἀκίνητος μὲν ἔσῃ νῦν, καὶ οὐδὲ ἰδεῖν τὸν διωκόμενον δύνασαι· καὶ ὁ σπεύδων καὶ πανταχοῦ περιτρέχων, χειραγωγοῦ χρείαν ἔχεις νῦν. Διὰ γὰρ τοῦτο καὶ νῦν φησιν αὐτῷ, «τί με διώκεις;», ἵνα μάθῃ ὅτι καὶ ἐν τῷ πρὸ τούτου χρόνῳ ἑκὼν αὐτῷ συνεχώρει· ὅτι οὔτε ἐκεῖνα ἀσθενείας ἦν, οὔτε ταῦτα ὠμότητος, ἀλλὰ καὶ ἐκεῖνα φιλανθρωπίας, καὶ ταῦτα κηδεμονίας.

Τί οὖν ὁ Παῦλος; «Τίς εἶ, Κύριε;». Ἐπέγνω τὴν δεσποτείαν ἀπὸ τῆς συγχωρήσεως, ἔμαθε τὴν δύναμιν ἀπὸ τῆς τότε πηρώσεως, ὁμολογεῖ λοιπὸν τὴν ἐξουσίαν. «Τίς εἶ, Κύριε;». Εἶδες ψυχὴν εὐγνώμονα; εἶδες διάνοιαν ἐλευθερίας γέμουσαν; εἶδες συνειδὸς ἀδέκαστον; Οὐκ ἀντέτεινεν, οὐκ ἐφιλονείκησεν, ἀλλ' ἔγνω τὸν Δεσπότην εὐθέως. Οὐ καθάπερ Ἰουδαῖοι νεκροὺς ὁρῶντες ἀνισταμένους, πηροὺς ἀναβλέποντας, λεπροὺς καθαιρομένους, οὐ μόνον οὐ προσέτρεχον τῷ ταῦτα ποιοῦντι, ἀλλὰ καὶ πλάνον αὐτὸν ἐκάλουν καὶ πάντα τρόπον ἐπιβουλῆς ἐκίνουν· ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ἀλλ' εὐθέως μετετίθετο. Τί οὖν ὁ Χριστός; «ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις». Καὶ διὰ τί μὴ εἶπεν, 'ἐγώ εἰμι Ἰησοῦς ὁ ἀναστάς, ἐγώ εἰμι Ἰησοῦς ὁ ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος', ἀλλ', «ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις»; Ἵνα πλήξῃ αὐτοῦ τὴν διάνοιαν, ἵνα κατανύξῃ αὐτοῦ τὴν ψυχήν.

Ἄκουσον γοῦν Παύλου μετὰ πολλοὺς τοὺς χρόνους καὶ μυρία κατορθώματα τοῦτο θρηνοῦντος· «ἐγὼ γάρ εἰμι», φησίν,

---

31. Πράξ. 9,5.

Παῦλο καὶ τὸν ἔρριξε πρηνὴ στὴ γῆ καὶ τὸν εἶδε νὰ τρέμει καὶ νὰ φοβᾶται καὶ νὰ μὴν μπορεῖ τίποτε νὰ κάνει, λέγει· «Σαῦλε, Σαῦλε, γιατί μὲ καταδιώκεις;». Ποῦ λοιπὸν ἔφυγε ὁ θυμὸς ἐκεῖνος; ποῦ ἡ μανία; ποῦ ὁ ζῆλος ὁ ἄκαιρος; ποῦ τὰ δεσμὰ καὶ οἱ περιστροφές; ποῦ ἡ ἀγριότητα ἐκείνη; Θὰ εἶσαι ἀκίνητος τώρα, καὶ οὔτε μπορεῖς νὰ δεῖς αὐτὸν ποὺ καταδιώκεις· καὶ σὺ ποὺ ἔτρεχες καὶ πήγαινες παντοῦ, ἔχεις ἀνάγκη ἀπὸ χειραγωγὸ τώρα. Γι' αὐτὸ λοιπὸν καὶ τώρα τοῦ λέγει, «γιατί μὲ καταδιώκεις;», γιὰ νὰ μάθει ὅτι καὶ στὸν προηγούμενο καιρὸ τοῦ ἐπέτρεπε αὐτὰ μὲ τὴ θέλησή του καὶ ὅτι οὔτε ἐκεῖνα ἦταν ἀπόδειξη ἀδυναμίας, οὔτε αὐτὰ σκληρότητας, ἀλλὰ καὶ ἐκεῖνα ἦταν ἀπόδειξη φιλανθρωπίας καὶ αὐτὰ φροντίδας.

Τί λοιπόν εἶπε ὁ Παῦλος; «Ποιός εἶσαι, Κύριε;»[31]. Γνώρισε τὴν ἐξουσία τοῦ Κυρίου ἀπὸ τὴ συγχώρηση, ἔμαθε τὴ δύναμή του ἀπὸ τὴν τότε τύφλωσή του, ὁμολογεῖ στὴ συνέχεια τὴν ἐξουσία του. «Ποιός εἶσαι, Κύριε;». Εἶδες ψυχὴ ποὺ ἀναγνωρίζει τὴν εὐεργεσία; εἶδες διάνοια γεμάτη ἐλευθερία; εἶδες συνείδηση ἀδέκαστη; Δὲν ἀντιτάχθηκε, δὲ φιλονείκησε, ἀλλὰ γνώρισε ἀμέσως τὸν Κύριο. Ὄχι ὅπως οἱ Ἰουδαῖοι πού, ἂν καὶ ἔβλεπαν νεκροὺς ν' ἀνασταίνονται, τυφλοὺς νὰ βλέπουν, λεπροὺς νὰ καθαρίζονται, ὄχι μόνο δὲν ἔτρεχαν κοντὰ σ' αὐτὸν ποὺ τὰ ἔκαμνε αὐτά, ἀλλὰ καὶ ἀπατεώνα τὸν ὀνόμαζαν καὶ κινοῦσαν ἐναντίον του κάθε μέσο ἐπιβουλῆς. Ὅμως ὁ Παῦλος δὲν ἔκαμε αὐτό, ἀλλὰ μεταστράφηκε ἀμέσως. Τί λοιπὸν εἶπε ὁ Χριστός; «Ἐγὼ εἶμαι ὁ Ἰησοῦς, τὸν ὁποῖο ἐσὺ καταδιώκεις». Καὶ γιατί δὲν εἶπε, 'ἐγὼ εἶμαι ὁ Ἰησοῦς ποὺ ἀναστήθηκε, ἐγὼ εἶμαι ὁ Ἰησοῦς ποὺ κάθεται στὰ δεξιὰ τοῦ Θεοῦ', ἀλλὰ «ἐγὼ εἶμαι ὁ Ἰησοῦς, τὸν ὁποῖο ἐσὺ καταδιώκεις»; Γιὰ νὰ διεγείρει τὴ σκέψη του, γιὰ νὰ συγκινήσει τὴν ψυχή του.

Ἄκουσε λοιπὸν τὸν Παῦλο ποὺ ὕστερα ἀπὸ πολλὰ χρόνια καὶ ἀμέτρητα κατορθώματά του θρηνεῖ γι' αὐτό· γιατὶ λέγει,

«ὁ ἐλάχιστος πάντων τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν Ἐκκλησίαν». Εἰ δὲ μετὰ μυρία κατορθώματα καὶ τοσούτους χρόνους τοῦτο ἐπένθει, τί εἰκὸς ἦν αὐτὸν παθεῖν κατὰ τὸν καιρὸν ἐκεῖνον, κατόρθωμα μὲν οὐδέπω οὐδὲν ἔχοντα, τὴν δὲ δίωξιν ἑαυτῷ συνειδότα, καὶ τῆς φωνῆς ἐκείνης ἀκούοντα;

5. Ἀλλ' ἐπιφύονται ἡμῖν ἐνταῦθα· ὑμεῖς δὲ μὴ ἀποκάμητε, κἂν ἑσπέρα καταλάβοι· ὑπὲρ γὰρ τοῦ Παύλου πᾶς ἡμῖν ὁ λόγος, Παύλου τοῦ τριετίαν νύκτα καὶ ἡμέραν τοὺς μαθητὰς διδάσκοντος. Ἐπιφύονται τοίνυν τινὲς ἐνταῦθα καὶ λέγουσι· 'καὶ τί μέγα, ὅτι Παῦλος προσῆλθε; καὶ γὰρ μονονουχὶ ὥσπερ σχοῖνον περιβαλὼν αὐτοῦ τῷ τραχήλῳ ὁ Θεὸς τὴν φωνὴν ἐκείνην, οὕτως αὐτὸν εἵλκυσε πρὸς ἑαυτόν'. Προσέχετε μετὰ ἀκριβειάς. Καὶ γὰρ καὶ πρὸς Ἕλληνας κοινὸς ἡμῖν οὗτος ὁ λόγος καὶ πρὸς Ἰουδαίους, οἳ τῆς οἰκείας ἀπιστίας προκάλυμμα νομίζουσιν εἶναι τὸ τοῦ δικαίου κατηγορεῖν, οὐκ εἰδότες ὅτι διπλῆν ἁμαρτάνουσιν ἁμαρτίαν, τήν τε οἰκείαν οὐκ ἀποτιθέμενοι πλάνην, καὶ τὸν ἅγιον τοῦ Θεοῦ τοιαύταις αἰτίαις ὑποβάλλειν ἐπιχειροῦντες. Ἀλλ' ἡμεῖς ὑπὲρ αὐτοῦ τὴν ἀπολογίαν τῇ τοῦ Θεοῦ χάριτι ποιησόμεθα.

Τίς οὖν ἐστιν ἡ κατηγορία; Ἀνάγκη, φησίν, αὐτὸν ἐπεσπάσατο ὁ Θεός. Ποίᾳ ἀνάγκη, ἄνθρωπε; Ἐκάλεσεν αὐτὸν ἄνωθεν. Ὅλως πιστεύεις, ὅτι ἐκάλεσεν αὐτὸν ἄνωθεν; Οὐκοῦν καὶ σὲ καλεῖ τήμερον δι' ἐκείνης τῆς φωνῆς, ἀλλ' οὐχ ὑπακούεις. Ὁρᾷς ὅτι οὐχὶ ἀνάγκης ἦν τὸ πρᾶγμα; Εἰ γὰρ ἀνάγκη ἦν, καὶ σὲ ἔδει ὑπακούειν. Εἰ δὲ σὺ οὐχ ὑπακούεις, εὔδηλον ὅτι κἀκεῖνος ἐκ προαιρέσεως ὑπήκουσε. Καὶ ἵνα μάθητε ὅτι πολὺ μὲν εἰς τὴν Παύλου σωτηρίαν ἡ κλῆσις, καθάπερ καὶ εἰς τὴν τῶν ἄλλων

32. Α' Κορ. 15,9.

«ἐγὼ εἶμαι ὁ ἐλάχιστος ἀπ' ὅλους τοὺς ἀποστόλους· ἐγὼ δὲν εἶμαι ἄξιος νὰ ὀνομάζομαι ἀπόστολος, γιατὶ καταδίωξα τὴν Ἐκκλησία»[32]. Ἂν ὅμως ὕστερα ἀπὸ ἀμέτρητα κατορθώματα καὶ τόσα χρόνια θρηνοῦσε γι' αὐτό, τί ἦταν φυσικὸ νὰ πάθει αὐτὸς τὴν ἐποχὴ ἐκείνη ποὺ δὲν εἶχε ἀκόμη κανένα κατόρθωμα καὶ καταλόγιζε στὸν ἑαυτό του τὴν καταδίωξη καὶ ἄκουε τὴ φωνὴ ἐκείνη;

5. Ἀλλὰ ἐδῶ μᾶς ἐπιτίθενται· ἐσεῖς ὅμως μὴν ἀποκάμετε, ἔστω καὶ ἂν μᾶς πιάσει τὸ βράδυ· γιατὶ ὁ λόγος μας ὅλος εἶναι γιὰ τὸν Παῦλο, τὸν Παῦλο ποὺ γιὰ μιὰ τριετία νύχτα καὶ ἡμέρα δίδασκε τοὺς μαθητές του. Ἐπιτίθενται λοιπὸν μερικοὶ ἐδῶ καὶ λέγουν· καὶ τί τὸ σπουδαῖο ποὺ προσῆλθε ὁ Παῦλος; Γιατὶ πραγματικὰ εἶναι σὰν ὁ Θεὸς νὰ τύλιξε γύρω ἀπὸ τὸ λαιμό του τὴ φωνὴ ἐκείνη σὰν σχοινὶ καὶ ἔτσι τὸν τράβηξε πρὸς τὸν ἑαυτό του. Προσέχετε μὲ ἀκρίβεια. Γιατὶ βέβαια ὁ λόγος μας αὐτὸς εἶναι κοινὸς καὶ πρὸς τοὺς εἰδωλολάτρες καὶ πρὸς τοὺς Ἰουδαίους, ποὺ νομίζουν ὅτι εἶναι προκάλυμμα τῆς δικῆς τους ἀπιστίας τὸ νὰ κατηγοροῦν αὐτὸν τὸν δίκαιο, μὴ γνωρίζοντας πὼς κάνουν διπλὴ ἁμαρτία, ἀφοῦ καὶ τὴ δική τους πλάνη δὲν ἀποβάλλουν καὶ προσπαθοῦν νὰ ρίξουν τὸν ἅγιο τοῦ Θεοῦ σὲ τέτοιες κατηγορίες. Ἐμεῖς ὅμως μὲ τὴ χάρη τοῦ Θεοῦ θ' ἀπολογηθοῦμε γι' αὐτόν.

Ποιά λοιπὸν εἶναι ἡ κατηγορία; Μὲ τὴ βία, λέγει, τὸν προσείλκυσε ὁ Θεός. Μὲ ποιά βία, ἄνθρωπε; Τὸν κάλεσε ἀπὸ τοὺς οὐρανούς. Πιστεύεις ὅτι τελείως τὸν κάλεσε ἀπὸ τοὺς οὐρανούς; Λοιπὸν καὶ σένα σὲ καλεῖ σήμερα μ' ἐκείνη τὴ φωνή, ἀλλὰ δὲν ὑπακοῦς. Βλέπεις ὅτι τὸ πράγμα δὲν ἦταν ἀποτέλεσμα ἐξαναγκασμοῦ; Γιατί, ἂν ἦταν ἐξαναγκασμός, ἔπρεπε καὶ σὺ νὰ ὑπακοῦς. Ἂν ὅμως ἐσὺ δὲν ὑπακοῦς, εἶναι ὁλοφάνερο πὼς καὶ ἐκεῖνος ὑπήκουσε μὲ τὴ θέλησή του. Καὶ γιὰ νὰ μάθετε ὅτι στὴ σωτηρία τοῦ Παύλου ἔπαιξε σημαντικὸ ρόλο ἡ κλήση, ὅπως

ἁπάντων ἀνθρώπων, οὐ μὴν ἔρημον αὐτὸν ἀφῆκεν εἶναι τῶν οἰκείων κατορθωμάτων καὶ τῶν διὰ τὴν βούλησιν ἐπαίνων, οὐδὲ ἐλυμήνατο αὐτοῦ τὸ αὐτεξούσιον, ἀλλ' ἑκὼν προσῆλθεν οὗτος καὶ ἐξ οἰκείας εὐγνωμοσύνης, ἐξ ἑτέρου παραδείγματος τοῦτο ποιήσω φανερόν.

Ἤκουσαν οἱ Ἰουδαῖοι φωνῆς ἄνωθεν φερομένης, οὐχὶ τοῦ Υἱοῦ, ἀλλὰ τοῦ Πατρός, περὶ τοῦ Χριστοῦ λεγούσης περὶ τῶν Ἰορδανίων ῥείθρων, «οὗτός ἐστι ὁ Υἱός μου ὁ ἀγαπητός», καὶ λέγουσιν ἐκεῖνοι, «οὗτός ἐστιν ὁ πλάνος». Εἶδες φανερὸν πόλεμον; εἶδες δήλην μάχην; εἶδες ὅτι πανταχοῦ εὐγνωμοσύνης χρεία, καὶ ψυχῆς ἀδεκάστου, καὶ μὴ προκατειλημμένης πάθει; Ἰδοὺ καὶ ἐκεῖ φωνή, ἐνταῦθα φωνή· ἀλλν ὁ μὲν ἐπείθετο, οἱ δὲ ἀντέλεγον. Καὶ οὐχὶ φωνὴ μόνον, ἀλλὰ καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς. Ἐπειδὴ γὰρ ἐβάπτιζε μὲν Ἰωάννης, ἐβαπτίζετο δὲ ὁ Χριστός, ἵνα μὴ τῷ ἀνθρωπίνῳ σχήματι προσέχοντες, τὸν βαπτίζοντα μείζονα τοῦ βαπτιζομένου εἶναι νομίσωσιν, ἦλθεν ἡ φωνὴ τοῦτον ἀπ' ἐκείνου διαιροῦσα. Καὶ ἐπειδὴ ἄδηλον ἦν περὶ τίνος ἔλεγεν ἡ φωνὴ ὅπερ ἔλεγεν, ἦλθε καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς, τὴν φωνὴν ἐπὶ τὴν κεφαλὴν ἕλκον τοῦ Χριστοῦ.

Ἀλλ' ὅμως καὶ διὰ φωνῆς αὐτὸν ἐκήρυξε, καὶ διὰ τοῦ Πνεύματος ἔδειξε, καὶ μετὰ τοῦτο καὶ Ἰωάννης ἐβόα, ὅτι «οὐκ εἰμὶ ἱκανὸς αὐτοῦ λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος»· καὶ μυρία ἕτερα καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων μαρτύρια ἐγένετο, καὶ πρὸς ἅπαντα ἀπετυφλώθησαν· μᾶλλον δὲ πάντα μὲν συνεώρων, οὐδενὶ δὲ τῶν λεγομένων, οὐδὲ τῶν πραττομένων ἐπείθοντο, τῇ μανίᾳ τῆς παρὰ τῶν πολλῶν δόξης προκατειλημμένοι τὴν διάνοιαν. Ὅπερ οὖν καὶ ὁ εὐαγγελιστής φησιν, ὅτι πολλοὶ τῶν Ἰουδαίων ἐπίστευσαν εἰς αὐτόν, διὰ δὲ τοὺς ἄρχοντας οὐχ

33. Ματθ. 3,17 καὶ 27,63.

34. Λουκᾶ 3,16.

ἀκριβῶς καὶ στὴ σωτηρία ὅλων τῶν ἄλλων ἀνθρώπων, ἀλλ' ὅμως δὲν τοῦ στέρησε τὰ κατορθώματά του καὶ τοὺς ἐξ αἰτίας τῆς βούλησής του ἐπαίνους καὶ οὔτε κατέστρεψε τὸ αὐτεξούσιό του, ἀλλὰ μὲ τὴ θέλησή του προσῆλθε αὐτὸς καὶ ἀπὸ δική του εὐγνωμοσύνη, θὰ σᾶς τὸ καταστήσω φανερὸ ἀπὸ ἄλλο παράδειγμα.

Ἄκουσαν οἱ Ἰουδαῖοι μία φωνὴ νὰ κατεβαίνει ἀπὸ τὸν οὐρανό, ὄχι τοῦ Υἱοῦ, ἀλλὰ τοῦ Πατέρα, νὰ λέγει γιὰ τὸ Χριστὸ στὰ νερὰ τοῦ Ἰορδάνη, «αὐτὸς εἶναι ὁ Υἱός μου ὁ ἀγαπητὸς» καὶ λέγουν ἐκεῖνοι, «αὐτὸς εἶναι ὁ λαοπλάνος»[33]. Εἶδες φανερὸ πόλεμο; εἶδες ὁλοφάνερη μάχη; εἶδες ὅτι παντοῦ χρειάζεται εὐγνωμοσύνη καὶ ἀμερόληπτη ψυχὴ καὶ ὄχι ὑποδουλωμένη στὸ πάθος; Νά, καὶ ἐκεῖ φωνή, καὶ ἐδῶ φωνή· ἀλλ' ἐκεῖνος πίστευε, ἐνῶ αὐτοὶ εἶχαν ἀντιρρήσεις. Καὶ ὄχι μόνο φωνή, ἀλλὰ καὶ τὸ ἅγιο Πνεῦμα παρουσιάζεται σὰν περιστέρι. Ἐπειδὴ δηλαδὴ βάπτιζε ὁ Ἰωάννης καὶ ὁ βαπτιζόμενος ἦταν ὁ Χριστός, γιὰ νὰ μὴ συμβεῖ, προσέχοντας τὸ ἀνθρώπινο σχῆμα, νὰ νομίσουν πὼς αὐτὸς ποὺ βαπτίζει εἶναι μεγαλύτερος ἀπὸ τὸ βαπτιζόμενο, ἦρθε ἡ φωνὴ ξεχωρίζοντας αὐτὸν ἀπὸ ἐκεῖνον. Καὶ ἐπειδὴ δὲν ἦταν φανερὸ γιὰ ποιόν ἡ φωνὴ ἔλεγε αὐτὸ ποὺ ἔλεγε, ἦρθε καὶ τὸ ἅγιο Πνεῦμα σὰν περιστέρι, ἕλκοντας τὴ φωνὴ ἐπάνω στὸ κεφάλι τοῦ Χριστοῦ.

Ἀλλ' ὅμως καὶ μὲ τὴ φωνὴ κήρυξε αὐτὸν καὶ μὲ τὸ Πνεῦμα τὸν ἔδειξε καὶ ὕστερα ἀπ' αὐτὸ καὶ ὁ Ἰωάννης φώναζε, «δὲν εἶμαι ἄξιος νὰ λύσω τὸ λουρὶ ἀπὸ τὰ ὑποδήματά του»[34], καὶ ἄπειρες ἄλλες ἀποδείξεις ἔγιναν καὶ μὲ λόγια καὶ μὲ ἔργα, καὶ σὲ ὅλες τυφλώθηκαν τελείως· ἢ καλύτερα ὅλες τὶς ἔβλεπαν καλά, ἀλλὰ δὲν πίστευαν σὲ κανένα ἀπὸ τὰ λόγια οὔτε ἀπὸ τὰ ἔργα, ἐπειδὴ ἡ διάνοιά τους ἦταν ὑποδουλωμένη στὴ μανία τῆς δόξας ἀπὸ τοὺς πολλούς. Αὐτὸ ἀκριβῶς λέγει καὶ ὁ εὐαγγελιστής, ὅτι δηλαδὴ πολλοὶ ἀπὸ τοὺς Ἰουδαίους πίστεψαν σ' αὐ-

ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται. Καὶ αὐτὸς δὲ ὁ Χριστὸς ἔλεγε, «πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες;»

Ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ἀλλὰ μιᾶς μόνης ἀκούσας φωνῆς αὐτοῦ τοῦ διωκομένου, εὐθέως προσέδραμεν, εὐθέως ὑπήκουσε, καὶ πολλὴν ἐπεδείξατο τὴν μεταβολήν. Εἰ δὲ μὴ ἀπεκάμετε τῷ μήκει τῶν εἰρημένων, ἔτι εἰς ἐγγύτερον παράδειγμα ἄγω τὸν λόγον. Καὶ γὰρ καὶ τοῦ Υἱοῦ ἤκουσαν, καὶ οὕτως ἤκουσαν ὡς Παῦλος ἤκουσε, καὶ οὐδὲ οὕτως ἐπίστευσαν. Καθάπερ γὰρ Παῦλος ὅτε ἐμαίνετο, ὅτε ἠγριαίνετο, ὅτε ἐπολέμει τοῖς μαθηταῖς, ἤκουσε τῆς φωνῆς, οὕτω καὶ Ἰουδαῖοι. Ποῦ, καὶ πότε; Ἐξῆλθον ἐν τῇ νυκτὶ μετὰ φανῶν καὶ λαμπάδων εἰς τὴν σύλληψιν αὐτοῦ· ἐνόμιζον γὰρ ἀνθρώπῳ ψιλῷ ἐπιτίθεσθαι. Βουλόμενος τοίνυν αὐτοὺς διδάξαι τὴν δύναμιν τὴν ἑαυτοῦ, καὶ ὅτι Θεός ἐστι, καὶ πρὸς κέντρα λακτίζουσι, λέγει αὐτοῖς, «τίνα ζητεῖτε;».

Ἔμπροσθεν αὐτοῦ καὶ πλησίον εἱστήκεισαν καὶ οὐχ ἑώρων αὐτόν· ἀλλ' αὐτὸς ὁ ζητούμενος αὐτοὺς ἐχειραγώγει πρὸς τὴν εὕρεσιν τὴν ἑαυτοῦ, ὅτι, εἰ μὴ ἐβούλετο συγχωρῆσαι, οὐκ ἂν περιεγένοντο. Πῶς γάρ, οἱ μηδὲ εὑρεῖν αὐτὸν δυνηθέντες; Τί λέγω εὑρεῖν αὐτὸν μὴ δυνηθέντες; Ἀλλ' οὔτε ἰδεῖν αὐτὸν παρόντα ἴσχυσαν· οὐ μόνον δὲ παρόντα οὐκ ἴσχυσαν ἰδεῖν, ἀλλὰ καὶ ἐρωτῶντι ἀποκρινόμενοι, οὐδὲ οὕτως ᾔδεσαν ὅστις ποτὲ ἦν ὁ παρών· οὕτω μεθ' ὑπερβολῆς ἁπάσης ἀπετύφλωσεν αὐτῶν τοὺς ὀφθαλμούς. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὑπτίους ἔρριψεν

---

35. Βλ. Ἰω. 12,42.
36. Ἰω. 5,44.
37. Ἰω. 18,4.

τόν, ἀλλὰ δὲν ὁμολογοῦσαν τὴν πίστη τους ἐξ αἰτίας τῶν ἀρχόντων, γιὰ νὰ μὴν τοὺς διώξουν ἀπὸ τὴ συναγωγή[35]. Ἄλλωστε καὶ ὁ ἴδιος ὁ Χριστὸς ἔλεγε, «πῶς μπορεῖτε νὰ πιστεύετε ἐσεῖς ὅταν ζητᾶτε τὴ δόξα ὁ ἕνας τοῦ ἄλου καὶ δὲν ἐπιδιώκετε τὴ δόξα ἀπὸ τὸν μόνο Θεό;»[36].

Ὁ Παῦλος ὅμως δὲν ἔκαμε αὐτό, ἀλλὰ μόλις ἄκουσε μία μόνο φωνὴ ἀπ' αὐτὸν ποὺ καταδίωκε, ἀμέσως ἔτρεξε, ἀμέσως ὑπάκουσε καὶ ἔδειξε μεγάλη μεταβολή. Ἂν δὲν ἀποκάματε ἀπὸ τὸ μάκρος τῶν λεχθέντων, θὰ φέρω τὸ λόγο σ' ἕνα ἀκόμη πιὸ πλησιέστερο παράδειγμα. Γιατὶ βέβαια καὶ τὸν Υἱὸ ἄκουσαν, καὶ ἔτσι τὸν ἄκουσαν ὅπως τὸν ἄκουσε ὁ Παῦλος, καὶ σὲ καιρὸ τέτοιο τὸν ἄκουσαν ὅπως ὁ Παῦλος τὸν ἄκουσε, καὶ οὔτε ἔτσι πίστεψαν. Ὅπως δηλαδὴ ὁ Παῦλος, ὅταν μαινόταν, ὅταν ἐξαγριωνόταν, ὅταν πολεμοῦσε τοὺς μαθητές, ἄκουσε τὴ φωνή, ἔτσι καὶ οἱ Ἰουδαῖοι. Ποῦ καὶ πότε; Βγῆκαν μέσα στὴ νύχτα μὲ δαυλοὺς καὶ λυχνάρια γιὰ νὰ τὸν συλλάβουν, γιατὶ νόμιζαν πὼς ἐπιτίθενται σὲ ἁπλὸ ἄνθρωπο. Θέλοντας λοιπὸν νὰ τοὺς διδάξει τὴ δύναμή του, καὶ ὅτι εἶναι Θεός, καὶ ὅτι κλωτσοῦν σὲ καρφιά, λέγει σ' αὐτούς· «ποιόν ζητᾶτε;»[37].

Στέκονταν μπροστά του καὶ κοντά του καὶ δὲν τὸν ἔβλεπαν· ὁ ἴδιος ὅμως ὁ καταζητούμενος τοὺς ὁδηγοῦσε γιὰ νὰ τὸν βροῦν, γιὰ νὰ μάθουν πὼς δὲν ἔρχεται χωρὶς τὴ θέλησή του στὸ πάθος, πὼς ἂν δὲν ἤθελε νὰ τὸ ἐπιτρέψει δὲ θὰ μποροῦσαν νὰ τὸν συλλάβουν. Γιατὶ πῶς θὰ μποροῦσαν νὰ τὸν συλλάβουν ἐκεῖνοι ποὺ δὲν μποροῦσαν οὔτε νὰ τὸν βροῦν; Τί λέγω, δὲν μποροῦσαν νὰ τὸν βροῦν; Ἀλλ' οὔτε νὰ τὸν δοῦν μπόρεσαν παρ' ὅλο ποὺ ἦταν μπροστά τους. Καὶ ὄχι μόνο δὲν μπόρεσαν νὰ τὸν δοῦν ἐνῶ ἦταν μπροστά τους, ἀλλὰ καὶ ὅταν τοὺς ἐρωτοῦσε καὶ ἀπαντοῦσαν οὔτε ἔτσι γνώρισαν ποιός ἦταν αὐτὸς ποὺ βρισκόταν μποστά τους. Τόσο ὁλοκληρωτικὰ τοὺς τύφλωσε τὰ μάτια. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ τοὺς ἔρριξε ὕπτιους κάτω μὲ τὴ

αὐτοὺς τῇ φωνῇ· εἰπόντος γάρ, «τίνα ζητεῖτε;», ἀπῆλθον πάντες εἰς τὰ ὀπίσω ἀπὸ τῆς φωνῆς ταύτης.

Ὥσπερ γὰρ τὸν Παῦλον ἡ φωνὴ κατέβαλε καὶ πρηνῆ κεῖσθαι ἐποίησεν, οὕτω καὶ τούτους ἡ φωνὴ πάντας ἔρριψεν ὑπτίους· καὶ ὥσπερ οὗτος οὐκ ἔβλεπε τὸν διωκόμενον ὑπ' αὐτοῦ, οὕτως ἐκεῖνοι οὐκ ἔβλεπον τὸν ζητούμενον ὑπ' αὐτῶν· ὥσπερ οὗτος ἐν τῷ καιρῷ τῆς μανίας ἀπετυφλώθη, κἀκεῖνοι ἐν αὐτῷ τῷ καιρῷ τῆς μανίας ἀπετυφλώθησαν. Καὶ γὰρ ἐκεῖνος, ὅτε ἐπορεύετο δῆσαι τοὺς μαθητάς, καὶ οὗτοι, ὅτε ἐξῆλθον δῆσαι τὸν Χριστόν, ταὐτὰ ἔπαθον. Καὶ ἐκεῖ δεσμά, καὶ ἐνταῦθα δεσμά· καὶ ἐκεῖ δίωξις, καὶ ἐνταῦθα δίωξις· καὶ ἐκεῖ πήρωσις, καὶ ἐνταῦθα πήρωσις· καὶ ἐκεῖ φωνή, καὶ ἐνταῦθα φωνή· καὶ ὁμοία τῆς τοῦ Χριστοῦ δυνάμεως ἡ ἔνδειξις, ὅμοια τὰ φάρμακα, ἀλλ' οὐχ ὁμοία ἡ διόρθωσις· οἱ γὰρ κάμνοντες πολλὴν εἶχον διαφοράν. Τί γὰρ ἀναισθητότερον, τί δὲ ἀγνωμονέστερον ἐκείνων; Ἔπεσον ὀπίσω, καὶ πάλιν ἀνέστησαν, καὶ πάλιν ἐπέθεντο. Ἆρα τῶν λίθων οὐκ ἦσαν ἀναισθητότεροι;

Καὶ ἵνα μάθωσιν, ὅτι οὗτός ἐστιν ὁ εἰπὼν αὐτοῖς, «τίνα ζητεῖτε;» καὶ ῥίψας ὀπίσω αὐτούς, λέγει αὐτοῖς πάλιν, ὅτε ἀνέστησαν, «τίνα ζητεῖτε;», καὶ λέγουσιν, «Ἰησοῦν»· λέγει αὐτοῖς, «εἶπον ὑμῖν, ὅτι ἐγώ εἰμι»· μονονουχὶ λέγων, μάθετε ὅτι καὶ πρὸ τούτου εἰπών, «τίνα ζητεῖτε;» καὶ ῥίψας ὑμᾶς, ἐγώ εἰμι. Ἀλλ' οὐδὲν πλέον ἐκ τούτου ἐγένετο, ἀλλ' ἔμειναν ἐπὶ τῆς αὐτῶν πωρώσεως. Ταῦτ' οὖν ἅπαντα ἐκ παραλλήλου συγκρίνων, μάνθανε ἀκριβῶς, ὅτι οὐκ ἐξ ἀνάγκης προσῆλθε Παῦλος, ἀλλ' ἀπὸ ψυχῆς εὐγνώμονος καὶ ἀδεκάστου συνειδότος.

6. *Εἰ δὲ καρτερεῖτε καὶ ὑπομένετε, ἕτερον ἐγγύτερον τούτου λέγω πάλιν, ἀναντίρρητον ἔχον ἀπόδειξιν τοῦ μὴ κατ' ἀνάγκην*

---

38. Ἰω. 18,4–5.

φωνή του· γιατί, ὅταν τοὺς εἶπε «ποιόν ζητᾶτε», ὀπισθοχώρησαν ὅλοι ἀπὸ τὴ φωνὴ αὐτή.

Ὅπως λοιπὸν ἡ φωνὴ ἔρριξε κάτω τὸν Παῦλο καὶ τὸν ἔκαμε νὰ πέσει πρηνής, ἔτσι καὶ αὐτοὺς ἡ φωνὴ τοὺς ἔρριξε ὅλους ὕπτιους κάτω. Καὶ ὅπως αὐτὸς δὲν ἔβλεπε τὸν καταδιωκόμενο ἀπ' αὐτόν, ἔτσι ἐκεῖνοι δὲν ἔβλεπαν τὸν καταζητούμενο ἀπ' αὐτούς. Ὅπως ἀκριβῶς αὐτὸς τυφλώθηκε τελείως τὸν καιρὸ τῆς μανίας του, καὶ ἐκεῖνοι τὸν ἴδιο καιρὸ τῆς μανίας τους τυφλώθηκαν. Γιατὶ καὶ ἐκεῖνος ὅταν πήγαινε νὰ δέσει τοὺς μαθητές, καὶ αὐτοὶ ὅταν βγῆκαν νὰ δέσουν τὸ Χριστό, ἔπαθαν τὰ ἴδια. Καὶ ἐκεῖ δεσμά, καὶ ἐδῶ δεσμά· καὶ ἐκεῖ καταδίωξη, καὶ ἐδῶ καταδίωξη· καὶ ἐκεῖ τύφλωση, καὶ ἐδῶ τύφλωση· καὶ ἐκεῖ φωνή, καὶ ἐδῶ φωνή· καὶ ὅμοια ἡ ἀπόδειξη τῆς δύναμης τοῦ Χριστοῦ, ὅμοια τὰ φάρμακα, ἀλλ' ὄχι ὅμοια ἡ διόρθωση, γιατὶ οἱ ἄρρωστοι εἶχαν μεγάλη διαφορά. Γιατὶ τί πιὸ ἀναίσθητο καὶ τί πιὸ ἀχάριστο ἀπὸ ἐκείνους; Ἔπεσαν πρὸς τὰ πίσω, καὶ πάλι σηκώθηκαν, καὶ πάλι ἐπιτέθηκαν. Ἄραγε δὲν ἦταν περισσότερο ἀναίσθητοι καὶ ἀπὸ τὶς πέτρες;

Καὶ γιὰ νὰ μάθουν, ὅτι αὐτὸς εἶναι ἐκεῖνος ποὺ τοὺς εἶπε, «ποιόν ζητᾶτε;» καὶ τοὺς ἔρριξε πρὸς τὰ πίσω, λέγει πάλι σ' αὐτοὺς ὅταν σηκώθηκαν, «ποιόν ζητᾶτε;» καὶ λέγουν, «τὸν Ἰησοῦ»· τοὺς λέγει, «σᾶς εἶπα ὅτι ἐγὼ εἶμαι»[38]. Σὰν νὰ τοὺς ἔλεγε· μάθετε ὅτι καὶ αὐτὸς ποὺ σᾶς εἶπε πρὶν ἀπ' αὐτὸ «ποιόν ζητᾶτε;» καὶ αὐτὸς ποὺ σᾶς ἔρριξε κάτω εἶμαι ἐγώ. Τίποτε ὅμως περισσότερο δὲν ἔγινε ἀπ' αὐτό, ἀλλὰ παρέμειναν στὴν τύφλωσή τους. Συγκρίνοντας λοιπὸν παράλληλα ὅλα αὐτά, μάθαινε μὲ ἀκρίβεια ὅτι ὁ Παῦλος δὲν προσῆλθε στὸν Χριστὸ ἀπὸ ἐξαναγκασμό, ἀλλὰ ἀπὸ ψυχὴ ποὺ ἀναγνωρίζει τὴν εὐεργεσία καὶ ἀμερόληπτη συνείδηση.

6. Ἂν ὅμως ἔχετε ἀντοχὴ καὶ ὑπομονή, θὰ σᾶς πῶ πάλι ἕνα ἄλλο παράδειγμα πλησιέστερο αὐτοῦ, ποὺ ἔχει ἀναντίρρητη

τὸν Παῦλον προσεληλυθέναι τῷ Κυρίῳ. Ἦλθεν εἰς τὴν Σαλαμῖνα τῆς Κύπρου μετὰ ταῦτα ὁ Παῦλος, καὶ εὗρεν ἐκεῖ μάγον τινὰ ἀνθιστάμενον τῷ ὑπάτῳ Σεργίῳ. Ὁ δὲ Παῦλος πλησθεὶς Πνεύματος ἁγίου εἶπε πρὸς αὐτόν, «ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας;». Ταῦτα ὁ διώκτης. Δοξάσωμεν τοίνυν τὸν μεταβαλόντα αὐτόν. Πρὸ τούτου ἠκούετε ὅτι ἐλυμαίνετο τὴν Ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας, παρεδίδου εἰς φυλακήν.

Ὁρᾶτε πῶς παρρησιάζεται νῦν ὑπὲρ τοῦ κηρύγματος; Οὐ παύσῃ διαστρέφων», φησί, «τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας; Καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων ἕως καιροῦ». Τὸ φάρμακον τὸ ποιῆσαν αὐτὸν ἀναβλέψαι, τοῦτο ἐπέθηκε καὶ τῷ μάγῳ, ἀλλ' ἔμεινεν ἐπὶ τῆς πηρώσεως ἐκεῖνος· ἵνα μάθῃς ὅτι οὐχ ἡ κλῆσις μόνον προσήγαγε τὸν Παῦλον, ἀλλὰ καὶ ἡ αὐτοῦ ἐκείνου προαίρεσις. Εἰ γὰρ ἡ πήρωσις μόνη τοῦτο ἐποίησεν, ἐχρῆν καὶ ἐπὶ τοῦ μάγου τὸ αὐτὸ γενέσθαι· ἀλλ' οὐκ ἐγένετο. Ἀλλ' ἐκεῖνος μὲν ἐπηροῦτο, ὁ δὲ ἀνθύπατος ἰδὼν τὸ γεγενημένον ἐπίστευσεν. Ἄλλος ἐδέξατο τὸ φάρμακον, καὶ ἄλλος ἀνέβλεψεν. Εἴδετε πόσον ἐστὶν εὐγνωμοσύνη διανοίας, πόσον ἐστὶν ἀπείθεια καὶ σκληροκαρδία. Ἐγένετο πηρὸς ὁ μάγος· κἀκεῖνος μὲν οὐδὲν ἀπώνατο, ἀπειθὴς γὰρ ἦν, ἔγνω δὲ τὸν Χριστὸν ἀνθύπατος.

Ἀλλ' ὅτε μὲν ἑκὼν καὶ ἐκ προαιρέσεως προσῆλθεν ὁ Παῦλος, ἱκανῶς ἀποδέδεικται. Βούλομαι δὲ τοῦτον ὑμᾶς ἀκριβῶς εἰδέναι τὸν λόγον, ὅτι μὴ βουλομένους οὐ βιάζεται ὁ Θεός, ἀλλὰ βουλομένους ἕλκει. Διὰ τοῦτο γάρ φησιν· «οὐδεὶς ἔρχεται

---

39. Πράξ. 13,10.
40. Πράξ. 13,11.
41. Πράξ. 9,17.
42. Γιὰ τὸ ἐπεισόδιο βλ. Πράξ. 13,4–12.

ἀπόδειξη γιὰ τὸ ὅτι δὲν προσῆλθε ὁ Παῦλος ἀπὸ ἐξαναγκασμὸ στὸν Κύριο. Ἦρθε στὴ Σαλαμίνα τῆς Κύπρου ἀργότερα ὁ Παῦλος καὶ βρῆκε ἐκεῖ κάποιο μάγο ποὺ ἀντιστεκόταν στὸν ὕπατο Σέργιο. Ὁ Παῦλος τότε ἀφοῦ πλημμύρισε ἀπὸ τὸ ἅγιο Πνεῦμα εἶπε σ' αὐτόν, «ἐσὺ ποὺ εἶσαι γεμάτος ἀπὸ κάθε πονηριὰ καὶ κάθε ραδιουργία, υἱὲ τοῦ διαβόλου, δὲ θὰ σταματήσεις νὰ διαστρεβλώνεις τοὺς εὐθεῖς δρόμους τοῦ Κυρίου;»[39]. Αὐτὰ τὰ εἶπε ὁ διώκτης. Ἂς δοξάσουμε λοιπὸν αὐτὸν ποὺ τὸν ἄλλαξε. Πρὶν ἀπ' αὐτὸ ἀκούγατε ὅτι ρήμαζε τὴν Ἐκκλησία, ἔμπαινε μὲ τὴ βία στὰ σπίτια, ἔσερνε ἔξω ἄνδρες καὶ γυναῖκες καὶ τοὺς ἔρριχνε στὴ φυλακή.

Βλέπετε πῶς μιλάει μὲ θάρρος τώρα γιὰ τὸ κήρυγμα. «Δὲ θὰ σταματήσεις», λέγει, «νὰ διαστρεβλώνεις τοὺς εὐθεῖς δρόμους τοῦ Κυρίου; Καὶ τώρα νά, τὸ χέρι τοῦ Κυρίου θὰ πέσει ἐπάνω σου καὶ θὰ τυφλωθεῖς καὶ γιὰ ἕνα διάστημα δὲ θὰ βλέπεις»[40]. Τὸ φάρμακο ποὺ τὸν ἔκαμε νὰ ξαναδεῖ[41], αὐτὸ χρησιμοποίησε καὶ γιὰ τὸ μάγο, ἀλλ' ἐκεῖνος ἔμεινε στὴν τύφλωση, γιὰ νὰ μάθεις πὼς ὄχι μόνο ἡ κλήση ἔφερε στὴν πίστη τὸν Παῦλο, ἀλλὰ καὶ ἡ δική του θέληση. Γιατί, ἂν ἡ τύφλωση μόνο τὸ ἔκαμε τοῦτο, ἔπρεπε καὶ στὴν περίπτωση τοῦ μάγου νὰ γίνει τὸ ἴδιο· πράγμα ὅμως ποὺ δὲν ἔγινε. Ἀλλ' ἐκεῖνος βέβαια τυφλωνόταν, ἐνῶ ὁ ἀνθύπατος, ἀφοῦ εἶδε τὸ γεγονὸς αὐτό, πίστεψε. Ἄλλος δέχθηκε τὸ φάρμακο, καὶ ἄλλος βρῆκε τὸ φῶς του. Εἴδατε πόσο μεγάλο πράγμα εἶναι ἡ εὐγνωμοσύνη τῆς ψυχῆς καὶ πόσο κακὸ εἶναι ἡ ἀπείθεια καὶ ἡ σκληροκαρδία. Ἔγινε τυφλὸς ὁ μάγος· καὶ ἐκεῖνος βέβαια δὲν κέρδισε τίποτε, γιατὶ ἦταν ἀπειθής, γνώρισε ὅμως τὸ Χριστὸ ὁ ἀνθύπατος[42].

Ἀλλ' ὅτι ὁ Παῦλος προσῆλθε μὲ τὴ θέλησή του καὶ μὲ τὴ δική του ἐλεύθερη ἐκλογὴ ἔχει ἀποδειχθεῖ ἀρκετά. Θέλω ὅμως νὰ γνωρίσετε καλὰ αὐτὸν τὸ λόγο, ὅτι δηλαδὴ ὁ Θεὸς δὲν ἐξαναγκάζει τοὺς ἀνθρώπους ὅταν δὲ θέλουν, ἀλλὰ τοὺς τραβάει

πρός μέ, ἂν μὴ ὁ Πατήρ μου ἑλκύσῃ αὐτόν». Ὁ δὲ ἕλκων, τὸν βουλόμενον ἕλκει, τὸν κάτω κείμενον καὶ χεῖρα ὀρέγοντα. Καὶ ἵνα μάθητε ὅτι οὐδένα βιάζεται, ἀλλ' ἐὰν αὐτὸς θέλῃ, ἡμεῖς δὲ μὴ θέλωμεν, διαπίπτει τὰ τῆς σωτηρίας ἡμῶν, οὐκ ἐπειδὴ ἀσθενὲς αὐτοῦ τὸ βούλημα, ἀλλ' ἐπειδὴ ἀναγκάσαι οὐδένα θέλει, ἀναγκαῖον τοῦτον ἐξετάσαι τὸν λόγον, ἐπειδὴ πολλοὶ πολλάκις προφάσει ῥᾳθυμίας, τούτῳ κέχρηνται τῷ προσχήματι τῆς ἀπολογίας, καὶ παρακαλούμενοι πολλάκις ἐπὶ φώτισμα, ἐπὶ πολιτείας ἀρίστης μεταβολήν, ἐφ' ἕτερα τοιαῦτα κατορθώματα, εἶτα καὶ ὡς ὀκνοῦντες καὶ ἀναδυόμενοι τοῦτο ἀποκρίνονται, ὅτι 'ἐὰν θέλῃ ὁ Θεός, πείσει με, καὶ μεταθήσομαι'.

Καὶ οὐκ ἐγκαλῶ μὲν αὐτοῖς, ἀλλὰ καὶ σφόδρα ἀποδέχομαι, ὅτι καταφεύγουσιν ἐπὶ τὴν βουλὴν τοῦ Θεοῦ· βούλομαι δὲ καὶ τὰ παρ' ἑαυτῶν εἰσφέρειν, καὶ οὕτω λέγειν, 'ἐὰν θέλῃ ὁ Θεός'. Ἂν γὰρ σαυτὸν ὕπνῳ καὶ ῥᾳθυμίᾳ παραδούς, μὴ ἐγχειρῇς μὲν ταῖς ἀγαθαῖς πράξεσι, τὸ δὲ τοῦ Θεοῦ θέλημα προβάλλῃ μόνον, οὐδέποτέ σοι οὐδὲν ἔσται τῶν δεόντων. Ὅπερ γὰρ ἔφην, ἀνάγκῃ καὶ βίᾳ οὐδένα προσάγεταί ποτε ὁ Θεός· ἀλλὰ θέλει μὲν ἅπαντας σωθῆναι, οὐκ ἀναγκάζει δὲ οὐδένα· καθὼς καὶ Παῦλός φησιν, «ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν». Πῶς οὖν οὐχ ἅπαντες σώζονται, εἰ θέλει πάντας σωθῆναι; Ἐπειδὴ οὐχ ἁπάντων τὸ θέλημα τῷ θελήματι αὐτοῦ ἕπεται, αὐτὸς δὲ οὐδένα βιάζεται. Οὕτω καὶ πρὸς τὴν Ἱερουσαλὴμ φησιν· «Ἱερουσαλήμ, Ἱερουσαλήμ, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε;». Τί οὖν; «Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος».

43. Ἰω. 6,44.
44. Α' Τιμ. 2,4.
45. Λουκᾶ 13,34–35.

ὅταν θέλουν. Καὶ γι' αὐτὸ λέγει· «κανεὶς δὲν μπορεῖ νὰ ἔρθει κοντά μου, ἂν δὲν τὸν τραβήξει ὁ Πατέρας μου»[43]. Ἐκεῖνος ὅμως ποὺ τραβάει, τραβάει αὐτὸν ποὺ τὸ θέλει, αὐτὸν ποὺ βρίσκεται κάτω καὶ ἁπλώνει χέρι βοήθειας. Καὶ γιὰ νὰ μάθετε ὅτι δὲν ἐξαναγκάζει κανένα, ἀλλ' ἂν αὐτὸς θέλει καὶ ἐμεῖς δὲ θέλουμε, χάνεται ἡ σωτηρία μας, ὄχι γιατὶ εἶναι ἀνίσχυρη ἡ θέλησή του, ἀλλὰ γιατὶ δὲ θέλει νὰ ἐξαναγκάσει κανένα, εἶναι ἀνάγκη νὰ ἐξετάσουμε αὐτὸν τὸ λόγο, ἐπειδὴ πολλοὶ μὲ πρόφαση τὴν ἀδιαφορία τους χρησιμοποιοῦν πολλὲς φορὲς αὐτὸ τὸ πρόσχημα τῆς ἀπολογίας, καὶ ὅταν καλοῦνται πολλὲς φορὲς γιὰ βάπτισμα, γιὰ μεταβολὴ πρὸς ἄριστο τρόπο ζωῆς, καὶ γιὰ ἄλλα τέτοια κατορθώματα, αὐτοὶ τότε καὶ ἐπειδὴ διστάζουν καὶ ἐπειδὴ ἀρνοῦνται ἀπαντοῦν αὐτό, 'ἂν θελει ὁ Θεός, θὰ μὲ πείσει καὶ θ' ἀλλάξω'.

Καὶ δὲν τοὺς κατηγορῶ αὐτούς, ἀλλὰ καὶ τοὺς ἀποδέχομαι πάρα πολύ, γιατὶ καταφεύγουν στὴ θέληση τοῦ Θεοῦ. Θέλω ὅμως νὰ προσφέρουν καὶ τὰ δικά τους, καὶ τότε νὰ λέγουν, 'ἂν θέλει ὁ Θεός'. Γιατί, ἂν παραδώσεις τὸν ἑαυτό σου στὸν ὕπνο καὶ τὴν ἀδιαφορία καὶ δὲν ἐπιχειρεῖς ἀγαθὰ ἔργα, ἀλλὰ προφασίζεσαι μόνο τὸ θέλημα τõ Θεοῦ, ποτὲ δὲ θὰ συμβεῖ σὲ σένα κάτι ἀπὸ τὰ ἀναγκαῖα. Γιατί, ὅπως εἶπα, ὁ Θεὸς ποτὲ δὲ φέρνει κανένα κοντά του μὲ ἐξαναγκασμὸ καὶ βία, ἀλλὰ θέλει βέβαια νὰ σωθοῦν ὅλοι, δὲν ἀναγκάζει ὅμως κανέναν, ὅπως καὶ ὁ Παῦλος λέγει, «ὁ Θεὸς θέλει νὰ σωθοῦν ὅλοι οἱ ἄνθρωποι καὶ νὰ γνωρίσουν σὲ βάθος τὴν ἀλήθεια»[44]. Πῶς λοιπὸν δὲ σώζονται ὅλοι ἂν θέλει νὰ σωθοῦν ὅλοι; Ἐπειδὴ τὸ θέλημα ὅλων δὲν ἀκολουθεῖ τὸ δικό του θέλημα καὶ αὐτὸς δὲν ἐξαναγκάζει κανέναν. Ἔτσι καὶ στὴν Ἰερουσαλὴμ λέγει· «Ἰερουσαλήμ, Ἰερουσαλήμ, πόσες φορὲς θέλησα νὰ μαζέψω τὰ παιδιά σου, καὶ σεῖς δὲν τὸ θελήσατε;». Τί λοιπόν; «Νά, θὰ ἐρημωθεῖ ὁ τόπος σας»[45].

Ὁρᾷς ὅτι, κἂν θέλῃ ὁ Θεὸς σῶσαι, ἡμεῖς δὲ ἑαυτοὺς μὴ ἐπιδῶμεν, μένομεν ἐπὶ τῆς ἀπωλείας; Οὐ γὰρ ἄκοντα, οὐδὲ μὴ βουλόμενον, ὅπερ λέγω πολλάκις, ἀλλ᾽ ἑκόντα καὶ προαιρούμενον παρεσκεύασται σώζειν ὁ Θεὸς τὸν ἄνθρωπον. Ἄνθρωποι μὲν γὰρ καὶ ἑκόντων καὶ ἀκόντων τῶν οἰκετῶν βούλονται εἶναι καὶ δεσπόζειν· οὐ πρὸς τὸ τοῖς οἰκέταις συμφέρον, ἀλλὰ πρὸς τὴν οἰκείαν χρείαν ὁρῶντες αὐτῶν δεσπόζουσιν· ὁ Θεὸς ἀνενδεὴς ὤν, καὶ βουλόμενός σοι δεῖξαι, ὅτι οὐδενὸς τῶν ἡμετέρων δεόμενος, τῆς δουλείας ἡμῶν ἐφίεται, ἀλλ᾽ εἰς ἓν μόνον σκοπῶν τὸ συμφέρον ἡμῖν, καὶ οὐ τῆς αὐτοῦ χρείας ἕνεκεν, ἀλλὰ τῆς ἡμετέρας ὠφελείας ἅπαντα πράττει, ἂν μὲν ἑκόντες καὶ βουλόμενοι καὶ χάριν αὐτῷ τῆς δουλείας εἰδότες ᾧ προσέλθωμεν· ἄκοντας καὶ ἀποπηδῶντας οὐκ ἀναγκάζει, οὐδὲ βιάζεται, αὐτὸ τοῦτο δεικνύς, ὅτι οὐκ αὐτὸς ἡμῖν χάριν τῆς δουλείας, ἀλλ᾽ ἡμεῖς αὐτῷ χάριν τῆς δεσποτείας ἔχειν ὀφείλομεν.

Ταῦτ᾽ οὖν εἰδότες καὶ τὴν τοῦ Δεσπότου φιλανθρωπίαν ἐννοοῦντες, ἀξίαν αὐτοῦ τῆς ἀγαθότητος κατὰ δύναμιν τὴν ἡμετέραν πολιτείαν ἐπιδειξώμεθα, ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Βλέπεις ὅτι, καὶ ἂν ἀκόμη θέλει ὁ Θεὸς νὰ μᾶς σώσει, ἀλλὰ δὲν τοῦ ἐμπιστευόμαστε ἐμεῖς τὸν ἑαυτό μας, μένουμε στὴν ἀπώλεια; Γιατὶ ὁ Θεός, πράγμα ποὺ πολλὲς φορὲς λέγω, ἔχει ὁρίσει νὰ σώζει τὸν ἄνθρωπο ὄχι χωρὶς τὴ θέλησή του, οὔτε χωρὶς νὰ τὸ ἐπιθυμεῖ, ἀλλὰ μὲ τὴ θέλησή του καὶ τὴν ἐλεύθερη ἐκλογή του. Γιατὶ οἱ ἄνθρωποι θέλουν νὰ εἶναι κύριοι καὶ νὰ ἐξουσιάζουν τοὺς δούλους εἴτε τὸ θέλουν εἴτε δὲν τὸ θέλουν αὐτοί· τοὺς ἐξουσιάζουν δηλαδὴ ἀποβλέποντας ὄχι στὸ συμφέρον τῶν δούλων ἀλλὰ στὴ δική τους ἀνάγκη. Ὁ Θεὸς ὅμως, ἐπειδὴ δὲν ἔχει ἀνάγκες καὶ ἐπειδὴ θέλει νὰ σοῦ δείξει πὼς δὲ χρειάζεται τίποτε ἀπὸ τὰ δικά μας, ἐπιθυμεῖ τὴ δουλεία μας, ἀποσκοπώντας σ' ἕνα μόνο, στὸ δικό μας συμφέρον, καὶ ὄχι γιὰ τὴ δική του ἀνάγκη, ἀλλὰ γιὰ τὴ δική μας ὠφέλεια κάνει τὰ πάντα, ἂν βέβαια προσέλθουμε σ' αὐτὸν ἑκούσια καὶ θεληματικὰ καὶ ἀναγνωρίζοντας σ' αὐτὸν χάρη γιὰ τὴ δουλεία μας· ὅταν ὅμως δὲ θέλουμε καὶ ἀπομακρυνόμαστε δὲ μᾶς ἀναγκάζει, οὔτε μᾶς πιέζει, ἀποδεικνύοντας ἀκριβῶς αὐτό, ὅτι δηλαδὴ δὲ μᾶς χρωστάει αὐτὸς χάρη γιὰ τὴ δουλεία, ἀλλ' ἐμεῖς πρέπει νὰ τοῦ χρωστᾶμε χάρη γιὰ τὴν ἐξουσία του.

Γνωρίζοντας λοιπὸν αὐτὰ καὶ σκεπτόμενοι τὴ φιλανθρωπία τοῦ Κυρίου, ἂς δείξουμε συμπεριφορά, ὅσο μᾶς τὸ ἐπιτρέπουν οἱ δυνάμεις μας, ἀντάξια τῆς ἀγαθότητάς του, γιὰ νὰ ἐπιτύχουμε καὶ τὴ βασιλεία τῶν οὐρανῶν, τὴν ὁποία εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη καὶ συγχρόνως στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α

ΕΠΙΤΙΜΗΣΙΣ ΚΑΤΑ ΤΩΝ ΑΠΟΛΕΙΦΘΕΝΤΩΝ

Παραίνεσις πρὸς τοὺς παρόντας, εἰς τὸ κήδεσθαι τῶν ἀδελφῶν, καὶ εἰς τὸ προοίμιον τῆς πρὸς Κορινθίους ἐπιστολῆς, «Παῦλος κλητός», καὶ περὶ ταπεινοφροσύνης.

1. *Ὅταν εἰς τὴν ὀλιγότητα ἀπίδω τὴν ὑμετέραν καὶ τὸ ποίμνιον θεάσωμαι καθ' ἑκάστην σύναξιν ἐλαττούμενον, καὶ ἀθυμῶ καὶ χαίρω· χαίρω μὲν δι' ὑμᾶς τοὺς παρόντας, ἀθυμῶ δὲ δι' ἐκείνους τοὺς ἀπόντας. Ὑμεῖς μὲν γὰρ ἐπαίνων ἄξιοι, οὐδὲ ἀπὸ τῆς ὀλιγότητος ῥᾳθυμότεροι γενόμενοι· ἐκεῖνοι δὲ ὑπεύθυνοι ἐγκλημάτων, οὐδὲ ἀπὸ τῆς ὑμετέρας σπουδῆς εἰς προθυμίαν διεγειρόμενοι. Διὰ τοῦτο ὑμᾶς μὲν μακαρίζω καὶ ζηλωτοὺς εἶναι φημί, ὅτι οὐδὲν ὑμᾶς παρέβλεψεν ἡ ἐκείνων ὀλιγωρία· ἐκείνους δὲ ταλανίζω καὶ δακρύω, ὅτι οὐδὲν αὐτοὺς ὠφέλησεν ἡ ὑμετέρα σπουδή. Οὐκ ἤκουσαν γὰρ τοῦ προφήτου λέγοντος· «ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν».*

Οὐκ εἶπεν, 'ἐξελεξάμην κατοικεῖν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου', οὐδέ, 'διατρίβειν', οὐδέ, 'εἰσιέναι', ἀλλ', «ἐξελεξάμην παραρριπτεῖσθαι». Ἀγαπητόν μοι καὶ ἐν τοῖς ἐσχάτοις τετάχθαι· στέργω ἐν τούτῳ, κἂν τῶν προθύρων ἐπιβῆναι καταξιωθῶ,

1. Ψαλμ. 83,11.

ΟΜΙΛΙΑ

ΕΠΙΠΛΗΞΗ ΕΝΑΝΤΙΟΝ ΤΩΝ ΑΠΟΝΤΩΝ

Παραίνεση στοὺς παρόντες νὰ φροντίζουν γιὰ τοὺς ἀδελφούς, στὸ προοίμιο τῆς πρὸς Κορινθίους ἐπιστολῆς, «Παῦλος κλητός», καὶ περὶ ταπεινοφροσύνης

1. Ὅταν προσέξω τὸν μικρὸ ἀριθμό σας καὶ παρατηρήσω τὸ ποίμνιο νὰ ἐλαττώνεται σὲ κάθε σύναξη, τότε καὶ λυπᾶμαι καὶ χαίρομαι. Χαίρομαι βέβαια γιὰ σᾶς τοὺς παρόντες καὶ λυπᾶμαι γιὰ ἐκείνους τοὺς ἀπόντες. Γιατὶ ἐσεῖς εἶστε ἄξιοι γιὰ ἐπαίνους, ἀφοῦ δὲ γίνατε πιὸ ἀδιάφοροι ἀπὸ τὸν μικρὸ ἀριθμό σας, ἐνῶ ἐκεῖνοι εἶναι, ὑπόλογοι κατηγοριῶν, ἀφοῦ δὲν προθυμοποιοῦνται οὔτε ἀπὸ τὸ δικό σας ἐνδιαφέρον. Γι' αὐτὸ σᾶς μακαρίζω καὶ λέγω πὼς εἶστε ἀξιοθαύμαστοι, γιατὶ δὲ σᾶς ἔβλαψε καθόλου ἡ δική τους ἀμέλεια, ἐνῶ ἐκείνους τοὺς ταλανίζω καὶ τοὺς κλαίω, γιατὶ δὲν τοὺς ὠφέλησε καθόλου τὸ δικό σας ἐνδιαφέρον. Δὲν ἄκουσαν ἀσφαλῶς τὸν προφήτη ποὺ λέγει· «προτιμῶ νὰ εἶμαι παραπεταμένος στὸν οἶκο τοῦ Θεοῦ, παρὰ νὰ κατοικῶ σὲ σπίτια ἁμαρτωλῶν»[1].

Δὲν εἶπε, 'προτιμῶ νὰ κατοικῶ στὸν οἶκο τοῦ Θεοῦ μου', οὔτε 'νὰ ζῶ', οὔτε 'νὰ μπαίνω μέσα', ἀλλά, «προτιμῶ νὰ εἶμαι παραπεταμένος». Μοῦ εἶναι ἀγαπητὸ νὰ εἶμαι τοποθετημένος ἀκόμη καὶ ἀνάμεσα στοὺς τελευταίους, εἶμαι εὐχαριστημένος

φησίν· μεγίστην ἡγοῦμαι δωρεάν, κἄν με τῶν τελευταίων ἀριθμήσειέ τις ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου. Τὸν κοινὸν Δεσπότην ὁ πόθος ἴδιον ποιεῖται· τοιοῦτον γὰρ ἡ ἀγάπη. «Ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου». Ὁ φιλῶν οὐχὶ τὸν φιλούμενον μόνον ἐπιθυμεῖ ἰδεῖν, ἀλλὰ καὶ τὸν οἶκον ἐκείνου μόνον, ἀλλὰ καὶ τὸν πυλῶνα· οὐχὶ τὸν πυλῶνα τῆς οἰκίας μόνον, ἀλλὰ καὶ αὐτὸν τὸν στενωπὸν καὶ τὸ ἄμφοδον· καὶ κἂν ἱμάτιον, κἂν ὑπόδημα ἴδῃ τοῦ φιλουμένου, αὐτὸν νομίζει παρεῖναι τὸν φιλούμενον. Τοιοῦτοι ἦσαν οἱ προφῆται· ἐπειδὴ τὸν Θεὸν οὐχ ἑώρων τὸν ἀσώματον, ἑώρων τὸν οἶκον καὶ τοῦ οἴκου τὴν ἐκείνου παρουσίαν ἐφαντάζοντο.

«Ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν». Ἕκαστος τόπος, ἕκαστον χωρίον, πρὸς τὴν σύγκρισιν τοῦ οἴκου τοῦ Θεοῦ, σκήνωμα ἁμαρτωλῶν ἐστι, κἂν δικαστήριον εἴπῃς, κἂν βουλευτήριον, κἂν τὴν ἑκάστου οἰκίαν. Κἂν γὰρ εὐχαὶ γίνωνται ἐκεῖ, κἂν ἱκετηρίαι, ἀλλ' ἀνάγκη καὶ φιλονεικίας γίνεσθαι καὶ μάχας καὶ λοιδορίας καὶ συλλόγους ὑπὲρ βιωτικῶν φροντίδων· ὁ δὲ οἶκος οὗτος τούτων καθαρεύει πάντων· διὰ τοῦτο, ἐκεῖνα μὲν σκηνώματα ἁμαρτωλῶν, οὗτος δὲ οἶκος τοῦ Θεοῦ· καὶ καθάπερ λιμὴν πνευμάτων καὶ κυμάτων ἀπηλλαγμένος πολλὴν τοῖς ὁρμιζομένοις πλοίοις παρέχει τὴν ἀσφάλειαν, οὕτω δὴ καὶ ὁ τοῦ Θεοῦ οἶκος, ὥσπερ ἀπό τινος χειμῶνος τῶν ἔξωθεν πραγμάτων τοὺς εἰσιόντας ἐξαρπάζων, μετὰ πολλῆς παρέχει τῆς γαλήνης καὶ τῆς ἀσφαλείας ἑστάναι καὶ τῶν θείων ἀκροᾶσθαι λογίων.

Τοῦτο τὸ χωρίον ὑπόθεσίς ἐστιν ἀρετῆς, διδασκαλεῖον φιλοσοφίας· οὐκ ἐν συνάξει μόνον, ὅτε ἀκρόασις Γραφῶν καὶ διδασκαλία πνευματικὴ καὶ συνέδριον πατέρων αἰδεσίμων,

νὰ καταξιωθῶ νὰ πατήσω ἔστω καὶ στὰ πρόθυρα τοῦ ναοῦ, λέγει· θεωρῶ πολὺ μεγάλη δωρεὰ ἔστω καὶ ἂν μὲ ἀριθμήσει κανεὶς ἀπὸ τοὺς τελευταίους στὸν οἶκο τοῦ Θεοῦ μου. Ὁ μεγάλος πόθος κάμνει δικό του τὸν κοινὸ γιὰ ὅλους Κύριο· γιατὶ τέτοια εἶναι ἡ ἀγάπη. «Στὸν οἶκο τοῦ Θεοῦ μου». Ἐκεῖνος ποὺ ἀγαπάει δὲν ἐπιθυμεῖ νὰ δεῖ μόνο αὐτὸν ποὺ ἀγαπάει, ἀλλὰ καὶ τὸ σπίτι ἐκείνου μόνο, ἢ καὶ τὴν ἐξώπορτά του· καὶ ὄχι τὴν ἐξώπορτα τοῦ σπιτιοῦ μόνο, ἀλλὰ καὶ αὐτὸ τὸ στενὸ δρομάκι καὶ τὴ συνοικία· καὶ ἂν δεῖ ἔνδυμα ἢ ὑπόδημα ἐκείνου ποὺ ἀγαπάει, νομίζει πὼς παραβρίσκεται αὐτὸς ὁ ἴδιος ποὺ ἀγαπάει. Τέτοιοι ἦταν οἱ προφῆτες· ἐπειδὴ δὲν ἔβλεπαν τὸ Θεὸ τὸν ἀσώματο, ἔβλεπαν τὸ ναὸ καὶ μέσα ἀπὸ τὸ ναὸ φαντάζονταν τὴν παρουσία του.

«Προτιμῶ νὰ εἶμαι παραπεταμένος κάπου στὸν οἶκο τοῦ Θεοῦ μου, παρὰ νὰ κατοικῶ σὲ σπίτια ἁμαρτωλῶν». Κάθε τόπος, κάθε μέρος, σὲ σύγκριση μὲ τὸν οἶκο τοῦ Θεοῦ, εἶναι κατοικία ἁμαρτωλῶν, εἴτε δικαστήριο πεῖς, εἴτε βουλευτήριο, εἴτε τὸ σπίτι τοῦ καθενός. Γιατί, καὶ ἂν ἀκόμα γίνονται ἐκεῖ προσευχὲς ἢ ἱκεσίες, ἀναπόφευκτα ὅμως συμβαίνουν καὶ φιλονεικίες καὶ ἔριδες καὶ ὕβρεις καὶ συγκεντρώσεις γιὰ βιοτικὲς ὑποθέσεις, ἐνῶ ὁ οἶκος αὐτὸς εἶναι καθαρὸς ἀπ' ὅλα αὐτά. Γι' αὐτό, ἐκεῖνα εἶναι σπίτια ἁμαρτωλῶν ἀνθρώπων, ἐνῶ αὐτὸς οἶκος τοῦ Θεοῦ. Καὶ ὅπως ἕνα λιμάνι χωρὶς ἀνέμους καὶ κύματα παρέχει μεγάλη ἀσφάλεια στὰ πλοῖα ποὺ ἀγκυροβολοῦν ἐκεῖ, ἔτσι ἀκριβῶς καὶ ὁ οἶκος τοῦ Θεοῦ, σὰν ἀπὸ κάποια θύελλα ἐξαρπάζει ἀπὸ τὰ κοσμικὰ πράγματα ὅσους μπαίνουν σ' αὐτὸν καὶ τοὺς ἐπιτρέπει νὰ σταθοῦν μὲ μεγάλη γαλήνη καὶ ἀσφάλεια καὶ ν' ἀκοῦν τὰ θεῖα λόγια.

Αὐτὸς ὁ χῶρος εἶναι θεμέλιο ἀρετῆς, διδασκαλεῖο φιλοσοφίας. Ὄχι μόνο σὲ σύναξη, ὅταν γίνεται ἀκρόαση τῶν Γραφῶν καὶ διδασκαλία πνευματικὴ καὶ συγκέντρωση σεβαστῶν πατέρων, ἀλλὰ καὶ σ' ὅλο τὸν ὑπόλοιπο καιρό, πάτησε στὰ πρό-

ἀλλὰ καὶ ἐν παντὶ τῷ λοιπῷ καιρῷ, ἐπίβηθι τῶν προθύρων μόνον, καὶ εὐθέως ἀπέθου τὰς φροντίδας τὰς βιωτικάς. Εἴσελθε τῶν προθύρων εἴσω, καὶ καθάπερ αὔρα τις πνευματικὴ περιΐσταταί σου τὴν ψυχήν. Αὕτη ἡσυχία εἰς φρίκην ἄγει καὶ διδάσκει φιλοσοφεῖν· ἀνίστησι τὸ φρόνημα καὶ οὐκ ἀφίησι μεμνῆσθαι τῶν παρόντων, μεθίστησί σε ἀπὸ γῆς εἰς τὸν οὐρανόν. Εἰ δὲ χωρὶς συνάξεως τοσοῦτον τὸ κέρδος τῆς ἐνταῦθα παρουσίας, ὅταν προφῆται πάντοθεν βοῶσιν, ὅταν ἀπόστολοι εὐαγγελίζωνται, ὅταν ὁ Χριστὸς ἐν μέσῳ εἱστήκῃ, ὅταν Πατὴρ ἀποδέχηται τὰ γινόμενα, ὅταν Πνεῦμα ἅγιον παρέχῃ τὴν οἰκείαν ἀγαλλίασιν, πόσης μὲν ὠφελείας ἐμπλησθέντες οἱ παρόντες ἀπέρχονται; οἱ ἀπόντες δὲ πόσην ζημίαν ὑπομένουσιν;

Ἐβουλόμην εἰδέναι ποῦ διατρίβουσιν οἱ τῆς συνάξεως καταφρονήσαντες, τί κατέσχεν αὐτοὺς καὶ τῆς ἱερᾶς ταύτης τραπέζης ἀπήγαγε, περὶ τίνων ἡ διάλεξις. Μᾶλλον δὲ οἶδα σαφῶς· ἢ γὰρ περὶ ἀτόπων καὶ καταγελάστων πραγμάτων διαλέγονται, ἢ βιωτικαῖς εἰσι προσηλωμένοι φροντίσιν· ἀμφοτέρων δὲ ἡ διατριβὴ συγγνώμης ἀπεστέρηται καὶ κόλασιν ἔχει τὴν ἐσχάτην. Καὶ περὶ μὲν τῆς προτέρας οὐδὲ λόγου δεῖ, οὔτε ἀποδείξεως· ὅτι δὲ καὶ οἱ τὰ τῆς οἰκίας ἡμῖν προβαλόμενοι πράγματα καὶ τὴν ἀφόρητον ἐκεῖθεν ἀνάγκην λέγοντες, οὐδὲ οὗτοι δύνανται συγγνώμης τυχεῖν, ἅπαξ τῆς ἑβδομάδος ἐνταῦθα καλούμενοι καὶ οὐδὲ τότε ἀνεχόμενοι τὰ πνευματικὰ τῶν γηΐνων προτιμῆσαι πραγμάτων, ἀπὸ τῶν εὐαγγελίων δῆλον. Καὶ γὰρ οἱ κληθέντες ἐπὶ τὸν γάμον τὸν πνευματικόν, ταύτας προεβάλλοντο τὰς προφάσεις, ὁ μὲν ὅτι ζεῦγος ὠνήσατο, ὁ δὲ ὅτι ἀγρὸν ἐπριάσατο, ὁ δὲ ὅτι νύμφην ἠγάγετο, ἀλλ᾽ ἐκολάσθησαν ὅμως.

Ἀναγκαῖοι μὲν αἱ αἰτίαι· ἀλλ᾽ ὅταν ὁ Θεὸς καλῇ, ἀπολογίαν οὐκ ἔχουσι· μετὰ γὰρ τὸν Θεὸν ἡμῖν πάντα ἀναγκαῖα. Μετὰ

---

2. Βλ. Λουκᾶ 14,15–24.

θυρα μόνο καὶ ἀμέσως θ' ἀποβάλεις τὶς βιοτικὲς φροντίδες. Πέρασε μέσα στὸ προαύλιο καὶ σὰν κάποια αὔρα πνευματικὴ θὰ περιστοιχίσει τὴν ψυχή σου. Αὐτὴ ἡ ἡσυχία ὁδηγεῖ σὲ θρησκευτικὸ δέος καὶ διδάσκει σωφροσύνη· ἀνορθώνει τὸ φρόνημα καὶ δὲν ἀφήνει νὰ θυμᾶσαι τὰ παρόντα, σὲ μεταφέρει ἀπὸ τὴ γῆ στὸν οὐρανό. Ἂν ὅμως χωρὶς σύναξη εἶναι τόσο μεγάλο τὸ κέρδος ἀπὸ τὴν ἐδῶ παρουσία, ὅταν προφῆτες ἀπὸ παντοῦ φωνάζουν, ὅταν ἀπόστολοι κηρύττουν τὸ εὐαγγέλιο, ὅταν ὁ Χριστὸς στέκεται στὴ μέση, ὅταν ὁ Πατέρας δέχεται αὐτὰ ποὺ γίνονται, ὅταν τὸ ἅγιο Πνεῦμα χορηγεῖ τὴ δική του ἀγαλλίαση, μὲ πόση ὠφέλεια πλημμυρισμένοι φεύγουν ἀπὸ ἐδῶ οἱ παρόντες; πόση πάλι ζημιὰ παθαίνουν οἱ ἀπόντες;

Ἤθελα νὰ ξέρω ποῦ χάνουν τὸν καιρό τους αὐτοὶ ποὺ ἀδιαφόρησαν γιὰ τὴ σύναξη, τί τοὺς κράτησε καὶ τοὺς ἀπομάκρυνε ἀπὸ τὸ ἱερὸ αὐτὸ τραπέζι, γιὰ ποιά πράγματα κάνουν συζήτηση. Ἢ καλύτερα ξέρω καλά· ἢ συζητοῦν γιὰ πράγματα ἀνόητα καὶ καταγέλαστα, ἢ εἶναι προσηλωμένοι σὲ βιοτικὲς φροντίδες. Ἀλλὰ ἡ ἀπασχόληση καὶ μὲ τὰ δύο στερεῖται συγγνώμης καὶ ἐπισύρει τὴ χειρότερη τιμωρία. Καὶ γιὰ τὴν πρώτη βέβαια δὲ χρειάζεται οὔτε λόγος οὔτε ἀπόδειξη. Ὅτι ὅμως δὲν μποροῦν νὰ ἐπιτύχουν συγγνώμη οὔτε αὐτοὶ ποὺ προφασίζονται σὲ μᾶς τὶς σπιτικὲς ἀσχολίες καὶ προβάλλουν τὴν ἀβάστακτη ἀπὸ ἐκεῖ ἀνάγκη, ἂν καὶ καλοῦνται ἐδῶ μιὰ φορὰ τὴν ἑβδομάδα, καὶ οὔτε τότε δὲ δέχονται νὰ προτιμήσουν τὰ πνευματικὰ ἀπὸ τὰ γήινα πράγματα, εἶναι φανερὸ ἀπὸ τὰ εὐαγγέλια. Γιατὶ πραγματικὰ ἐκεῖνοι ποὺ κλήθηκαν στὸν πνευματικὸ γάμο πρόβαλαν αὐτὲς τὶς προφάσεις· ὁ ἕνας ὅτι ἀγόρασε ἕνα ζευγάρι βόδια, ὁ ἄλλος ὅτι ἀγόρασε χωράφι, ὁ ἄλλος ὅτι νυμφεύθηκε, ἀλλ' ὅμως τιμωρήθηκαν[2].

Οἱ αἰτίες βέβαια ἀπορρέουν ἀπὸ τὴν ἀνάγκη, ἀλλ' ὅταν ὁ Θεὸς καλεῖ δὲν ἔχουν δικαιολογία οἱ ἄνθρωποι. Γιατὶ μετὰ ἀπὸ

τὴν ἐκείνου τιμήν, τότε τὰ ἄλλα ἀπολαυέτω σπουδῆς. Τίς γὰρ οἰκέτης, εἰπέ μοι, πρὶν ἢ τὴν δεσποτικὴν πληρώσῃ διακονίαν, τῶν κατὰ τὴν ἰδίαν οἰκίαν ἐπιμελήσεταί ποτε; Πῶς οὖν οὐκ ἄτοπον ἐπ' ἀνθρώπῳ μέν, ἔνθα ψιλὸν ὄνομα ἡ δεσποτεία, τοσαύτην τοῖς κυρίοις παρέχειν τὴν αἰδῶ καὶ τὴν ὑπακοήν, τὸν δὲ ἀληθῶς Δεσπότην, οὐχ ἡμῶν μόνον, ἀλλὰ καὶ τῶν ἄνω δυνάμεων, μηδὲ τῆς αὐτῆς τοῖς ἡμετέροις συνδούλοις ἀξιοῦν θεραπείας; Εἴθε ἦν δυνατὸν ὑμῖν εἰς τὸ συνειδὸς αὐτῶν εἰσεληλυθέναι, καὶ τότε εἴδετε ἂν καλῶς, πόσων τραυμάτων ἔγεμον, ὅσας ἀκάνθας εἶχον. Καθάπερ γὰρ γῆ, γεωργικῶν οὐκ ἀπολαύουσα χειρῶν, χερσοῦται καὶ ὑλομανεῖ, οὕτω καὶ ψυχή, πνευματικῆς οὐκ ἀπολαύουσα διδασκαλίας, ἀκάνθας καὶ τριβόλους ἐκπέμπει.

Εἰ γὰρ ἡμεῖς οἱ καθ' ἑκάστην ἡμέραν τῆς τῶν προφητῶν καὶ ἀποστόλων μετέχοντες ἀκροάσεως, μόλις κατέχομεν θυμόν, μόλις χαλινοῦμεν ὀργήν, μόλις καταστέλλομεν ἐπιθυμίαν, μόλις ἐκβάλλομεν τηκεδόνα φθόνου, συνεχεῖς ἐπῳδὰς τὰς ἀπὸ τῶν θείων Γραφῶν ἐπᾴδοντες τοῖς ἡμετέροις πάθεσι, μόλις καταστέλλομεν τὰ ἀναίσχυντα θηρία· ἐκεῖνοι οἱ μηδέποτε ταύτης ἀπολαύοντες τῆς ἰατρείας, μηδὲ τῆς θείας ὑπακούοντες φιλοσοφίας, ποίαν σωτηρίας ἐλπίδα ἕξουσιν, εἰπέ μοι; Ἐβουλόμην δύνασθαι δεῖξαι τοῖς ὑμετέροις ὀφθαλμοῖς τὴν ἐκείνων ψυχήν, καὶ εἴδετε ἂν ῥυπῶσαν, αὐχμῶσαν, κατακεχυμένην καὶ τεταπεινωμένην καὶ ἀπαρρησίαστον.

Ὥσπερ γὰρ τὰ βαλανείων οὐκ ἀπολαύοντα σώματα αὐχμοῦ καὶ ῥύπου γέμει πολλοῦ, οὕτω καὶ ἡ ψυχή, διδασκαλίας οὐκ ἀπολαύουσα πνευματικῆς, πολλὴν τῶν ἁμαρτημάτων ἔχει περικειμένην αὐτῇ τὴν κηλῖδα. Καὶ γὰρ βαλανεῖόν ἐστι τὰ ἐνταῦθα πνευματικόν, τῇ θέρμῃ τοῦ Πνεύματος πάντα ἀποσμῆχον ῥύπον·

τὸ Θεὸ εἶναι ἀναγκαῖα ὅλα τὰ ἄλλα σὲ μᾶς. Μετὰ ἀπὸ τὴν τιμὴ ἐκείνου, τότε ἂς ἀπολαμβάνουν τὴ φροντίδα μας τὰ ἄλλα. Γιατί ποιός ὑπηρέτης, πές μου, προτοῦ ἐκπληρώσει τὴν ὑπηρεσία του στὸν κύριο, θὰ φροντίσει ποτὲ γιὰ τὸ δικό του σπίτι; Πῶς λοιπὸν δὲν εἶναι παράλογο στὴν περίπτωση τοῦ ἀνθρώπου, ὅπου ἡ ἐξουσία τοῦ κυρίου στοὺς δούλους εἶναι ἁπλὸ ὄνομα, νὰ δείχνει κανεὶς τόσο μεγάλο σεβασμὸ καὶ ὑπακοὴ στοὺς κυρίους, ἐνῶ τὸν ἀληθινὸ Κύριο, ὄχι μόνο δικό μας, ἀλλὰ καὶ τῶν οὐράνιων δυνάμεων, νὰ μὴν τὸν θεωρεῖ ἄξιο οὔτε γιὰ τὴν ἴδια μὲ τοὺς συνδούλους μας φροντίδα; Εἴθε νὰ ἦταν δυνατὸ νὰ μπεῖτε στὴ συνείδησή τους καὶ τότε θὰ βλέπατε καλὰ ἀπὸ πόσα τραύματα εἶναι γεμάτοι καὶ πόσα ἀγκάθια ἔχουν. Γιατί, ὅπως ἀκριβῶς ἡ γῆ ὅταν δὲν ἀπολαμβάνει τὴ φροντίδα τοῦ γεωργοῦ γίνεται χέρσα καὶ γεμίζει χορτάρια, ἔτσι καὶ ἡ ψυχὴ ὅταν δὲν ἀπολαμβάνει τὴν πνευματικὴ διδασκαλία βγάζει ἀγκάθια καὶ τριβόλια.

Γιατί, ἂν ἐμεῖς ποὺ καθημερινὰ παίρνουμε μέρος στὴν ἀκρόαση τῶν προφητῶν καὶ τῶν ἀποστόλων μόλις συγκρατοῦμε τὸ θυμό, μόλις χαλιναγωγοῦμε τὴν ὀργή, μόλις ὑποτάσσουμε τὴν ἐπιθυμία, μόλις ἀπομακρύνουμε τὸ σαράκι τοῦ φθόνου, χρησιμοποιώντας συνέχεια τὰ ξόρκια ἀπὸ τὶς θεῖες Γραφὲς γιὰ τὰ δικά μας πάθη, μόλις συγκρατοῦμε τὰ ἀναίσχυντα θηρία, ἐκεῖνοι ποὺ ποτὲ δὲν ἀπολαμβάνουν αὐτὴ τὴ θεραπεία καὶ δὲν ἀκοῦν τὴ θεία φιλοσοφία, πές μου, ποιά ἐλπίδα σωτηρίας θὰ ἔχουν; Ἤθελα νὰ μποροῦσα νὰ δείξω στὰ μάτια σας τὴ δική τους ψυχὴ καὶ θὰ τὴ βλέπατε ἀκάθαρτη, στεγνή, διαλυμένη καὶ ταπεινωμένη καὶ χωρὶς παρρησία.

Γιατί, ὅπως τὰ σώματα ὅταν δὲ χρησιμοποιοῦν τὰ λουτρὰ εἶναι γεμάτα ἀπὸ πολλὲς ἀκαθαρσίες καὶ λεκέδες, ἔτσι καὶ ἡ ψυχὴ ὅταν δὲν ἀκούει πνευματικὴ διδασκαλία ἔχει ἐπάνω της μεγάλη κηλίδα ἁμαρτημάτων. Γιατὶ πραγματικὰ αὐτὰ ποὺ συμβαίνουν ἐδῶ εἶναι λουτρὸ πνευματικό, ποὺ μὲ τὴ θέρμη τοῦ

μᾶλλον δὲ οὐχὶ ῥύπον ἀποσμῆχον μόνον τὸ τοῦ Πνεύματος πῦρ, ἀλλὰ καὶ βαφήν· «ἐὰν γὰρ ὦσι», φησίν, «αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ»· κἂν μετὰ τῆς αὐτῆς, φησίν, ἀκριβείας τῶν ἁμαρτημάτων ὁ ῥύπος δάκῃ τῆς ψυχῆς τὴν οὐσίαν, ὡς εἰς ἕξιν βαφῆς ἀκίνητον καταστῆναι, καὶ οὕτως ἐγὼ δύναμαι εἰς τὴν ἐναντίαν αὐτὴν καταστῆσαι ποιότητα· ἀρκεῖ γὰρ νεῦσαι, καὶ πάντα ἀφανίζεται τὰ ἁμαρτήματα.

2. Ταῦτα λέγω, οὐχ ἵνα ὑμεῖς ἀκούσητε· οὐδὲ γὰρ ὑμεῖς δεῖσθε τῶν φαρμάκων διὰ τὴν τοῦ Θεοῦ χάριν, ἀλλ' ἵνα ἐκεῖνοι δι' ἡμῶν μάθωσιν. Εἰ δὲ ἐδυνάμην εἰδέναι τοὺς τόπους ἐν οἷς συλλέγονται, οὐκ ἂν ἠνώχλησα τὴν ὑμετέραν ἀγάπην· ἀλλ' ἐπειδὴ ἀδύνατόν μοι ἑνὶ ὄντι τοσοῦτον εἰδέναι δῆμον, ὑμῖν ἐγχειρίζω τῶν ἀδελφῶν τῶν ὑμετέρων τὴν θεραπείαν· ἐπιμελήσασθε τῶν ἀδελφῶν τῶν οἰκείων, ἐπισπάσασθε, καλέσατε. Οἶδα ὅτι πολλάκις τοῦτο ἐποιήσατε· ἀλλ' οὐδὲν τὸ πολλάκις τοῦτο ποιῆσαι, ἀλλ' ἕως τότε ποιῆσαι, ἕως ἂν πείσητε καὶ ἑλκύσητε. Οἶδα ὅτι ἠνωχλήσατε, ὅτι φορτικοὶ πολλάκις ἐνομίσθητε, ὅτι οὐκ ἐπείσατε· καὶ τοῦτο ὑμᾶς ὀκνηροτέρους ἐποίησεν· ἀλλὰ παραμυθείσθω ὑμᾶς ὁ Παῦλος λέγων· «ἡ ἀγάπη πάντα ἐλπίζει, πάντα πιστεύει, ἀγάπη οὐδέποτε ἐκπίπτει».

Σὺ τὸ σαυτοῦ ποίησον· κἂν ἐκεῖνος μὴ δέξηται τὴν θεραπείαν, σὺ τὸν μισθὸν ἔχεις παρὰ τῷ Θεῷ. Ἐπὶ μὲν γὰρ τῆς γῆς ἂν καταβάλῃς τὰ σπέρματα καὶ μὴ ἐξενέγκῃ τοὺς ἀστάχυας, κεναῖς ἀνάγκη χερσὶν ἀπελθεῖν, ἐπὶ δὲ τῆς ψυχῆς οὐχ οὕτως· ἀλλὰ σὺ μὲν κατάβαλε τὴν διδασκαλίαν, ἐκείνη δὲ κἂν μὴ πεισθῇ τοῖς λεγομένοις, ἀπηρτισμένον ἔχεις τὸν μισθόν, καὶ τοσοῦτον, ὅσον ἂν εἰ ἐπείσθη· οὐ γὰρ τῷ τέλει τῶν πραγμάτων ἁπλῶς, ἀλλὰ τῇ

3. Ἠσ. 1,18.
4. Α' Κορ. 13,7–8.

ἁγίου Πνεύματος καθαρίζει κάθε ἀκαθαρσία. Ἢ καλύτερα, ἡ φωτιὰ τοῦ Πνεύματος δὲν καθαρίζει μόνο κάθε ἀκαθαρσία, ἀλλὰ καὶ τὴ βαφή· γιατὶ λέγει· «ἂν ὁ ἁμαρτίες σας εἶναι κόκκινες, θὰ κάνω τὶς ψυχές σας λευκὲς σὰν τὸ χιόνι»[3]. Καὶ ἂν ἀκόμη, λέγει, μὲ τὴν ἴδια ἀκρίβεια ἡ ἀκαθαρσία τῶν ἁμαρτημάτων πληγώσει τὴν οὐσία τῆς ψυχῆς, ὥστε σὰν βαφὴ νὰ γίνει ἀμετάβλητη, καὶ ἔτσι ἐγὼ μπορῶ νὰ τὴ φέρω στὴν ἀντίθετη κατάσταση· γιατὶ ἀρκεῖ νὰ κάνω ἕνα νόημα, καὶ ὅλα τὰ ἁμαρτήματα ἐξαφανίζονται.

2. Αὐτὰ τὰ λέγω ὄχι γιὰ νὰ τὰ ἀκούσετε ἐσεῖς· γιατὶ ἐσεῖς δὲν ἔχετε ἀνάγκη ἀπὸ τὰ φάρμακα ἐξ αἰτίας τῆς χάριτος τοῦ Θεοῦ· ἀλλὰ γιὰ νὰ τὰ μάθουν ἐκεῖνοι ἀπὸ σᾶς. Καὶ ἂν μποροῦσα νὰ ξέρω τοὺς τόπους στοὺς ὁποίους συγκεντρώνονται, δὲ θὰ ἐνοχλοῦσα τὴν ἀγάπη σας. Ἀλλ' ἐπειδὴ μοῦ εἶναι ἀδύνατο, ἀφοῦ εἶμαι ἕνας, νὰ γνωρίζω τόσο πολὺ κόσμο, ἐμπιστεύομαι σὲ σᾶς τὴ φροντίδα τῶν ἀδελφῶν σας. Φροντίστε γιὰ τοὺς δικούς σας ἀδελφούς, προσελκύστε τους, καλέστε τους. Ξέρω ὅτι τὸ κάνατε αὐτὸ πολλὲς φορές. Ὅμως δὲν ἔχει καμιὰ ἀξία τὸ ὅτι τὸ κάνατε πολλὲς φορές, ἀλλὰ τὸ νὰ τὸ κάμνετε μέχρι ποὺ θὰ τοὺς πείσετε καὶ θὰ τοὺς προσελκύσετε. Ξέρω ὅτι τοὺς ἐνοχλήσατε, ὅτι πολλὲς φορὲς θεωρηθήκατε ἐνοχλητικοί, ὅτι δὲν τοὺς πείσατε· καὶ αὐτὸ σᾶς ἔκαμε πιὸ διστακτικούς. Ἂς σᾶς παρηγορεῖ ὅμως ὁ Παῦλος ποὺ λέγει· «ἡ ἀγάπη ἐλπίζει γιὰ ὅλα, ὅλα τὰ πιστεύει, ἡ ἀγάπη ποτὲ δὲν χάνει τὸ θάρρος της»[4].

Ἐσὺ κάμε τὸ καθῆκον σου· καὶ ἂν ἐκεῖνος δὲ δεχθεῖ τὴ φροντίδα, ἐσὺ ἔχεις τὸ μισθό σου ἀπὸ τὸ Θεό. Γιατὶ στὴ γῆ ἂν ρίξεις τοὺς σπόρους καὶ δὲ βγάλει τὰ στάχυα, ἀναγκαστικὰ θὰ φύγεις μὲ χέρια ἀδειανά. Στὴν περίπτωση τῆς ψυχῆς ὅμως δὲ συμβαίνει τὸ ἴδιο· ἀλλὰ ἐσὺ ρίξε τὴ διδασκαλία, καὶ ἂν ἐκείνη δὲν πεισθεῖ στὰ λεγόμενα, ἔχεις ὁλόκληρο τὸ μισθό σου, καὶ μάλιστα τόσο, ὅσο θὰ εἶχες ἂν πίστευε. Γιατὶ ὁ Θεὸς προσέχει

γνώμη τῶν πονούντων προσέχων ὁ Θεός, οὕτω τὰς ἀμοιβὰς ὁρίζειν εἴωθε. Παρακαλῶ οὖν ὑμᾶς, ὅπερ ποιοῦσιν οἱ περὶ τὰ θέατρα μεμηνότες πρὸς τὰς τῶν ἵππων ἁμίλλας, τοῦτο καὶ ὑμεῖς ποιήσατε. Τί δὲ ἐκεῖνοι ποιοῦσιν; Ἀπὸ ἑσπέρας ἀλλήλους συντάσσονται καὶ εἰς τὰς οἰκίας ἀλλήλων ἀπαντῶσιν ὑπὸ τὴν ἕω καὶ τόπους ἑτέρους ἑαυτοῖς ἀφορίζουσιν, ἵν' ὁμοῦ συγκροτηθέντες, μετὰ πλείονος ἡδονῆς ἐπὶ τὴν σατανικὴν ἐκείνην ἀνέλθωσιν θέαν.

Ὥσπερ ἐκεῖνοι κατὰ τῆς ἑαυτῶν σπουδάζουσι ψυχῆς, καὶ ἀλλήλους συγκατασπῶσιν, οὕτως ὑμεῖς προνοήσατε τῆς ἑαυτῶν ψυχῆς καὶ ἀλλήλους συνδιασώσατε, καὶ συνάξεως μελλούσης γίνεσθαι, ἐπὶ τὴν οἰκίαν ἀπάντησον τοῦ ἀδελφοῦ καὶ ἀνάμεινον ἔξω τῶν προθύρων καὶ ἐξελθόντα κάτασχε· κἂν μυρίαι καλῶσιν ἀνάγκαι, μὴ συγχωρήσῃς, μηδὲ ἐπιτρέψῃς ἅψασθαί τινος τῶν βιωτικῶν, πρὶν εἰς τὴν ἐκκλησίαν ἀγαγεῖν καὶ πεῖσαι τῆς συνάξεως μετασχεῖν ἁπάσης· κἂν φιλονεικῇ, κἂν ἀντιλέγῃ, κἂν μυρίας προβάληται προφάσεις, μὴ πεισθῇς, μηδὲ ἀνάσχῃ, ἀλλ' εἰπὼν καὶ διδάξας ὅτι καὶ τὰ ἄλλα αὐτῷ τότε μᾶλλον ἐξευμαρισθήσεται, ὅταν τὴν σύναξιν ἐπιτελέσας καὶ κοινωνήσας εὐχῶν καὶ εὐλογιῶν πατέρων ἀπολαύσας, οὕτω πρὸς ἐκεῖνα βαδίζει, καὶ τούτοις καὶ πλείοσι τούτων ἑτέροις λόγοις καταδήσας αὐτόν, οὕτως ἄγε πρὸς τὴν ἱερὰν ταύτην τράπεζαν, ἵνα διπλοῦν ἔχῃς τὸν μισθόν, καὶ ὑπὲρ τῆς ἑαυτοῦ καὶ ὑπὲρ τῆς ἐκείνου παρουσίας.

Πάντως, ἂν τοσαύτῃ καὶ σπουδῇ καὶ προθυμίᾳ περὶ τὴν ἄγραν τῶν ῥᾳθυμοτέρων χρησώμεθα, ἐπιτευξόμεθα τῆς σωτηρίας. Κἂν γὰρ μυριάκις ὦσιν ὀλίγωροι καὶ ἀναίσχυντοι καὶ φονικοί, τὸ συνεχὲς ὑμῶν τῆς προαιρέσεως ἐρυθριάσαντες, ἀποστήσονταί ποτε τῆς ῥᾳθυμίας. Οὐ γάρ εἰσιν ἐκείνου τοῦ δικα-

ὄχι ἁπλῶς στὸ ἀποτέλεσμα τῶν πράξεων, ἀλλὰ στὴ διάθεση αὐτῶν ποὺ κοπιάζουν καὶ ἔτσι συνήθως ὁρίζει τὶς ἀμοιβές. Σᾶς παρακαλῶ λοιπόν, αὐτὸ ποὺ κάνουν οἱ μανιώδεις θεατὲς τῶν ἱπποδρομιῶν, νὰ τὸ κάμνετε καὶ σεῖς. Καὶ τί κάνουν αὐτοί; Ἀπὸ τὸ βράδυ συμφωνοῦν μεταξύ τους καὶ συναντιοῦνται ἀπὸ τὰ χαράματα στὰ σπίτια τους καὶ καθορίζουν γιὰ τὸν ἑαυτό τους ἄλλους τόπους, γιὰ νὰ συγκεντρωθοῦν ὅλοι μαζὶ καὶ ν' ἀνεβοῦν μὲ περισσότερη εὐχαρίστηση στὸ σατανικὸ ἐκεῖνο θέαμα.

Ὅπως ἀκριβῶς ἐκεῖνοι ἐνδιαφέρονται γιὰ τὸ κακὸ τῆς ψυχῆς τους καὶ συμπαρασύρουν ὁ ἕνας τὸν ἄλλον, ἔτσι ἐσεῖς φροντίστε γιὰ τὴ δική σας ψυχὴ καὶ σῶστε ὁ ἕνας τὸν ἄλλον, καὶ ὅταν πρόκειται νὰ γίνει σύναξη πήγαινε στὸ σπίτι τοῦ ἀδελφοῦ σου καὶ περίμενέ τον ἔξω στὴν ἐξώπορτα καὶ ὅταν βγεῖ κράτησέ τον. Καὶ ἂν ἀκόμη τὸν καλοῦν ἄπειρες ἀνάγκες, μὴν τὸν ἀφήσεις καὶ μὴν τοῦ ἐπιτρέψεις ν' ἀσχοληθεῖ μὲ κάτι ἀπὸ τὰ βιοτικά, προτοῦ τὸν ὁδηγήσεις στὴν ἐκκλησία καὶ τὸν πείσεις νὰ πάρει μέρος σὲ ὅλη τὴ σύναξη. Καὶ ἂν φιλονεικεῖ, καὶ ἂν ἔχει ἀντιρρήσεις, καὶ ἂν προβάλει ἄπειρες προφάσεις, μὴν πεισθεῖς, μὴν ἀναβάλεις, ἀλλ' ἀφοῦ τοῦ πεῖς καὶ τὸν διδάξεις πὼς καὶ τὰ ἄλλα του πράγματα τότε θὰ γίνουν πιὸ εὔκολα, ὅταν μεταβαίνει σ' αὐτά, ἀφοῦ πρῶτα παρακολουθήσει ὅλη τὴ σύναξη καὶ συμμετάσχει στὶς προσευχὲς καὶ δεχθεῖ τὶς εὐλογίες τῶν πατέρων· καὶ ἀφοῦ τὸν δέσεις μ' αὐτὰ καὶ μὲ περισσότερα ἀκόμη ἄλλα λόγια, ἔτσι φέρε τον στὸ ἱερὸ αὐτὸ τραπέζι, γιὰ νὰ ἔχεις διπλὸ μισθό, καὶ γιὰ τὴ δική σου καὶ γιὰ τὴ δική του παρουσία.

Ὁπωσδήποτε, ἂν δείξουμε τόσο ἐνδιαφέρον καὶ τόση προθυμία γιὰ νὰ θηρεύσουμε τοὺς πιὸ ἀδιάφορους, θὰ ἐπιτύχουμε τὴ σωτηρία. Γιατὶ καὶ ἂν ἀκόμη εἶναι ἄπειρες φορὲς ἀδιάφοροι καὶ ἀναίσχυντοι καὶ αἱμοβόροι, ἀφοῦ ντραποῦν γιὰ τὴ δική σας ἀδιάκοπη καλὴ προσπάθεια, θ' ἀπομακρυνθοῦν κάποτε ἀπὸ

στοῦ τοῦ τὸν Θεὸν οὐκ εἰδότος οὐδὲ ἀνθρώπους αἰσχυνομένου χαλεπώτεροι, κἂν μυριάκις ὦσιν ἀναίσθητοι· ἀλλ' ὅμως ἐκεῖνον τὸν ὠμόν, τὸν ἄγριον, τὸν σιδηροῦν, τὸν ἀδάμαντα μιᾶς γυναικὸς χήρας προσεδρεία συνεχὴς ἐδυσώπησε. Ποίας οὖν ἂν εἴημεν συγγνώμης ἄξιοι, εἰ γυναικὸς χήρας δικαστὴν ὠμόν, καὶ μήτε τὸν Θεὸν φοβούμενον, μήτε ἀνθρώπους ἐντρεπόμενον, δυνηθείσης ἐπικάμψαι καὶ πεῖσαι δοῦναι τὴν χάριν, ἡμεῖς τοὺς ἀδελφοὺς τοὺς ἀνεκτοτέρους ἐκείνου πολλῷ καὶ μετριωτέρους ἐκείνου, μὴ δυνηθείημεν ἐφελκύσασθαι, ὑπὲρ τῶν οἰκείων αὐτοὺς παρακαλοῦντες ἀγαθῶν;

Ταῦτα πολλάκις εἶπον καὶ λέγων οὐ παύσομαι, ἕως ἂν ἴδω τοὺς νοσοῦντας ὑγιαίνοντας. Καθ' ἑκάστην αὐτοὺς ἐπιζητῶ τὴν ἡμέραν, ἕως ἂν δυνηθῶ διὰ τῆς ὑμετέρας σπουδῆς αὐτοὺς εὑρεῖν. Δέομαι δὲ καὶ ὑμῶν, μετὰ τῆς αὐτῆς ὀδύνης, μεθ' ἧς ταῦτα λέγω νῦν, μετὰ τοῦ αὐτοῦ πόνου τὴν ἔρευναν ποιεῖσθαι τῶν ῥᾳθυμοτέρων. Καὶ γὰρ οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ ὑμῖν Παῦλος ἐπέταξε τῶν οἰκείων φροντίζειν μελῶν. «Παρακαλεῖτε γάρ», φησίν, «εἷς τὸν ἕνα ἐν τοῖς λόγοις τούτοις, καθὼς καὶ ποιεῖτε»· καὶ πάλιν· «οἰκοδομεῖτε ἀλλήλους». Καὶ γὰρ ὁ μισθὸς μέγας τοῖς τῶν ἀδελφῶν κηδομένοις, καὶ τιμωρία μεγίστη τοῖς ἀμελοῦσι καὶ καταφρονοῦσι τῆς σωτηρίας αὐτῶν.

3. Ὅθεν σφόδρα θαρρῶ καὶ πεπίστευκα, ὅτι μετὰ πολλῆς τῆς προθυμίας ποιήσετε τὰ εἰρημένα· καὶ διὰ τοῦτο ἐνταῦθα ταύτην τὴν παραίνεσιν στήσας, ἐπὶ τὴν Παύλου τράπεζαν ὑμᾶς ἀγαγεῖν πειράσομαι. «Παῦλος κλητὸς ἀπόστολος». Ταῦτα πολλάκις καὶ ὑμεῖς ἠκούσατε καὶ ἡμεῖς ἀνέγνωμεν· ἀλλ' οὐκ ἀναγινώσκειν μόνον, ἀλλὰ καὶ ἐπιγώσκειν χρὴ τὰ λεγόμενα· ἐπεὶ κέρδος οὐδὲν

5. Βλ. Λουκᾶ 18,1-8.

6. Α' Θεσ. 5,11.

7. Α' Κορ. 1,1.

τὴν ἀδιαφορία τους. Γιατί, καὶ ἂν ἀκόμη εἶναι ἀμέτρητες φορὲς ἀναίσθητοι, δὲν εἶναι χειρότεροι ἀπὸ τὸ δικαστὴ ἐκεῖνον ποὺ οὔτε τὸ Θεὸ γνώριζε οὔτε τοὺς ἀνθρώπους ντρεπόταν. Ἀλλ' ὅμως ἐκεῖνον τὸν αὐστηρό, τὸν ἄγριο, τὸν ἄκαμπτο, τὸ σκληρὸ τὸν ἔκαμε νὰ ντραπεῖ ἡ συνεχὴς πίεση μιᾶς χήρας γυναίκας[5]. Γιὰ ποιά λοιπὸν συγγνώμη θὰ μπορούσαμε νὰ εἴμαστε ἄξιοι, ὅταν μιὰ χήρα γυναίκα μπόρεσε νὰ λυγίσει ἕνα δικαστὴ αὐστηρό, ποὺ οὔτε τὸ Θεὸ φοβόταν οὔτε τοὺς ἀνθρώπους ὑπολόγιζε, καὶ νὰ τὸν πείσει νὰ τῆς δώσει χάρη, καὶ ἐμεῖς δὲν μποροῦμε νὰ προσελκύσουμε τοὺς ἀδελφούς μας ποὺ εἶναι πολὺ πιὸ ἀνεκτοὶ καὶ μετριοπαθεῖς ἀπὸ ἐκεῖνον, τὴ στιγμὴ μάλιστα ποὺ τοὺς παρακαλοῦμε γιὰ τὰ δικά τους ἀγαθά;

Αὐτὰ πολλὲς φορες τὰ εἶπα καὶ δὲ θὰ σταματήσω νὰ τὰ λέγω, μέχρι ποὺ νὰ δῶ τοὺς ἀρρώστους νὰ γίνονται καλά. Κάθε μέρα τοὺς ἀναζητῶ, ὥσπου νὰ μπορέσω νὰ τοὺς βρῶ μὲ τὴ δική σας προσπάθεια. Παρακαλῶ ὅμως καὶ σᾶς, μὲ τὸν ἴδιο πόνο, μὲ τὸν ὁποῖο τώρα σᾶς λέγω αὐτά, μὲ τὸν ἴδιο κόπο νὰ ψάχνετε νὰ βρεῖτε τοὺς πιὸ ἀδιάφορους. Γιατὶ βέβαια ὄχι μόνο σὲ μένα, ἀλλὰ καὶ σὲ σᾶς πρόσταξε ὁ Παῦλος νὰ φροντίζετε γιὰ τὰ δικά σας μέλη. «Παρηγορεῖτε», λέγει, «ὁ ἕνας τὸν ἄλλο μὲ τὰ λόγια αὐτά, ὅπως ἄλλωστε κάμνετε» καὶ πάλι, «οἰκοδομεῖτε ὁ ἕνας τὸν ἄλλο»[6]. Γιατὶ καὶ ὁ μισθὸς εἶναι μεγάλος γι' αὐτοὺς ποὺ φροντίζουν γιὰ τοὺς ἀδελφούς τους καὶ ἡ τιμωρία πολὺ μεγάλη γι' αὐτοὺς ποὺ ἀδιαφοροῦν καὶ περιφρονοῦν τὴ σωτηρία τους.

3. Γι' αὐτὸ ἔχω μεγάλη πεποίθηση καὶ πιστεύω πὼς μὲ πολλὴ προθυμία θὰ κάμετε αὐτὰ ποὺ ἔχουν λεχθεῖ· καὶ γι' αὐτό, ἀφοῦ σταματήσω ἐδῶ αὐτὴ τὴν παραίνεση, θὰ προσπαθήσω νὰ σᾶς ὁδηγήσω στὸ τραπέζι τοῦ Παύλου. «Παῦλος κλητὸς ἀπόστολος»[7]. Αὐτὰ πολλὲς φορὲς καὶ σεῖς τὰ ἀκούσατε καὶ μεῖς τὰ διαβάσαμε. Ὅμως δὲν πρέπει μόνο νὰ τὰ διαβάζουμε, ἀλλὰ καὶ νὰ καταλαβαίνουμε τὰ λεγόμενα, γιατὶ ἀπὸ τὴν ἀνάγνωση δὲ θὰ

ἡμῖν ἔσται τῆς ἀναγνώσεως. Καὶ γὰρ θησαυρὸς ἄνωθεν πατούμενος οὐκ ἐνδείκνυνται τὸν πλοῦτον, ἀλλὰ χρὴ διορύξαι πρῶτον αὐτὸν καὶ καταβῆναι κάτω, καὶ οὕτως ἅπασαν τὴν εὐπορίαν εὑρεῖν· οὕτως καὶ ἐπὶ τῶν Γραφῶν· οὐκ ἀρκεῖ μόνον ἡ ἀνάγνωσις δεῖξαι τὸν τῶν ἀποκειμένων ἀγαθῶν θησαυρόν, ἂν μὴ διερευνήσῃς τὸ βάθος. Εἰ ἤρκει ἀνάγνωσις, οὐκ ἂν εἶπεν ὁ Φίλιππος τῷ εὐνούχῳ, «ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις;». Εἰ ἤρκει ἡ ἀνάγνωσις, οὐκ ἂν εἶπεν ὁ Χριστὸς τοῖς Ἰουδαίοις, «ἐρευνᾶτε τὰς Γραφάς»· ὁ δὲ ἐρευνῶν οὐ μέχρι τῆς ἐπιφανείας ἵσταται, ἀλλὰ πρὸς τὸ βάθος αὐτὸ καταβαίνει.

Καὶ γὰρ πολὺ πέλαγος νοημάτων ἐν τοῖς προοιμίοις ὁρῶ. Ἐν μὲν γὰρ ταῖς βιωτικαῖς ἐπιστολαῖς αἱ προσρήσεις ἁπλῶς γίνονται, θεραπείαν ἐμφαίνουσαι μόνον· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ πολλῆς σοφίας γέμει τὸ προοίμιον. Οὐ γὰρ Παῦλός ἐστιν ὁ φθεγγόμενος, ἀλλ' ὁ κινῶν τὴν ἐκείνου ψυχὴν Χριστός. «Παῦλος κλητός». Τὸ «Παῦλος» τοῦτο, ὄνομα μέν ἐστιν ἕν, καὶ ψιλὸν ὄνομα· τοσοῦτον δὲ ἔχει νοημάτων θησαυρὸν ἀποκείμενον, ὅσον διὰ τῆς πείρας ἔγνωτε. Εἰ γὰρ δὴ μέμνησθε, ἴστε ὅτι τρεῖς ἡμέρας ὁλοκλήρους ὑπὲρ τοῦ ὀνόματος τούτου διελέχθην μόνον, τὰς αἰτίας λέγων, δι' ἃς πρὸ τούτου Σαῦλος καλούμενος, μετὰ ταῦτα ἐκλήθη Παῦλος, καὶ τίνος ἕνεκεν οὐκ εὐθέως μεταστὰς πρὸς τὴν πίστιν, ἐδέξατο τὴν προσηγορίαν, ἀλλὰ μέχρι πολλοῦ διέμεινεν ἔχων τὸ ὄνομα, ὅπερ ἐξαρχῆς ἔθεντο οἱ γονεῖς· καὶ πολλὴν ἀπὸ τούτου τοῦ Θεοῦ σοφίαν καὶ κηδεμονίαν ἀνεδείκνυμεν, καὶ περὶ ἡμᾶς καὶ περὶ τοὺς ἁγίους ἐκείνους γεγενημένην.

Εἰ γὰρ ἄνθρωποι τοῖς αὐτῶν παιδίοις οὐχ ἁπλῶς ἐπιτιθέασι τὰ ὀνόματα, ἀλλὰ τὸ μὲν ἀπὸ τοῦ πατρός, τὸ δὲ ἀπὸ τοῦ πάππου, τὸ δὲ ἀφ' ἑτέρων προγόνων καλοῦντες, πολλῷ μᾶλλον

---

8. Πράξ. 8,30.

9. Ἰω. 5,39.

ἔχουμε κανένα κέρδος. Ἀφοῦ καὶ ἕνας θησαυρὸς ὅταν πατιέται ἀπὸ πάνω δὲ φανερώνει τὴν ἀξία του, ἀλλὰ πρέπει πρῶτα νὰ σκάψουμε καὶ νὰ κατεβοῦμε κάτω, καὶ ἔτσι νὰ βροῦμε ὅλο τὸν πλοῦτο του. Τὸ ἴδιο συμβαίνει καὶ μὲ τὶς Γραφές· δὲ φθάνει μόνο ἡ ἀνάγνωση γιὰ νὰ δείξει τὸ θησαυρὸ τῶν κρυμμένων ἀγαθῶν, ἂν δὲν ἐξετάσεις καλὰ τὸ βάθος. Ἂν ἦταν ἀρκετὴ ἡ ἀνάγνωση, δὲ θὰ ἔλεγε ὁ Φίλιππος στὸν εὐνοῦχο, «ἄραγε καταλαβαίνεις αὐτὰ ποὺ διαβάζεις;»[8]. Ἂν ἔφθανε ἡ ἀνάγνωση, δὲ θὰ ἔλεγε ὁ Χριστὸς στοὺς Ἰουδαίους, «ἐρευνᾶτε τὶς Γραφές»[9]. Καὶ αὐτὸς ποὺ ἐρευνάει δὲ σταματάει στὴν ἐπιφάνεια, ἀλλὰ κατεβαίνει σ' αὐτὸ τὸ βάθος.

Πραγματικὰ βλέπω μεγάλο πέλαγος νοημάτων στὰ προοίμια. Γιατὶ στὶς καθημερινὲς ἐπιστολὲς οἱ προσφωνήσεις εἶναι ἁπλὲς καὶ δείχνουν μόνο φιλοφρόνηση· ἐδῶ ὅμως δὲ συμβαίνει τὸ ἴδιο, ἀλλὰ τὸ προοίμιο εἶναι γεμάτο ἀπὸ πολλὴ σοφία. Γιατὶ δὲν εἶναι ὁ Παῦλος αὐτὸς ποὺ μιλάει, ἀλλ' ὁ Χριστὸς ποὺ κινεῖ τὴ δική του ψυχή. «Παῦλος κλητός». Αὐτὸ τὸ «Παῦλος» εἶναι βέβαια ἕνα ὄνομα καὶ μάλιστα ἁπλὸ ὄνομα· ἔχει ὅμως κρυμμένο τόσο μεγάλο θησαυρὸ νοημάτων, ὅσο γνωρίσατε ἀπὸ τὴν ἐξέτασή του τὶς προηγούμενες ἡμέρες. Γιατί, ἂν θυμᾶστε βέβαια, γνωρίζετε ὅτι τρεῖς ὁλόκληρες ἡμέρες μίλησα μόνο γιὰ τὸ ὄνομα αὐτό, ἀναφέροντας τὶς αἰτίες γιὰ τὶς ὁποῖες, ἐνῶ πρῶτα ὀνομαζόταν Σαῦλος, ὕστερα ὀνομάσθηκε Παῦλος, καὶ γιὰ ποιό λόγο δὲν ἔλαβε τὴν ὀνομασία ἀμέσως μόλις προσχώρησε στὴν πίστη, ἀλλὰ γιὰ πολὺ διατήρησε τὸ ὄνομα, ποὺ ἀπὸ τὴν ἀρχὴ τοῦ ἔδωσαν οἱ γονεῖς του· καὶ ἀπὸ τὸ γεγονὸς αὐτὸ φανερώσαμε τὴ μεγάλη σοφία καὶ φροντίδα τοῦ Θεοῦ, ποὺ δείχθηκε καὶ σ' ἐμᾶς καὶ σ' ἐκείνους τοὺς ἁγίους.

Γιατί, ἂν οἱ ἄνθρωποι δὲ δίνουν τυχαῖα τὰ ὀνόματα στὰ παιδιά τους, ἀλλὰ τὸ ἕνα τὸ ὀνομάζουν ἀπὸ τὸν πατέρα τους, τὸ ἄλλο ἀπὸ τὸν παπποῦ τους καὶ τὸ ἄλλο ἀπὸ ἄλλους προγόνους,

ὁ Θεὸς τοῖς ἑαυτοῦ δούλοις οὐχ ἁπλῶς, οὐδὲ ἄνευ λόγου τι τὰς προσηγορίας ἐπέθηκεν, ἀλλὰ μετὰ πλείονος σοφίας. ΄ θρωποι μὲν γὰρ εἴς τε τιμὴν τῶν ἀπελθόντων, εἴς τε ἑαυι παραμυθίαν πολλάκις τοῖς τῶν τετελευτηκότων ὀνόμασι τ ἑαυτοὺς υἱοὺς καλοῦσι, παραμυθίαν τινὰ τῆς τῶν κατοιχομέν τελευτῆς διὰ τῆς τῶν παιδίων προσηγορίας ἐπινοοῦντες· ὁ Θεὸς ἀρετῆς ὑπόμνησιν καὶ διδασκαλίαν, ὥσπερ ἐν στι χαλκῇ, τῇ προσηγορίᾳ τῶν ἁγίων ἐναποτίθεται.

Τὸν γοῦν Πέτρον ἀπὸ τῆς ἀρετῆς οὕτως ἐκάλεσε, ι ἀπόδειξιν τῆς περὶ τὴν πίστιν στερρότητος ἐναποτιθέμενος ι τοῦ τῷ ὀνόματι, ἵνα ἔχῃ διδάσκαλον διηνεκῆ, τὴν προσηγορί τῆς τοιαύτης στερρότητος. Τοῦτο καὶ τὸν Ἰωάννην καὶ τὸν Ἰ κωβον ἐκάλεσεν, ἀπὸ τῆς κατὰ τὸ κήρυγμα μεγαλοφωνί Ἀλλ' ἵνα μὴ πάλιν τὰ αὐτὰ λέγων διενοχλῶ, ταῦτα ἀφείς, ἐκεῖ ἐρῶ, ὅτι καὶ αὐτὰ καθ' ἑαυτὰ λεγόμενα τὰ ὀνόματα τῶν ἁγία καὶ τοῖς φιλοθέοις εἰσὶν αἰδέσιμα καὶ τοῖς ἁμαρτάνουσι φοβερ Τὸν γοῦν Ὀνήσιμον δραπέτην καὶ κλέπτην γενόμενον καὶ τα δεσποτικῶν ὑφελόμενόν τι χρημάτων ὑποδεξάμενος ὁ Παῦλ καὶ μεταβαλών, καὶ οὕτω πρὸς τὴν ἱερὰν χειραγωγήσας μυστ γωγίαν· εἶτα μέλλων ἀποδιδόναι τῷ δεσπότῃ πάλιν, τοῦτο πρ αὐτὸν ἔγραφε· «διὸ πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐπιτά σειν σοι τὸ ἀνῆκον διὰ τὴν ἀγάπην, μᾶλλον παρακαλῶ, τοιοῦτι ὢν ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος ἐν Χριστῷ Ἰι σοῦ».

Ὁρᾷς ὅτι τρία ἐπέθηκε, τὰ δεσμὰ τὰ διὰ τὸν Χριστόν, τὶ πολιτείαν τὴν ἀπὸ τῆς τῆς ἡλικίας, τὴν αἰδῶ τὴν ἀπὸ τῆς προσ ηγορίας; Ἐπειδὴ γὰρ εἷς ἦν ὁ παρακαλῶν, τριπλοῦν ἐφιλονε κησε ποιῆσαι τὸν ὑπὲρ Ὀνησίμου δεόμενον, τὸν δεσμώτην, τὸ

---

10. Βλ. Ματθ. 16,18.
11. Βλ. Μάρκ. 3,17.
12. Φιλήμ. 8–9.

πολὺ περισσότερο ὁ Θεὸς δὲν ἔδωσε τυχαῖα καὶ χωρὶς κάποιο λόγο τὰ ὀνόματα στοὺς δούλους του, ἀλλὰ μὲ περισσότερη σοφία. Γιατὶ οἱ ἄνθρωποι καλοῦν τὰ παιδιά τους μὲ τὰ ὀνόματα τῶν πεθαμένων καὶ γιὰ νὰ τιμήσουν τοὺς νεκροὺς καὶ γιὰ νὰ παρηγορηθοῦν πολλὲς φορὲς οἱ ἴδιοι, βρίσκοντας κάποια παρηγοριὰ γιὰ τὸ θάνατο αὐτῶν ποὺ ἔχουν φύγει ἀπὸ τὴ ζωὴ μὲ τὴν ὀνομασία τῶν παιδιῶν τους, ὁ Θεὸς ὅμως μὲ τὴν ὀνομασία τῶν ἁγίων χαράσσει, σὰν σὲ χάλκινη στήλη, ὑπόμνηση καὶ διδασκαλία τῆς ἀρετῆς.

Τὸν Πέτρο λοιπὸν τὸν ὀνόμασε ἔτσι ἀπὸ τὴν ἀρετή του, τοποθετώντας στὸ ὄνομά του τὴν ἀπόδειξη γιὰ τὴ σταθερότητά του στὴν πίστη, γιὰ νὰ ἔχει τὴν ὀνομασία του παντοτινὸ δάσκαλο αὐτῆς τῆς σταθερότητας»[10]. Τὸ ἴδιο ὀνόμασε καὶ τὸν Ἰωάννη καὶ τὸν Ἰάκωβο ἀπὸ τὴ βροντερή τους φωνὴ κατὰ τὸ κήρυγμα[11]. Ἀλλά, γιὰ νὰ μὴν ἐνοχλῶ συνέχεια λέγοντας πάλι τὰ ἴδια, ἀφήνοντας αὐτὰ θὰ πῶ τοῦτο, ὅτι τὰ ὀνόματα τῶν ἁγίων λεγόμενα καὶ αὐτὰ καθ' ἑαυτὰ προκαλοῦν σεβασμὸ στοὺς εὐσεβεῖς καὶ φόβο στοὺς ἁμαρτωλούς. Τὸν Ὀνήσιμο λοιπόν, ποὺ ἔγινε δραπέτης καὶ κλέφτης καὶ οἰκειοποιήθηκε ἕνας μέρος ἀπὸ τὰ χρήματα τοῦ κυρίου του, τὸν δέχθηκε ὁ Παῦλος, τὸν ἄλλαξε καὶ ἔτσι τὸν ὁδήγησε στὴν ἱερὴ μυσταγωγία· στὴ συνέχεια, ἐνῶ ἐπρόκειτο νὰ τὸν ξαναδώσει πάλι στὸν κύριό του, ἔγραφε σ' αὐτὸν τὰ ἑξῆς· «γι' αὐτό, παρ' ὅλη τὴν ἐξουσία ποὺ ἔχω ἀπὸ τὸ Χριστὸ νὰ σὲ προστάζω τί πρέπει νὰ κάνεις, προτιμῶ ὅμως στὸ ὄνομα τῆς ἀγάπης νὰ σὲ παρακαλέσω, ἐγὼ ὁ Παῦλος, μὲ τὰ προχωρημένα μου χρόνια, τώρα μάλιστα καὶ φυλακισμένος γιὰ τὸν Ἰησοῦ Χριστό»[12].

Βλέπεις ὅτι ἀνέφερε τρία πράγματα, τὰ δεσμὰ γιὰ τὸ Χριστό, τὴ διαγωγὴ ἀπὸ τὴν ἡλικία του, τὸ σεβασμὸ ἀπὸ τὸ ὄνομά του; Ἐπειδὴ λοιπὸν ἦταν ἕνας αὐτὸς ποὺ παρακαλοῦσε, ἀγωνίσθηκε νὰ κάμει τριπλὸν αὐτὸν ποὺ γιὰ τὸν Ὀνήσιμο παρακα-

πρεσβύτην, τὸν Παῦλον. Ὁρᾷς ὅτι καὶ αὐτὰ τὰ ὀνόματα αἰδέσιμα τοῖς πιστοῖς ἐστι καὶ φιλόθεα; Εἰ γὰρ παιδίου φιλουμένου προσηγορία ὀνομασθεῖσα πολλάκις καὶ μὴ βουλόμενον τὸν πατέρα ἔπεισε δοῦναι τὴν χάριν διὰ τὸ πρὸς τὸ ὄνομα φίλτρον, πολλῷ μᾶλλον ἐπὶ τῶν ἁγίων συμβαίνειν τοῦτο εἰκὸς ἦν.

Ὅτι δὲ καὶ τοῖς ἁμαρτάνουσι φοβερὰ ἦν, καθάπερ παιδίοις ῥαθυμοῦσι τὰ τῶν διδασκάλων ὀνόματα, ἄκουσον πῶς Γαλάταις ἐπιστέλλων αὐτὸ τοῦτο ᾐνίξατο. Ἐπειδὴ γὰρ εἰς ἀσθένειαν ἀπέκλιναν ἰουδαϊκὴν καὶ περὶ τὴν πίστιν αὐτὴν ἐκινδύνευον, βουλόμενος αὐτοὺς ἀναστῆσαι καὶ πεῖσαι μηδὲν ἰουδαϊκὸν ἐπεισάγειν τῇ τοῦ εὐαγγελίου διδασκαλίᾳ, οὕτως ἔγραφεν· «ἰδὲ ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει». Εἶπες, «ἐγώ»· τίνος ἕνεκεν προστιθεὶς τὸ ὄνομα; τὸ γάρ, «ἐγώ», οὐκ ἦν ἱκανὸν δηλῶσαι τὸν γράφοντα; Ἀλλ' ἵνα μάθῃς ὅτι καὶ αὐτὴ ἡ τοῦ ὀνόματος παρενθήκη ἱκανὴ τῶν ἀκουόντων καθάψασθαι, διὰ τοῦτο προστίθησι τὴν προσηγορίαν, εἰς ὑπόμνησιν αὐτοὺς ἄγων τοῦ διδασκάλου.

Καὶ ἡμεῖς δὲ τὸ αὐτὸ τοῦτο πάσχομεν· ὅταν γὰρ ἀναμνησθῶμεν τῶν ἁγίων, κἂν ἐν ῥᾳθυμίᾳ ὦμεν, διανιστάμεθα, κἂν ἐν καταφρονήσει, φοβούμεθα. Παῦλον γοῦν τὸν ἀπόστολον ὅταν ἀκούσω ἐγώ, ἐννοῶ τὸν ἐν θλίψεσι, τὸν ἐν στενοχωρίαις, τὸν ἐν πληγαῖς, τὸν ἐν φυλακαῖς, τὸν ἐν τῷ βυθῷ νυχθήμερον γενόμενον, τὸν εἰς τρίτον ἁρπαγέντα οὐρανόν, τὸν ἐν τῷ παραδείσῳ τὰ ἄρρητα ῥήματα ἀκούσαντα, τὸ σκεῦος τῆς ἐκλογῆς, τὸν νυμφαγωγὸν τοῦ Χριστοῦ, τὸν εὐξάμενον ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν. Καὶ καθάπερ σειρά τις χρυσῆ, τῶν

13. Γαλ. 5,2.

λοῦσε, δηλαδὴ πὼς ἦταν ὁ φυλακισμένος, ὁ προχωρημένος στὰ χρόνια, ὁ Παῦλος. Βλέπεις ὅτι καὶ τὰ ἴδια τὰ ὀνόματα εἶναι σεβαστὰ στοὺς πιστοὺς καὶ ἀγαπητὰ στὸ Θεό; Γιατί, ἂν ἡ ὀνομασία ἑνὸς ἀγαπημένου παιδιοῦ ἀναφερόμενη πολλὲς φορὲς ἔπεισε τὸν πατέρα καὶ χωρὶς τὴ θέλησή του νὰ δώσει τὴ χάρη ἀπὸ τὴ μεγάλη ἀγάπη του πρὸς τὸ ὄνομα, φυσικὸ ἦταν νὰ συμβαίνει αὐτὸ πολὺ περισσότερο στοὺς ἁγίους.

Ὅτι ὅμως προκαλοῦσαν φόβο καὶ στοὺς ἁμαρτωλούς, ὅπως ἀκριβῶς τὰ ὀνόματα τῶν διδασκάλων στοὺς ἀδιάφορους μαθητές, ἄκουσε πῶς τὸ ὑπονόησε αὐτὸ γράφοντας στοὺς Γαλάτες. Ἐπειδὴ δηλαδὴ παρέκλιναν σὲ ἰουδαϊκὴ ἀσθένεια καὶ κινδύνευαν γιὰ τὴν ἴδια τὴν πίστη τους, θέλοντας νὰ τοὺς προτρέψει καὶ νὰ τοὺς πείσει νὰ μὴν παρεμβάλλουν τίποτε τὸ ἰουδαϊκὸ στὴ διδασκαλία τοῦ εὐαγγελίου, ἔγραφε τὸ ἑξῆς· «ἀκοῦστε με, ἐγὼ ὁ Παῦλος σᾶς λέγω, πώς, ἂν περιτέμνεστε, ὁ Χριστὸς δὲ θὰ σᾶς ὠφελήσει καθόλου»[13]. Εἶπες, «ἐγώ». Γιὰ ποιό λόγο πρόσθεσες τὸ ὄνομα; Δηλαδή, τὸ «ἐγὼ» δὲν ἀρκοῦσε γιὰ νὰ δηλώσει αὐτὸν ποὺ ἔγραφε; Ἀλλὰ γιὰ νὰ μάθεις ὅτι καὶ ἡ ἴδια ἡ προσθήκη τοῦ ὀνόματος εἶναι ἱκανὴ νὰ συγκινήσει τοὺς ἀκροατές, γι' αὐτὸ προσθέτει τὸ ὄνομα, ὑπενθυμίζοντας σ' αὐτοὺς τὸ δάσκαλο.

Ἀλλὰ καὶ μεῖς τὸ ἴδιο παθαίνουμε. Γιαιτί, ὅταν θυμηθοῦμε τοὺς ἁγίους, καὶ ἂν ἀκόμη βρισκόμαστε σὲ ἀδιαφορία, διεγειρόμαστε, καὶ ἂν σὲ περιφρόνηση, φοβούμαστε. Ὅταν λοιπὸν ἐγὼ ἀκούσω «Παῦλος, ὁ ἀπόστολος», θυμᾶμαι αὐτὸν ποὺ ἔζησε μὲ θλίψεις, μὲ στενοχώριες, μὲ μαστιγώσεις, μὲ φυλακίσεις, αὐτὸν ποὺ παρασυρόταν ἕνα ἡμερόνυχτο στὸ πέλαγος, αὐτὸν ποὺ μεταφέρθηκε ξαφνικὰ στὸν τρίτο οὐρανὸ καὶ ἄκουσε στὸν παράδεισο τὰ ἀνέκφραστα λόγια, τὸ ἐκλεκτὸ ὄργανο, τὸν παράνυμφο τοῦ Χριστοῦ, αὐτὸν ποὺ εὐχήθηκε νὰ χωριζόταν ἀπὸ τὸ Χριστὸ γιὰ χάρη τῶν ἀδελφῶν του. Καὶ σὰν κάποια

κατορθωμάτων ὁ ὁρμαθὸς μετὰ τῆς τοῦ ὀνόματος μνήμης τοῖς μετὰ ἀκριβείας προσέχουσιν ἐπεισέρχεται· καὶ οὐ μικρὸν ἡμῖν ἀπὸ τούτου γίνεται κέρδος.

4. Ἐνῆν καὶ πλείονα τούτων εἰς τὴν προσηγορίαν εἰπεῖν· ἀλλ', ἵνα καὶ τῆς δευτέρας ἁψώμεθα λέξεως, ἐνταῦθα τὴν περὶ τοῦ ὀνόματος στήσας θεωρίαν, ἐπ' ἐκείνην βαδιοῦμεν λοιπόν. Ὥσπερ γὰρ τὸ «Παῦλος» ὄνομα πολλὴν παρέσχεν ἡμῖν εὐπορίαν, οὕτω καὶ τὸ «κλητός», εἰ βουληθείημεν αὐτὸ καταμαθεῖν μετὰ τῆς προσηκούσης σπουδῆς, τῆς ἴσης ἢ καὶ πλείονος ἐμπλήσειε θεωρίας ἡμᾶς. Καὶ καθάπερ ἀπὸ κόσμου ἢ διαδήματος βασιλικοῦ λίθον ἕνα τις ἐξελών, καὶ οἰκίας λαμπρὰς καὶ πολυτελεῖς ἀγροὺς καὶ οἰκετῶν ἀγέλας καὶ ἕτερα πολλῷ πλείονα τούτων πρίασθαι δύναιτ' ἄν, τὸν μαργαρίτην ἀποδόμενος ἐκεῖνον, οὕτω δὴ καὶ ἐπὶ τῶν θείων ρημάτων, ἂν μιᾶς ρήσεως ἔννοιαν ἀναπτύξαι θελήσῃς, πολλήν σοι παρέξει πνευμτικῆς εὐπορίας ὑπόθεσιν, οὐκ οἰκίας, οὐδὲ ἀνδράποδα, οὐδὲ πλέθρα γῆς κομίζουσα, ἀλλὰ θεοσεβείας καὶ φιλοσοφίας ἀφορμὰς ἐνιεῖσα ταῖς τῶν προσεχόντων ψυχαῖς.

Σκόπει οὖν αὐτὸ τοῦτο τὸ «κλητός», εἰς ὅσην ἡμᾶς χειραγωγεῖ πραγμάτων ἱστορίαν πνευματικῶν. Δεῖ δὲ πρότερον μαθεῖν, τί ποτέ ἐστιν αὐτὸ τὸ «κλητός»· καὶ δεύτερον ἐξετάσαι, τίνος ἕνεκεν Κορινθίοις ἐπιστέλλων μόνον καὶ Ρωμαίοις οὕτως ἔγραψεν, ἄλλῳ δὲ οὐδενί. Οὐ γὰρ ἁπλῶς, οὐδὲ εἰκῇ τοῦτο ποιεῖ. Εἰ γὰρ ἡμεῖς τῶν ἐπιστολῶν τὰς προρρήσεις οὐχ ἁπλῶς ποιούμεθα, ἀλλ' ὑποδεεστέροις μὲν ἐπιστέλλοντες, ὁ δεῖνα τῷ δεῖνι, γράφομεν, ὅταν δὲ ὁμοτίμοις, καὶ δεσπότην ἐν τῇ προρρήσει καλοῦμεν τὸν δεχόμενον τὴν ἐπιστολήν· ὅταν δὲ πολὺ τὴν ἀξίαν ὑπερέχωσι τὴν ἡμετέραν, καὶ ἕτερα πλείονα προστίθεμεν ὀνό-

χρυσὴ ἁλυσίδα ἔρχεται στὸ νοῦ ἐκείνων ποὺ ἐξετάζουν μὲ προσοχὴ τὸ πλῆθος τῶν κατορθωμάτων μαζὶ μὲ τὴν ἀνάμνηση τοῦ ὀνόματος· καὶ δὲν εἶναι μικρὸ τὸ κέρδος μας ἀπ' αὐτὸ τὸ πράγμα.

4. Ἦταν δυνατὸ καὶ περισσότερα ἀκόμη νὰ ποῦμε γιὰ τὸ ὄνομα. Ἀλλὰ γιὰ νὰ ἀσχοληθοῦμε καὶ μὲ τὴ δεύτερη λέξη, σταματώντας ἐδῶ τὴν ἐξέταση γιὰ τὸ ὄνομα, θὰ προχωρήσουμε στὴ συνέχεια σ' ἐκείνη τὴ λέξη. Γιατί, ὅπως τὸ ὄνομα «Παῦλος» μᾶς ἔδωσε ἄφθονο τὸν πλοῦτο, ἔτσι καὶ τὸ «κλητός», ἂν θελήσουμε νὰ τὸ γνωρίσουμε καλὰ μὲ τὸ ἀνάλογο ἐνδιαφέρον, θὰ μᾶς γεμίσει μὲ τὴν ἴδια ἢ καὶ περισσότερη διδασκαλία. Καὶ ὅπως ἀκριβῶς ἀπὸ ἕνα κόσμημα ἢ ἀπὸ βασιλικὸ στέμμα ἀφαιρώντας κανεὶς μία πολύτιμη πέτρα, θὰ μποροῦσε ν' ἀγοράσει καὶ σπίτια λαμπρὰ καὶ ἀκριβὰ χωράφια καὶ πολλοὺς ὑπηρέτες καὶ ἄλλα πολὺ περισσότερα ἀπ' αὐτά, ἂν πουλοῦσε τὸ μαργαριτάρι ἐκεῖνο, ἔτσι λοιπὸν καὶ στὰ θεῖα λόγια, ἂν θελήσεις ν' ἀναπτύξεις τὴν ἔννοια μιᾶς λέξης, θὰ σοῦ δώσει ἀφορμὴ γιὰ ἄφθονο πνευματικὸ πλοῦτο, προσφέροντας ὄχι σπίτια, οὔτε δούλους, οὔτε ἐκτάσεις γῆς, ἀλλὰ ρίχνοντας μέσα στὶς ψυχὲς ἐκείνων ποὺ προσέχουν ἀφορμὲς γιὰ εὐσέβεια καὶ σωφροσύνη.

Σκέψου λοιπὸν σὲ πόσο μεγάλη διήγηση πνευματικῶν πραγμάτων μᾶς ὁδηγεῖ αὐτὸ τὸ ἴδιο τὸ «κλητός». Πρέπει ὅμως πρῶτα νὰ μάθουμε τί τέλος πάντων σημαίνει αὐτὸ τὸ «κλητός», καὶ ὕστερα νὰ ἐξετάσουμε γιὰ ποιό λόγο ἔγραψε ἔτσι μόνο στὶς ἐπιστολές του πρὸς τοὺς Κορινθίους καὶ τοὺς Ρωμαίους, καὶ σὲ κανέναν ἄλλο. Γιατὶ δὲν τὸ κάνει αὐτὸ τυχαῖα, οὔτε στὰ χαμένα. Γιατί, ἂν ἐμεῖς δὲν κάνουμε τυχαῖα τὶς προσφωνήσεις τῶν ἐπιστολῶν, ἀλλ' ὅταν στέλνουμε σὲ κατώτερους γράφουμε, ὁ τάδε στὸν τάδε, ὅταν σὲ ἰσότιμους, καὶ κύριο ὀνομάζουμε στὴν προσφώνηση τὸν παραλήπτη τῆς ἐπιστολῆς· καὶ ὅταν ξεπερνοῦν κατὰ πολὺ τὴ δική μας ἀξία, προσθέτουμε καὶ ἄλλα περισσότε-

ματα, μείζοντα ἔχοντα τὴν θεραπείαν· εἰ οὖν ἡμεῖς τοσαύτῃ προνοίᾳ κεχρήμεθα, καὶ οὐχ ἑνὶ τρόπῳ πᾶσι γράφομεν, ἀλλὰ τῇ διαφορᾷ τῶν δεχομένων προσώπων καταλλήλους ποιούμεθα τὰς προσηγορίας, πολλῷ μᾶλλον ὁ Παῦλος, οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ τούτοις μὲν οὕτως, ἐκείνοις δὲ ἑτέρως ἐπέστελλεν, ἀλλὰ μετά τινος σοφίας πνευματικῆς.

Ὅτι μὲν οὐδενὶ τῶν ἄλλων ἐπιστέλλων, κλητὸν ἑαυτὸν ἐν τῷ προοιμίῳ τῆς ἐπιστολῆς ἐκάλεσεν, ἔξεστιν ἡμῖν αὐτὰς τῶν ἐπιστολῶν τὰς ἀρχὰς ἐπελθοῦσι τοῦτο μαθεῖν. Τίνος δὲ ἕνεκεν τοῦτο ἐποίει, ἡμέτερον ἂν εἴη λοιπὸν εἰπεῖν, ἐπειδὰν δείξωμεν πρότερον τί ἐστιν ὁ «κλητός», καὶ τί διὰ τῆς ῥήσεως ἡμᾶς διδάξαι ὁ Παῦλος ἠθέλησε ταύτης. Τί ποτ' οὖν ἡμᾶς βούλεται διδάξαι διὰ τοῦ «κλητὸν» ἑαυτὸν καλέσαι; Ὅτι οὐκ αὐτὸς τῷ Δεσπότῃ προσῆλθε πρῶτος, ἀλλὰ κληθεὶς ὑπήκουσεν· οὐκ αὐτὸς ἐζήτησε καὶ εὗρεν, ἀλλ' εὑρέθη πλανώμενος· οὐκ αὐτὸς πρὸς τὸ φῶς ἀνέβλεψε πρῶτος, ἀλλὰ τὸ φῶς τὰς οἰκείας ἀκτῖνας πρὸς τὰς ὄψεις ἀφῆκε τὰς ἐκείνου, καὶ τοὺς ἔξω πηρώσας ὀφθαλμούς, οὕτω τοὺς ἔνδοθεν ἤνοιξε. Βουλόμενος οὖν ἡμᾶς παιδεῦσαι ὅτι τῶν κατορθωμάτων αὐτοῦ πάντων οὐδὲν ἑαυτῷ λογίζεται, ἀλλὰ τῷ κεκληκότι Θεῷ, «κλητὸν» ἑαυτὸν καλεῖ. Ὁ γὰρ τὰς πύλας μοι τοῦ σκάμματος ἀνοίξας, φησί, καὶ τὸ στάδιον, οὗτος καὶ τῶν στεφάνων αἴτιος γίνεται· ὁ τὴν ἀρχὴν παρασχὼν καὶ τὴν ῥίζαν καταβαλλόμενος, οὗτος καὶ τῶν βλαστησάντων μοι μετὰ ταῦτα καρπῶν παρέσχε μοι τὰς ἀφορμάς.

Διὰ τοῦτο καὶ ἀλλαχοῦ πάλιν εἰπών, «πλείονα πάντων ἐκοπίασα», ἐπήγαγεν, «οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις ἡ σὺν ἐμοί». Τὸ οὖν «κλητὸς» ὄνομα οὐδενός ἐστιν ἔνδειξις ἑτέρου, ἢ τὸ μηδὲν οἰκεῖον νομίζειν εἶναι Παῦλον τῶν οἰκείων κατορθωμά-

---

14. Α' Κορ. 15,10.

ρα ὀνόματα, ποὺ περιέχουν μεγαλύτερη φιλοφροσύνη· ἂν λοιπὸν ἐμεῖς λαμβάνουμε τόσο μεγάλη πρόνοια καὶ δὲ γράφουμε σὲ ὅλους μὲ τὸν ἴδιο τρόπο, ἀλλὰ ἀνάλογα μὲ τὴν ἀξία τῶν παραληπτῶν κάνουμε καὶ τὶς προσφωνήσεις, πολὺ περισσότερο ὁ Παῦλος, οὔτε τυχαῖα, οὔτε στὰ χαμένα σ' αὐτοὺς ἔγραφε ἔτσι καὶ σ' ἐκείνους διαφορετικά, ἀλλὰ μὲ κάποια σοφία πνευματική.

Ὅτι βέβαια σὲ κανέναν ἀπὸ τοὺς ἄλλους ὅταν ἔγραφε δὲν ὀνόμασε τὸν ἑαυτό του κλητὸ στὸ προοίμιο, εἶναι δυνατὸ νὰ τὸ μάθουμε ἂν ἐξετάσουμε τὶς ἴδιες τὶς εἰσαγωγὲς τῶν ἐπιστολῶν. Γιὰ ποιόν ὅμως λόγο τὸ ἔκανε αὐτό, ἀπομένει σὲ μᾶς νὰ τὸ ποῦμε στὴ συνέχεια, ἀφοῦ προηγουμένως δείξουμε τί σημαίνει ὁ «κλητὸς» καὶ τί θέλησε μὲ τὴ λέξη αὐτὴ νὰ μᾶς διδάξει ὁ Παῦλος. Τί λοιπὸν θέλει νὰ μᾶς διδάξει μὲ τὸ νὰ ὀνομάσει τὸν ἑαυτό το «κλητό»; Ὅτι δὲν προσῆλθε αὐτὸς πρῶτος στὸν Κύριο, ἀλλὰ ὑπάκουσε ὅταν κλήθηκε· ὅτι αὐτὸς δὲ ζήτησε καὶ βρῆκε, ἀλλὰ βρέθηκε καθὼς περιπλανιόταν· ὅτι δὲν κοίταξε αὐτὸς πρῶτος πρὸς τὸ φῶς, ἀλλὰ τὸ φῶς ἔρριξε τὶς ἀκτίνες του στὰ δικά του μάτια καὶ τυφλώνοντας τὰ ἐξωτερικά του μάτια ἄνοιξε ἔτσι τὰ ἐσωτερικά του. Θέλοντας λοιπὸν νὰ μᾶς διδάξει πὼς ἀπ' ὅλα τὰ κατορθώματά του δὲ θεωρεῖ κανένα δικό του, ἀλλὰ τοῦ Θεοῦ ποὺ τὸν κάλεσε, ὀνομάζει τὸν ἑαυτό το κλητό. Αὐτὸς λοιπὸν ποὺ μοῦ ἄνοιξε τὶς πόρτες τοῦ στίβου, λέγει, καὶ τὸ στάδιο, αὐτὸς γίνεται αἴτιος καὶ γιὰ τὰ στεφάνια· αὐτὸς ποὺ μοῦ ἔδωσε τὴν ἀρχὴ καὶ φύτεψε τὴ ρίζα, αὐτὸς μοῦ ἔδωσε καὶ τὶς ἀφορμὲς γιὰ τοὺς καρποὺς ποὺ βλάστησα ἀργότερα.

Γι' αὐτὸ καὶ ἀλλοῦ πάλι ἀφοῦ εἶπε, «περισσότερο ἀπ' ὅλους κόπιασα», πρόσθεσε, «ὄχι βέβαια ἐγώ, ἀλλ' ἡ χάρη τοῦ Θεοῦ ποὺ εἶναι μαζί μου»[14]. Τὸ ὄνομα λοιπὸν «κλητὸς» δὲν ἀποδεικνύει τίποτε ἄλλο παρὰ τὸ ὅτι θεωρεῖ ὁ Παῦλος πὼς ἀπὸ τὰ κατορθώματά του δὲν εἶναι κανένα δικό του, ἀλλ' ὅλα τὰ

των, ἀλλὰ πάντα ἀνατιθέναι τῷ Δεσπότῃ Θεῷ. Ὅπερ οὖν καὶ ὁ Χριστὸς τοὺς μαθητὰς ἐδίδασκε λέγων, «οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς»· καὶ ὁ ἀπόστολος τὸ αὐτὸ τοῦτο πάλιν ἐπὶ τῆς αὐτῆς ἐπιστολῆς αἰνίττεται λέγων· «τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην»· νῦν γάρ, φησίν, οὐκ ἐγὼ πρῶτος ἐπέγνων, ἀλλ' αὐτὸς ἐπεγνώσθην πρῶτος. Διώκοντα γὰρ αὐτὸν καὶ πορθοῦντα τὴν Ἐκκλησίαν ὁ Χριστὸς ἐκάλεσε, λέγων· «Σαῦλε, Σαῦλε, τί με διώκεις;». Διὰ τοῦτο «κλητὸν» ἑαυτὸν καλεῖ.

Τίνος ἕνεκεν Κορινθίοις οὕτως ἐπέστειλλεν; Ἡ Κόρινθος αὕτη τῆς Ἀχαΐας μητρόπολίς ἐστι καὶ πνευματικοῖς ἐκόμα χαρίσμασι· καὶ μάλα εἰκότως· τῆς γὰρ Παύλου γλώττης πρώτη ἀπήλαυσε, καὶ καθάπερ ἄμπελος, ἀρίστου τινὸς καὶ ἐπιμελοῦς ἀπολαύουσα γεωργοῦ, πολλοῖς μὲν κομᾷ τοῖς φύλλοις, πολλῷ δὲ τῷ καρπῷ βρίθει διηνεκῶς· οὕτω δὴ καὶ ἡ πόλις ἐκείνη, ὥσπερ τινὸς ἀρίστου γεωργοῦ, τῆς Παύλου διδασκαλίας μετασχοῦσα πρώτη, καὶ ἐπὶ πολὺν ἐντρυφήσασα χρόνον τῇ τούτου σοφίᾳ, πᾶσιν ἐτεθήλει τοῖς ἀγαθοῖς· οὐ πνευματικῶν δὲ αὕτη χαρισμάτων περιουσία μόνη ἦν, ἀλλὰ καὶ βιωτικῶν πλεονεκτημάτων πολλὴν εἶχε τὴν ἀφθονίαν. Καὶ γὰρ σοφίᾳ λόγων τῶν ἔξωθεν καὶ πλούτῳ καὶ δυναστείᾳ τῶν ἄλλων ἐκράτει πόλεων. Καὶ ταῦτα αὐτὴν ἐφύσησε καὶ πρὸς ἀπόνοιαν ἦρε καὶ διὰ τῆς ἀπονοίας εἰς πολλὰ διέστησε μέρη.

Τοιαύτη γὰρ τῆς ὑπερηφανίας ἡ φύσις· τὸν τῆς ἀγάπης διαρρήγνυσι σύνδεσμον, καὶ τὸν πλησίον ἀποσχίζει, καὶ καθ' ἑαυτὸν ἕκαστον εἶναι ποιεῖ τὸ κεκτημένον αὐτήν. Καὶ καθάπερ τοῖχος φυσηθεὶς διαλύει τὴν οἰκοδομήν, οὕτω δὴ καὶ ψυχὴ φυσηθεῖσα τῆς πρὸς ἕτερον συναφείας οὐκ ἀνέχεται, ὃ δὴ καὶ ἡ Κόρινθος ἔπαθε τότε· καὶ πρὸς ἀλλήλους διεστασίαζον, καὶ εἰς πολλὰ μέρη τὴν Ἐκκλησίαν κατέτεμον, καὶ μυρίους ἑαυτοῖς ἑτέ-

15. Ἰω. 15,16. 16. Α' Κορ. 13,12. 17. Πράξ. 9,4.

ἀναθέτει στὸ Δεσπότη Θεό. Τὸ ἴδιο ἀκριβῶς καὶ ὁ Χριστὸς δίδασκε στοὺς μαθητὲς λέγοντας· «δὲ μὲ διαλέξατε ἐσεῖς, ἀλλὰ ἐγὼ σᾶς διάλεξα»[15]. Καὶ ὁ ἀπόστολος τὸ ἴδιο πάλι ὑπονοεῖ στὴν ἴδια ἐπιστολὴ λέγοντας· «τότε ὅμως θὰ τὸν γνωρίσω καλά, ὅπως καὶ ὁ Θεὸς μὲ ἔχει γνωρίσει»[16]. Γιατὶ τώρα, λέγει, δὲν τὸν γνώρισα ἐγὼ πρῶτος, ἀλλὰ αὐτὸς μὲ γνώρισε πρῶτος. Γιατὶ ὅταν τὸν καταδίωκε καὶ πολεμοῦσε τὴν Ἐκκλησία ὁ Χριστὸς τὸν κάλεσε, λέγοντας· «Σαῦλε, Σαῦλε, γιατί μὲ καταδιώκεις;»[17]. Γι' αὐτὸ ὀνομάζει τὸν ἑαυτό του «κλητό».

Γιὰ ποιό λόγο ἔγραφε ἔτσι στοὺς Κορινθίους; Ἡ Κόρινθος αὐτὴ εἶναι μητρόπολη τῆς Ἀχαΐας καὶ καυχιόταν γιὰ τὰ πνευματικά της χαρίσματα. Καὶ πολὺ σωστά. Γιατὶ πρώτη ἀπόλαυσε τὴ γλώσσα τοῦ Παύλου καὶ ὅπως τὸ ἀμπέλι, ποὺ ἔτυχε νὰ τὸ περιποιεῖται κάποιος ἔμπειρος καὶ ἐπιμελὴς γεωργός, βγάζει πλούσιο φύλλωμα καὶ γεμίζει συνέχεια ἀπὸ πολὺ καρπό, ἔτσι ἀκριβῶς καὶ ἡ πόλη ἐκείνη, ἀκούοντας πρῶτα τὴ διδασκαλία τοῦ Παύλου, σὰν κάποιου ἔμπειρου γεωργοῦ, καὶ ἀπολαμβάνοντας γιὰ πολὺ χρόνο τὴ σοφία του, εἶχε ἄφθονα ὅλα τὰ ἀγαθά. Καὶ δὲν ἦταν αὐτὴ πλούσια μόνο στὰ πνευματικὰ χαρίσματα, ἀλλ' εἶχε καὶ πολὺ ἄφθονα τὰ ὑλικὰ πλεονεκτήματα. Γιατὶ πραγματικὰ ἦταν ἀνώτερη ἀπὸ τὶς ἄλλες πόλεις καὶ στὴν τότε φιλοσοφικὴ σκέψη καὶ στὸν πλοῦτο καὶ στὴ δύναμη. Καὶ αὐτὰ τὴν ὁδήγησαν στὴ ματαιοδοξία καὶ τὴν ἀλαζονεία καὶ μὲ τὴν ἀλαζονεία χωρίσθηκε σὲ πολλὲς μερίδες.

Γιατὶ τέτοια εἶναι ἡ φύση τῆς ὑπερηφάνειας· σπάει τὸ δεσμὸ τῆς ἀγάπης, ἀποκόπτει τὸν πλησίον καὶ κάνει τὸν ὑπερήφανο νὰ ζεῖ ἀπομονωμένος. Καὶ ὅπως ἕνας τοῖχος ὅταν φουσκώσει γκρεμίζει τὴν οἰκοδομή, ἔτσι ἀκριβῶς καὶ ἡ ψυχὴ ὅταν φουσκώσει ἀπὸ ὑπερηφάνεια δὲν ἀνέχεται τὴ συναναστροφὴ μὲ ἄλλον, πράγμα ποὺ ἔπαθε καὶ ἡ Κόρινθος τότε. Καὶ μεταξύ τους συγκρούονταν καὶ κομμάτιασαν τὴν Ἐκκλησία καὶ ὅρισαν

ρους ἐπέστησαν διδασκάλους, καὶ κατὰ φρατρίας καὶ συμμορίας γενόμενοι ἐλυμήναντο τὸ τῆς Ἐκκλησίας ἀξίωμα. Ἐκκλησίας γὰρ ἀξίωμα, ὅταν σώματος ἀκολουθίαν πρὸς ἑαυτοὺς οἱ συλλεγόμενοι διατηρῶσι.

5. Δεῖ δὲ ταῦτα ἀποδεῖξαι ὑμῖν πάντα, ὅτι πρῶτοι Παύλου τῆς διδασκαλίας Κορίνθιοι τότε ἀπήλαυσαν, ὅτι χαρισμάτων ἦσαν πνευματικῶν πεπληρωμένοι, ὅτι καὶ βιωτικοῖς πλεονεκτήμασιν ἐκράτουν, ὅτι διὰ ταῦτα ἀπονοηθέντες ἀλλήλοις ἀπερράγησαν, καὶ οἱ μὲν τούτοις, οἱ δὲ ἐκείνοις προσένεμον ἑαυτούς. Ὅτι μὲν οὖν πρῶτοι τῆς Παύλου διδασκαλίας ἀπήλαυσαν, ἄκουσον πῶς αὐτὸ τοῦτο ὁ Παῦλος ᾐνίξατο· «ἐὰν γάρ», φησί, «πολλοὺς παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ Ἰησοῦ ἀλλ' οὐ πολλοὺς πατέρας. Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα»· ὁ δὲ γεννήσας πρῶτος εἰς φῶς ἄγει τὸ τεχθέν. Καὶ πάλιν, «ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισε»· δεικνὺς ὅτι πρῶτος τὴν διδασκαλίαν κατεβάλλετο. Ὅτι δὲ χαρίσμασιν ἐκόμων πνευματικοῖς, ἐκεῖθεν δῆλον· «εὐχαριστῶ τῷ Θεῷ μου ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ, τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ, ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι».

Καὶ μὴν ὅτι σοφίας μετεῖχον τῆς ἔξωθεν, ἐξ ὧν πολλοὺς καὶ μακροὺς κατὰ τῆς σοφίας ἀποτείνει λόγους, δῆλον ἡμῖν ἐποίησεν. Οὐδαμοῦ γὰρ αὐτὸ ταχέως ἐν ἑτέρᾳ ποιήσας ἐπιστολῇ, ἐνταῦθα καὶ πολλῇ κέχρηται τῇ κατηγορίᾳ· καὶ μάλα εἰκότως. Ἐπειδὴ γὰρ ἐνεῦθεν ἡ φλεγμονὴ γέγονεν, ἐκεῖ καὶ τὴν τομὴν ἐπήγαγεν, οὕτω λέγων· «Οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ». Ὅρα πόση κατηγορία τῆς ἔξω-

---

18. Βλ. Α' Κορ. 1,10–13.
19. Α' Κορ. 4,15.
20. Α' Κορ. 3,6.
21. Α' Κορ. 1,4–5. 7.
22. Α' Κορ. 1,17.

στὸν ἑαυτό τους πάρα πολλοὺς ἄλλους δασκάλους καὶ ἀφοῦ χωρίσθηκαν σὲ φατρίες καὶ ὁμάδες κατέστρεφαν τὸ κύρος τῆς Ἐκκλησίας[18]. Γιατὶ τὸ κύρος τῆς Ἐκκλησίας τὸ διατηροῦν οἱ πιστοὶ ὅταν εἶναι ἑνωμένοι μεταξύ τους σὰν ἕνα σῶμα.

5. Πρέπει ὅμως ὅλα αὐτὰ νὰ σᾶς τὰ ἀποδείξω, ὅτι δηλαδὴ οἱ Κορίνθιοι τότε ἀπόλαυσαν πρῶτοι τὴ διδασκαλία τοῦ Παύλου, ὅτι ἦταν γεμάτοι πνευματικὰ χαρίσματα, ὅτι ὑπερίσχυαν καὶ σὲ ὑλικὰ πλεονεκτήματα, ὅτι γι' αὐτοὺς τοὺς λόγους ὁδηγήθηκαν σὲ ἀλαζονεία καὶ χωρίσθηκαν μεταξύ τους καὶ ἄλλοι τάχθηκαν μ' αὐτοὺς καὶ ἄλλοι μ' ἐκείνους. Ὅτι λοιπὸν πρῶτοι ἀπόλαυσαν τὴ διδασκαλία τοῦ Παύλου ἄκουσε πῶς αὐτὸ τὸ ὑπαινίχθηκε ὁ Παῦλος. Γιατί, λέγει, «καὶ ἂν ἀκόμα ἔχετε πολλοὺς παιδαγωγοὺς στὴ ζωή σας στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ, δὲν ἔχετε ὅμως πολλοὺς πατέρες. Γιατὶ στὴ ζωὴ στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ ἐγὼ σᾶς γέννησα μὲ τὸ κήρυγμα τοῦ Εὐαγγελίου»[19]· καὶ ὁ πατέρας πρῶτος φέρνει στὸ φῶς τὸ παιδί. Καὶ πάλι, «ἐγὼ φύτεψα, ὁ Ἀπολλὼς πότισε»[20], δείχνοντας πὼς πρῶτος ἔσπειρε τὴ διδασκαλία. Καὶ ὅτι καυχόνταν γιὰ τὰ πνευματικά τους χαρίσματα εἶναι φανερὸ ἀπὸ τὰ ἑξῆς· «εὐχαριστῶ τὸ Θεό μου γιὰ τὴ χάρη του ποὺ σᾶς δόθηκε μὲ τὸν Ἰησοῦ Χριστό, γιατὶ αὐτὸς σᾶς πλούτισε μὲ κάθε χάρισμα, ὥστε νὰ μὴ λείπει ἀπὸ σᾶς κανένα χάρισμα»[21].

Καὶ ὅτι βέβαια ἦταν κάτοχοι τῆς σοφίας τοῦ κόσμου μᾶς τὸ φανέρωσε ἀπὸ τὸ ὅτι ἀπευθύνει πολλοὺς καὶ μακροὺς λόγους ἐναντίον τῆς σοφίας αὐτῆς. Γιατί, ἐνῶ πουθενὰ σὲ ἄλλη ἐπιστολὴ δὲν τὸ ἔκαμε αὐτὸ ἔστω καὶ σύντομα, ἐδῶ χρησιμοποιεῖ καὶ πολλὲς κατηγορίες. Ἐπειδὴ λοιπὸν ἀπὸ ἐδῶ ἔγινε ἡ φλεγμονή, ἐκεῖ ἔκαμε καὶ τὴν ἐγχείρηση, λέγοντας αὐτό· «γιατὶ ὁ Χριστὸς δὲ μὲ ἔστειλε νὰ βαπτίζω, ἀλλὰ νὰ κηρύττω τὸ εὐαγγέλιο, χωρὶς σοφὰ λόγια, ὥστε ὁ σταυρικὸς θάνατος τοῦ Χριστοῦ νὰ μὴ χάσει τὸ περιεχόμενό του»[22]. Πρόσεχε πόσο μεγά-

θεν σοφίας, ὅτι μὴ μόνον μηδὲν φαίνεται συντελοῦσα πρὸς τὴν εὐσέβειαν, ἀλλὰ καὶ ἐμπόδισμα καὶ κώλυμα γίνεται.

Καθάπερ γὰρ τὰ λαμπρὰ τῶν σωμάτων καὶ τῶν ὄψεων εὐειδεῖς καὶ καλαί, ἂν μέν τινα καλλωπισμοῦ προσθήκην ἔξωθεν λάβωσιν, εἰς τὴν τῆς οἰκείας εὐμορφίας βλάπτονται δόξαν, τῶν ὑπογραμμάτων καὶ τῶν ὑπογραφῶν καὶ τῆς ἄλλης ἐπιτεχνήσεως μεριζομένων πρὸς ἑαυτὰς τὸν τοῦ κάλλους ἔπαινον· ἂν δὲ μηδὲν ἐπαγάγῃς αὐταῖς, μᾶλλον αὐτῶν ἐκφαίνεις τὴν εὐμορφίαν, γυμνῆς καθ' ἑαυτὴν τῆς ὥρας ἀγωνιζομένης καὶ ὁλόκληρον καρπουμένης τὸ θαῦμα· οὕτω καὶ ἐπὶ τῆς εὐσεβείας καὶ τῆς νύμφης τῆς πνευματικῆς, ἄν μέν τι τῶν ἔξωθεν ἐπεισαγάγῃς αὐτῇ, ἢ πλοῦτον ἢ δυναστείαν ἢ λόγων ἰσχύν, ἐκένωσας τὴν δόξαν αὐτῆς, οὐκ ἀφεὶς ὁλόκληρον αὐτῆς φανῆναι τὸ θαῦμα, ἀλλ' εἰς πολλὰ καταμερίσας αὐτῆς τὴν δόξαν· ἐὰν δὲ ἀφῇς γυμνὴν καθ' ἑαυτὴν ἀγωνίζεσθαι, πάντα ἀποστήσας τὰ ἀνθρώπινα, τότε ἀκριβῶς αὐτῆς φανεῖται τὸ κάλλος ἅπαν, τότε ἐκλάμψει σαφῶς ἡ ἄμαχος ἰσχύς, ὅταν μήτε πλούτου, μήτε σοφίας, μήτε δυναστείας, μήτε εὐγενείας, μήτε ἄλλου τινὸς τῶν ἀνθρωπίνων δεηθεῖσα, πάντων δύνηται κρατεῖν καὶ περιγίνεσθαι, δι' ἀνθρώπων εὐτελῶν καὶ ταπεινῶν καὶ ἠπορημένων καὶ πενήτων καὶ ἰδιωτῶν, καὶ ἀσεβῶν ῥητόρων καὶ φιλοσόφων καὶ τυράννων, καὶ τῆς οἰκουμένης κρατοῦσα ἁπάσης.

Διὸ καὶ Παῦλος ἔλεγεν· «οὐκ ἦλθον καθ' ὑπεροχὴν λόγου, κηρύττων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ»· καί, «τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα καταισχύνῃ τοὺς σοφούς». Οὐχ ἁπλῶς εἶπε, 'τὰ μωρά', ἀλλά, «τὰ τοῦ κόσμου μωρά»· οὐ πάντως δέ, ὅτι τὰ τοῦ κόσμου μωρά, καὶ παρὰ τῷ Θεῷ μωρά· ἀλλὰ πολλοὶ τῶν ἐνταῦθα δοκούντων εἶναι ἀνοήτων, παρὰ τῷ

23. Δηλ. τὴν ψυχή.
24. Α' Κορ. 2,1.
25. Α' Κορ. 1,27.

λη εἶναι ἡ κατηγορία ἐναντίον τῆς σοφίας τοῦ κόσμου, γιατὶ ὄχι μόνο παρουσιάζεται πὼς δὲ συντελεῖ καθόλου στὴν εὐσέβεια, ἀλλὰ καὶ ὅτι γίνεται καὶ ἐμπόδιο καὶ κώλυμα.

Γιατί, ὅπως τὰ λαμπρὰ σώματα καὶ τὰ ὄμορφα καὶ ὡραῖα πρόσωπα, ἂν καλλωπισθοῦν μὲ κάποια ἐξωτερικὴ προσθήκη, χάνουν τὴ δόξα τῆς δικῆς τους ὀμορφιᾶς, ἐπειδὴ οἱ ἀλοιφὲς καὶ τὰ βαψίματα καὶ τὰ ἄλλα καλλυντικὰ μοιράζονται μεταξύ τους τὸν ἔπαινο τῆς ὀμορφιᾶς, ἂν ὅμως δὲν προσθέσεις τίποτε σ' αὐτά, δείχνεις περισσότερο τὴν ὀμορφιά τους, ἐπειδὴ ἡ ὀμορφιὰ ἀγωνίζεται πέρα γιὰ πέρα μόνη της καὶ κερδίζει ὁλόκληρο τὸ θαυμασμό, ἔτσι συμβαίνει καὶ μὲ τὴν εὐσέβεια καὶ τὴν πνευματικὴ νύφη[23]. Ἂν φέρεις κάτι ἀπὸ τὰ ἐξωτερικὰ σ' αὐτήν, ἢ πλοῦτο ἢ ἐξουσία ἢ δύναμη λόγων, τῆς στέρησες τὴ δόξα της, ἐπειδὴ δὲν ἄφησες νὰ φανεῖ ὁλόκληρος ὁ θαυμασμός της ἀλλὰ μοίρασες τὴ δόξα της σὲ πολλὰ πράγματα· ἂν ὅμως τὴν ἀφήσεις ν' ἀγωνίζεται πέρα γιὰ πέρα μόνη της, ἀπομακρύνοντας ὅλα τὰ ἀνθρώπινα, τότε ἀκριβῶς θὰ φανεῖ ὅλη της ἡ ὀμορφιά, τότε θὰ λάμψει καθαρὰ ἡ ἀκαταμάχητη δύναμή της, ὅταν, χωρὶς νὰ ἔχει ἀνάγκη οὔτε ἀπὸ πλοῦτο οὔτε ἀπὸ σοφία οὔτε ἀπὸ ἐξουσία οὔτε ἀπὸ εὐγενικὴ καταγωγὴ οὔτε ἀπὸ κάποιο ἄλλο ἀνθρώπινο πράγμα, θὰ μπορεῖ νὰ ὑπερισχύει καὶ νὰ τὰ νικάει ὅλα, καταβάλλοντας μὲ ἀνθρώπους ἀσήμαντους καὶ ταπεινοὺς καὶ στερημένους καὶ φτωχοὺς καὶ ἁπλοϊκοὺς τοὺς ἀσεβεῖς ρήτορες καὶ φιλοσόφους καὶ τυράννους καὶ ὅλη τὴν οἰκουμένη.

Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε, «δὲν ἦρθα μὲ ὑψηλὴ ρητορικὴ τέχνη νὰ σᾶς κηρύξω τὸ σωτήριο σχέδιο τοῦ Θεοῦ»[24]· και, «ἐκείνους ποὺ ὁ κόσμος θεωρεῖ μωροὺς διάλεξε ὁ Θεός, γιὰ νὰ ντροπιάσει τοὺς σοφούς»[25]. Δὲν εἶπε ἁπλῶς τοὺς μωρούς, ἀλλὰ «ἐκείνους ποὺ ὁ κόσμος θεωρεῖ μωρούς». Καὶ ὁπωσδήποτε δὲ λέγει πὼς ἐκεῖνοι ποὺ θεωροῦνται ἀπὸ τὸν κόσμο μωροὶ θεωροῦνται καὶ ἀπὸ τὸ Θεὸ μωροί. Πολλοὶ ὅμως ἀπ' αὐτοὺς ποὺ

Θεῷ πάντων εἰσὶ τῶν ἄλλων σοφώτεροι· ὥσπερ οὖν καὶ πολλοὶ τῶν ἐν πενίᾳ ζώντων ἐνταῦθα, πάντων εἰσὶν εὐπορώτεροι παρὰ τῷ Θεῷ. Ἐπεὶ καὶ ὁ Λάζαρος ἐκεῖνος πάντων πτωχότερος ὢν ἐν τῷ κόσμῳ, πάντων ἦν εὐπορώτερος ἐν τοῖς οὐρανοῖς. Μωρίαν τοίνυν τοῦ κόσμου καλεῖ τοὺς οὐκ ἔχοντας γλῶτταν ἠκονημένην, τοὺς τῆς ἔξωθεν οὐ μετεσχηκότας σοφίας, τοὺς εὐγλωττίας ἀπεστερημένους. «Καὶ τούτους ἐξελέξατο», φησίν, «ὁ Θεός, ἵνα καταισχύνῃ τοὺς σοφούς».

Καὶ πῶς, εἰπέ μοι, διὰ τούτων ἐκεῖνοι καταισχύνονται; Διὰ τῆς τῶν πραγμάτων πείρας. Ὅταν γὰρ τὴν χήραν τὴν ἔξω καθημένην καὶ προσαιτοῦσαν, πολλάκις δὲ καὶ τὸ σῶμα ἀνάπηρον οὖσαν ἐξετάσῃς περὶ ἀθανασίας ψυχῆς, περὶ σωμάτων ἀναστάσεως, περὶ προνοίας Θεοῦ, περὶ τῆς κατ' ἀξίαν ἀντιδόσεως, περὶ τῶν εὐθυνῶν τῶν ἐκεῖ, περὶ τοῦ φοβεροῦ δικαστηρίου, περὶ τῶν ἀποκειμένων τοῖς κατορθοῦσιν ἀγαθῶν, περὶ τῶν ἠπειλημένων τοῖς ἁμαρτάνουσι τιμωριῶν, περὶ τῶν ἄλλων ἁπάντων· εἶτα μετὰ ἀκριβείας ἀποκρίνεται καὶ πληροφορίας πολλῆς· ὁ δὲ φιλόσοφος καὶ μέγα ἐπὶ κόμῃ καὶ βακτηρίᾳ φρονῶν, μετὰ τοὺς πολλοὺς καὶ μακροὺς τῶν λόγων διαύλους, μετὰ τὰς πολλὰς καὶ ἀκαίρους ἀδολεσχίας, μηδὲ χᾶναι δύναται, μηδὲ διᾶραι στόμα περὶ τούτων ἔχει· τότε γνώσῃ καλῶς, πῶς «ἐξελέξατο τὰ μωρὰ τοῦ κόσμου ὁ Θεός, ἵνα καταισχύνῃ τοὺς σοφούς».

Ἅπερ γὰρ ἐκεῖνοι δι' ἀπόνοιαν καὶ ὑπερηφανίαν οὐκ ἠδυνήθησαν εὑρεῖν, τῆς μὲν τοῦ Πνεύματος ἑαυτοὺς ἀποστήσαντες διδασκαλίας, τοῖς δὲ οἰκείοις λογισμοῖς τὸ πᾶν ἐπιρρίψαντες, ταῦτα οἱ πτωχοὶ καὶ ἀπερριμμένοι καὶ τῆς ἔξωθεν ἀπεστερημέ-

---

26. Βλ. Λουκᾶ 16,19–31.

ἐδῶ θεωροῦνται πὼς εἶναι ἀνόητοι, ἀπὸ τὸ Θεὸ θεωροῦνται πὼς εἶναι πιὸ σοφοὶ ἀπ' ὅλους τοὺς ἄλλους. Ὅπως ἀκριβῶς καὶ πολλοὶ ἀπ' αὐτοὺς ποὺ ἐδῶ ζοῦν μέσα στὴ φτώχεια εἶναι ἀπ' ὅλους πιὸ πλούσιοι ἐνώπιον τοῦ Θεοῦ. Γιατὶ καὶ ὁ Λάζαρος ἐκεῖνος, ποὺ ἦταν πιὸ φτωχὸς ἀπ' ὅλους στὸν κόσμο, ἦταν πιὸ πλούσιος ἀπ' ὅλους στοὺς οὐρανούς[26]. «Μωρία» λοιπὸν τοῦ κόσμου ὀνομάζει αὐτοὺς ποὺ δὲν ἔχουν γλώσσα ἀκονισμένη, αὐτοὺς ποὺ δὲν κατέχουν τὴ σοφία τοῦ κόσμου, αὐτοὺς ποὺ στεροῦνται τὴν εὐγλωττία. «Καὶ αὐτούς», λέγει, «διάλεξε ὁ Θεὸς γιὰ νὰ ντροπιάσει τοὺς σοφούς».

Καὶ πῶς, πές μου, οἱ σοφοὶ ντροπιάζονται μ' αὐτόν; Μὲ τὴν πείρα τῶν πραγμάτων. Γιατὶ ὅταν τὴ χήρα, ποὺ κάθεται ἔξω καὶ ζητιανεύει καὶ πολλὲς φορὲς μάλιστα εἶναι καὶ ἀνάπηρη στὸ σῶμα, τὴν ἐρωτήσεις γιὰ τὴν ἀθανασία τῆς ψυχῆς, γιὰ τὴν ἀνάσταση τῶν σωμάτων, γιὰ τὴν πρόνοια τοῦ Θεοῦ, γιὰ τὴν ἀνταπόδοση σύμφωνα μὲ τὴν ἀξία τοῦ καθενός, γιὰ τὴν ὑποχρέωση τῆς λογοδοσίας ποὺ ὑπάρχει στὴν ἄλλη ζωή, γιὰ τὸ φοβερὸ δικαστήριο, γιὰ τὰ ἀγαθὰ ποὺ φυλάγονται γι' αὐτοὺς ποὺ κατορθώνουν τὴν ἀρετή, γιὰ τὶς τιμωρίες ποὺ ἀπειλοῦνται γιὰ τοὺς ἁμαρτωλούς, γιὰ ὅλα τὰ ἄλλα, καὶ ἀπαντάει μὲ ἀκρίβεια καὶ μὲ κάθε βεβαιότητα, ἐνῶ ὁ φιλόσοφος ποὺ ὑπερηφανεύεται γιὰ τὴν κόμη του καὶ τὸ ραβδί του, ὕστερα ἀπὸ πολλὲς καὶ μακρὲς ἀγορεύσεις του, ὕστερα ἀπὸ τὶς πολλὲς καὶ ἀνόητες φλυαρίες του, οὔτε μπορεῖ ν' ἀνοίξει τὸ στόμα του, οὔτε μπορεῖ νὰ μιλήσει γι' αὐτά, τότε θὰ γνωρίσεις καλά, πῶς «ὁ Θεὸς διάλεξε ἐκείνους ποὺ τοὺς θεωρεῖ ὁ κόσμος μωρούς, γιὰ νὰ ντροπιάσει τοὺς σοφούς».

Γιατὶ αὐτὰ ποὺ ἐκεῖνοι δὲν μπόρεσαν νὰ βροῦν ἐξ αἰτίας τῆς ἀλαζονείας καὶ τῆς ὑπερηφάνειάς τους, ἐπειδὴ ἀπομακρύνθηκαν ἀπὸ τὴ διδασκαλία τοῦ ἁγίου Πνεύματος καὶ ἀπέδωσαν τὰ πάντα στοὺς δικούς τους λογισμούς, αὐτὰ ὅλα τὰ ἔμαθαν μὲ

νοι παιδεύσεως, μετὰ ἀκριβείας ἔμαθον ἅπαντα, τῆς ἐκ τῶν οὐρανῶν ἐξαρτήσαντες ἑαυτοὺς διδασκαλίας. Οὐκ ἐνταῦθα δὲ μόνον ἵσταται κατηγορῶν τῆς ἔξωθεν σοφίας, ἀλλὰ καὶ ἕτερα τούτων πλείονα προστίθησι λέγων· «ἡ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ»· καὶ παραινῶν τοῖς ἀκούουσι πάλιν μετὰ πάσης αὐτοῖς ἀτιμίας καὶ σφοδρότητος ἔλεγεν· «εἰ γάρ τις δοκεῖ», φησίν, «ἐν ὑμῖν σοφὸς εἶναι ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός»· καὶ πάλιν· «γέγραπται, 'ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω'»· καὶ πάλιν, «Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι».

6. Ἀλλ' ὅτι μὲν σοφίας μετεῖχον οἱ Κορίνθιοι, δῆλον ἐκ τούτων· ὅτι δὲ μέγα ἐφρόνουν καὶ ἐφυσῶντο, πάλιν ἐξ αὐτῆς τῆς ἐπιστολῆς ἐστι φανερόν. Κατηγορήσας γάρ που τοῦ πεπορνευκότος, ἐπήγαγε λέγων· «καὶ ὑμεῖς δὲ πεφυσιωμένοι ἐστέ». Ὅτι δὲ ἐκ τῆς ἀπονοίας πρὸς ἀλλήλους ἤριζον, καὶ αὐτὸ τοῦτο ἐδήλωσε πάλιν εἰπών· «ὅπου γὰρ ἐν ὑμῖν ἔρις καὶ ζῆλος καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε;». Καὶ τίς ὁ τῆς ἔριδος τρόπος; Εἰς πολλοὺς ἄρχοντας κατέτεμον ἑαυτούς, καὶ διὰ τοῦτό φησι· «λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν φησιν, ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ». Ταῦτα ἔλεγεν, οὐκ ἐπειδὴ Παύλῳ καὶ Κηφᾷ καὶ Ἀπολλῷ προσένεμον ἑαυτούς, ἀλλὰ τοῖς ὀνόμασι τούτοις ἀποκρύψαι βούλεται τοὺς τῆς στάσεως αἰτίους γεγενημένους, ὥστε μὴ φανεροὺς

---

27. Α' Κορ. 3,19.
28. Α' Κορ. 3,18.
29. Α' Κορ. 1,19.
30. Α' Κορ. 3,20.
31. Α' Κορ. 5,2.
32. Α' Κορ. 3,3.
33. Α' Κορ. 1,12.

ἀκρίβεια οἱ φτωχοὶ καὶ περιφρονημένοι καὶ στερημένοι τὴν κοσμικὴ μόρφωση, ἐπειδὴ ἐξάρτησαν τὸν ἑαυτό τους ἀπὸ τὴ διδασκαλία τῶν οὐρανῶν. Δὲ σταματάει ὅμως μόνο ἐδῶ τὶς κατηγορίες ἐναντίον τῆς σοφίας τοῦ κόσμου, ἀλλὰ καὶ περισσότερα ἄλλα προσθέτει λέγοντας· «ἡ σοφία τοῦ κόσμου αὐτοῦ εἶναι μωρία στὰ μάτια τοῦ Θεοῦ»[27]. Καὶ συμβουλεύοντας τοὺς ἀκροατές του πάλι ἔλεγε σ' αὐτοὺς μὲ κάθε περιφρόνηση καὶ σφοδρότητα· «ὅποιος λοιπὸν ἀπὸ σᾶς νομίζει πὼς εἶναι σοφὸς σ' αὐτὸν ἐδῶ τὸν κόσμο, ἂς γίνει μωρός, γιὰ νὰ γίνει πραγματικὰ σοφός»[28]. Καὶ πάλι λέγει· «ἔχει γραφεῖ, θὰ ἐξαφανίσω τὴ σοφία τῶν σοφῶν καὶ θὰ καταπατήσω τὴ σύνεση τῶν συνετῶν»[29]. Καὶ πάλι, «ὁ Κύριος ξέρει πὼς οἱ σκέψεις τῶν ἀνθρώπων δὲν ἀξίζουν τίποτε»[30].

6. 'Αλλ' ὅτι βέβαια οἱ Κορίνθιοι ἦταν κάτοχοι τῆς σοφίας, εἶναι φανερὸ ἀπ' αὐτά· ὅτι ὅμως εἶχαν μεγάλη ἰδέα γιὰ τὸν ἑαυτό τους καὶ φούσκωναν ἀπὸ ὑπερηφάνεια, πάλι ἀπὸ τὴν ἐπιστολὴ αὐτὴ γίνεται αὐτὸ φανερό. Γιατί, ἀφοῦ κατηγόρησε κάπου ἐκεῖνον ποὺ εἶχε διαπράξει πορνεία, πρόσθεσε λέγοντας· «καὶ σεῖς ὅμως εἶστε ὑπερήφανοι γιὰ τὸν ἑαυτό σας»[31]. Καὶ ὅτι ἀπὸ ἀλαζονεία φιλονεικοῦσαν μεταξύ τους καὶ αὐτὸ τὸ δήλωσε πάλι, ἀφοῦ εἶπε· «ὅταν ὑπάρχει μεταξύ σας διχόνοια καὶ ζηλοτυπία καὶ διαφωνίες, δὲν εἶστε ἄνθρωποι αὐτοῦ τοῦ κόσμου καὶ δὲ συμπεριφέρεστε ὅπως οἱ ἄλλοι ἄνθρωποι;»[32]. Καὶ ποιός ἦταν ὁ τρόπος τῆς διχόνοιας; Διαιρέθηκαν σὲ πολλοὺς ἄρχοντες, καὶ γι' αὐτὸ λέγει· «καὶ τὸ λέγω αὐτὸ γιατὶ ὁ καθένας σας λέγει, ἐγὼ εἶμαι τοῦ Παύλου, ἐγὼ εἶμαι τοῦ 'Απολλώ, ἐγὼ εἶμαι τοῦ Κηφᾶ»[33]. Αὐτὰ τὰ ἔλεγε, ὄχι γιατὶ κατέτασσαν τοὺς ἑαυτούς τους στὸν Παῦλο καὶ στὸν Κηφᾶ καὶ Πέτρο καὶ στὸν 'Απολλώ, ἀλλὰ γιατὶ θέλει μὲ τὰ ὀνόματα αὐτὰ νὰ ἀποκρύψει αὐτοὺς ποὺ ἔγιναν ὑπαίτιοι τῆς ἐξέγερσης, ὥστε ὅταν τοὺς φανερώσει νὰ

καταστήσας, φιλονεικοτέρους ποιῆσαι καὶ εἰς μείζονα ἀναισχυντίαν ἀγαγεῖν.

Ὅτι γὰρ οὐ Παύλῳ καὶ Πέτρῳ καὶ Ἀπολλῷ προσένεμον ἑαυτούς, ἀλλ' ἑτέροις τισί, καὶ τοῦτο ἐκ τῶν ἑξῆς δῆλον. Ἐγκαλέσας γὰρ αὐτοῖς ἐπὶ τῇ διαστάσει ταύτῃ, πάλιν ἐπήγαγε λέγων· «ταῦτα δέ, ἀδελφοί, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλὼ δι' ὑμᾶς, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν, ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς μὴ φυσιοῦσθε κατὰ τοῦ ἑτέρου». Πολλοὶ γὰρ τῶν ἰδιωτῶν οὐχ ἔχοντες οἴκοθεν ἐπαίρεσιν, οὐδὲ τοὺς πλησίον δάκνειν, προστησάμενοί τινας ἑαυτῶν ἄρχοντας, τοῖς ἐκείνων πλεονεκτήμασιν εἰς τὴν καθ' ἑτέρων ὑπερηφανίαν ἐκέχρηντο· καὶ ἡ τῶν διδασκόντων αὐτοὺς σοφία τῆς καθ' ἑτέρων αὐτοῖς ἀπονοίας ἐγένετο πρόφασις· ὅπερ ἐσχάτης δοξομανίας ἦν, οἴκοθεν οὐκ ἔχοντας ἐναβρύνεσθαι, ταῖς ἑτέρων ὑπεροχαῖς ἀποχρῆσθαι εἰς τὴν κατὰ τῶν ἀδελφῶν ὑπεροψίαν.

Ἐπεὶ οὖν καὶ εἰς ἀπόνοιαν ἤρθησαν καὶ διεστασίαζον, καὶ εἰς πολλὰ κατέτεμνον μέρη ἑαυτούς, καὶ μέγα ἐφρόνουν ἐπὶ τῇ διδασκαλίᾳ, ὡς οἴκοθέν τε καὶ παρ' ἑαυτῶν εὑρόντες, ἀλλ' οὐχ ὡς ἄνωθεν δεξάμενοι καὶ ἐκ τῆς τοῦ Θεοῦ χάριτος τὰ τῆς ἀληθείας δόγματα, βουλόμενος αὐτῶν καταστεῖλαι τὸ φύσημα, εὐθέως ἀπὸ τῶν προοιμίων «κλητὸν» αὐτὸν ἐκάλεσε, μονονουχὶ λέγων· 'εἰ ἐγὼ ὁ διδάσκαλος οὐδὲν οἴκοθεν εὗρον, οὔτε πρότερον αὐτὸς τῷ Θεῷ προσῆλθον, ἀλλὰ κληθεὶς τότε ὑπήκουσα, πῶς ὑμεῖς οἱ μαθηταί, καὶ παρ' ἐμοῦ τὰ δόγματα δεξάμενοι, δύνασθε μέγα φρονεῖν, ὡς αὐτοὶ τούτων εὑρέται γενόμενοι;' Διὰ τοῦτο καὶ προϊὼν ἔλεγεν αὐτοῖς· «τίς γάρ σε διακρίνει; τί δὲ

34. Α' Κορ. 4,6.

μὴ γίνουν πιὸ φιλόνεικοι καὶ τοὺς ὁδηγήσει σὲ μεγαλύτερη ἀναισχυντία.

Ὅτι λοιπὸν δὲ συντάχθηκαν μὲ τὸν Παῦλο καὶ τὸν Πέτρο καὶ τὸν Ἀπολλώ, ἀλλὰ μὲ κάποιους ἄλλους, καὶ αὐτὸ γίνεται φανερὸ ἀπὸ τὰ ἑπόμενα. Γιατί, ἀφοῦ τοὺς κατηγόρησε γιὰ τὴ διαίρεση αὐτή, πάλι πρόσθεσε λέγοντας· «αὐτά, ἀδελφοί, τὰ ἐφάρμοσα στὸν ἑαυτό μου καὶ στὸν Ἀπολλῶ γιὰ χάρη σας, γιὰ νὰ μάθετε ἀπὸ τὸ παράδειγμά μας τί σημαίνει νὰ μὴν ξεπερνᾶτε ὅσα εἶναι γραμμένα καὶ κανεὶς νὰ μὴν ὑπερηφαύεται γιὰ τὸν ἕνα καὶ νὰ περιφρονεῖ τὸν ἄλλο»[34]. Γιατὶ πολλοὶ ἀπὸ τοὺς ἀνόητους, ἐπειδὴ δὲν εἶχαν γιὰ τὸν ἑαυτό τους λόγους ἀλαζονείας, καὶ δὲν μποροῦσαν οὔτε τοὺς πλησίον τους νὰ στενοχωροῦν, ἀφοῦ ὅρισαν γιὰ τὸν ἑαυτό τους κάποιους ἀρχηγούς, χρησιμοποιοῦσαν τὶς ἀρετὲς ἐκείνων στὴν καύχησή τους ἐναντίων τῶν ἄλλων · καὶ ἡ σοφία τῶν δασκάλων τους ἔγινε ἀφορμὴ τῆς ἀλαζονείας τους πρὸς τοὺς ἄλλους, πράγμα ποὺ ἦταν ἀπόδειξη τῆς χειρότερης φιλοδοξίας, νὰ μὴν μποροῦν δηλαδὴ νὰ ὑπερηφανεύονται γιὰ τὸν ἑαυτό τους, ἀλλὰ νὰ χρησιμοποιοῦν τὰ προτερήματα τῶν ἄλλων στὴν καύχησή τους ἐναντίον τῶν ἀδελφῶν.

Ἐπειδὴ λοιπὸν ὑπερηφανεύθηκαν πολὺ καὶ συγκρούσθηκαν καὶ χωρίσθηκαν σὲ πολλὲς μερίδες καὶ ὑπερηφανεύονταν γιὰ τὴ διδασκαλία, ὅτι τάχα τὴ βρῆκαν μόνοι τους καὶ χωρὶς βοήθεια καὶ ὅτι δὲ δέχθηκαν ἀπὸ τοὺς οὐρανοὺς καὶ ἀπὸ τὴ χάρη Θεοῦ τὰ δόγματα τῆς ἀλήθειας, θέλοντας νὰ καταστείλει τὴν ἀλαζονεία τους, ἀμέσως ἀπὸ τὸ προοίμιο ὀνόμασε τὸν ἑαυτό του «κλητό», σὰν νὰ ἔλεγε· ἂν ἐγὼ ὁ δάσκαλος δὲ βρῆκα μόνος μου τίποτε, οὔτε ὁ ἴδιος προσῆλθα πρῶτα στὸ Θεό, ἀλλὰ ὅταν κλήθηκα τότε ὑπάκουσα, πῶς ἐσεῖς οἱ μαθητές, ποὺ δεχθήκατε ἀπὸ μένα τὰ δόγματα τῆς πίστης μπορεῖτε νὰ ὑπερηφανεύεστε ὅτι τὰ βρήκατε αὐτὰ σεῖς οἱ ἴδιοι; Γι' αὐτὸ καὶ προχωρώντας ἔλεγε σ' αὐτούς· «ποιός λοιπὸν σὲ ἔκανε ἀνώτερο ἀπὸ

ἔχεις ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;».

Οὐδὲν οὖν ἄλλο ἐστὶ τὸ «κλητὸς» τοῦτο, ἀλλ' ἢ ταπεινοφροσύνης διδασκαλία, καὶ τύφου καθαίρεσις, καὶ πάσης ἀλαζονείας καταστολή· οὐδὲν γάρ ἐστιν, οὐδὲν οὕτως ὃ συγκρατεῖν καὶ συνέχειν ἡμᾶς δύναιτ' ἄν, ὡς ταπεινοφροσύνη καὶ μετριάζειν καὶ τὸ κατεστάλθαι καὶ μηδὲν μηδέποτε περὶ ἑαυτῶν μέγα φαντάζεσθαι. Ὅπερ καὶ ὁ Χριστὸς συνειδὼς καὶ τῆς πνευματικῆς ἐκείνης διδασκαλίας ἀρχόμενος, ἀπὸ ταπεινοφροσύνης πρῶτον τῆς παραινέσεως ἤρξατο, καὶ τὸ στόμα ἀνοίξας, τοῦτον πρῶτον εἰσήνεγκε τὸν νόμον, οὕτως εἰπών· «μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι».

Καθάπερ γάρ τις οἰκίαν μεγάλην καὶ λαμπρὰν οἰκοδομεῖσθαι μέλλων, ἀνάλογον καταβάλλεται τὸν θεμέλιον, ὥστε δυνηθῆναι τὸ μετὰ ταῦτα ἐπιθέμενον ἐνεγκεῖν βάρος· οὕτω δὴ καὶ ὁ Χριστός, τὴν μεγάλην ἐκείνην οἰκοδομὴν τῆς φιλοσοφίας ἐν ταῖς ψυχαῖς αὐτῶν ἐγείρων, ὥσπερ τινὰ θεμέλιον καὶ τρόπιν ἀσφαλῆ καὶ κρηπῖδα βεβαίαν καὶ ἀκίνητον, τὴν τῆς ταπεινοφροσύνης προκαταβάλλεται παραίνεσιν, εἰδὼς ὅτι ταύτης ἐρριζωμένης ἐν ταῖς διανοίαις τῶν ἀκουόντων, ἅπαντα ἄλλα τῆς ἀρετῆς μέρη μετὰ ἀσφαλείας οἰκοδομεῖσθαι δύναται. Ὥσπερ οὖν ταύτης ἀπούσης, κἂν ἅπασάν τις τὴν λοιπὴν ἀρετὴν κατορθώσῃ, εἰκῇ καὶ μάτην καὶ εἰς οὐδὲν δέον ἐστὶ πεπονηκώς, κατ' ἐκεῖνον τὸν ἐπὶ τῆς ψάμμου τὴν οἰκίαν οἰκοδομήσαντα, ὃς τὸν μὲν πόνον ὑπέμεινε, τοῦ δὲ κέρδους οὐκ ἀπώνατο, ἐπειδὴ θεμέλιον οὐ κατέβαλεν ἀσφαλῆ· οὕτως ὁ χωρὶς ταπεινοφροσύνης ὁτιοῦν μετιὼν ἀγαθόν, ἀπώλεσεν ἅπαντα καὶ διέφθειρε.

Ταπεινοφροσύνην δέ, οὐ τὴν ἐν ῥήμασι λέγω, οὐδὲ τὴν ἐπὶ τῆς γλώττης, ἀλλὰ τὴν ἐν τῇ διανοίᾳ, τὴν ἀπὸ τῆς ψυχῆς, τὴν ἐν

---

35. Α' Κορ. 4,7.
36. Ματθ. 5,3.
37. Βλ. Ματθ. 7,26–27.

τὸν ἄλλο; Καὶ τί ἔχεις ποὺ νὰ μὴν τὸ ἔλαβες; Καὶ ἀφοῦ τὸ ἔλαβες, γιατί καυχιέσαι σὰν νὰ μὴν τὸ ἔχεις λάβει;»[35].

Τίποτε λοιπὸν ἄλλο δὲ σημαίνει αὐτὸ τὸ «κλητὸς» παρὰ διδασκαλία ταπεινοφροσύνης καὶ γκρέμισμα ἐγωισμοῦ καὶ συντριβὴ κάθε ἀλαζονείας. Γιατὶ δὲν ὑπάρχει τίποτε, πραγματικὰ τίποτε ποὺ νὰ μπορεῖ νὰ μᾶς συγκρατεῖ καὶ νὰ μᾶς διαφυλάσσει τόσο, ὅσο ἡ ταπεινοφροσύνη καὶ τὸ νὰ εἴμαστε μετριόφρονες καὶ συνεσταλμένοι καὶ νὰ μὴ σχηματίζουμε ποτὲ καμιὰ μεγάλη ἰδέα γιὰ τὸν ἑαυτό μας. Αὐτὸ τὸ πράγμα γνωρίζοντας καλὰ καὶ ὁ Χριστὸς καὶ ἀρχίζοντας τὴν πνευματικὴ ἐκείνη διδασκαλία, ἄρχισε πρῶτα τὴν παραίνεση ἀπὸ τὴν ταπεινοφροσύνη, καὶ ὅταν ἄνοιξε τὸ στόμα του αὐτὸν τὸ νόμο παρουσίασε πρῶτα, λέγοντας αὐτό· «μακάριοι εἶναι οἱ ταπεινόφρονες»[36].

Ὅπως λοιπὸν ὅταν πρόκειται κάποιος νὰ χτίσει ἕνα μεγάλο καὶ ἐπιβλητικὸ σπίτι, βάζει καὶ ἀνάλογο θεμέλιο, ὥστε νὰ μπορέσει νὰ βαστάξει τὸ προστιθέμενο ἀργότερα βάρος, ἔτσι ἀκριβῶς καὶ ὁ Χριστός, σηκώνοντας στὶς ψυχές τους τὴ μεγάλη ἐκείνη οἰκοδομή τῆς πίστης, βάζει πρῶτα, σὰν κάποιο θεμέλιο καὶ ἀρχὴ σταθερὴ καὶ βάση μόνιμη καὶ ἀκίνητη, τὴν παραίνεση τῆς ταπεινοφροσύνης, ἐπειδὴ γνώριζε πὼς ὅταν αὐτὴ ριζώσει στὶς ψυχὲς τῶν ἀκροατῶν ὅλα τὰ ἄλλα μέρη τῆς ἀρετῆς μποροῦν νὰ χτίζονται μὲ ἀσφάλεια. Ὅπως λοιπὸν ὅταν αὐτὴ ἀπουσιάζει καὶ ἂν ἀκόμη κατορθώσει κάποιος ὅλη τὴν ὑπόλοιπη ἀρετή, κόπιασε ἄσκοπα καὶ μάταια καὶ ἄχρηστα, σὰν ἐκεῖνον ποὺ ἔχτισε τὸ σπίτι του ἐπάνω στὴν ἄμμο, ὁ ὁποῖος βέβαια ὑπέμεινε τὸν κόπο, ἀλλὰ δὲ χάρηκε τὸ κέρδος, γιατὶ δὲν ἔβαλε σταθερὸ θεμέλιο[37], ἔτσι καὶ αὐτὸς ποὺ χωρὶς ταπεινοφροσύνη ἐπιδιώκει ὁποιοδήποτε ἀγαθό, τὰ ἔχασε καὶ τὰ κατέστρεψε ὅλα.

Καὶ λέγοντας ταπεινοφροσύνη, δὲν ἐννοῶ τὴν ταπεινοφροσύνη ποὺ βρίσκεται στὰ λόγια, οὔτε ἐκείνην ποὺ βρίσκεται

συνειδότι, ἣν ὁ Θεὸς δύναται μόνος ὁρᾶν. Ἀρκεῖ τοῦτο τὸ πλεονέκτημα, καὶ καθ' ἑαυτὸ πολλάκις φαινόμενον, ἵλεω ποιῆσαι τὸν Θεόν. Καὶ τοῦτο ὁ τελώνης ἐδήλωσεν· οὐδὲν γὰρ ἔχων ἀγαθόν, οὐδὲ ἀπὸ κατορθωμάτων φανῆναι δυνάμενος, εἰπὼν μόνον, «ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ», κατῆλθεν ὑπὲρ τὸν Φαρισαῖον δικαιωθείς· καίτοι γε οὐδὲ ταπεινοφροσύνης ἦσαν ἐκεῖνα τὰ ῥήματα, ἀλλ' εὐγνωμοσύνης μόνον. Ταπεινοφροσύνης μὲν γάρ ἐστιν ὅταν μεγάλα τις ἑαυτῷ συνειδώς, μηδὲν μέγα περὶ αὐτοῦ φαντάζηται· εὐγνωμοσύνη, δέ, ὅταν, ἁμαρτωλὸς ὤν, αὐτὸ τοῦτο ὁμολογῇ.

Εἰ δὲ ὁ μηδὲν ἑαυτῷ συνειδὼς ἀγαθόν, ἐπειδὴ τοῦτο, ὅπερ ἦν, ὡμολόγησεν, οὕτω τὸν Θεὸν εἰς εὔνοιαν ἐπεσπάσατο, πόσης ἀπολαύσονται παρρησίας οἱ πολλὰ μὲν ἔχοντες ἑαυτῶν κατορθώματα εἰπεῖν, πάντων δὲ ἐκείνων ἐπιλανθανόμενοι καὶ εἰς τοὺς ἐσχάτους ἑαυτοὺς ἀριθμοῦντες; Καθάπερ οὖν καὶ ὁ Παῦλος ἐποίησε· πρῶτος γὰρ ἁπάντων ὢν τῶν δικαίων, πρῶτον ἑαυτὸν τῶν ἁμαρτωλῶν ἔλεγεν εἶναι· οὐκ ἔλεγε δὲ μόνον, ἀλλὰ καὶ ἐπέπειστο παρὰ τοῦ διδασκάλου μαθών, ὅτι μετὰ τὸ πάντα ποιῆσαι ἀχρείους δούλους ἑαυτοὺς χρὴ καλεῖν.

Τοῦτό ἐστι ταπεινοφροσύνη, τοῦτον ζηλώσατε οἱ κατορθώματα ἔχοντες, τὸν δὲ τελώνην ἡμεῖς οἱ ἁμαρτημάτων γέμοντες, καὶ ὁμολογῶμεν ὥσπερ ἐσμέν, καὶ τὸ στῆθος πλήττωμεν, καὶ τὴν διάνοιαν πείθωμεν μηδὲν μέγα περὶ ἑαυτῶν φαντάζεσθαι. Ἂν γὰρ οὕτως ὦμεν διακείμενοι, ἀρκεῖ τοῦτο ἡμῖν εἰς προσφορὰν καὶ θυσίαν· καθάπερ καὶ ὁ Δαυὶδ ἔλεγε· «θυσία τῷ

38. Λουκᾶ 18,13.
39. Α' Τιμ. 1,15.
40. Λουκᾶ 17,10.

πάνω στὴ γλώσσα, ἀλλὰ τὴν ταπεινοφροσύνη ποὺ βρίσκεται μέσα στὸ νοῦ, ποὺ προέρχεται ἀπὸ τὴν ψυχή, ποὺ βρίσκεται μέσα στὴ συνείδηση, ποὺ μόνο ὁ Θεὸς μπορεῖ νὰ τὴ βλέπει. Φθάνει αὐτὴ ἡ ἀρετή, καὶ ὅταν παρουσιάζεται μόνη της πολλὲς φορές, νὰ ἐξιλεώσει τὸ Θεό. Καὶ αὐτὸ τὸ φανέρωσε ὁ τελώνης. Γιατὶ αὐτὸν παρ' ὅλο ποὺ δὲν εἶχε κανένα ἀγαθὸ καὶ δὲν μποροῦσε νὰ παρουσιασθεῖ ἀπὸ τὰ κατορθώματά του, λέγοντας μόνο, «ἐλέησέ με τὸν ἁμαρτωλό»[38], κατέβηκε ἀπὸ τὸ ναὸ δικαιωμένος αὐτὸς ἀπὸ τὸ Θεό, παρὰ ὁ Φαρισαῖος· μολονότι βέβαια τὰ λόγια ἐκεῖνα δὲν ἦταν ἀπόδειξη ταπεινοφροσύνης, ἀλλὰ μόνο εὐγνωμοσύνης. Γιατὶ ταπεινοφροσύνη εἶναι ὅταν κάποιος, ἂν καὶ ἀναγνωρίζει στὸν ἑαυτό του μεγάλη ἀξία, δὲ φαντάζεται γιὰ τὸν ἑαυτό του τίποτε τὸ μεγάλο· ἐνῶ εὐγνωμοσύνη εἶναι ὅταν κάποιος, ἐνῶ εἶναι ἁμαρτωλός, τὸ ὁμολογεῖ αὐτό. Ἂν ὅμως ἐκεῖνος ποὺ δὲν ἀναγνώριζε στὸν ἑαυτό του κανένα ἀγαθὸ ἀπέσπασε τόση εὔνοια ἀπὸ τὸ Θεό, ἐπειδὴ ὁμολόγησε αὐτὸ ἀκριβῶς ποὺ ἦταν, πόση παρρησία θ' ἀπολαύσουν αὐτοὶ ποὺ μποροῦν νὰ ποῦν τὰ πολλά τους κατορθώματα, ἀλλὰ ὅλα τὰ ξεχνοῦν καὶ συγκαταλέγουν τὸν ἑαυτό τους ἀνάμεσα στοὺς τελευταίους; Ἔτσι ἀκριβῶς ἔκαμε καὶ ὁ Παῦλος. Γιατί, ἂν καὶ ἦταν πρῶτος ἀπ' ὅλους τοὺς δικαίους, ἔλεγε ὅτι αὐτὸς ἦταν πρῶτος ἀπὸ τοὺς ἁμαρτωλούς[39]· καὶ ὄχι μόνο τὸ ἔλεγε, ἀλλὰ τὸ εἶχε πιστέψει. Ἐπειδὴ ἀπὸ τὸ δάσκαλό του διδάχθηκε πὼς ὅταν τὰ κάνουμε ὅλα πρέπει νὰ ὀνομάζουμε τοὺς ἑαυτούς μας ἀχρήστους δούλους[40].

Αὐτὸ εἶναι ταπεινοφροσύνη, αὐτὸν μιμηθεῖτε ἐσεῖς ποὺ ἔχετε κατορθώματα, ἐνῶ τὸν τελώνη ἐμεῖς ποὺ εἴμαστε γεμάτοι ἁμαρτήματα, καὶ ἂς ὁμολογοῦμε αὐτὸ ἀκριβῶς ποὺ εἴμαστε καὶ ἂς χτυποῦμε τὸ στῆθος μας καὶ ἂς πείθουμε τὸ νοῦ μας νὰ μὴ φαντάζεται γιὰ τὸν ἑαυτό μας τίποτε τὸ μεγάλο. Γιατί, ἂν συμπεριφερόμαστε ἔτσι, μᾶς ἀρκεῖ αὐτὸ γιὰ προσφορὰ καὶ θυσία,

Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει». Οὐχ ἁπλῶς εἶπε τεταπεινωμένην, ἀλλὰ καὶ συντετριμμένην· τὸ γὰρ συντετριμμένον, καὶ διακεκλασμένον· οὐδὲ γάρ, ἐὰν βούληται, ἐπαρθῆναι δύναται. Οὕτω δὴ καὶ ἡμεῖς μὴ ταπεινώσωμεν μόνον τὴν ψυχὴν τὴν ἡμετέραν, ἀλλὰ καὶ συντρίψωμεν καὶ κατανύξωμεν· συντρίβεται δὲ οἰκείων ἁμαρτημάτων μεμνημένη συνεχῶς. Ἂν οὕτως αὐτὴν ταπεινώσωμεν, οὐδὲ βουλομένη πρὸς τῦφον ἀναστῆναι δυνήσεται, ὥσπερ τινὸς χαλινοῦ τοῦ συνειδότος ἐπιλαμβανομένου διεγειρομένης αὐτῆς, καὶ καταστέλλοντος καὶ πείθοντος μετριάζειν ἐν ἅπασιν.

Οὕτω δυνησόμεθα παρὰ τῷ Θεῷ καὶ χάριν εὑρεῖν· «ὅσῳ γὰρ μέγας εἶ», φησί, «τοσούτῳ ταπείνου σεαυτόν, καὶ ἐναντίον Κυρίου εὑρήσεις χάριν». Ὁ δὲ παρὰ τῷ Θεῷ χάριν εὑρών, οὐδενὸς αἰσθήσεται χαλεποῦ, ἀλλὰ καὶ ἐνταῦθα δυνήσεται μετὰ τῆς τοῦ Θεοῦ χάριτος ἐκεῖνα ἅπαντα μετ' εὐκολίας διαδραμεῖν τὰ δεινά, καὶ τὰς ἐκεῖ κειμένας τοῖς ἁμαρτάνουσι διαφυγεῖν τιμωρίας, τῆς χάριτος τοῦ Θεοῦ πανταχοῦ προηγουμένης καὶ πάντα ἐξευμενιζούσης αὐτῷ, ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαύειν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

41. Ψαλμ. 50,19.

42. Σοφ. Σειρ. 3,18.

ὅπως καὶ ὁ Δαβὶδ ἔλεγε· «θυσία εὐπρόσδεκτη στὸ Θεὸ εἶναι ψυχὴ συντριμμένη· καρδιὰ συντετριμμένη καὶ ταπεινωμένη ὁ Θεὸς δὲ θὰ τὴν περιφρονήσει»[41]. Δὲν εἶπε ἁπλῶς ταπεινωμένη, ἀλλὰ καὶ συντριμμένη, γιατὶ τὸ συντριμμένο εἶναι καὶ θρυμματισμένο· οὔτε βέβαια, ἂν θέλει, μπορεῖ νὰ ὑπερηφανευθεῖ. Ἔτσι λοιπὸν καὶ μεῖς ἂς μὴ ταπεινώσουμε μόνο τὴν ψυχή μας, ἀλλὰ καὶ ἂς τὴ συντρίψουμε καὶ ἂς τὴ θρυμματίσουμε· καὶ συντρίβεται ὅταν θυμᾶται συνέχεια τὰ δικά της ἁμαρτήματα. Ἂν τὴν ταπεινώσουμε ἔτσι, δὲ θὰ μπορέσει, ἔστω καὶ νὰ τὸ θέλει, νὰ ὑπερηφανευθεῖ, γιατὶ ἡ συνείδηση σὰν κάποιο χαλινάρι τὴ σταματάει ὅταν σηκώνεται καὶ τὴ συγκρατεῖ καὶ τὴν πείθει νὰ εἶναι μετρημένη σὲ ὅλα.

Ἔτσι θὰ μπορέσουμε νὰ βροῦμε καὶ χάρη ἐνώπιον τοῦ Θεοῦ. «Γιατὶ ὅσό μεγάλος εἶσαι», λέγει ἡ Γραφή, τόσο περισσότερο νὰ ταπεινώνεις τὸν ἑαυτό σου καὶ ἔτσι θὰ βρεῖς χάρη ἐνώπιον τοῦ Κυρίου[42]. Ἐκεῖνος ὅμως ποὺ βρῆκε χάρη ἐνώπιον τοῦ Θεοῦ, δὲ θὰ αἰσθανθεῖ καμιὰ δυσκολία, ἀλλὰ καὶ ἐδῶ θὰ μπορέσει μὲ τὴ χάρη τοῦ Θεοῦ νὰ ξεπεράσει εὔκολα ὅλα ἐκεῖνα τὰ δεινὰ καὶ νὰ ξεφύγει τὶς τιμωρίες ποὺ ὑπάρχουν στὴν ἄλλη ζωὴ γιὰ τοὺς ἁμαρτωλούς, γιατὶ ἡ χάρη τοῦ Θεοῦ πηγαίνει παντοῦ πρὶν ἀπ' αὐτὸν καὶ τοῦ ἐξευμενίζει τὰ πάντα. Αὐτὴ τὴ χάρη εἴθε νὰ ἀπολαμβάνουμε ὅλοι μας μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ ΤΟ ΛΕΓΟΝ, «ΟΥ ΜΟΝΟΝ ΔΕ, ΑΛΛΑ ΚΑΙ ΚΑΥΧΩΜΕΘΑ ΕΝ ΤΑΙΣ ΘΛΙΨΕΣΙΝ, ΕΙΔΟΤΕΣ, ΟΤΙ Η ΘΛΙΨΙΣ ΥΠΟΜΟΝΗΝ ΚΑΤΕΡΓΑΖΕΤΑΙ,

Καὶ τὰ ἑξῆς

1. Ἐπίπονον μὲν γηπόνῳ τὸ ζεῦξαι βόας, καὶ ἄροτρον ἑλκύσαι, καὶ αὔλακα ἀνατεμεῖν, καὶ σπέρματα καταβαλεῖν, καὶ ἀνασχέσθαι χειμῶνος, καὶ κρυμὸν ἐνεγκεῖν, καὶ περιελάσαι τάφρον, καὶ πλεονεξίαν ὑδάτων ἐπιοῦσαν τοῖς σπέρμασιν ἀποκρούσασθαι, καὶ ὄχθας ποταμῶν ὑψηλοτέρας ἐργάσασθαι, καὶ διὰ μέσης τῆς ἀρούρας βαθυτέρας αὔλακας ἀνατεμεῖν· ἀλλὰ τὰ ἐπίπονα ταῦτα καὶ μόχθον ἔχοντα, κοῦφα γίνεται καὶ ῥᾷστα, ὅταν ταῖς ἐλπίσιν ὁ γεωργὸς ἴδῃ κομῶντα τὰ λήϊα καὶ τὴν δρεπάνην ἠκονημένην καὶ τὴν ἅλωνα τῶν δραγμάτων ἐμπεπλησμένην καὶ τὸν καρπὸν ὥριμον μετὰ πολλῆς τῆς εὐφροσύνης οἴκαδε εἰσκομιζόμενον. Οὕτω καὶ κυβερνήτης ἀγρίων κυμάτων κατατολμᾷ καὶ χειμῶνος καὶ μαινομένης θαλάττης πολλάκις καταφρονεῖ καὶ πνευμάτων ἀστάτων καὶ διαποντίους κλύδωνας καὶ μακρὰς οἶδε φέρειν ἀποδημίας, ὅταν τὰ φορτία ἀναλογίζηται καὶ τοὺς τῆς ἐμπορίας λιμένας καὶ τὸν ἐκ τούτων ἄπειρον πλοῦτον τικτό-

1. Ρωμ. 5,3.

ΟΜΙΛΙΑ

ΣΤΟ ΑΠΟΣΤΟΛΙΚΟ ΡΗΤΟ ΠΟΥ ΛΕΓΕΙ «ΚΑΙ ΟΧΙ ΜΟΝΟ ΑΥΤΟ ΑΛΛΑ ΚΑΙ ΚΑΥΧΟΜΑΣΤΕ ΣΤΙΣ ΘΛΙΨΕΙΣ ΓΙΑΤΙ ΓΜΩΡΙΖΟΥΜΕ ΠΩΣ Η ΘΛΙΨΗ ΠΑΡΑΓΕΙ ΥΠΟΜΟΝΗ»[1], Καὶ τὰ ἑπόμενα

1. Εἶναι βέβαια κουραστικὸ στὸ γεωργὸ τὸ νὰ ζέψει τὰ βόδιά, νὰ σύρει τὸ ἄροτρο, ν' ἀνοίξει τὸ αὐλάκι καὶ νὰ ρίξει τοὺς σπόρους, νὰ ὑποφέρει τὴν κακοκαιρία καὶ νὰ ὑπομένει τὸ ψύχος, νὰ κατασκευάσει γύρω–γύρω τάφρο καὶ νὰ ἀντιμετωπίσει τὸ ὑπερβολικὸ νερὸ ποὺ κατακλύζει τοὺς σπόρους, νὰ κάμει πιὸ ψηλὲς τὶς ὄχθες τῶν ποταμῶν καὶ ν' ἀνοίξει μέσα στὴ γῆ βαθύτερα αὐλάκια. Ἀλλὰ τὰ ἐπίπονα αὐτὰ ἔργα ποὺ εἶναι γεμάτα ἀπὸ μόχθο γίνονται ἐλαφρὰ καὶ πάρα πολὺ εὔκολα, ὅταν ὁ γεωργός, προσδοκώντας τὰ ἀγαθά, δεῖ τὰ στάχυα μεστωμένα καὶ τὸ δρεπάνι ἀκονισμένο, τὸ ἁλώνι γεμάτο δεμάτια καὶ τὸν καρπὸ ὥριμο νὰ μεταφέρεται στὸ σπίτι του μὲ πολλὴ χαρά. Ἔτσι καὶ ὁ κυβερνήτης ἑνὸς πλοίου περιφρονεῖ τὰ ἄγρια κύματα καὶ τὴν κακοκαιρία καὶ πολλὲς φορὲς τὴ μανιασμένη θάλασσα καὶ τοὺς ἄστατους ἀνέμους, καὶ ξέρει νὰ ὑποφέρει τὶς τρικυμίες στὰ πελάγη καὶ τὰ μακρινὰ ταξίδια, ὅταν σκέπτεται τὰ φορτία καὶ τὰ ἐμπορικὰ λιμάνια καὶ ἀναλογισθεῖ τὸν ἄπειρο πλοῦτο ποὺ προ-

μενον ἴδῃ. Οὕτω καὶ στρατιώτης τραύματα φέρει καὶ νέφη βελῶν ἀποδέχεται καὶ λιμὸν ὑποφέρει καὶ κρυμὸν καὶ τὰς μακρὰς ἀποδημίας καὶ τοὺς ἐπὶ τῆς παρατάξεως κινδύνους, ἐντεῦθεν τὰ τρόπαια καὶ τὰς νίκας καὶ τοὺς στεφάνους ἀναλογιζόμενος.

Ἀλλὰ τίνος ἕνεκεν τούτων ἐμνήσθην ἢ τί μοι βούλεται ταῦτα τὰ παραδείγματα; Παράκλησιν ὑμῖν ἐντεῦθεν πρὸς τὴν ἀκρόασιν εἰσαγαγεῖν βούλομαι καὶ παραμυθίαν πρὸς τοὺς ὑπὲρ τῆς ἀρετῆς ἱδρῶτας. Εἰ γὰρ τῶν εἰρημένων ἕκαστος τὸ ἐπίπονον κοῦφον ἡγεῖται διὰ τὴν τῶν μελλόντων ἐλπίδα, καὶ ταῦτα, εἰ καί τις αὐτῶν ἐπιτυχεῖν δυνηθείη, τῷ παρόντι συγκαταλυόμενα βίῳ, πολλῷ μᾶλλον ὑμᾶς τῆς ὑπὲρ τῆς πνευματικῆς διδασκαλίας ἀκρόασιν ἀνέχεσθαι χρή, καὶ τὴν ὑπὲρ τῆς αἰωνίου ζωῆς παράταξίν τε καὶ τοὺς ἱδρῶτας γενναίως φέρειν. Τοῖς μὲν γὰρ ἄδηλα τὰ τῆς προσκαίρου ἐλπίδος ἐστὶ καὶ ἐν προσδοκίᾳ μόνῃ τῶν χρηστῶν πολλάκις γενόμενοι, τὸν βίον οὕτω κατέλυσαν, ἐντρυφήσαντες μὲν ταῖς ἐλπίσιν, ἐπὶ δὲ τῶν ἔργων αὐτῶν οὐκ ἐγγίσαντες καὶ δὴ διὰ ταῦτα τὰ χαλεπώτερα ὑπομείναντες.

Οἷόν τι λέγω· μετὰ τοὺς πολλοὺς ἐκείνους πολλάκις πόνους τε καὶ ἱδρῶτας ὁ γηπόνος ἐνίοτε ἐν αὐτῷ τῷ τὴν δρεπάνην ἀκονᾷν καὶ πρὸς τὸν ἄμητον παρασκευάζεσθαι, ἐρυσίβης κατενεχθείσης ἢ πλήθους ἀκρίδων ἢ πέρα τοῦ μέτρου τῆς ἐπομβρίας γενομένης ἢ ἑτέρας τινὸς πληγῆς ἐπενεχθείσης ἐκ τῆς τῶν ἀέρων ἀνωμαλίας, ἀπῆλθε κεναῖς οἴκαδε χερσί, τὸν μὲν πόνον ἅπαντα ὑπομείνας, τοῦ δὲ καρποῦ τῆς ἐλπίδος ἐκπεσών. Καὶ ὁ κυβερνήτης δὲ ὁμοίως χαίρων τῷ πλήθει τῶν φορτίων καὶ μετὰ πολλῆς τῆς ἡδονῆς τὰ ἱστία πετάσας καὶ περάσας πολὺ πέλαγος ἐν αὐτῷ πολλάκις τῷ στόματι τοῦ λιμένος ἢ σπιλάδος

---

2. Ἐρύσιβη· ἀρρώστια τῶν σιτηρῶν, καπνιά.

έρχεται ἀπ' αὐτά. Τὸ ἴδιο καὶ ὁ στρατιώτης ὑποφέρει τὰ τραύματα καὶ δέχεται σύννεφο τὰ βέλη, ὑπομένει τὴν πείνα, τὸ ψύχος, τὰ μακρινὰ ταξίδια καὶ τοὺς κινδύνους στὴν παράταξη, σκεπτόμενος τὰ τρόπαια καὶ τὶς νίκες καὶ τὰ στεφάνια ποὺ προέρχονται ἀπ' αὐτά.

Ἀλλὰ γιὰ ποιό λόγο τὰ θυμήθηκα αὐτὰ ἢ τί μοῦ χρειάζονται αὐτὰ τὰ παραδείγματα; Θέλω ἀπὸ ἐδῶ νὰ σᾶς προτρέψω γιὰ τὴν ἀκρόαση καὶ νὰ σᾶς παρηγορήσω γιὰ τοὺς ἱδρῶτες ὑπὲρ τῆς ἀρετῆς. Γιατί, ἂν ὁ καθένας ἀπ' αὐτοὺς ποὺ ἀναφέρθηκαν θεωρεῖ τὸ κουραστικὸ ἐλαφρὸ ἐξ αἰτίας τῆς ἐλπίδας γιὰ τὰ μελλοντικά, καὶ ὅταν μάλιστα αὐτά, κι ἂν ἀκόμα κανεὶς μπορέσει νὰ τὰ ἐπιτύχει, τελειώνουν καὶ χάνονται μαζὶ μὲ τὴν παρούσα ζωή, πολὺ περισσότερο πρέπει ἐσεῖς νὰ ὑπομένετε τὴν ἀκρόαση γιὰ τὴν πνευματικὴ διδασκαλία καὶ νὰ ὑποφέρετε μὲ γενναιότητα καὶ τὴν παράταξη καὶ τοὺς ἱδρῶτες γιὰ τὴν αἰώνια ζωή. Σ' ἐκείνους εἶναι ἀβέβαια αὐτὰ ποὺ ἀνήκουν στὴν πρόσκαιρη ἐλπίδα, καὶ πολλὲς φορὲς μὲ τὴν προσδοκία μόνο τῶν ἀγαθῶν ἔτσι τελείωσαν τὴ ζωή τους, ἀφοῦ χάρηκαν βέβαια τὶς ἐλπίδες, ἀλλὰ δὲν ἄγγιξαν τοὺς καρποὺς τῶν ἔργων αὐτῶν, καὶ μάλιστα ἀφοῦ ὑπέφεραν γι' αὐτὰ τὰ πιὸ φοβερὰ πράγματα.

Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· ὕστερα ἀπὸ τοὺς πολλοὺς ἐκείνους κόπους καὶ ἱδρῶτες ποὺ καταβάλλει πολλὲς φορὲς ὁ γεωργός, μερικὲς φορὲς τὴν ὥρα ἀκριβῶς ποὺ ἀκόνιζε τὸ δρεπάνι καὶ ἑτοιμαζόταν γιὰ τὸ θερισμό, ἐπειδὴ ἔπεσε ἐρυσίβη[2] ἢ πολλὲς ἀκρίδες ἢ ὑπερβολικὴ βροχὴ ἢ κάποια ἄλλη συμφορὰ ἐξ αἰτίας τῆς ἀκαταστασίας τῶν ἀνέμων, γύρισε μὲ ἄδεια χέρια στὸ σπίτι του, καὶ τὸν κόπο βέβαια τὸν ὑπέμεινε ὅλον, ἔχασε ὅμως τὸν καρπὸ τῆς ἐλπίδας. Ἐπίσης καὶ ὁ κυβερνήτης τοῦ πλοίου ἐνῶ χαιρόταν γιὰ τὸ μεγάλο φορτίο καὶ μὲ πολλὴ εὐχαρίστηση εἶχε ἀνοίξει τὰ πανιὰ καὶ εἶχε διασχίσει πολὺ πέλαγος, πολλὲς φορὲς σ' αὐτὴ τὴν εἴσοδο τῶν λιμανιῶν ἢ ἐπειδὴ ἔπιασε

ἐμπεσούσης ἢ ὑφάλῳ καὶ σκοπέλῳ τινὶ προσαράξας ἢ ἄλλῃ τινὶ τοιαύτῃ ἀδοκήτῳ περιστάσει πληγείς, πάντα τὸν φόρτον ἀπώλεσε καὶ μόλις τὸ ἑαυτοῦ σῶμα γυμνὸν διέσωσε μετὰ τοὺς μυρίους κινδύνους ἐκείνους. Οὕτω καὶ ὁ στρατιώτης μυρίοις πολλάκις παραταξάμενος πολέμοις καὶ ἀποκρουσάμενος τοὺς ἐναντίους καὶ τῶν ἐχθρῶν περιγενόμενος καὶ ἐν αὐτῇ ὢν τῇ προσδοκίᾳ τῆς νίκης, τὴν ζωὴν μεταλλάξας ἀπῆλθεν, οὐδενὸς ὅλως ἐκ τῶν μόχθων καὶ τῶν κινδύνων ἀπολαύσας χρηστοῦ.

Τὰ δὲ ἡμέτερα οὐ τοιαῦτα· τάς τε γὰρ ἐλπίδας αἰωνίους ἔχει ἀκινήτους τε καὶ βεβαίας, καὶ οὐ τῷ προσκαίρῳ τούτῳ συγκαταλυομένας βίῳ, ἀλλὰ πρὸς τὴν ἀκήρατον καὶ μακαρίαν ἐκείνην καὶ διαιωνίζουσαν ζωήν, καὶ οὐ μόνον ἀνωμαλίᾳ ἀέρων καὶ ἀδοκήτων πραγμάτων περιστάσει οὐκ ἐπιβουλευομένας, ἀλλ' οὐδὲ αὐτῷ τῷ θανάτῳ διαλυομένας. Ἀπὸ τῶν ἐλπίδων δὲ αὐτῶν ἴδοι τις ἂν καὶ ἐν αὐτοῖς τοῖς τυχοῦσι λάμποντα αὐτῶν τὸν καρπὸν καὶ πολλὴν καὶ μεγάλην οὖσαν τὴν ἀμοιβήν. Διὰ τοῦτο ὁ μακάριος Παῦλος ἐβόα, λέγων· «οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσι». Παρακαλῶ μὴ παραδράμωμεν τὸ εἰρημένον ἁπλῶς· ἀλλ' ἐπειδή, οὐκ οἶδα πῶς, πάλιν ἡμᾶς ὁ λόγος εἰς τὸν τοῦ καλοῦ κυβερνήτου Παύλου λιμένα εἰσήγαγεν, ἐντρυφήσωμεν τῇ λέξει, βραχείᾳ μὲν οὔσῃ, πολλῇ δὲ ἡμᾶς παιδευούσῃ φιλοσοφίᾳ.

Τί ποτ' οὖν ἐστιν ἄρα τὸ εἰρημένον καὶ τί τοῦτο εἰπὼν ᾐνίξατο ἡμῖν λέγων, «οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσι»; Μικρόν, εἰ δοκεῖ, ἀνωτέρω τὸν τῆς διδασκαλίας λόγον ἀγάγωμεν καὶ πολλὴν ὀψόμεθα τὴν σαφήνειαν καὶ τὴν τῶν νοημάτων δύναμιν ἐκεῖθεν τικτομένην ἡμῖν. Ἀλλὰ μηδένα τὸ σῶμα καταμαλακιζέτω· ἀλλ' ἀντὶ δρόσου γενέσθω ἡ τῆς πνευματικῆς ἀκροάσεως ἐπιθυμία. Καὶ γὰρ περὶ θλίψεως ἡμῖν ὁ λόγος

κάποια θύελλα ἢ ἐπειδὴ ἔπεσε σὲ κάποιον ὕφαλο καὶ σκόπελο ἢ ἐπειδὴ κτυπήθηκε ἀπὸ κάποια ἄλλη ἀπροσδόκητη τέτοια συμφορά, ἔχασε ὅλο τὸ φορτίο καὶ μόλις ἔσωσε γυμνὸ τὸ σῶμα του ὕστερα ἀπὸ τοὺς ἄπειρους ἐκείνους κινδύνους. Ἔτσι καὶ ὁ στρατιώτης, ἀφοῦ παρατάχθηκε πολλὲς φορὲς σὲ ἄπειρους πολέμους καὶ ἀπέκρουσε τοὺς ἀντιπάλους καὶ νίκησε τοὺς ἐχθροὺς ἐνῶ περίμενε τὴ νίκη, πέθανε χωρὶς ν' ἀπολαύσει κανένα ἀγαθὸ ἀπὸ τοὺς κόπους του καὶ τοὺς κινδύνους.

Τὰ δικά μας ὅμως δὲν εἶναι τέτοια. Γιατὶ καὶ τὶς ἐλπίδες ἔχουν σταθερὲς καὶ βέβαιες καὶ δὲν τελειώνουν μαζὶ μὲ τὴν πρόσκαιρη αὐτὴ ζωή, ἀλλὰ μεταφέρονται στὴν ἀθάνατη καὶ μακάρια ἐκείνη καὶ αἰώνια ζωή, καὶ ὄχι μόνο δὲν παθαίνουν κακὸ ἀπὸ τὴν ἀκαταστασία τῶν ἀνέμων καὶ ἀπὸ ἀπροσδόκητες περιστάσεις, ἀλλ' οὔτε ἀπὸ τὸν ἴδιο τὸν θάνατο δὲ διαλύονται. Καὶ ἐξ αἰτίας τῶν ἐλπίδων αὐτῶν θὰ μποροῦσε νὰ δεῖ κανεὶς καὶ σ' αὐτὰ τὰ συνηθισμένα ἀκόμα νὰ λάμπει ὁ καρπός τους καὶ νὰ εἶναι πολλὴ καὶ μεγάλη ἡ ἀμοιβή τους. Γι' αὐτὸ καὶ ὁ μακάριος Παῦλος βροντοφώναζε λέγοντας· «καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ καυχόμαστε στὶς θλίψεις». Σᾶς παρακαλῶ ἂς μὴν προσπεράσουμε ἐπιπόλαια αὐτὸ ποὺ λέχθηκε. Ἀλλ' ἐπειδή, δὲν ξέρω πῶς, πάλι ὁ λόγος μᾶς ὁδήγησε στὸ λιμάνι τοῦ καλοῦ κυβερνήτη Παύλου, ἂς ἐντριφήσουμε στὴ φράση αὐτή, ποὺ εἶναι βέβαια μικρή, ἀλλὰ πλούσια σὲ διδάγματα ἀρετῆς.

Τί λοιπὸν σημαίνει ἄραγε αὐτὸ ποὺ λέχθηκε καὶ τί μᾶς ὑποδήλωσε λέγοντας «καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ καυχόμαστε στὶς θλίψεις»; Λίγο, ἂν θέλετε, ἂς φέρουμε τὸ λόγο τῆς διδασκαλίας πιὸ πάνω καὶ θὰ δοῦμε τὴ μεγάλη σαφήνεια καὶ τὴ δύναμη τῶν νοημάτων νὰ μᾶς γεννιέται ἀπὸ ἐκεῖ. Ἀλλὰ τὸ σῶμα ἂς μὴν κάμνει κανέναν μαλθακὸ καὶ ἂς πάρει σὲ σᾶς ἡ ἐπιθυμία τῆς πνευματικῆς ἀκρόασης τὴ θέση τῆς δροσιᾶς. Γιατὶ ὁ λόγος μας εἶναι γιὰ τὴ θλίψη καὶ γιὰ τὴν ἐπιθυμία τῶν αἰώνιων ἀγα-

καὶ ἐπιθυμίας ἀγαθῶν αἰωνίων καὶ ὑπομονῆς καὶ τῆς ἐκ τούτων γινομένης ἀμοιβῆς τοῖς οὐκ ἀναπεπτωκόσι. Τί ποτ' οὖν ἐστι τό, «οὐ μόνον»; Ὁ γὰρ τοῦτο εἰρηκώς, εἰπεῖν ἡμῖν πολλὰ καὶ ἕτερα δείκνυσι προϋπηργμένα ἀγαθά· καὶ μετ' ἐκείνων καὶ τοῦτο προστίθησι, τὸ ἀπὸ τῆς θλίψεως· διὸ καὶ ἔλεγεν ὁ αὐτός· «οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν». Ὥστε δὲ σαφέστερον γενέσθαι τὸ εἰρημένον, βραχεῖαν ὥραν ἀνάσχεσθε, μακροτέραν ἡμῶν ποιουμένων τὴν διδασκαλίαν τῷ λόγῳ.

Ἐπειδὴ γὰρ κατηγγέλθη ὑπὸ τῶν ἀποστόλων τὸ θεῖον κήρυγμα καὶ περιήεσαν πανταχοῦ τῆς οἰκουμένης σπείροντες τῆς εὐσεβείας τὸν λόγον καὶ πρόρριζον ἀνασπῶντες τὴν πλάνην καὶ τοὺς πατρῴους τῶν ἀσεβῶν καταλύοντες νόμους καὶ παρανομίαν ἅπασαν ἐλαύνοντες καὶ τὴν γῆν ἐκκαθαίροντες καὶ εἰδώλων μὲν καὶ ναῶν καὶ βωμῶν καὶ πανηγύρεων τῶν ἐκεῖθεν καὶ τελετῶν κελεύοντες ἀποπηδᾶν, ἐπιγινώσκειν δὲ τὸν τῶν ὅλων ἕνα καὶ μόνον Θεὸν καὶ τὰς μελλούσας ἀναμένειν ἐλπίδας, καὶ περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος διελέγοντο καὶ περὶ ἀναστάσεως ἐφιλοσόφουν καὶ περὶ βασιλείας οὐρανῶν διελέγοντο· διὰ ταῦτα πόλεμος ἀνήφθη χαλεπός, καὶ πολέμων ἁπάντων ὁ τυραννικώτατος, καὶ πάντα θορύβου καὶ ταραχῆς καὶ στάσεως ἔγεμε, καὶ πόλεις ἅπασαι καὶ δῆμος ἅπας καὶ οἰκία καὶ οἰκουμένη καὶ ἀοίκητος, ἅτε δὴ τῶν παλαιῶν ἐθῶν διασαλευομένων καὶ τῆς ἐπὶ τοσοῦτον κατασχούσης προλήψεως διασειομένης, καινῶν δὲ εἰσαγομένων δογμάτων καὶ ὧν μηδεὶς μηδέποτε ἤκουσε· πρὸς ταῦτα βασιλεῖς ἠγρίαινον καὶ ἄρχοντες ἐδυσχέραινον καὶ ἰδιῶται ἐταράττοντο καὶ ἀγοραὶ ἐθορυβοῦντο καὶ δικαστήρια ἐχαλέπαινε καὶ ξίφη ἐγυμνοῦτο καὶ ὅπλα παρεσκευάζετο καὶ νόμοι ἠγανάκτουν.

Ἐκεῖθεν τιμωρίαι καὶ κολάσεις καὶ ἀπειλαὶ καὶ πάντα συν-

θῶν, γιὰ τὴν ὑπομονὴ καὶ γιὰ τὴν ἀμοιβὴ ποὺ προέρχεται ἀπ' αὐτὰ σὲ ὅσους δὲν ἀποθαρρύνονται. Τί λοιπὸν σημαίνει τὸ «ὄχι μόνο αὐτό»; Γιατὶ αὐτὸς ποὺ τὸ εἶπε δείχνει πὼς προηγουμένως μᾶς ἀνέφερε καὶ πολλὰ ἄλλα ἀγαθά· καὶ μαζὶ μ' ἐκεῖνα προσθέτει καὶ αὐτὸ ποὺ προέρχεται ἀπὸ τὶς θλίψεις. Γι' αὐτὸ καὶ ἔλεγε ὁ ἴδιος· «καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ καυχόμαστε στὶς θλίψεις». Καὶ γιὰ νὰ γίνει σαφέστερο αὐτό, δεῖξτε γιὰ λίγο ὑπομονή, ἀφοῦ θὰ κάνω μακρότερη τὴ διδασκαλία μὲ τὸ λόγο.

Ἀφοῦ λοιπὸν τὸ θεῖο κήρυγμα ἀναγγέλθηκε ἀπὸ τοὺς ἀποστόλους, καὶ περιῆλθαν ὅλη τὴν οἰκουμένη σπέρνοντας τὸ λόγο τῆς εὐσέβειας καὶ ξερριζώνοντας ἐντελῶς τὴν πλάνη, καταργώντας τοὺς πατροπαράδοτους νόμους τῶν ἀσεβῶν καὶ διώχνοντας κάθε παρανομία, καθαρίζοντας τὴ γῆ καὶ προτρέποντας νὰ ἀπομακρύνονται ἀπὸ τὰ εἴδωλα, τοὺς ναούς, τοὺς βωμοὺς καὶ ὅλα ἐκεῖνα τὰ πανηγύρια καὶ τὶς τελετὲς καὶ νὰ γνωρίζουν καλὰ τὸν ἕνα καὶ μοναδικὸ Θεὸ τῶν ὅλων καὶ νὰ περιμένουν τὶς μελλοντικὲς ἐλπίδες· παράλληλα μιλοῦσαν γιὰ τὸν Πατέρα καὶ τὸν Υἱὸ καὶ τὸ ἅγιο Πνεῦμα, φιλοσοφοῦσαν γιὰ τὴν ἀνάσταση καὶ κήρυτταν γιὰ τὴ βασιλεία τῶν οὐρανῶν· ἐξ αἰτίας ὅλων αὐτῶν ἄναψε τότε φοβερὸς πόλεμος, καὶ μάλιστα ὁ πιὸ τυραννικὸς ἀπ' ὅλους τοὺς πολέμους, ὅλα ἦταν γεμάτα θόρυβο καὶ ταραχὴ καὶ ἐξεγέρσεις, ὅλες οἱ πόλεις καὶ ὅλος ὁ λαὸς καὶ τὰ σπίτια καὶ ἡ κατοικημένη καὶ ἡ ἀκατοίκητη γῆ, ἐπειδὴ διασαλεύονταν οἱ παλαιὲς συνήθειες καὶ κλονιζόταν ἡ προηγούμενη ἀντίληψη ποὺ τόσο πολὺ εἶχε ἐπικρατήσει καὶ εἰσάγονταν καινούρια δόγματα γιὰ τὰ ὁποῖα κανεὶς δὲν ἄκουσε ποτέ. Μαζὶ μ' αὐτὰ οἱ βασιλεῖς ἀγρίευαν καὶ οἱ ἄρχοντες δυσανασχετοῦσαν, οἱ πολίτες ταράζονταν καὶ οἱ ἀγορὲς γέμιζαν θόρυβο, τὰ δικαστήρια γίνονταν αὐστηρά, ξίφη γυμνώνονταν καὶ ὅπλα ἑτοιμάζονταν καὶ οἱ νόμοι ἀπειλοῦσαν.

Γι' αὐτὸ ἐπιβάλλονταν τιμωρίες καὶ ποινὲς καὶ ἀπειλές,

εκινεῖτο τὰ ἐν ἀνθρώποις εἶναι δοκοῦντα δεινά. Ὥσπερ θαλάττης μαινομένης καὶ χαλεπὰ ναυάγια ὠδινούσης, οὐδὲν ἄμεινον τὰ τῆς οἰκουμένης διέκειτο, πατρὸς παῖδα διὰ τὴν εὐσέβειαν τότε ἀποκηρύττοντος, καὶ νύμφης πρὸς πενθερὰν σχιζομένης, καὶ ἀδελφῶν διαιρουμένων, καὶ δεσποτῶν κατὰ τῶν οἰκετῶν ἀγανακτούντων, καὶ τῆς φύσεως σχεδὸν πρὸς ἑαυτὴν στασιαζούσης, καὶ οὐκ ἐμφυλίου μόνον, ἀλλὰ καὶ συγγενικοῦ διὰ πάσης οἰκίας διιόντος πολέμου. Ὁ γὰρ λόγος μαχαίρας δίκην εἰσιὼν καὶ τὸ νοσοῦν ἀπὸ τοῦ ὑγιαίνοντος τέμνων, πολλὴν ἐποίει πανταχοῦ τὴν στάσιν εἶναι καὶ τὴν φιλονεικίαν, καὶ πανταχόθεν μυρίας αἵρεσθαι κατὰ τῶν πιστευόντων παρεσκεύασεν ἐπαχθείας καὶ μάχας. Ἐντεῦθεν οἱ μὲν εἰς δεσμωτήρια ἀπήγοντο, οἱ δὲ εἰς δικαστήρια, οἱ δὲ τὴν ἐπὶ θάνατον φέρουσαν ὁδόν· καὶ τῶν μὲν αἱ οὐσίαι ἐδημεύοντο, οἱ δὲ καὶ τῆς πατρίδος καὶ τῆς ζωῆς αὐτῆς πολλάκις ἐξέπιπτον, καὶ πανταχόθεν νιφάδων πυκνότερα περιειστήκει τὰ κακά· ἔνδοθεν μάχαι, ἔξωθεν φόβοι, παρὰ τῶν φίλων, παρὰ τῶν ἀλλοτρίων, παρ' αὐτῶν τῶν τῇ φύσει συνδεδεμένων ἀλλήλοις.

2. Ταῦτ' οὖν ὁρῶν ὁ μακάριος Παῦλος, ὁ τῆς οἰκουμένης παιδοτρίβης, ὁ τῶν οὐρανίων δογμάτων διδάσκαλος, ἐπειδὴ τὰ μὲν δεινὰ ἐν χερσὶν ἦν καὶ πρὸ τῶν ὀφθαλμῶν πραττόμενα, τὰ δὲ χρηστὰ ἐν ἐλπίσι μόνον καὶ ἐπαγγελίαις, βασιλεία οὐρανῶν, λέγω, καὶ ἀνάστασις καὶ τῶν ἀγαθῶν ἐκείνων λῆξις τῶν πάντα νοῦν καὶ λόγον ὑπερβαινόντων, κάμινοι δὲ καὶ τήγανα καὶ ξίφη καὶ τιμωρίαι καὶ παντοδαπαὶ κολάσεις καὶ θάνατοι οὐκ ἐν ἐλπίσιν, ἀλλ' ἐν πείρᾳ· οἱ δὲ πρὸς ταῦτα ἀγωνίζεσθαι μέλλοντες, ἀρτίως ἀπὸ βωμῶν καὶ εἰδώλων καὶ τρυφῆς καὶ ἀκολασίας καὶ μέθης εἰσποιηθέντες ἦσαν τῇ πίστει, οὐδὲν ὑψηλὸν περὶ τῆς ἀϊ-

καὶ κινοῦνταν ἐναντίον τους ὅλα μαζὶ τὰ θεωρούμενα ἀπὸ τοὺς ἀνθρώπους δεινά. Τὰ πράγματα τῆς οἰκουμένης δὲν ἦταν καθόλου καλύτερα ἀπὸ θάλασσα μανιασμένη ποὺ προκαλεῖ φοβερὰ ναυάγια, ἀφοῦ ὁ πατέρας ἀποκήρυσσε τότε τὸ παιδί του γιὰ τὴν εὐσέβεια, ἡ νύφη διαφωνοῦσε μὲ τὴν πεθερά, τὰ ἀδέλφια χωρίζονταν, οἱ κύριοι ἀγανακτοῦσαν ἐναντίον τῶν δούλων, ἡ φύση σχεδὸν ἐπαναστατοῦσε ἐναντίον τοῦ ἑαυτοῦ της, καὶ ὁ πόλεμος δὲν ἦταν μόνο ἐμφύλιος ἀλλὰ καὶ συγγενικός, προσβάλλοντας κάθε σχεδὸν σπίτι. Γιατὶ ὁ λόγος μπαίνοντας σὰν μαχαίρι καὶ κόβοντας τὸ ἄρρωστο ἀπὸ τὸ ὑγιὲς προκαλοῦσε παντοῦ μεγάλη ἀναστάτωση καὶ φιλονεικία καὶ ἀπὸ παντοῦ ἔκαμε νὰ σηκώνονται ἄπειρες ἐνοχλήσεις καὶ μάχες ἐναντίον τῶν πιστῶν. Ἔτσι ἄλλοι ὁδηγοῦνταν σὲ φυλακές, ἄλλοι σὲ δικαστήρια, ἄλλοι στὸ δρόμο ποὺ ὁδηγοῦσε στὸ θάνατο. Ἄλλων δημεύονταν οἱ περιουσίες, ἄλλοι ἔχαναν καὶ τὴν πατρίδα καὶ πολλὲς φορὲς καὶ τὴ ζωή τους ἀκόμη, καὶ ἀπὸ παντοῦ τοὺς πειρστοίχιζαν πυκνότερα ἀπὸ τὶς νιφάδες τὰ κακά. Ἀπὸ μέσα μάχες, ἀπὸ ἔξω φόβοι, ἀπὸ τοὺς φίλους, ἀπὸ τοὺς ξένους, ἀπ' αὐτοὺς ποὺ συνδέονταν μεταξύ τους μὲ συγγένεια.

2. Αὐτὰ λοιπὸν βλέποντας ὁ μακάριος Παῦλος, ὁ παιδαγωγὸς τῆς οἰκουμένης, ὁ δάσκαλος τῶν οὐράνιων δογμάτων, ἐπειδὴ τὰ δεινὰ ἦταν κοντὰ καὶ γίνονταν μπροστὰ στὰ μάτια τους, ἐνῶ τὰ ἀγαθὰ βρίσκονταν μόνο στὶς ἐλπίδες καὶ τὶς ὑποσχέσεις, δηλαδὴ ἡ βασιλεία τῶν οὐρανῶν, ἡ ἀνάσταση καὶ ἡ ἀπόκτηση τῶν ἀγαθῶν ἐκείνων ποὺ ξεπερνοῦν κάθε νοῦ καὶ λόγο· ἐπειδὴ τὰ καμίνια καὶ τὰ τηγάνια καὶ τὰ ξίφη καὶ οἱ τιμωρίες καὶ οἱ κάθε εἴδους ποινὲς καὶ θάνατοι δὲν ἦταν στὶς ἐλπίδες, ἀλλὰ δοκιμάζονταν ἀπὸ τὸν καθένα, ἐνῶ ἐκεῖνοι ποὺ ἐπρόκειτο ν' ἀγωνισθοῦν ἐναντίον αὐτῶν μόλις εἶχαν προσχωρήσει στὴν πίστη ἀπὸ τοὺς βωμοὺς καὶ τὰ εἴδωλα καὶ τὶς ἀπολαύσεις καὶ τὴ μέθη, χωρὶς νὰ ἔχουν μάθει παλαιότερα νὰ σκέπτονται τίποτε τὸ ὑψη-

δίου ζωῆς τέως μεμελετηκότες ἐννοεῖν, ἀλλὰ τῶν παρόντων ἀντεχόμενοι μᾶλλον· καὶ εἰκὸς τούτων πολλοὺς μικροψυχεῖν καὶ ἐκλύεσθαι καὶ ἀναπίπτειν καθ' ἑκάστην πολιορκουμένους ἡμέραν· ὅρα τί ποιεῖ ὁ τῶν ἀπορρήτων κοινωνὸς καὶ πρόσεχε τῇ Παύλου σοφίᾳ. Συνεχῶς περι τῶν μελλόντων αὐτοῖς διαλέγεται καὶ τὰ βραβεῖα ὑπ' ὄψιν ἄγει καὶ δείκνυσι τοὺς στεφάνους, ἀλείφων αὐτοὺς καὶ παραμυθούμενος ταῖς τῶν αἰωνίων ἀγαθῶν ἐλπίσι.

Καὶ τί φησι; «Λογιζόμεθα γάρ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς». Τί γάρ μοι λέγεις, φησί, τραύματα καὶ βωμοὺς καὶ δημίους καὶ τιμωρίας καὶ λιμοὺς καὶ δημεύσεις καὶ πενίαν καὶ δεσμὰ καὶ ἁλύσεις; πάντα ὅσα βούλει τίθει τὰ δοκοῦντα ἐν ἀνθρώποις δεινὰ καὶ οὐδὲν ἄξιον λέγεις τῶν ἐπάθλων ἐκείνων καὶ τῶν στεφάνων καὶ τῶν ἀμοιβῶν. Τὰ μὲν γὰρ τῷ παρόντι συγκαταλύεται βίῳ, τα δὲ ἐν τῷ ἀπείρῳ αἰῶνι τέλος οὐκ ἔχει· καὶ τὰ μὲν παροδεύει πρόσκαιρα ὄντα, τὰ δὲ παραμένει διηνεκῶς ἀγήρατα συνυπάρχοντα. Ὅπερ καὶ ἀλλαχοῦ τοῦτο αὐτὸ αἰνιττόμενος ἔλεγε, «τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως», τῇ ποσότητι τὴν ποιότητα ὑποτεμνόμενος, καὶ τῷ χρόνῳ τὸ φορτικὸν παραμυθούμενος.

Ἐπειδὴ γὰρ τῇ φύσει βαρέα καὶ φορτικὰ ἦν τὰ τότε συμβαίνοντα, τῷ προσκαίρῳ τὸ φορτικὸν αὐτῶν ὑποτέμνεται, λέγων· «τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. Τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια». Καὶ πάλιν ἀνάγων αὐτοὺς εἰς τὴν ἔννοιαν τοῦ μεγέθους τῶν τότε ἀγαθῶν, αὐτὴν εἰσάγει τὴν κτίσιν ὀδυνωμένην καὶ συστενάζου-

---

3. Ρωμ. 8,18.
4. Β' Κορ. 4,17.
5. Β' Κορ. 4,17. 18.

λὸ γιὰ τὴν αἰώνια ζωή, ἀλλὰ νὰ προσηλώνονται περισσότερο στὰ παρόντα, καὶ ἦταν φυσικὸ πολλοὶ ἀπ' αὐτοὺς νὰ δειλιάζουν καὶ νὰ παραλύουν καὶ ν' ἀποθαρρύνονται καθὼς πολιορκοῦνταν κάθε ἡμέρα, κοίταζε τί κάμνει ὁ κοινωνὸς τῶν ἀπόρρητων πραγμάτων καὶ πρόσεχε τὴ σοφία τοῦ Παύλου. Συνέχεια τοὺς μιλάει γιὰ τὰ μελλοντικά, φέρνει τὰ βραβεῖα ἐνώπιόν τους καὶ τοὺς δείχνει τὰ στεφάνια, προετοιμάζοντας καὶ παρηγορώντας αὐτοὺς μὲ τὶς ἐλπίδες τῶν αἰώνιων ἀγαθῶν.

Καὶ τί λέγει; «Σκεπτόμαστε πραγματικὰ πὼς τὰ παθήματα τῆς παρούσας ζωῆς δὲν ἀξίζουν ὅσο ἡ δόξα ποὺ θὰ μᾶς ἀποκαλυφθεῖ στὸ μέλλον»[3]. Τί λοιπὸν μοῦ ἀναφέρεις, λέγει, τραύματα καὶ βωμοὺς καὶ δημίους καὶ τιμωρίες, καὶ λιμοὺς καὶ δημεύσεις καὶ φτώχεια καὶ δεσμὰ καὶ ἁλυσίδες; ἀνάφερε ὅλα ὅσα θέλεις ἀπὸ ἐκεῖνα ποὺ θεωροῦνται ἀπὸ τοὺς ἀνθρώπους δεινὰ καὶ τίποτε δὲ λέγεις ἄξιο μ' ἐκεῖνα τὰ ἔπαθλα καὶ τὰ στεφάνια καὶ τὶς ἀμοιβές. Γιατὶ τὰ πρῶτα τελειώνουν μαζὶ μὲ τὴν παρούσα ζωή, ἐνῶ τὰ δεύτερα στὸν ἀτέλειωτο αἰώνα δὲν ἔχουν τέλος· καὶ τὰ πρῶτα παρέρχονται ἀφοῦ εἶναι πρόσκαιρα, ἐνῶ τὰ δεύτερα παραμένουν παντοτινὰ καὶ εἶναι μαζὶ μὲ μᾶς ἀγέραστα. Αὐτὸ ἀκριβῶς τὸ πράγμα ὑπονοώντας καὶ ἀλλοῦ ἔλεγε, «ἡ προσωρινὴ ἐλαφρὴ θλίψη μας»[4], περιορίζοντας μὲ τὴν ποσότητα τὴν ποιότητα καὶ παρηγορώντας μὲ τὸ χρόνο τὸ βάρος τῶν θλίψεων.

Ἐπειδὴ λοιπὸν τὰ τότε συμβαίνοντα ἦταν ὡς πρὸς τὴ φύση τους βαριὰ καὶ ἐνοχλητικά, περιορίζει τὴν ἐνόχλησή τους μὲ τὴν προσωρινότητά τους, λέγοντας· «ἡ προσωρινὰ ἐλαφρὴ θλίψη μας προετοιμάζει σὲ μᾶς σὲ ὑπερβολικὰ μεγάλο βαθμὸ αἰώνιο βάρος δόξας, ἀφοῦ δὲ στοχεύουμε σ' αὐτὰ ποὺ φαίνονται, ἀλλὰ σ' ἐκεῖνα ποὺ δὲ φαίνονται· γιατὶ ὅσα φαίνονται εἶναι πρόσκαιρα, ἐνῶ ὅσα δὲ φαίνονται εἶναι αἰώνια»[5]. Καὶ πάλι ὑψώνοντας αὐτοὺς στὴν ἔννοια τοῦ μεγέθους τῶν τότε ἀγαθῶν παρουσιάζει τὴν ἴδια τὴν κτίση νὰ πάσχει καὶ νὰ στενάζει μαζί

σαν ἐπὶ τοῖς παροῦσι μοχθηροῖς, καὶ σφόδρα ἐπιθυμοῦσαν τὰ μέλλοντα, ὡς πάνυ ὄντα χρηστά, λέγων οὕτω· «καὶ γὰρ ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν». Τίνος ἕνεκεν στενάζει; τίνος ἕνεκεν ὠδίνει; Τὰ μέλλοντα ἐκεῖνα προσδοκῶσα ἀγαθὰ καὶ ἐπιθυμοῦσα τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν. «Καὶ γὰρ καὶ αὐτή», φησίν, «ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ».

Ὅταν δὲ ἀκούσῃς, ὅτι στενάζει καὶ ὠδίνει, μὴ λογικὴν εἶναι νόμιζε, ἀλλὰ μάνθανε τῆς Γραφῆς τὸ εἶδος. Ὅταν γὰρ βούληται ὁ Θεὸς μέγα καὶ χρηστὸν ἀναγγεῖλαι τοῖς ἀνθρώποις διὰ τῶν προφητῶν, καὶ αὐτὰ τὰ ἄψυχα αἰσθάνεσθαι ποιεῖ τῶν γινομένων θαυμάτων τὸ μέγεθος· οὐκ ἐπειδὴ αἰσθάνεσθαι τὴν κτίσιν φαμέν, ἀλλ' ἵνα τῶν θαυμάτων τὸ μέγεθος παραστῆσαι δυνηθῇ ἐκ τῶν συμβαινόντων τοῖς ἀνθρώποις. Τοῦτο δὴ καὶ ἡμῖν ἔθος λέγειν, ὅταν τι τῶν ἀδοκήτων συμβῇ, ὅτι αὐτὴ ἡ πόλις ἐστύγνασεν, αὐτὸ τὸ ἔδαφος σκυθρωπὸν ἐγένετο· καὶ ἐπὶ τῶν φοβερῶν δὲ ἀνθρώπων καὶ θηριώδη θυμὸν ἐχόντων τοῦτο αὐτὸ εἴποι τις ἄν· ὅτι αὐτὰ τὰ θεμέλια διέσεισεν, αὐτοὶ οἱ λίθοι αὐτὸν ἐτρόμαξαν· οὐκ ἐπειδὴ ὄντως οἱ λίθοι τοῦτον ἐτρόμαξαν, ἀλλ' ἵνα τὴν ὑπερβολὴν τῆς θηριώδους καρδίας αὐτοῦ καὶ τὸν θυμὸν παραστῆσαι δυνηθῶσι.

Διὰ δὴ τοῦτο καὶ ὁ θαυμάσιος προφήτης Δαυὶδ ἀπαγγέλλων τὰ ἀγαθὰ τὰ τοῖς Ἰουδαίοις συμβάντα καὶ τὴν ἡδονὴν τὴν ἐκ τῆς ἐλευθερίας Αἰγύπτου ἐγγινομένην αὐτοῖς, ἔλεγεν· «ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ· ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω· τὰ

---

6. Ρωμ. 8,22.
7. Ρωμ. 8,21.

μας γιὰ τὰ παρόντα κακὰ καὶ νὰ ἐπιθυμεῖ πάρα πολὺ τὰ μελλοντικά, ἐπειδὴ εἶναι πολὺ καλά, λέγοντας ἔτσι· «γιατὶ καὶ ἡ κτίση στενάζει καὶ πάσχει μαζί μας μέχρι σήμερα»[6]. Γιὰ ποιό λόγο στενάζει; γιὰ ποιά αἰτία πάσχει; Ἐπειδὴ προσδοκᾶ τὰ μελλοντικὰ ἐκεῖνα ἀγαθὰ καὶ ἐπιθυμεῖ τὴ μεταβολὴ πρὸς τὸ καλύτερο. «Γιατὶ καὶ αὐτή», λέγει, «ἡ κτίση θ' ἀπελευθερωθεῖ ἀπὸ τὴν ὑποδούλωσή της στὴ φθορὰ γιὰ νὰ μπεῖ στὴν ἐλευθερία τῆς δόξας τῶν τέκνων τοῦ Θεοῦ»[7].

Ὅταν ὅμως ἀκούσεις πὼς στενάζει καὶ πονάει, νὰ μὴ νομίζεις ὅτι εἶναι λογική, ἀλλὰ μάθαινε τὴν ἰδιαιτερότητα τῆς Γραφῆ. Γιατί, ὅταν θέλει ὁ Θεὸς ν' ἀναγγείλει κάτι μεγάλο καὶ καλὸ στοὺς ἀνθρώπους μὲ τοὺς προφῆτες, κάνει καὶ αὐτὰ τὰ ἄψυχα νὰ αἰσθάνονται τὸ μέγεθος τῶν θαυμάτων ποὺ γίνονται. Καὶ δὲν τὸ λέγει ἐπειδὴ αἰσθάνεται ἡ κτίση, ἀλλὰ γιὰ νὰ μπορέσει νὰ παραστήσει τὸ μέγεθος τῶν θαυμάτων ἀπ' αὐτὰ ποὺ συμβαίνουν στοὺς ἀνθρώπους. Αὐτὸ λοιπὸν καὶ μεῖς συνηθίζουμε νὰ λέμε, ὅταν συμβεῖ κάτι ἀπὸ τὰ ἀπροσδόκητα, ὅτι αὐτὴ ἡ πόλη ἔγινε κατηφής, αὐτὸ τὸ ἔδαφος ἔγινε σκυθρωπό. Καὶ στὴν περίπτωση τῶν ἀγώνων ποὺ εἶναι φοβεροὶ καὶ ἔχουν ἄγρια διάθεση τὸ ἴδιο ἀκριβῶς θὰ μποροῦσε νὰ πεῖ κανείς, ὅτι καὶ αὐτὰ τὰ θεμέλια τὸν τράνταξαν, κι αὐτὲς οἱ πέτρες τὸν τρόμαξαν· ὄχι γιατὶ πραγματικὰ οἱ πέτρες τὸν τρόμαξαν, ἀλλὰ γιὰ νὰ μπορέσουν νὰ παραστήσουν τὴν ὑπερβολικὴ ἀγριότητα τῆς καρδιᾶς του καὶ τὴν ὀργή του.

Γι' αὐτὸ ἀκριβῶς καὶ ὁ θαυμάσιος προφήτης Δαβίδ, ἀναφέροντας τὰ ἀγαθὰ ποὺ εἶχαν συμβεῖ στοὺς Ἰουδαίους καὶ τὴν εὐχαρίστηση ποὺ τοὺς γεννήθηκε ἀπὸ τὴν ἀπελευθέρωσή τους ἀπὸ τὴν Αἴγυπτο, ἔλεγε· «κατὰ τὴν ἔξοδο τοῦ Ἰσραὴλ ἀπὸ τὴν Αἴγυπτο, τῶν ἀπογόνων τοῦ Ἰακὼβ ἀπὸ λαὸ βάρβαρο, ἔγινε ἡ Ἰουδαία τόπος ἁγιασμοῦ του καὶ ὁ Ἰσραὴλ ἐξουσία του· ἡ θάλασσα εἶδε καὶ ὑποχώρησε, ὁ Ἰορδάνης γύρισε πρὸς τὰ πίσω,

ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων, ἀπὸ προσώπου Κυρίου». Καὶ τοῦτο οὐδαμοῦ γενόμενον ἤκουσέ τις. Ἡ μὲν γὰρ θάλασσα καὶ ὁ Ἰορδάνης ἀνεστράφη εἰς τὰ ὀπίσω προστάγματι τοῦ Θεοῦ, τὰ δὲ ὄρη καὶ οἱ βουνοὶ οὐκ ἐσκίρτησαν· ἀλλ', ὅπερ ἔφθην εἰπών, τὴν ὑπερβολὴν τῆς ἡδονῆς παραστῆσαι βουλόμενος καὶ τὴν ἄνεσιν τὴν ἐκ τῆς τῶν Αἰγυπτίων κακώσεως ὑπηργμένην αὐτοῖς, καὶ αὐτὰ τὰ ἄψυχα σκιρτᾶν ἔλεγε καὶ πηδᾶν ἐπὶ τοῖς συμβεβηκόσιν αὐτοῖς χρηστοῖς· ὡς ὅταν τι καὶ λυπηρὸν ἀπαγγεῖλαι βούληται ἐξ ἡμετέρας ἁμαρτίας τικτόμενον, φησίν· «πενθήσει οἶνος, πενθήσει καὶ ἄμπελος»· καὶ ἀλλαχοῦ· «ὁδοὶ Σιὼν πενθοῦσιν»· ἀλλὰ καὶ δακρύειν τὰ ἀναίσθητα λέγει· «τεῖχος γὰρ θυγατρὸς Σιὼν κατάγαγε δάκρυα», φησί· καὶ αὐτὴν δὲ τὴν γῆν, καὶ Ἰουδαίαν πενθεῖν λέγει καὶ μεθύειν τῇ λύπῃ, οὐχ ὡς τῶν στοιχείων αἰσθανομένων τούτων, ἀλλ', ὅπερ ἔφθην εἰπών, ἕκαστος τῶν προφητῶν τὴν ὑπερβολὴν τῶν ἐκ Θεοῦ χορηγουμένων ἡμῖν ἀγαθῶν καὶ τῶν τιμωριῶν τῶν ἐκ τῆς ἡμετέρας κακίας ἐπαγομένων ἡμῖν παραστῆσαι θέλων· διὸ δὴ καὶ ὁ μακάριος Παῦλος καὶ αὐτὸς τὴν κτίσιν εἰσάγει στενάζουσαν καὶ ὀδυνωμένην, ἵνα τὸ μέγεθος τῶν δωρεῶν τοῦ Θεοῦ τῶν μετὰ ταῦτα διαδεξομένων ἡμᾶς παραστῆσαι δυνηθῇ.

3. Ἀλλὰ ταῦτα πάντα, φησίν, ἐν ἐλπίσιν· ὁ δὲ μικρόψυχος καὶ ταλαίπωρος ἄνθρωπος καὶ νῦν τῆς εἰδωλολατρίας ἀπαλλαγεὶς καὶ οὐκ εἰδὼς περὶ τῶν μελλόντων φιλοσοφεῖν, οὐ σφόδρα τούτοις διορθοῦται τοῖς λόγοις, ἀλλὰ ζητεῖ καὶ ἐν τῷ παρόντι καιρῷ εὑρέσθαι τινὰ παραμυθίαν. Διὰ δὴ τοῦτο καὶ ὁ σοφὸς οὗτος διδάσκαλος καὶ πάντα εἰδώς, οὐκ ἀπὸ τῶν μελλόντων μόνον παραμυθεῖται ἀγαθῶν, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων ἀλείφει

---

8. Ψαλμ. 113,1–4.
9. Ἡσ. 24,7.
10. Θρῆνοι Ἱερ. 1,4.
11. Θρῆνοι Ἱερ. 2,18.

τὰ ὄρη σκίρτησαν σὰν κριάρια καὶ τὰ βουνὰ σὰν ἀρνιὰ προβάτων, γιατὶ σημειώθηκε ἐκεῖ ἡ παρουσία τοῦ Κυρίου»[8]. Καὶ αὐτὸ πουθενὰ δὲν τὸ ἄκουσε κανεὶς νὰ ἔγινε. Γιατὶ ἡ θάλασσα καὶ ὁ Ἰορδάνης γύρισαν πρὸς τὰ πίσω μὲ τὸ πρόσταγμα τοῦ Θεοῦ, ἐνῶ τὰ ὄρη καὶ τὰ βουνὰ δὲ σκίρτησαν, ἀλλά, ὅπως εἶπα παραπάνω, θέλοντας νὰ παραστήσει τὴν ὑπερβολικὴ εὐχαρίστηση καὶ τὴν ἀνακούφιση ποὺ ὑπῆρξε σ' αὐτοὺς ἀπὸ τὴν κακοποίηση ποὺ εἶχαν πάθει οἱ Αἰγύπτιοι, ἔλεγε ὅτι καὶ αὐτὰ τὰ ἄψυχα σκριτοῦσαν καὶ πηδοῦσαν ἀπὸ χαρὰ γιὰ τὰ καλὰ ποὺ εἶχαν συμβεῖ σ' αὐτούς. Ὅπως καὶ ὅταν θέλει ν' ἀναγγείλει κάτι λυπηρὸ ποὺ προέρχεται ἀπὸ τὴν ἁμαρτία μας λέγει, «θὰ πενθήσει τὸ κρασί, θὰ πενθήσει καὶ τὸ ἀμπέλι»[9]· καὶ ἀλλοῦ, «οἱ δρόμοι τῆς Σιὼν πενθοῦν»[10]. Ἀλλὰ λέγει ἀκόμη ὅτι δακρύζουν καὶ τὰ ἄψυχα. «Τείχη τῆς θυγατέρας Σιὼν χύστε δάκρυα»[11], λέγει. Ἐξάλλου καὶ τὴν ἴδια τὴ γῆ καὶ τὴν Ἰουδαία τὴν παρουσιάζει νὰ πενθεῖ καὶ νὰ μεθάει ἀπὸ τὴ λύπη, ὄχι γιατὶ αἰσθάνονται τὰ στοιχεῖα αὐτά, ἀλλά, ὅπως εἶπα παραπάνω, γιατὶ κάθε προφήτης ἤθελε νὰ παρουσιάσει τὰ ἄφθονα ἀγαθὰ ποὺ μᾶς χορηγεῖ ὁ Θεὸς καὶ τὶς πολλὲς τιμωρίες ποὺ μᾶς ἐπιβάλλονται ἀπὸ τὴ δική μας κακία. Γι' αὐτὸ λοιπὸν καὶ ὁ μακάριος Παῦλος παρουσιάζει καὶ αὐτὸς τὴν κτίση νὰ στενάζει καὶ νὰ πονάει, γιὰ νὰ μπορέσει νὰ παρουσιάσει τὸ μέγεθος τῶν δωρεῶν τοῦ Θεοῦ ποὺ θὰ λάβουμε ὕστερα ἀπ' αὐτά.

3 Ἀλλ' ὅλα αὐτά, λέγει, εἶναι σὲ ἐλπίδες, ἐνῶ ὁ μικρόψυχος καὶ ταλαίπωρος ἄνθρωπος, ποὺ τώρα ἀπαλλάχθηκε ἀπὸ τὴν εἰδωλολατρία καὶ δὲ γνωρίζει νὰ φιλοσοφεῖ γιὰ τὰ μελλοντικά, δὲ διορθώνεται πολὺ μ' αὐτὰ τὰ λόγια, ἀλλὰ ζητάει καὶ στὴν παρούσα ζωὴ νὰ βρεθεῖ κάποια παρηγοριά. Γι' αὐτὸ ἀκριβῶς καὶ ὁ σοφὸς αὐτὸς δάσκαλος καὶ ποὺ γνωρίζει τὰ πάντα, δὲν παρηγορεῖ μόνο ἀπὸ τὰ μελλοντικὰ ἀγαθά, ἀλλὰ διδάσκει καὶ ἀπὸ τὰ παρόντα καλά. Καὶ πρῶτα λέγει τὰ ἀγαθὰ ποὺ ἔχουν χο-

χρηστῶν. Καὶ πρῶτον μὲν τὰ ὑπηργμένα προλέγει τῇ οἰκουμένῃ ἀγαθά, τὰ οὐκ ἐν ἐλπίσι καὶ προσδοκίᾳ, ἀλλ᾽ ἐν πείρᾳ καὶ ἀπολαύσει γενόμενα (ἅπερ καὶ τῶν μελλόντων καὶ ἐλπιζομένων μεγίστη καὶ σαφεστάτη ἀπόδειξίς ἐστι), καὶ πολὺν περὶ πίστεως κατατείνας τὸν λόγον καὶ τοῦ πατριάρχου Ἀβραὰμ μνημονεύσας (καὶ τῆς φύσεως ἀπαγορευούσης τοῦ πατέρα αὐτὸν ἔσεσθαι, ἤλπισε καὶ προσεδόκησε καὶ ἐπείσθη ἔσεσθαι, διὸ καὶ ἐγένετο), κἀκεῖθεν ἀνάγων εἰς τὸ μὴ δεῖν ποτε εἰς τὴν τῶν λογισμῶν καταπίπτειν ἀσθένειαν, ἀλλὰ τῷ μεγέθει τῆς πίστεως ὀρθοῦσθαι καὶ διανίστασθαι καὶ ὑψηλὰ φρονεῖν· μετὰ ταῦτα λέγει καὶ τῶν ὑπηργμένων τὸ μέγεθος.

Τί δὲ τοῦτό ἐστιν; Ὅτι τὸν Υἱόν, φησί, τὸν μονογενῆ, τὸν γνήσιον, τὸν ἀγαπητόν, τοῦτον ὁ Θεὸς ὑπὲρ ἡμῶν τῶν ἀγνωμόνων ἔδωκεν οἰκετῶν, καὶ τοὺς μυρίοις βεβαρημένους ἁμαρτήμασι καὶ τοσούτοις φορτίοις πιεζομένους πλημμελημάτων, οὐχὶ τῶν ἁμαρτημάτων ἀπήλλαξε μόνον, ἀλλὰ καὶ δικαίους εἰργάσατο, οὐδὲν φορτικόν, οὐδὲ ἐπίπονον ἐπιτάξας, οὐδὲ ἐπαχθές, ἀλλὰ πίστιν ζητήσας παρ᾽ ἡμῶν μόνον, καὶ δικαίους ἐποίησε καὶ ἁγίους κατεσκεύασε καὶ υἱοὺς Θεοῦ ἀπέφηνε καὶ βασιλείας κληρονόμους ἀπέδειξε καὶ τοῦ Μονογενοῦς συγκληρονόμους ἀπειργάσατο καὶ ἀνάστασιν ἐπηγγείλατο καὶ ἀφθαρσίαν σωμάτων καὶ λῆξιν μετὰ ἀγγέλων, πάντα λόγον καὶ νοῦν ὑπερβαίνουσαν, καὶ τὴν ἐν οὐρανοῖς διατριβήν, καὶ τὴν μετ᾽ αὐτοῦ ὁμιλίαν, καὶ ἁγίου Πνεύματος ἐντεῦθεν ἤδη χάριν ἐξέχεε, καὶ τῆς τοῦ διαβόλου κατοχῆς ἡμᾶς ἀπήλλαξε, καὶ τῶν δαιμόνων ἡμᾶς ἐρρύσατο, καὶ τὴν ἁμαρτίαν κατέλυσε, καὶ τὴν κατάραν ἠφάνισε, καὶ ᾅδου πύλας συνέκλασε, καὶ τὸν παράδεισον ἠνέῳξεν, οὐκ

ἀπὸ τὰ παρόντα καλά. Καὶ πρῶτα λέγει τὰ ἀγαθὰ ποὺ ἔχουν χορηγηθεῖ στὴν οἰκουμένη, ποὺ δὲν βρίσκονται στὶς ἐλπίδες καὶ τὴν προσδοκία, ἀλλ' ἀποτελοῦν πραγματικότητα καὶ τὰ ἀπόλαυσαν οἱ ἄνθρωποι (καὶ τὰ ὁποῖα εἶναι μέγιστη καὶ σαφέστερη ἀπόδειξη γιὰ τὰ μελλοντικὰ καὶ ἐλπιζόμενα), ἀφοῦ παρέτεινε πολὺ τὸ λόγο γιὰ τὴν πίστη καὶ ἀνέφερε τὸν πατριάρχη Ἀβραὰμ (πού, ἂν καὶ ἡ φύση τοῦ ἀπαγόρευε νὰ γίνει πατέρας, εἶχε ἐλπίδες καὶ περίμενε καὶ πείσθηκε ὅτι θὰ γίνει, γι' αὐτὸ καὶ ἔγινε), ὁδηγώντας μας ἀπ' αὐτὸ στὸ ὅτι δὲν πρέπει ποτὲ νὰ παρασυρόμαστε ἀπὸ τὴν ἀσθένεια τῶν λογισμῶν, ἀλλὰ μὲ τὸ μέγεθος τῆς πίστης νὰ ἀνορθωνόμαστε καὶ νὰ στεκόμαστε ψηλὰ καὶ νὰ ἔχουμε ὑψηλὸ φρόνημα. Ὕστερα ἀπ' αὐτὰ λέγει καὶ τὸ μέγεθος τῶν ἀγαθῶν ποὺ ἔχουν ἤδη χορηγηθεῖ.

Καὶ ποιά εἶναι αὐτά; Ὅτι τὸν Υἱό του, λέγει, τὸ μονογενή, τὸν γνήσιο, τὸν ἀγαπητό, αὐτὸν ὁ Θεὸς τὸν ἔδωσε γιὰ μᾶς τοὺς ἀγνώμονες δούλους του, καί, ἐνῶ ἤμασταν φορτωμένοι μὲ ἄπειρα ἁμαρτήματα καὶ πιεζόμασταν ἀπὸ τόσο πολλὰ φορτία πλημμελημάτων, ὄχι μόνο μᾶς ἀπάλλαξε ἀπὸ τὰ ἁμαρτήματα, ἀλλὰ καὶ μᾶς δικαίωσε, χωρὶς νὰ προστάξει τίποτε δυσάρεστο, οὔτε κουραστικό, οὔτε ἐνοχλητικό, ἀλλὰ ζητώντας ἀπὸ μᾶς μόνο πίστη· καὶ μᾶς δικαίωσε, καὶ μᾶς ἔκαμε ἁγίους καὶ μᾶς κατέστησε υἱοὺς τοῦ Θεοῦ καὶ μᾶς ἀνέδειξε κληρονόμους τῆς βασιλείας καὶ μᾶς ἔκαμε συγκληρονόμους τοῦ Μονογενοῦς Υἱοῦ του, καὶ ὑποσχέθηκε ἀνάσταση καὶ ἀφθαρσία σωμάτων καὶ κατάληξη μαζὶ μὲ τοὺς ἀγγέλους, ποὺ ξεπερνάει κάθε λόγο καὶ νοῦ, καὶ τὴ διαμονὴ στοὺς οὐρανοὺς καὶ τὴ συναναστροφὴ μαζί του· καὶ ἀκριβῶς γι' αὐτὸ ἔχυσε ἤδη ἄφθονη τὴ χάρη τοῦ ἁγίου Πνεύματος καὶ μᾶς ἀπάλλαξε ἀπὸ τὴν κατοχὴ τοῦ διαβόλου καὶ μᾶς ἔσωσε ἀπὸ τοὺς δαίμονες καὶ κατάργησε τὴν ἁμαρτία καὶ ἐξαφάνισε τὴν κατάρα καὶ ἔσπασε τὶς πύλες τοῦ ᾅδη καὶ ἄνοιξε τὸν παράδεισο, στέλνοντας γιὰ τὴ σωτηρία μας ὄχι ἄγγελο,

ἄγγελον, οὐκ ἀρχάγγελον, ἀλλ' αὐτὸν ἀπέστειλε τὸν Μονογενῆ ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας, ὥς φησι διὰ τοῦ προφήτου· «οὐ πρέσβυς, οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς».

Ταῦτα οὐ μυρίων στεφάνων λαμπρότερα; ὅτι ἡγιάσθημεν, ὅτι ἐδικαιώθημεν; ὅτι διὰ πίστεως; ὅτι τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ ἐξ οὐρανῶν κατελθόντος ὑπὲρ ἡμῶν; ὅτι τοῦ Πατρὸς τὸν ἀγαπητὸν αὐτοῦ δεδωκότος δι' ἡμᾶς; ὅτι Πνεῦμα ἅγιον ἐδεξάμεθα; ὅτι μετ' εὐκολίας ἁπάσης; ὅτι χάριτος ἀφάτου καὶ δωρεᾶς ἀπελαύσαμεν; Ταῦτα τοίνυν εἰπὼν καὶ διὰ μικρῶν ρημάτων ἅπαντα δηλώσας, πάλιν εἰς τὴν ἐλπίδα τὸν λόγον κατέλυσεν. Εἰπὼν γάρ, «δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην, ἐν ᾗ ἑστήκαμεν», ἐπήγαγε· «καὶ καυχώμεθα ἐπὶ τῇ ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ».

Ἐπεὶ οὖν εἶπε τὰ μὲν γεγενημένα, τὰ δὲ μέλλοντα· τὸ μὲν γὰρ δικαιωθῆναι, καὶ τὸ τὸν Υἱὸν ὑπὲρ ἡμῶν σφαγῆναι, καὶ τὸ δι' αὐτοῦ τῷ Πατρὶ προσαχθῆναι, καὶ τὸ χάριτος ἀπολαῦσαι, καὶ δωρεᾶς, καὶ τὸ ἁμαρτημάτων ἀπαλλαγῆναι, καὶ τὸ εἰρήνην ἔχειν πρὸς τὸν Θεόν, καὶ τὸ ἁγίου Πνεύματος μετασχεῖν, ταῦτα γεγενημένων ἐστί· τὰ δὲ μέλλοντα ἦν, ἡ δόξα ἐκείνη ἡ ἀπόρρητος, ὃ καὶ αὐτὸ ἐπήγαγε, λέγων· «ἐν ᾗ ἑστήκαμεν καὶ καυχώμεθα ἐπὶ ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ»· ἡ δὲ ἐλπίς, ὥσπερ ἔφθην εἰπών, οὐ σφόδρα ἱκανὴ τὸν μικρόψυχον ὀρθῶσαι καὶ ἀναστῆσαι ἀκροατήν· ὅρα τί ποιεῖ πάλιν καὶ θέασαι τὴν εὐτονίαν Παύλου καὶ τὴν φιλόσοφον γνώμην. Ἀπὸ γὰρ αὐτῶν τῶν δοκούντων λυπεῖν καὶ θορυβεῖν καὶ ταράττειν τὸν ἀκροατήν, ἀπ' αὐτῶν

---

12. Ἡσ. 63,9.
13. Ρωμ. 5,1–2.

οὔτε ἀρχάγγελο, ἀλλὰ τὸν ἴδιο τὸ Μονογενή του, ὅπως λέγει μὲ τὸν προφήτη· «ὄχι ἀπεσταλμένος, οὔτε ἄγγελος, ἀλλὰ ὁ ἴδιος ὁ Κύριος μᾶς ἔσωσε»[12].

Αὐτὰ δὲν εἶναι πιὸ λαμπρὰ ἀπὸ ἄπειρα στεφάνια; ὅτι δηλαδὴ ἁγιασθήκαμε, ὅτι δικαιωθήκαμε; ὅτι αὐτὸ ἔγινε μὲ τὴν πίστη; ὅτι ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ κατέβηκε ἀπὸ τοὺς οὐρανοὺς γιὰ μᾶς; ὅτι ὁ Πατέρας ἔδωσε γιὰ μᾶς τὸν ἀγαπημένο του; ὅτι δεχθήκαμε ἅγιο Πνεῦμα; ὅτι αὐτὸ ἔγινε μὲ κάθε εὐκολία; ὅτι ἀπολαύσαμε ἀνείπωτη χάρη καὶ δωρεά; Ἀφοῦ λοιπὸν τὰ εἶπε αὐτὰ καὶ τὰ δήλωσε ὅλα πολὺ σύντομα, πάλι στὴν ἐλπίδα κατέληξε τὸ λόγο. Γιατί, ἀφοῦ εἶπε, «ἐφόσον λοιπὸν δικαιωθήκαμε ἐπειδὴ πιστέψαμε, ἔχουμε εἰρήνη μὲ τὸ Θεὸ μὲ τὴ μεσολάβηση τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ὁ ὁποῖος μᾶς ὁδήγησε μὲ τὴν πίστη σ' αὐτὴ τὴ χάρη, στὴν ὁποία στεκόμαστε», πρόσθεσε· «καὶ καυχόμαστε γιὰ τὴν ἐλπίδα συμμετοχῆς μας στὴ δόξα τοῦ Θεοῦ»[13].

Ἀφοῦ λοιπὸν εἶπε αὐτὰ ποὺ ἔγιναν καὶ αὐτὰ ποὺ θὰ γίνουν στὸ μέλλον· τὸ ὅτι δηλαδὴ δικαιωθήκαμε καὶ τὸ ὅτι ὁ Υἱὸς θυσιάσθηκε γιὰ μᾶς καὶ τὸ ὅτι αὐτὸς μᾶς ὁδήγησε στὸν Πατέρα καὶ τὸ ὅτι ἀπολαύσαμε χάρη καὶ δωρεὰ καὶ ἀπαλλαχθήκαμε ἀπὸ τὰ ἁμαρτήματα καὶ τὸ ὅτι ἔχουμε εἰρήνη μὲ τὸ Θεὸ καὶ τὸ ὅτι μετέχουμε στὸ ἅγιο Πνεῦμα, αὐτὰ ἀνήκουν στὰ ὅσα ἔχουν γίνει, ἐνῶ τὰ μελλοντικὰ ἦταν ἡ δόξα ἐκείνη ἡ ἀπόρρητη, πράγμα ποὺ καὶ αὐτὸ πρόσθεσε λέγοντας, «στὴν ὁποία στεκόμαστε, καὶ καυχόμαστε γιὰ τὴν ἐλπίδα τῆς συμμετοχῆς μας στὴ δόξα τοῦ Θεοῦ»· κι ἐπειδὴ ἡ ἐλπίδα, ὅπως εἶπα παραπάνω, δὲν εἶναι πολὺ ἱκανὴ νὰ ὀρθώσει καὶ νὰ σηκώσει τὸ μικρόψυχο ἀκροατή, γι' αὐτὸ πρόσεχε τί κάνει πάλι καὶ κοίταξε τὴ δύναμη τοῦ Παύλου καὶ τὴ φιλόσοφη σκέψη του. Γιατὶ ἀπ' αὐτὰ ποὺ φαίνονται νὰ λυποῦν καὶ ν' ἀνησυχοῦν καὶ νὰ ταράζουν τὸν ἀκροατή, ἀπ'

τούτων ἀναπλέκει τῆς παρακλήσεως καὶ τοῦ καυχήματος τοὺς στεφάνους.

Ἐπειδὴ γὰρ ταῦτα πάντα κατέλεξε, λοιπὸν ἐπάγει λέγων· οὐ μόνον ταῦτα λέγω, ἅπερ εἶπον, φησίν, οἷον τό, ὅτι ἡγιάσθημεν, ὅτι ἐδικαιώθημεν, ὅτι διὰ τοῦ Μονογενοῦς, ὅτι χάριτος ἀπηλαύσαμεν, ὅτι εἰρήνης, ὅτι δωρεᾶς, ὅτι ἁμαρτημάτων ἀφέσεως, ὅτι Πνεύματος ἁγίου κοινωνίας, ὅτι μετ' εὐκολίας ἁπάσης, ὅτι καὶ χωρὶς μόχθων καὶ χωρὶς ἱδρώτων, ὅτι πίστει μόνῃ, ὅτι τὸν Υἱὸν ἔπεμψε τὸν μονογενῆ, ὅτι τὸ μὲν ἔδωκε, τὸ δὲ ἐπηγγείλατο, δόξαν ἄρρητον, ἀφθαρσίαν, σωμάτων ἀνάστασιν, λῆξιν ἀγγελικήν, τὴν μετὰ Χριστοῦ διαγωγήν, τὴν ἐν οὐρανοῖς διατριβήν· ταῦτα γὰρ ἅπαντα παρέστησεν ἐν τῷ εἰπεῖν, «καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ».

Οὐ τοίνυν ταῦτα λέγει μόνον τὰ γενόμενα καὶ τὰ ἐσόμενα, ἀλλὰ καὶ αὐτὰ τὰ δοκοῦνται εἶναι ἐν ἀνθρώποις λυπηρά, τὰ δικαστήρια λέγω, τὰς ἀπαγωγάς, τοὺς θανάτους, τὰς ἀπειλάς, τοὺς λιμούς, τὰς βασάνους, τὰ τήγανα, τὰς καμίνους, τὴν λεηλασίαν, τοὺς πολέμους, τὰς πολιορκίας, τὰς μάχας, τὰς στάσεις, τὰς φιλονεικίας, καὶ ταῦτα τίθησιν ἐν τάξει δωρεᾶς καὶ κατορθωμάτων. Οὐ γὰρ ἐπ' ἐκείνοις μόνοις τοῖς εἰρημένοις χαίρειν δεῖ καὶ γεγηθέναι, ἀλλὰ καὶ ἐν τούτοις καυχᾶσθαι χρή, ὡς ὅταν λέγῃ· «νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου». Εἶδες ψυχὴν εὔτονον καὶ γνώμην ὑψηλὴν καὶ φρόνημα ἀπερίτρεπτον, οὐκ ἐπὶ τοῖς στεφάνοις καλλωπιζόμενον μόνον, ἀλλὰ καὶ ἐπὶ τοῖς ἀγωνίσμασιν ἐνηδυνόμενον; οὐκ ἐπὶ ταῖς ἀμοιβαῖς χαίροντα, ἀλλὰ καὶ ἐπὶ τοῖς παλαίσμασιν ἐναβρυνόμενον; οὐκ ἐπὶ ταῖς ἀντιδόσεσιν εὐφραινομενον, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ παγκρατίῳ καυχώμενον;

Μὴ γάρ μοι λέγε τὴν βασιλείαν τῶν οὐρανῶν, μηδὲ τοὺς

---

14. Κολ. 1,24.

15. Παγκράτιο· σύνθετο ἀγώνισμα ἀπὸ πάλη καὶ πυγμαχία.

αὐτὰ τὰ ἴδια ξαναπλέκει τὰ στεφάνια τῆς παρηγοριᾶς καὶ τῆς καύχησης.

Ἀφοῦ λοιπὸν ὅλα αὐτὰ τὰ ἀνέφερε, στὴ συνέχεια προσθέτει λέγοντας· δὲ λέγω μόνο αὐτά, ποὺ εἶπα, τὸ ὅτι δηλαδὴ ἁγιασθήκαμε, τὸ ὅτι δικαιωθήκαμε, τὸ ὅτι αὐτὸ ἔγινε μὲ τὸ Μονογενή του, τὸ ὅτι ἀπολαύσαμε χάρη, εἰρήνη, δωρεά, ἄφεση ἁμαρτημάτων καὶ κοινωνία τοῦ ἁγίου Πνεύματος, ὅτι αὐτὸ ἔγινε μὲ κάθε εὐκολία καὶ χωρὶς κόπους καὶ χωρὶς ἱδρῶτες, ὅτι μὲ τὴν πίστη μόνο, ὅτι ἔστειλε τὸ μονογενὴ Υἱό του, ὅτι ἄλλα ἔδωσε καὶ ἄλλα ὑποσχέθηκε, ὅπως δόξα ἀνείπωτη, ἀφθαρσία, ἀνάσταση σωμάτων, ἀγγελικὴ κατάληξη, τὴ συναναστροφὴ μὲ τὸ Χριστό, τὴ διαμονὴ στοὺς οὐρανούς· γιατὶ ὅλα αὐτὰ τὰ παρέστησε μὲ τὸ νὰ πεῖ, «καὶ καυχόμαστε γιὰ τὴν ἐλπίδα τῆς συμμετοχῆς μας στὴ δόξα τοῦ Θεοῦ».

Δὲ λέγει λοιπὸν αὐτὰ μόνο ποὺ ἔγιναν καὶ ποὺ θὰ γίνουν, ἀλλὰ καὶ αὐτὰ ποὺ φαίνονται στοὺς ἀνθρώπους λυπηρά, δηλαδὴ τὰ δικαστήρια, τὶς συλλήψεις, τοὺς θανάτους, τὶς ἀπειλές, τοὺς λιμούς, τὰ βασανιστήρια, τὰ τηγάνια, τὰ καμίνια, τὴ λεηλασία, τοὺς πολέμους, τὶς πολιορκίες, τὶς μάχες, τὶς ἐξεγέρσεις, τὶς φιλονεικίες, καὶ αὐτὰ τὰ τοποθετεῖ στὴ θέση τῆς δωρεᾶς καὶ τῶν κατορθωμάτων. Γιατὶ δὲν πρέπει μόνο γιὰ ἐκεῖνα ποὺ ἔχουν λεχθεῖ νὰ χαιρόμαστε καὶ νὰ ἀγαλλόμαστε, ἀλλὰ καὶ γι' αὐτὰ πρέπει νὰ καυχόμαστε, ὅπως ὅταν λέγει· «χαίρομαι τώρα ποὺ ὑποφέρω γιὰ σᾶς καὶ ἀναπληρώνω στὴ σάρκα μου ἐκεῖνο ποὺ λείπει στὰ παθήματα τοῦ Χριστοῦ»[14]. Εἶδες ψυχὴ δυνατὴ καὶ σκέψη ὑψηλὴ καὶ φρόνημα σταθερό, ποὺ δὲν καυχιέται μόνο γιὰ τὰ στεφάνια, ἀλλὰ ποὺ εὐχαριστιέται καὶ γιὰ τὰ ἀγωνίσματα; ποὺ δὲ χαίρεται γιὰ τὶς ἀμοιβές, ἀλλὰ ποὺ καμαρώνει καὶ γιὰ τοὺς ἀγῶνες; ποὺ δὲν εὐφραίνεται γιὰ τὶς ἀνταποδόσεις, ἀλλὰ ποὺ καυχιέται καὶ γι' αὐτὸ τὸ παγκράτιο[15];

Γιατὶ μὴ μοῦ λέγεις τὴ βασιλεία τῶν οὐρανῶν, οὔτε τὰ

στεφάνους ἐκείνους τοὺς ἀκηράτους, μηδὲ τὰ βραβεῖα, ἀλλ' αὐτὰ τὰ παρόντα, τὰ θλῖψιν ἔχοντα καὶ μόχθον καὶ ταλαιπωρίαν πολλήν· ταῦτα εἰς μέσον ἄγε καὶ δυνήσομαι δεῖξαι, ὅτι ἐπὶ τούτοις καυχᾶσθαι δεῖ μᾶλλον μειζόνως. Ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν ἀγώνων τὰ μὲν παλαίσματα τὸν πόνον ἔχει, ὁ δὲ στέφανος τὴν ἡδονήν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πρὸ τῶν στεφάνων αὐτὰ τὰ παλαίσματα πολὺ φέρει τὸ καύχημα. Καὶ ἵνα μάθητε ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἀναλογίσασθε ἕκαστον τῶν ἁγίων τῶν ἐφ' ἑκάστης γενεᾶς, ὥς φησιν· «ὑπόδειγμα λάβετε, ἀδελφοί, τῆς κακοπαθείας καὶ τῆς ὑπομονῆς, τοὺς προφήτας, οἳ ἐλάλησαν τὸν λόγον ἐν ὀνόματι Κυρίου».

Ἀλλὰ γὰρ καὶ οὗτος αὐτὸς ὁ νῦν ἡμῖν τὸν ἀγῶνα τοῦτον προτείνας καὶ τὸ παρὸν πνευματικὸν θέατρον συγκροτήσας, Παῦλον λέγω, μετὰ τὸ τὰς μυρίας αὐτὸν ἐκείνας ἑκάστου τῶν ἁγίων καταλέξαι ταλαιπωρίας, ἃς μηδὲ ῥᾴδιον νῦν κατὰ λόγον διεξιέναι, ἐπάγει λέγων· «περιῆλθον· ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος», καὶ ἐπὶ τούτοις πᾶσιν ἀγαλλόμενοι. Τοῦτο δὲ αὐτὸ ἴδοι τις ἄν, ὅτε μετὰ τὴν φυλακὴν καὶ τὰς λοιδορίας μαστιχθέντες ἀπηλαύνοντο, τί φησιν; «Οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι».

4. Ἀλλὰ γὰρ καὶ ἐπὶ ἡμῶν ταῦτα γέγονε· καὶ εἰ βούλοιτό τις, ἐνθυμηθήτω ὃ λέγω, ἐν τῷ καιρῷ τῶν διωγμῶν οἷα συνέβαινεν. Εἰσῄει παρθένος ἁπαλὴ καὶ ἀπειρόγαμος, κηροῦ μαλακώτερον ἔχουσα σῶμα· εἶτα τῷ ξύλῳ προσηλωθεῖσα πάντοθεν, διωρύττετο τὰς πλευρὰς καταξεομένη καὶ κατερρεῖτο τῷ αἵματι, καὶ καθάπερ νυμφευομένη μᾶλλον καὶ ἐν παστάδι καθημένη,

---

16. Ἰακ. 5,10.
17. Ἑβρ. 11,37-38.
18. Πράξ. 5,41.

στεφάνια ἐκεῖνα τὰ ἀμάραντα, οὔτε τὰ βραβεῖα, ἀλλὰ αὐτὰ τὰ παρόντα, ποὺ ἔχουν θλίψη καὶ μόχθο καὶ ταλαιπρία πολλή. Αὐτὰ φέρε στὴ μέση καὶ θὰ μπορέσω νὰ δείξω ὅτι γι' αὐτὰ πρέπει νὰ καυχιέται κανεὶς πολὺ περισσότερο. Γιατὶ στοὺς ἀθλητικοὺς ἀγῶνες τὰ ἀγωνίσματα ἔχουν τὸν κόπο, ἐνῶ τὸ στεφάνι τὴν εὐχαρίστηση· ἐδῶ ὅμως δὲ συμβαίνει τὸ ἴδιο, ἀλλὰ καὶ πρὶν τὰ στεφάνια τὰ ἴδια τὰ ἀγωνίσματα προκαλοῦν μεγάλη καύχηση. Καὶ γιὰ νὰ μάθετε ὅτι αὐτὰ ἔτσι πραγματικὰ ἔχουν, ἀναλογισθεῖτε τὸν κάθε ἅγιο τῆς κάθε γενεᾶς, ὅπως λέγει· «ἀδελφοί, πάρτε γιὰ παράδειγμα τῆς κακοπάθειας καὶ τῆς ὑπομονῆς τοὺς προφῆτες, ποὺ μίλησαν στὸ ὄνομα τοῦ Κυρίου[16].

Ἀλλὰ καὶ αὐτὸς ὁ ἴδιος ποὺ μᾶς πρότεινε τώρα αὐτὸν τὸν ἀγώνα καὶ συγκρότησε τὸ παρὸν πνευματικὸ θέαμα, ἐννοῶ τὸν Παῦλο, ἀφοῦ ἀνέφερε τὶς ἄπειρες ἐκεῖνες ταλαιπωρίες τοῦ κάθε ἁγίου, τὶς ὁποῖες δὲν εἶναι εὔκολο τώρα νὰ τὶς ἐξετάσουμε στὸ λόγο, προσθέτει λέγοντας· «περιπλανήθηκαν ντυμένοι μὲ προβιὲς καὶ κατσικίσια δέρματα, ἔζησαν μὲ στερήσεις, ὑπέφεραν θλίψεις καὶ κακουχίες, ἐκεῖνοι γιὰ τοὺς ὁποίους δὲν ἦταν ἄξιος ὁ κόσμος»[17], καὶ γιὰ ὅλα αὐτὰ χαίρονταν. Καὶ ἀκριβῶς τὸ ἴδιο θὰ μποροῦσε νὰ δεῖ κανείς, ὅταν μετὰ τὴ φυλακὴ καὶ τὶς ὕβρεις διώχνονταν, ἀφοῦ εἶχαν μαστιγωθεῖ· καὶ τί λέγει; «Οἱ ἀπόστολοι ἔφυγαν ἀπὸ τὸ συνέδριο χαρούμενοι γιατὶ ἀξιώθηκαν νὰ κακοποιηθοῦν γιὰ χάρη τοῦ ὀνόματος τοῦ Χριστοῦ»[18].

4. Ἀλλὰ βέβαια καὶ στὴν ἐποχή μας ἔγιναν αὐτά. Καὶ ἂν θέλει κανείς, ἂς θυμηθεῖ αὐτὸ ποὺ λέγω, τὸ τί συνέβαινε δηλαδὴ στὸν καιρὸ τῶν διωγμῶν. Συλλαμβανόταν μία παρθένα ἁπαλὴ καὶ ἄγαμη, ποὺ εἶχε σῶμα πιὸ μαλακὸ ἀπὸ κερί. Ἔπειτα, ἀφοῦ ἀπὸ παντοῦ καρφωνόταν στὸ ξύλο, τῆς τρυποῦσαν τὰ πλευρὰ καὶ τὰ ξέσχιζαν, καὶ ἔτρεχε τὸ αἷμα πρὸς τὰ κάτω, καὶ σὰν νὰ παντρευόταν μᾶλλον καὶ νὰ καθόταν σὲ νυφικὸ θάλαμο, ἔτσι μὲ ὅλον της τὸν πόθο ὑπέφερε ὅσα γίνονταν γιὰ τὴ βασιλεία τῶν

οὕτω μετ' εὐνοίας ἔφερε τὰ γινόμενα διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, ἐν αὐτοῖς τοῖς ἀγῶσι στεφανουμένη. Ἐννόησον ἡλίκον ἦν ἰδεῖν τύραννον μετὰ στρατοπέδων καὶ ξιφῶν ἠκονημένων καὶ ὅπλων τοσούτων ἀπὸ μιᾶς κόρης νικώμενον. Ὁρᾷς ὅτι καὶ αὐτὴ ἡ θλῖψις καύχησιν ἔχει μεγίστην; Καὶ μαρτυρεῖτε τοῖς λεγομένοις ὑμεῖς. Οὔπω γὰρ τῶν μαρτύρων ἀπολαβόντων τὰς ἀμοιβάς, οὐδὲ τὰ βραβεῖα καὶ τοὺς στεφάνους, ἀλλ' εἰς κόνιν διαλυθέντων καὶ τέφραν, μετὰ πάσης προθυμίας συντρέχομεν εἰς τὰς ἐκείνων τιμάς, καὶ θέατρον συγκροτοῦμεν πνευματικόν, καὶ ἀνακηρύττομεν τούτους, καὶ στεφανοῦμεν αὐτοὺς διά τε τὰ τραύματα καὶ τὸ αἷμα, διὰ τὰς βασάνους καὶ τὰς πληγάς, διὰ τὰς θλίψεις ἐκείνας καὶ τὰς στενοχωρίας· οὕτω καὶ αὐταὶ αἱ θλίψεις καύχημα ἔχουσι καὶ πρὸ τῆς ἀμοιβῆς.

Ἐννόησον ἡλίκος ἦν ὁ Παῦλος τότε τὰ δεσμωτήρια οἰκῶν καὶ εἰς δικαστήρια ἐπαγόμενος, πῶς περίβλεπτος, πῶς λαμπρὸς καὶ περιφανὴς παρὰ πᾶσιν ἐφαίνετο, μάλιστα δὲ παρ' ὧν ἐπολεμεῖτο καὶ ἐπεβουλεύετο. Καὶ τί λέγω, ἀνθρώποις περίβλεπτος, ὅπουγε καὶ τοῖς δαίμοσι τότε μᾶλλον ἦν φοβερός, ὅτε ἐμαστίζετο; Ὅτε δὲ ἐδεσμεῖτο, ὅτε ἐναυάγει, τότε τὰ μέγιστα εἰργάζετο σημεῖα, τότε μειζόνως περιεγένετο τῶν ἀντικειμένων δυνάμεων. Εἰδὼς οὖν καλῶς τὸ ἀπὸ τῶν θλίψεων τούτων προσγινόμενον τῇ ψυχῇ κέρδος, ἔλεγεν· «ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι»· εἶτα ἐπάγει· «διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς ἐν παθήμασιν, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ».

Διὰ τοῦτο καὶ πρός τινας ἐν Κορίνθῳ διατρίβοντας καὶ πρὸς τούτους ἀποτεινόμενος μεγαλοφρονοῦντας ἐφ' ἑαυτοῖς, τῶν δὲ λοιπῶν καταψηφιζομένους, τὸν χαρακτῆρα τῆς ἐπιστολῆς ἀπογράφων, ἀνάγκην ἔσχεν ἐντεῦθεν τῶν καθ' ἑαυτὸν κα-

---

19. Β' Κορ. 12,10. 9.

οὐρανῶν καὶ στεφανωνόταν στὴ διάρκεια αὐτῶν τῶν ἀγώνων. Σκέψου πόσο μεγάλο ἦταν νὰ δεῖ κανεὶς ἕνα τύραννο μὲ στρατεύματα καὶ ἀκονισμένα ξίφη καὶ τόσο πολλὰ ὅπλα νὰ νικιέται ἀπὸ μία κόρη. Βλέπεις ὅτι καὶ αὐτὴ ἡ θλίψη ἔχει πάρα πολὺ μεγάλη καύχηση; Καὶ βεβαιώνετε τὰ λεγόμενα ἐσεῖς. Γιατί, παρ' ὅλο ποὺ ἀκόμη οἱ μάρτυρες δὲν ἀπόλαυσαν τὶς ἀμοιβές, οὔτε τὰ βραβεῖα καὶ τὰ στεφάνια, ἀλλὰ διαλύθηκαν σὲ σκόνη καὶ στάχτη, μὲ κάθε προθυμία τρέχουμε ὅλοι μαζὶ στὶς τιμές τους καὶ συγκροτοῦμε πνευματικὸ θέαμα καὶ τοὺς ἀνακηρύσσουμε νικητὲς καὶ τοὺς στεφανώνουμε καὶ γιὰ τὰ τραύματα καὶ γιὰ τὸ αἷμα, γιὰ τὰ βασανιστήρια καὶ τὶς πληγὲς καὶ τὶς θλίψεις ἐκεῖνες καὶ τὶς στενοχώριες· τόσο μεγάλο καύχημα ἔχουν κι αὐτὲς οἱ θλίψεις καὶ πρὶν τὴν ἀμοιβή.

Σκέψου δηλαδὴ πόσο μεγάλος ἦταν ὁ Παῦλος τότε ποὺ βρισκόταν στὶς φυλακὲς καὶ ὁδηγοῦνταν σὲ δικαστήρια, πόσο περίβλεπτος, πόσο λαμπρὸς καὶ περιφανὴς φαινόταν σὲ ὅλους, καὶ μάλιστα σ' αὐτοὺς ποὺ τὸν πολεμοῦσαν καὶ τὸν ἐχθρεύονταν. Καὶ γιατί λέγω περίβλεπτος στοὺς ἀνθρώπους ἀφοῦ βέβαια καὶ στοὺς δαίμονες τότε ἦταν περισσότερο φοβερός, ὅταν μαστιγωνόταν; Καὶ ὅταν φυλακιζόταν, ὅταν ναυαγοῦσε, τότε ἔκανε τὰ πιὸ μεγάλα θαύματα, τότε περισσότερο νικοῦσε τὶς ἀντίπαλες δυνάμεις. Γνωρίζοντας λοιπὸν καλὰ τὸ κέρδος ποὺ γίνεται στὴν ψυχὴ ἀπὸ τὶς θλίψεις αὐτές, ἔλεγε· «ὅταν εἶμαι ἀδύνατος, τότε πραγματικὰ εἶμαι δυνατός». Καὶ ἔπειτα προσθέτει· «γι' αὐτὸ χαίρομαι γιὰ τὶς ἀρρώστιες, γιὰ τὶς ὕβρεις, τὶς ἀνάγκες, τοὺς διωγμοὺς καὶ τὰ παθήματα, γιὰ νὰ κατασκηνώσει σὲ μένα ἡ δύναμη τοῦ Χριστοῦ»[19].

Γι' αὐτὸ καὶ ἀπευθυνόμενος σὲ κάποιους ποὺ διέμεναν στὴν Κόρινθο καὶ εἶχαν μεγάλη ἰδέα γιὰ τὸν ἑαυτό τους, ἐνῶ καταδίκαζαν τοὺς ἄλλους, περιγράφοντας τὸ χαρακτήρα τῆς ἐπιστολῆς, ἔκρινε ἀναγκαῖο ἐξ αἰτίας αὐτοῦ νὰ προσθέσει τὴν

τορθωμάτων συνθεῖναι ἡμῖν τὴν εἰκόνα, καὶ τοῦτο οὐκ ἀπὸ τῶν σημείων, οὐκ ἀπὸ τῶν θαυμάτων, οὐκ ἀπὸ τῆς τιμῆς, οὐκ ἀπὸ τῆς ἀνέσεως, ἀλλ' ἀπὸ τῶν δεσμωτηρίων καὶ τῶν δικαστηρίων καὶ τοῦ λιμοῦ καὶ τοῦ ψύχους καὶ τῶν πολέμων καὶ τῶν ἐπιβουλῶν, οὕτω λέγων αὐτοῖς· «διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ»· καὶ δεικνὺς τό, «ὑπέρ», καὶ τὴν ὑπεροχήν, φησίν· «ἐν κόποις περισσοτέρως, ἐν θανάτοις πολλάκις», καὶ τὰ ἑξῆς· «εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι».

Ὁρᾷς αὐτὸν ἐν τούτοις μᾶλλον μειζόνως καυχώμενον ἢ ἐπὶ λαμπροῖς στεφάνοις ἐγκαλλωπιζόμενον, καὶ διὰ τοῦτο λέγοντα· «οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσι»; Τί δέ ἐστι τό, «οὐ μόνον»; Οὐ μόνον, φησίν, οὐκ ἐκκακοῦμεν θλιβόμενοι καὶ ταλαιπωροῦντες, ἀλλ' ὡς ἐπὶ μείζονι προκόπτοντες τιμῇ καὶ δόξῃ, καυχώμεθα μᾶλλον ἐπὶ τοῖς συμβαίνουσι θλιβεροῖς. Εἶτα, ἐπειδὴ δόξαν ἔφησεν εἶναι μεγίστην καὶ καύχημα ἀπὸ τῶν θλίψεων καὶ καλλωπισμόν· ἡ δὲ δόξα εὔδηλον ὅτι καὶ ἡδονὴν ἔχει· ὅπου γὰρ ἡδονή, πάντως ὅτι καὶ δόξα, ὅπου δὲ δόξα τοιαύτη, πάντως καὶ ἡδονή· ἐπειδὴ τοίνυν ἔδειξε λαμπρὸν καὶ περιφανὲς τὸ θλίβεσθαι καὶ ποιοῦν καλλωπίζεσθαι, λέγει ἕτερον αὐτοῦ κατόρθωμα μέγιστον, καὶ καρπὸν μέγιστόν τινα καὶ παράδοξον. Τίς δὲ οὗτός ἐστιν ἴδωμεν. «Εἰδότες οὖν», φησίν, «ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει».

Τί ἐστιν, «εἰδότες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται»; Τοῦτο μέγιστον ἔχει τὸν καρπόν, ἰσχυρότερον ποιεῖ τὸν θλιβό-

20. Β' Κορ. 11,23.
21. Β' Κορ. 11,30.
22. Ρωμ. 5,3-5.

εἰκόνα τῶν κατορθωμάτων του, καὶ αὐτὸ ὄχι ἀπὸ τὶς θαυμαστὲς πράξεις, οὔτε ἀπὸ τὰ θαύματα, οὔτε ἀπὸ τὴν τιμή, οὔτε ἀπὸ τὴν ἄνεση, ἀλλ' ἀπὸ τὶς φυλακὲς καὶ τὰ δικαστήρια καὶ τὴν πείνα καὶ τὸ κρύο καὶ τοὺς πολέμους καὶ τὶς ἐπιβουλές, λέγοντας σ' αὐτοὺς τὸ ἑξῆς· «εἶναι ὑπηρέτες τοῦ Χριστοῦ; θὰ μιλήσω σὰν τρελλός· ἐγὼ εἶμαι μὲ τὸ παραπάνω». Καὶ γιὰ νὰ δείξει τὸ «παραπάνω» καὶ τὴν ὑπεροχή του λέγει· «σὲ κόπους πολὺ περισσότερο, σὲ πληγὲς σὲ ὑπερβολικὸ βαθμό, σὲ φυλακίσεις περισσότερο, πολλὲς φορὲς κινδύνεψα καὶ νὰ θανατωθῶ»[20] καὶ τὰ ἑπόμενα. «Ἂν πρέπει νὰ καυχιέμαι, θὰ καυχηθῶ γιὰ τὴν ἀδυναμία μου»[21].

Βλέπεις αὐτὸν νὰ καυχιέται γι' αὐτὰ πολὺ περισσότερο, παρὰ νὰ ὑπερηφανεύεται γιὰ τὰ λαμπρὰ στεφάνια καὶ γι' αὐτὸ νὰ λέγει, «καὶ ὄχι μόνο, ἀλλὰ καυχόμαστε ἀκόμη καὶ στὶς θλίψεις»; Τί σημαίνει ὅμως τὸ «ὄχι μόνο»; Ὄχι μόνο, λέγει δὲ λυποψυχοῦμε ὅταν θλιβόμαστε καὶ ταλαιπωρούμαστε, ἀλλὰ σὰν νὰ προοδεύουμε σὲ μεγαλύτερη τιμὴ καὶ δόξα καυχόμαστε περισσότερο γιὰ τὰ θλιβερὰ ποὺ μᾶς συμβαίνουν. Στὴ συνέχεια, ἀφοῦ εἶπε πὼς ἀπὸ τὶς θλίψεις εἶναι πολὺ μεγάλη ἡ δόξα καὶ ἡ καύχηση καὶ τὸ στόλισμα, καὶ ἡ δόξα εἶναι ὁλοφάνερο ὅτι ἔχει καὶ ἡδονή, γιατὶ ὅπου ὑπάρχει ἡδονὴ ὁπωσδήποτε ὑπάρχει καὶ δόξα, καὶ ὅπου ὑπάρχει τέτοια δόξα ὁπωσδήποτε ὑπάρχει καὶ ἡδονή· ἀφοῦ λοιπὸν ἔδειξε πὼς τὸ νὰ θλίβεται κανεὶς εἶναι λαμπρὸ καὶ περίφημο καὶ προκαλεῖ καύχηση, λέγει ἄλλο πολὺ μεγάλο κατόρθωμά του καὶ κάποιον καρπὸ πολὺ μεγάλο καὶ παράδοξο. Ἂς δοῦμε λοιπὸν ποιός εἶναι αὐτός. «Γνωρίζοντας λοιπόν», λέγει, «ὅτι ἡ θλίψη παρέχει ὑπομονή, ἡ ὑπομονὴ σταθερότητα, ἡ σταθερότητα ἐλπίδα, καὶ ἡ ἐλπίδα δὲν ἀπογοητεύει»[22].

Τί σημαίνει, «γνωρίζοντας ὅτι ἡ θλίψη παρέχει ὑπομονή»; Αὐτὸ ἔχει πολὺ μεγάλο τὸν καρπό, αὐτὸ κάνει πιὸ δυνατὸ

μενον τοῦτο. Καθάπερ γὰρ τῶν δένδρων τὰ μὲν σκιατροφούμενα καὶ ἐν ἀπηνέμοις ἑστηκότα χωρίοις, εὐθαλοῦντα τῇ ἰδέᾳ, μαλακώτερα γίνεται καὶ χαῦνα, πάσῃ ἀνέμων προσβολῇ ταχέως βλαπτόμενα, τὰ δὲ ἐν κορυφαῖς ὀρέων ὑψηλοτέροις ἑστῶτα καὶ πολλοῖς καὶ μεγάλοις ῥιπιζόμενα τοῖς ἀνέμοις καὶ ἀνωμαλίαν ἀέρων συνεχῆ φέροντα καὶ χαλεπωτάτῃ ζάλῃ κλονούμενα καὶ χιόνι πολλῇ βαλλόμενα, σιδήρου παντὸς ἰσχυρότερα μᾶλλον καθέστηκε· καὶ σώματα δὲ ὁμοίως τὰ πολλαῖς καὶ ποικίλαις ἡδοναῖς συστρεφόμενα καὶ μαλακοῖς ἱματίοις κοσμούμενα καὶ συνεχέσι λουτροῖς καὶ μύροις κεχρημένα καὶ πολυειδέσι τροφαῖς ὑπὲρ τὴν χρείαν τρυφῶντα, παντάπασιν ἄχρηστα πρὸς τοὺς ὑπὲρ τῆς εὐσεβείας ἱδρῶτας καὶ πόνους καθίστανται, κολάσεως ὄντα μεγίστης ὑπεύθυνα· οὕτω δὴ καὶ ψυχαί, αἱ μὲν τὸν ἀταλαίπωρον βίον μετιοῦσαι καὶ ἀνέσεως γέμουσαι καὶ τὸ ἡδέως διακεῖσθαι πρὸς τὰ παρόντα καὶ τὸν ἀνάλγητον τοῦ διὰ τῆς βασιλείαν θλίβεσθαι κατὰ τοὺς ἁγίους ἅπαντας προτιμῶσαι βίον, κηροῦ παντὸς μαλακώτεραι μᾶλλον καὶ ἀσθενέστεραι καθιστάμεναι, αἰωνίου πυρὸς κατάβρωμα πρόκεινται· αἱ δὲ κινδύνοις καὶ πόνοις καὶ ταλαιπωρίαις τῆς διὰ τὸν Θεὸν θλίψεως ἐπιδεόμεναι καὶ ἐν αὐταῖς συστρεφόμεναι, αὐτοῦ τοῦ σιδήρου ἢ τοῦ ἀδάμαντος στερρότεραι καὶ γενναιότεραι μᾶλλόν εἰσιν ἐκ τοῦ συνεχῶς πάσχειν κακῶς, τοῖς ἐπιοῦσιν ἀχείρωτοι καθιστάμεναι καὶ ἕξιν τινὰ προσλαβοῦσαι ὑπομονῆς καὶ ἀνδρείας ἀκαταμάχητον.

Καὶ καθάπερ οἱ μὲν πρῶτον νηὸς ἐπιβάντες, ναυτιῶσί τε καὶ ἰλιγγιῶσι, ταραττόμενοι καὶ θορυβούμενοι ἀηδίᾳ καὶ σκοτοδινίᾳ κατεχόμενοι· οἱ δὲ πολλὰ καὶ μακρὰ διαβάντες πελάγη καὶ μυρίων κυμάτων κατατολμήσαντες καὶ ναυαγίων συνεχῶν ανα-

ἐκεῖνον ποὺ θλίβεται. Γιατί, ὅπως ἀπὸ τὰ δένδρα αὐτὰ ποὺ ἀναπτύσσονται στὴ σκιὰ καὶ βρίσκονται σὲ ἀπάνεμα μέρη, ἐνῶ ἀκμάζουν στὴ μορφή, γίνονται πιὸ μαλακὰ καὶ καχεκτικά, ἀφοῦ βλάπτονται γρήγορα ἀπὸ κάθε φύσημα τῶν ἀνέμων, ἐνῶ αὐτὰ ποὺ βρίσκονται στὶς κορυφὲς τῶν πιὸ ψηλῶν βουνῶν καὶ δέρνονται ἀπὸ πολλοὺς καὶ δυνατοὺς ἀνέμους καὶ ὑποφέρουν συνέχεια τὴν ἀκαταστασία τοῦ καιροῦ καὶ κλονίζονται ἀπὸ φοβερότατες θύελλες καὶ πλήττονται ἀπὸ πολὺ χιόνι, γίνονται πολὺ πιὸ δυνατὰ ἀπὸ κάθε σίδερο· καὶ ὅπως ἐπίσης τὰ σώματα ποὺ ἀφοσιώνονται σὲ πολλὲς καὶ ποικίλες ἡδονὲς καὶ στολίζονται μὲ ἁπαλὰ ἠδύματα καὶ χρησιμοποιοῦν συνέχεια λουτρὰ καὶ μύρα καὶ ἀπολαμβάνουν πολλῶν εἰδῶν φαγητὰ πέρα ἀπὸ τὴν ἀνάγκη τους, γίνονται ἐντελῶς ἄχρηστα γιὰ τοὺς ἀγῶνες καὶ τοὺς κόπους πρὸς ἀπόκτηση τῆς εὐσέβειας, ἐπειδὴ εἶναι ὑπεύθυνα γιὰ πολὺ μεγάλη τιμωρία, ἔτσι ἀκριβῶς καὶ οἱ ψυχές· ἐκεῖνες ποὺ περνοῦν ζωὴ χωρὶς ταλαιπωρίες καὶ εἶναι γεμάτες ἄνεση καὶ προτιμοῦν νὰ αἰσθάνονται εὐχαρίστηση πρὸς τὰ παρόντα ἀγαθὰ καὶ διαλέγουν τὴν ἀνάλγητη ζωὴ ἀπὸ τὸ νὰ θλίβονται, ὅπως θλίβονταν ὅλοι οἱ ἅγιοι, γιὰ τὴν βασιλεία τῶν οὐρανῶν, ἐπειδὴ γίνονται πολὺ πιὸ μαλακὲς καὶ πιὸ ἀδύνατες ἀπὸ κάθε κερί, πρόκειται νὰ καταφαγωθοῦν ἀπὸ τὸ αἰώνιο πῦρ· ἐκεῖνες ὅμως ποὺ ἐπιδόθηκαν σὲ κινδύνους καὶ κόπους καὶ ταλαιπωρίες καὶ δοκιμάζουν θλίψεις ἐξ αἰτίας τοῦ Θεοῦ καὶ ἀφοσιώνονται σ' αὐτές, εἶναι πολὺ πιὸ σταθερὲς καὶ πιὸ γενναῖες ἀπὸ τὸ ἴδιο τὸ σίδερο ἢ τὸ διαμάντι, λόγω τοῦ ὅτι συνέχεια ὑποφέρουν, καὶ γίνονται ἀνίκητες στοὺς ἐχθροὺς καὶ ἀποκτοῦν κάποια ἀκαταμάχητη δύναμη ὑπομονῆς καὶ ἀνδρείας.

Καὶ ὅπως ἐκεῖνοι ποὺ γιὰ πρώτη φορὰ ἀνέβηκαν σὲ πλοῖο αἰσθάνονται ναυτία καὶ ἴλιγγο, καθὼς ταράζονται καὶ θορυβοῦνται ἐπειδὴ τοὺς πιάνει ἀηδία καὶ σκοτοδίνη, ἐνῶ είκεῖνοι ποὺ πέρασαν πολλὰ καὶ μεγάλα πελάγη καὶ περιφρόνησαν ἄπειρα

σχόμενοι, μετὰ τοῦ θαρρεῖν ἅπτονται τῆς τοιαύτης ἀποδημίας· οὕτω δὴ καὶ ἡ ψυχὴ πολλοὺς ὑπομείνασα πειρασμοὺς καὶ μεγάλας θλίψεις ἀνασχομένη, ἐν μελέτῃ λοιπὸν πόνων καὶ ἕξει καρτερίας καθίσταται, οὐχ ὑπάρχουσα ψοφοδεής, οὐδὲ εὐπτόητος, οὐδὲ ταραττομένη τοῖς προσπίπτουσι λυπηροῖς, ἀλλ' ἀπὸ τῆς συνεχοῦς γυμνασίας τῶν συμβαινόντων καὶ τῆς πυκνῆς μελέτης τῶν γινομένων, μετὰ πολλῆς τῆς εὐκολίας ἅπαντα φέρουσα τὰ ἐπιόντα δεινά. Τοῦτον τοίνυν ὁ σοφὸς ἀρχιτέκνων τῆς οὐρανίου πολιτείας δηλῶν, ἔλεγεν· «οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν»· ὅτι πρὸ τῆς βασιλείας καὶ τῶν οὐρανίων στεφάνων μέγιστον ἐντεῦθεν καρπούμεθα τὸν μισθόν, ἀπὸ τοῦ συνεχῶς θλίβεσθαι καρτερικωτέρας τῆς ψυχῆς ἡμῶν γινομένης, καὶ τῶν λογισμῶν ἰσχυροτέρων κατασκευαζομένων.

Ταῦτ' οὖν ἅπαντα εἰδότες, ἀγαπητοί, φέρωμεν γενναίως τὰ προσπίπτοντα λυπηρά, διά τε τὸ τῷ Θεῷ δοκοῦν, καὶ ἐπὶ τῷ ἡμετέρῳ συμφέροντι, καὶ μὴ ἀλύωμεν, μήτε ἀναπίπτωμεν τῇ τῶν πειρασμῶν ἐπαγωγῇ, ἀλλὰ καὶ μετὰ ἀνδρείας ἁπάσης ἱστάμενοι, εὐχαριστῶμεν τῷ Θεῷ διηνεκῶς ὑπὲρ πασῶν τῶν εἰς ἡμᾶς τελουμένων εὐεργεσιῶν, ἵνα καὶ τῶν παρόντων ἀπολαύσωμεν ἀγαθῶν, καὶ τῶν μελλουσῶν ἐπιτύχωμεν δωρεῶν, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα καὶ τὸ κράτος, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κύματα καὶ ἄντεξαν συνεχὴ ναυάγια, μὲ θάρρος ἐπιχειροῦν ἕνα τέτοιο ταξίδι, ἔτσι ἀκριβῶς καὶ ἡ ψυχή· ὑπομένοντας πολλοὺς πειρασμοὺς καὶ ἀντέχοντας μεγάλες θλίψεις, ἀποκτᾶ στὴ συνέχεια γνώση τῶν κόπων καὶ συνήθεια τῆς καρτερίας, χωρὶς νὰ εἶναι δειλή, οὔτε νὰ τρομάζει εὔκολα, οὔτε νὰ ταράζεται ἀπὸ τὰ λυπηρὰ ποὺ πέφτουν πάνω της, ἀλλ' ἀπὸ τὴ συνεχὴ ἄσκηση τῶν ὅσων συμβαίνουν καὶ τὴ συχνὴ μελέτη τῶν ὅσων γίνονται ὑποφέρει μὲ πολλὴ εὐκολία ὅλα τὰ δεινὰ ποὺ ἔρχονται. Αὐτὸ λοιπὸν δηλώνοντας ὁ σοφὸς ἀρχιτέκτονας τῆς οὐράνιας πολιτείας ἔλεγε, «καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καυχόμαστε ἀκόμη καὶ στὶς θλίψεις»· γιατὶ πρὶν ἀπὸ τὴ βασιλεία καὶ τὰ οὐράνια στεφάνια κερδίζουμε ἀπὸ ἐδῶ πολὺ μεγάλο μισθό, ἐπειδὴ ἀπὸ τὶς ἀδιάκοπες θλίψεις ἡ ψυχή μας γίνεται περισσότερο καρτερικὴ καὶ οἱ λογισμοί μας καθίστανται πιὸ ἰσχυροί.

Γνωρίζοντας λοιπὸν ὅλα αὐτά, ἀγαπητοί, ἂς ὑποφέρουμε μὲ γενναιόταητα τὰ λυπηρὰ ποὺ μᾶς συμβαίνουν καὶ γιὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ γιὰ τὸ δικό μας συμφέρον, καὶ ἂς μὴ στενοχωρούμαστε, οὔτε νὰ χάνουμε τὸ θάρρος μας στὴν ἐπίθεση τῶν πειρασμῶν, ἀλλά, στεκόμενοι μὲ κάθε ἀνδρεία, ἂς εὐχαριστοῦμε διαρκῶς τὸ Θεὸ γιὰ ὅλες τὶς εὐεργεσίες ποὺ γίνονται σὲ μᾶς, γιὰ ν' ἀπολαύσουμε καὶ τὰ παρόντα ἀγαθὰ καὶ νὰ ἐπιτύχουμε τὶς μελλοντικὲς δωρεές μὲ τὴ χάρη καὶ τὴν εὐσπλαχνία καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο καὶ ζωοποιὸ Πνεῦμα ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΗΝ ΑΠΟΣΤΟΛΙΚΗΝ ΡΗΣΙΝ ΤΗΝ ΛΕΓΟΥΣΑΝ «ΟΙΔΑΜΕΝ, ΟΤΙ ΤΟΙΣ ΑΓΑΠΩΣΙ ΤΟΝ ΘΕΟΝ ΠΑΝΤΑ ΣΥΝΕΡΓΕΙ ΕΙΣ ΑΓΑΘΟΝ»

Καὶ περὶ ὑπομονῆς, καὶ ὅσον τῶν θλίψεων τὸ κέρδος

1. Ὡς διὰ μακροῦ τοῦ χρόνου πρὸς ὑμᾶς παραγενόμενος, οὕτω διάκειμαι σήμερον. Εἰ γὰρ καὶ οἴκοι καθειργμένος ἐτύγχανον διὰ τὴν τοῦ σώματος ἀρρωστίαν, ἀλλ' ὡς μακράν που ἀπῳκισμένος τῆς ὑμετέρας ἀγάπης, οὕτω διεκείμην. Ὁ γὰρ φιλεῖν εἰδὼς ἀκριβῶς, ὅταν μὴ ἐξῇ τῷ φιλουμένῳ συγγίνεσθαι, κἂν τὴν αὐτὴν πόλιν οἰκῇ, τῶν ἐν ἀλλοτρίᾳ διατριβόντων οὐδὲν ἔλαττον διακείσεται. Καὶ τοῦτο ἴσασιν ὅσοι φιλεῖν ἴσασι. Σύγγνωτε τοίνυν ἡμῖν, παρακαλῶ· οὐ γὰρ ἀπὸ ῥᾳθυμίας ἡμῖν ὁ χωρισμὸς οὗτος γέγονεν, ἀλλ' ἀσθενείας σώματος ἦν ἡ σιγή. Καὶ οἶδα μὲν ὅτι χαίρετε νῦν πάντες ὑμεῖς ὅτι ἀπεθέμεθα τὴν ἀρρωστίαν· ἐγὼ δὲ χαίρω, οὐχ ὅτι τὴν ἀρρωστίαν μόνον ἀπεθέμην, ἀλλ' ὅτι καὶ τὰ ποθούμενα ὑμῶν πρόσωπα πάλιν ὁρᾶν δύναμαι καὶ ἐντρυφᾶν ὑμῶν τῇ κατὰ Θεὸν ἀγάπῃ. Καὶ καθάπερ οἱ πολλοὶ τῶν ἀνθρώπων, μετὰ τὴν ἀπαλλαγὴν τῆς ἀρρωστίας, φιάλας καὶ ποτήρια

ΟΜΙΛΙΑ

ΣΤΟ ΑΠΟΣΤΟΛΙΚΟ ΡΗΤΟ ΠΟΥ ΛΕΓΕΙ «ΓΝΩΡΙΖΟΥΜΕ ΟΤΙ Σ' ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΑΓΑΠΟΥΝ ΤΟ ΘΕΟ ΟΛΑ ΣΥΝΕΡΓΟΥΝ ΣΤΟ ΚΑΛΟ ΤΟΥΣ»

Ἐπίσης γιὰ τὴν ὑπομονὴ καὶ πόσο εἶναι τὸ κέρδος ἀπὸ τὶς θλίψεις

•

1. Σὰν νὰ ἦρθα σὲ σᾶς μετὰ ἀπὸ πολὺ χρόνο, ἔτσι αἰσθάνομαι σήμερα. Γιατί, ἂν καὶ ἤμουν κλεισμένος στὸ σπίτι ἐξ αἰτίας τῆς σωματικῆς μου ἀρρώστιας, αἰσθανόμουν ὅμως σὰν νὰ βρισκόμουν κάπου μακριὰ ἀπὸ τὴν ἀγάπη σας. Γιατὶ ὅποιος γνωρίζει ν' ἀγαπάει σωστά, ὅταν δὲν μπορεῖ νὰ βρίσκεται μαζὶ μ' ἐκεῖνον ποὺ ἀγαπάει, καὶ ἂν ἀκόμα κατοικεῖ στὴν ἴδια πόλη, δὲ θὰ αἰσθάνεται καθόλου καλύτερα ἀπ' αὐτοὺς ποὺ ζοῦν σὲ ξένη χώρα. Καὶ αὐτὸ τὸ ξέρουν ὅσοι γνωρίζουν ν' ἀγαποῦν. Συγχωρῆστε με λοιπόν, παρακαλῶ· γιατὶ ὁ χωρισμός μου αὐτὸς δὲν ἔγινε ἀπὸ ἀδιαφορία, ἀλλὰ ἡ σιωπὴ ἦταν ἀποτέλεσμα ἀρρώστιας τοῦ σώματος. Καὶ γνωρίζω βέβαια πὼς ὅλοι σας χαίρεστε τώρα γιατὶ ξεπέρασα τὴν ἀρρώστια, ἐγὼ ὅμως χαίρομαι ὄχι μόνο γιατὶ ξεπέρασα τὴν ἀρρώστια, ἀλλὰ καὶ γιατὶ μπορῶ νὰ βλέπω πάλι τὰ ἀγαπητά σας πρόσωπα καὶ ν' ἀπολαμβάνω μαζί σας τὴν ἀγάπη τοῦ Θεοῦ. Καὶ ὅπως οἱ περισσότεροι ἀπὸ τοὺς ἀνθρώπους μετὰ τὴν ἀπαλλαγή τους ἀπὸ τὴν ἀρρώστια ἐπιζη-

καὶ ψυχρὰ νάματα ἐπιζητοῦσιν, οὕτως ἐμοὶ πάσης εὐφροσύνης ἡδύτερα καθέστηκεν ἡ συνουσία ἡ ὑμετέρα, καὶ τοῦτό μοι ὑγιείας ὑπόθεσις καὶ εὐφροσύνης ἀφορμή.

Φέρε οὖν, ἐπειδὴ διὰ τὴν τοῦ Θεοῦ χάριν ἀλλήλους ἀπελάβομεν, ἀποδῶμεν ὑμῖν τὸ χρέος τῆς ἀγάπης, εἴ γε ἔστιν ἀποδοθῆναι τοῦτό ποτε. Τοῦτο γὰρ μόνον τὸ ὄφλημα τέλος οὐκ ἐπίσταται· ἀλλ' ὅσῳ ἀποδίδοται, τοσούτῳ τὸ ὄφλημα ἐπιτείνεται· καὶ καθάπερ ἐπὶ τῶν χρημάτων τοὺς μηδὲν ὀφείλοντας ἐπαινοῦμεν, οὕτως ἐνταῦθα τοὺς πολλὰ ὀφείλοντας μακαρίζομεν. Διὰ τοῦτο καὶ ὁ τῆς οἰκουμένης διδάσκαλος Παῦλος γράφων ἔλεγε· «μηδενὶ μηδὲν ὀφείλετε, ἀλλ' ἢ τὸ ἀγαπᾶν ἀλλήλους», βουλόμενος ἡμᾶς τοῦτο τὸ χρέος καὶ ἀεὶ ἀποδιδόναι καὶ ἀεὶ ὀφείλειν, καὶ μηδέποτε τὴν ὀφειλὴν ταύτην καταλύειν, μέχρις ἂν τὴν παροῦσαν ζωὴν καταλύσωμεν. Ὥσπερ οὖν τὰ χρήματα ὀφείλειν, βαρὺ καὶ ἐπαχθές, οὕτω τὸ τὴν ὀφειλὴν ταύτην μὴ ἀεὶ ὀφείλειν, κατηγορίας ἄξιον. Καὶ ἵνα μάθῃς ὅτι τοῦτο οὕτως ἔχει, ἄκουε τῆς σοφίας τοῦ θαυμαστοῦ τούτου διδασκάλου, ὅπως τὴν παραίνεσιν εἰσήγαγε. Πρότερον γὰρ εἰπών, «μηδενὶ μηδὲν ὀφείλετε», τότε ἐπήγαγεν, «εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους», βουλόμενος πᾶσαν ἡμῶν τὴν ὀφειλὴν ἐνταῦθα κενοῦσθαι καὶ τοῦτο τὸ χρέος θέλων ἀδιάλυτον μένειν διηνεκῶς. Τοῦτο γάρ ἐστι μάλιστα τὸ συγκροτοῦν καὶ συσφίγγον τὴ ζωὴν τὴν ἡμετέραν.

Ἐπεὶ οὖν ἔγνωμεν ὅσον τῆς ὀφειλῆς ταύτης τὸ κέρδος καὶ ὅτι ἐν τῷ ἀποδίδοσθαι μᾶλλον αὔξεται, φέρε, καὶ ἡμεῖς τὴν ὀφειλήν, ἣν ὀφείλομεν ὑμῖν, οὐκ ἀπὸ ῥᾳθυμίας οὐδὲ ἀπὸ ἀγνωμοσύνης τινός, ἀλλ' ἀπὸ τῆς συμβάσης ἀρρωστίας, σήμερον, καθ' ὅσον οἷόν τε, ἐκτῖσαι σπουδάζωμεν, μικρά τινα διαλεχθέντες πρὸς τὴν ὑμετέραν ἀγάπην, ὑπόθεσιν τῆς διαλέξεως ποιησά-

1. Ρωμ. 13,8.

τοῦν φιάλες καὶ ποτήρια καὶ κρύα νερά, ἔτσι ἡ δική σας συναναστροφὴ ἔγινε σὲ μένα πιὸ γλυκιὰ ἀπὸ κάθε χαρὰ καὶ αὐτὸ ἔγινε καὶ προϋπόθεση τῆς ὑγείας μου καὶ ἀφορμὴ τῆς χαρᾶς μου.

Ἐμπρὸς λοιπόν, ἀφοῦ μὲ τὴ χάρη τοῦ Θεοῦ ἀπολαύσαμε ὁ ἕνας τὸν ἄλλον, ἂς σᾶς ἀποδώσω τὸ χρέος τῆς ἀγάπης, ἂν βέβαια εἶναι δυνατὸ ν' ἀποδοθεῖ ποτὲ αὐτό. Γιατὶ αὐτὸ τὸ χρέος μόνο δὲ γνωρίζει τέλος, ἀλλὰ ὅσο ἀποδίδεται, τόσο περισσότερο αὐξάνει· καὶ ὅπως στὰ χρήματα ἐπαινοῦμε αὐτοὺς ποὺ δὲν ὀφείλουν τίποτε, ἔτσι ἐδῶ μακαρίζουμε ἐκείνους ποὺ ὀφείλουν πολλά. Γι' αὐτὸ καὶ ὁ δάσκαλος τῆς οἰκουμένης Παῦλος γράφοντας ἔλεγε, «σὲ κανένα δὲ χρωστᾶτε τίποτε παρὰ τὸ νὰ ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλο»[1], γιατὶ ἤθελε αὐτὸ τὸ χρέος ἐμεῖς καὶ πάντοτε νὰ τὸ ἀποδίδουμε καὶ πάντοτε νὰ τὸ ὀφείλουμε καὶ ποτὲ νὰ μὴν τελειώνουμε αὐτὴ τὴν ὀφειλὴ μέχρι ποὺ θὰ τελειώσουμε τὴν παρούσα ζωή. Ὅπως λοιπὸν τὸ νὰ χρωστάει κανεὶς χρήματα εἶναι βαρὺ καὶ δυσάρεστο, ἔτσι τὸ νὰ μὴ ὀφείλει κανεὶς πάντοτε τὴν ὀφειλὴ αὐτὴ εἶναι ἀξιοκατάκριτο. Καὶ γιὰ νὰ μάθεις ὅτι ἔτσι συμβαίνει, ἄκου τὴ σοφία τοῦ θαυμαστοῦ αὐτοῦ δασκάλου πῶς ἔκαμε αὐτὴ τὴν παραίνεση. Γιατί, ἀφοῦ πρῶτα εἶπε, «σὲ κανένα δὲ χρωστᾶτε τίποτε», ὕστερα πρόσθεσε, «παρὰ τὸ νὰ ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλο», ἐπιθυμώντας ὅλη ἡ ὀφειλή μας ἐδῶ νὰ ἀποδίδεται καὶ θέλοντας αὐτὸ τὸ χρέος νὰ παραμένει διαρκῶς σταθερό. Γιατὶ αὐτὸ εἶναι κυρίως ποὺ συγκροτεῖ καὶ συσφίγγει τὴ δική μας ζωή.

Ἀφοῦ λοιπὸν γνωρίσαμε πόσο εἶναι τὸ κέρδος ἀπὸ τὸ χρέος αὐτὸ καὶ ὅτι καθὼς ἐπιστρέφεται αὐξάνει περισσότερο, ἐμπρὸς καὶ ἐγὼ τὸ χρέος ποὺ σᾶς χρωστῶ, ὄχι ἀπὸ ἀδιαφορία οὔτε ἀπὸ κάποια ἀχαριστία ἀλλ' ἀπὸ τὴν ἀρρώστια ποὺ μοῦ συνέβηκε, σήμερα, ὅσο εἶναι δυνατό, ἂς προσπαθήσω νὰ τὸ ξεπληρώσω, ἐκθέτοντας λίγα λόγια στὴν ἀγάπη σας, ἔχοντας σὰν

μενοι αὐτὸν τοῦτον τὸν θαυμαστὸν τῆς οἰκουμένης διδάσκαλον· καὶ ἅπερ σήμερον γράφων Ρωμαίοις διελέγετο, ταῦτα εἰς μέσον ἀγαγόντες ἀναπολήσωμεν καὶ διὰ μακροῦ τοῦ χρόνου τὴν ἑστίασιν τὴν πνευματικὴν παραθῶμεν ὑμῶν τῇ ἀγάπῃ. Τίνα δέ ἐστι τὰ ἀναγνωσθέντα, ἀναγκαῖον εἰπεῖν, ἵν' ὑπομνησθέντες τῶν εἰρημένων, μετὰ πλείονος τῆς εὐκολίας δέξησθε τὰ παρ' ἡμῶν λεγόμενα. «Οἴδαμεν», φησίν, «ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν». Τί βούλεται αὐτὸ τοῦτο τὸ προοίμιον; Οὐδὲν γὰρ ἁπλῶς, οὐδὲ εἰκῇ φθέγγεται ἡ μακαρία αὕτη ψυχή, ἀλλὰ κατάλληλα ἀεὶ τῆς ὑποκειμένοις πάθεσι προσάγει τὰ φάρμακα τὰ πνευματικά.

Τί οὖν ἐστιν ὅ φησιν; Ἐπειδὴ πολλοὶ πανταχόθεν οἱ πειρασμοὶ περιεστοιχίζοντο τοὺς τότε τῇ πίστει προσιόντας καὶ ἐπάλληλα ἦν τὰ παρὰ τοῦ ἐχθροῦ μηχανήματα καὶ συνεχεῖς αἱ ἐπιβουλαὶ καὶ οὐκ ἠρέμουν οἱ τῷ κηρύγματι πολεμοῦντες, τοὺς μὲν εἰς δεσμωτήρια ἐμβάλλοντες, τοὺς δὲ εἰς ἀπαγωγάς, τοὺς δὲ εἰς μυρία ἕτερα βάραθρα καθέλκοντες· διὰ τοῦτο καθάπερ στρατηγὸς ἄριστος, ὁρῶν μετὰ πολλοῦ θυμοῦ πνέοντα τὸν ἀντίπαλον, περιιὼν τοὺς οἰκείους πανταχόθεν διεγείρει, νευροῖ, ἀλείφει, θαρσαλεωτέρους καθίστησι, προθυμοτέρους ποιεῖ πρὸς τὸ τὰς χεῖρας ἀνταῖραι κατὰ τοῦ πολεμίου καὶ μὴ δεδοικέναι τὰς ἐκείνου καταδρομάς, ἀλλὰ στερρῷ τῷ φρονήματι ἐξ ἐναντίας ἱσταμένους καὶ αὐτὴν αὐτοῦ συγκόπτειν, εἰ οἷόν τε, τὴν ὄψιν, καὶ μὴ καταπλήττεσθαι τὴν πρὸς αὐτὸν ἀντίστασιν· τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ μακάριος οὗτος, ἡ οὐρανομήκης ψυχή, διεγεῖραι βουλόμενος τῶν πιστῶν τὰ φρονήματα καὶ κάτω κείμενον, ὡς εἰπεῖν, αὐτῶν τὸν λογισμὸν ἀνορθῶσαι ἐπειγόμενος, οὕτως ἤρξατο λέγων· «οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν».

---

2. Ρωμ. 8,28.

ὑπόθεση τῆς ὁμιλίας αὐτὸν τὸν ἴδιο τὸ θαυμαστὸ δάσκαλο τῆς οἰκουμένης· καὶ αὐτὰ ποὺ σήμερα ἔλεγε γράφοντας στοὺς Ρωμαίους, ἀφοῦ τὰ φέρω στὴ μέση, ἂς τὰ ἀναπολήσουμε, καὶ ἂς παραθέσω γιὰ μακρὸ χρόνο στὴν ἀγάπη σας τὸ πνευματικὸ αὐτὸ συμπόσιο. Εἶναι ὅμως ἀνάγκη νὰ ποῦμε ποιά εἶναι ἐκεῖνα ποὺ διαβάστηκαν, γιὰ νὰ θυμηθεῖτε ὅσα λέχθηκαν καὶ νὰ δεχθεῖτε μὲ μεγαλύτερη εὐκολία αὐτὰ ποὺ θὰ πῶ. «Γνωρίζουμε», λέγει, «ὅτι σ' ἐκείνους ποὺ ἀγαποῦν τὸ Θεὸ ὅλα συνεργοῦν στὸ καλό τους»[2]. Τί ἐννοεῖ αὐτὸ τὸ προοίμιο; Γιατὶ ἡ μακάρια αὐτὴ ψυχὴ δὲ λέγει τίποτε τυχαῖα οὔτε χωρὶς λόγο, ἀλλὰ πάντοτε προσφέρει τὰ κατάλληλα πνευματικὰ φάρμακα στὰ ὑπάρχοντα πάθη.

Τί λοιπὸν σημαίνει αὐτὸ ποὺ λέγει; Ἐπειδὴ πολλοὶ πειρασμοὶ περικύκλωναν ἀπὸ παντοῦ ὅσους προσέρχονταν στὴν πίση τότε καὶ τὰ τεχνάσματα ἀπὸ τὸν ἐχθρὸ ἦταν ἀδιάκοπα καὶ οἱ ἐπιβουλὲς συνεχεῖς καὶ οἱ πολέμιοι τοῦ κηρύγματος δὲν ἡσύχαζαν, ρίχνοντας ἄλλους σὲ φυλακές, ἄλλους ὁδηγώντας σὲ ἐξορίες καὶ ἄλλους σύροντας σὲ ἄπειρα ἄλλα βάραθρα, γι' αὐτὸ ὅπως ἕνας ἄριστος στρατηγὸς, βλέποντας τὸν ἀντίπαλο πολὺ ὀργισμένο, περιερχόμενος τοὺς δικούς του τοὺς διεγείρει ἀπὸ παντοῦ, τοὺς ἐμψυχώνει, τοὺς προετοιμάζει, τοὺς δίνει περισσότερο θάρρος, τοὺς κάνει πιὸ πρόθυμους νὰ σηκώσουν τὰ χέρια ἐναντίον τοῦ ἐχθροῦ καὶ νὰ μὴ φοβοῦνται τὶς ἐπιδρομές του, ἀλλ' ἀντιθέτως νὰ στέκονται μὲ ἄκαμπτο τὸ φρόνημα καὶ νὰ τοῦ κόβουν, ἂν εἶναι δυνατό, καὶ αὐτὸ τὸ κεφάλι, καὶ νὰ μὴ φοβοῦνται γιὰ τὴν ἀντίστασή τους πρὸς αὐτόν, μὲ τὸν ἴδιο τρόπο καὶ ὁ μακάριος αὐτός, ἡ οὐρανομήκης ψυχή, θέλοντας νὰ διεγείρει τὸ φρόνημα τῶν πιστῶν καὶ ἐπειγόμενος νὰ ἀνυψώσει τὴ σκέψη τους ποὺ ἦταν κατὰ κάποιο τρόπο πεσμένη κάτω, ἄρχισε τὸ λόγο του μ' αὐτό· «γνωρίζουμε ὅτι σ' ἐκείνους ποὺ ἀγαποῦν τὸ Θεὸ ὅλα συνεργοῦν στὸ καλό τους».

Ὁρᾷς τὴν σύνεσιν τὴν ἀποστολικήν; Οὐκ εἶπεν, 'οἶδα', ἀλλ', «οἴδαμεν», καὶ αὐτοὺς εἰς συγκατάθεσιν ἐφελκόμενος τῶν λεγομένων, ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν. Σκόπει ἀκρίβειαν ῥημάτων ἀποστολικῶν. Οὐκ εἶπεν, 'οἱ ἀγαπῶντες τὸν Θεὸν διαφεύγουσι τὰ δεινά, ἐλευθεροῦνται τῶν πειρασμῶν', ἀλλ', «οἴδαμεν», φησί, τουτέστι, πεπείσμεθα, πεπληροφορήμεθα, δι' αὐτῆς τῶν πραγμάτων τῆς πείρας τὰς ἀποδείξεις εἰλήφαμεν· «οἴδαμεν ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν».

2. Πόσην οἴεσθε δύναμιν ἔχειν τὴν βραχεῖαν ταύτην λέξιν; «Πάντα», φησί, «συνεργεῖ εἰς ἀγαθόν»· μὴ γάρ μοι τὰ χρηστὰ ἐνταῦθα εἴπῃς, μηδὲ τὴν ἄνεσιν καὶ τὴν ἄδειαν μόνον λογίσῃ, ἀλλὰ καὶ τὰ ἐναντία, τὰ δεσμωτήρια, τὰς θλίψεις, τὰς ἐπιβουλάς, τὰς καθημερινὰς ἐφόδους, καὶ τότε ὄψει μετὰ ἀκριβείας τοῦ ῥήματος τὴν δύναμιν. Καὶ ἵνα μὴ μακράν που ἀγάγω τὴν ὑμετέραν ἀγάπην, εἰ βούλεσθε, μικρά τινα τῶν τῷ μακαρίῳ τούτῳ συμβάντων εἰς μέσον ἀγάγωμεν, καὶ ὄψεσθε τοῦ ῥήματος τὴν ἰσχύν.

Ἐπειδὴ γὰρ περιιὼν πανταχοῦ, σπείρων τὸν τῆς εὐσεβείας λόγον, τὰς ἀκάνθας ἀνασπῶν, καὶ τὴν ἀλήθειαν ἐν τῇ ἑκάστου ψυχῇ καταφυτεύειν ἐπειγόμενος, γενόμενος κατά τινα πόλιν τῆς Μακεδονίας, καθὼς ὁ μακάριος Λουκᾶς, ὁ τὸ τῶν Πράξεων βιβλίον συνθείς, ἡμῖν διηγήσατο, παιδίσκην τινὰ πνεῦμα πονηρὸν ἔχουσαν και σιγᾶν οὐκ ἀνεχομένην, ἀλλὰ περιιοῦσαν καὶ πανταχοῦ καταδήλους αὐτοὺς διὰ τοῦ δαίμονος ποιεῖν βουλομένην, μετὰ πολλῆς τῆς ἐξουσίας, λόγῳ καὶ ἐπιτάγματι, καθάπερ τινὰ μαστιγίαν ἀπελάσας, ἠλευθέρωσεν ἐκείνην τοῦ πονηροῦ δαίμονος· δέον τοὺς τὴν πόλιν ἐκείνην οἰκοῦντας, ὡς εὐεργέτας λοιπὸν καὶ σωτῆρας βλέπειν τοὺς ἀποστόλους καὶ

Βλέπεις τὴ σύνεση τοῦ ἀποστόλου; Δὲν εἶπε, 'γνωρίζω', ἀλλά, «γνωρίζουμε», παρασύροντας καὶ αὐτοὺς σὲ συγκατάθεση τῶν λεγομένων, «ὅτι σ' ἐκείνους ποὺ ἀγαποῦν τὸ Θεὸ ὅλα συνεργοῦν στὸ καλό τους». Πρόσεχε τὴν ἀκρίβεια τῶν λόγων τοῦ ἀποστόλου. Δὲν εἶπε, 'ἐκεῖνοι ποὺ ἀγαποῦν τὸ Θεὸ ἀποφεύγουν τὰ δεινά, γλυτώνουν ἀπὸ τοὺς πειρασμούς', ἀλλά, «γνωρίζουμε», λέγει, δηλαδή, εἴμαστε πεπεισμένοι, εἴμαστε βέβαιοι, ἔχουμε πάρει τὶς ἀποδείξεις ἀπ' αὐτὴ τὴν πείρα τῶν πραγμάτων. «Γνωρίζουμε ὅτι σ' ἐκείνους ποὺ ἀγαποῦν τὸ Θεὸ ὅλα συνεργοῦν στὸ καλό τους».

2. Πόση δύναμη νομίζετε πὼς ἔχει ἡ σύντομη αὐτὴ φράση; «Ὅλα», λέγει, «συνεργοῦν στὸ καλό τους». Καὶ μὴ μοῦ πεῖς ἐδῶ τὰ καλά, οὔτε νὰ σκεφθεῖς τὴν ἄνεση καὶ τὴν ἀσφάλεια μόνο, ἀλλὰ καὶ τὰ ἀντίθετα, δηλαδὴ τὶς φυλακές, τὶς θλίψεις, τὶς ἐπιβουλές, τὶς καθημερινὲς ἐπιθέσεις, καὶ τότε θὰ δεῖς μὲ ἀκρίβεια τὴ δύναμη τοῦ λόγου. Καὶ γιὰ νὰ μὴν ὁδηγήσω κάπου μακριὰ τὴν ἀγάπη σας, ἂν θέλετε, ἂς φέρουμε στὴ μέση κάποια μικρὰ ἀπ' αὐτὰ ποὺ συνέβησαν σ' αὐτὸν τὸ μακάριο, καὶ θὰ δεῖτε τὴ δύναμη τοῦ λόγου.

Ἐνῶ λοιπὸν πήγαινε παντοῦ, σπέροντας τὸ λόγο τῆς εὐσέβειας, ξερριζώνοντας τὰ ἀγκάθια καὶ ἀγωνιζόμενος νὰ φυτέψει τὴν ἀλήθεια μέσα στὴν ψυχὴ τοῦ καθενός, ἔφθασε σὲ κάποια πόλη τῆς Μακεδονίας, ὅπως μᾶς διηγεῖται ὁ μακάριος Λουκᾶς, αὐτὸς ποὺ ἔγραψε τὸ βιβλίο τῶν Πράξεων· κάποια δούλη τότε ποὺ εἶχε πονηρὸ πνεῦμα καὶ δὲν ἡσύχαζε ἀλλὰ πηγαίνοντας παντοῦ ἤθελε νὰ τοὺς φανερώνει σὲ ὅλους μὲ τὴ βοήθεια τοῦ διαβόλου, τὴν ἐλευθέρωσε ἀπὸ τὸν πονηρὸ δαίμονα, ἀπομακρύνοντας αὐτὸν σὰν κάποιον τιποτένιο, μὲ πολλὴ δύναμη, μὲ λόγο καὶ προσταγή. Ἐνῶ ἔπρεπε οἱ κάτοικοι τῆς πόλης ἐκείνης νὰ βλέπουν τότε τοὺς ἀποστόλους σὰν εὐεργέτες καὶ σωτῆρες καὶ χρησιμοποιώντας κάθε τρόπο περιποίησης γι'

παντὶ θεραπείας τρόπῳ περὶ αὐτοὺς χρησαμένους ἀμείψασθαι τῆς τοσαύτης εὐεργεσίας, οἱ δὲ τοῖς ἐναντίοις ἀμείβονται. Καὶ ἄκουε τίσιν αὐτοῖς ἀμείβονται. «Ἰδόντες», φησίν, «οἱ κύριοι αὐτῆς, ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν, εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας καὶ προσήγαγον αὐτοὺς τοῖς στρατηγοῖς, καὶ πολλὰς ἐπιθέντες ἐκείνοις πληγάς, ἔβαλον εἰς φυλακήν, παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς».

Εἴδετε πονηρίας ὑπερβολὴν τῶν τὴν πόλιν ἐκείνην οἰκούντων; εἴδετε τῶν ἀποστόλων ὑπομονὴν καὶ καρτερίαν; Μικρὸν ἀναμείνατε καὶ ὄψεσθε καὶ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν. Σοφὸς γὰρ ὢν καὶ εὐμήχανος, οὐκ ἐν ἀρχῇ καὶ ἐν προοιμίοις λύει τὰ δεινά, ἀλλ' ὅταν αὐξηθῇ πάντα τὰ παρὰ τῶν ἐναντίων καὶ δειχθῇ διὰ τῶν πραγμάτων τῶν αὐτοῦ ἀθλητῶν ἡ ὑπομονή, τότε καὶ τὴν οἰκείαν ῥοπὴν ἐπιδείκνυται· ἵνα μηδεὶς ἔχῃ λέγειν, ὅτι διὰ τοῦτο ἐπιπηδῶσι τοῖς κινδύνοις, διὰ τὸ θαρρεῖν ὅτι οὐδὲν ἀηδὲς πείσονται. Διά τοι τοῦτό τινας μὲν καὶ ἐναφίησι τοῖς δεινοῖς, ἀπορρήτῳ τινὶ σοφίᾳ χρώμενος, τινὰς δὲ καὶ ἐξαρπάζει, ἵνα διὰ πάντων μάθῃς αὐτοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, καὶ ὅτι μείζους αὐτοῖς τὰς ἀμοιβὰς ταμιευόμενος, συγχωρεῖ πολλάκις ἐπιτείνεσθαι τὰ δεινά. Οὕτως οὖν καὶ ἐνταῦθα ποιεῖ. Μετὰ γὰρ τὴν τοσαύτην θαυματουργίαν καὶ τὴν εὐεργεσίαν, ἣν ἐπεδείξαντο ἀπελάσαντες τὸν ἀναίσχυντον ἐκεῖνον δαίμονα, συνεχώρησε καὶ μαστιχθῆναι καὶ εἰς δεσμωτήριον ἐμβληθῆναι. Ἐντεῦθεν γὰρ μάλιστα διεδείκνυτο καὶ ἡ τοῦ Θεοῦ δύναμις. Διὸ καὶ ὁ μακάριος οὗτος ἔλεγεν· «ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμοὶ ἡ δύναμις τοῦ

3. Στρατηγοί· οἱ ἀνώτατοι ἄρχοντες τῆς πόλης.
4. Πράξ. 16,19–23.

αὐτοὺς νὰ τοὺς ἀμείψουν γιὰ τὴν τόσο μεγάλη εὐεργεσία, αὐτοὶ ὅμως τοὺς ἀμείβουν μὲ τὰ ἀντίθετα. Καὶ ἄκου μὲ ποιά τοὺς ἀμείβουν. «Ὅταν εἶδαν», λέγει, «οἱ κύριοί της ὅτι χάθηκε ἡ ἐλπίδα τοῦ κέρδους ἀπὸ τὴν ἐργασία αὐτή, ἔπιασαν τὸν Παῦλο καὶ τὸ Σίλα καὶ τοὺς ἔσυραν στὴν ἀγορὰ γιὰ νὰ τοὺς παρουσιάσουν στοὺς ἄρχοντες, καὶ τοὺς ὁδήγησαν στοὺς στρατηγούς[3], καὶ ἀφοῦ τοὺς ἔδωσαν πολλὰ κτυπήματα τοὺς ἔβαλαν στὴ φυλακὴ καὶ ἔδωσαν ἐντολὴ στὸ δεσμοφύλακα νὰ τοὺς φυλάγει καλά»[4].

Εἴδατε τὴν ὑπερβολικὴ κακία τῶν κατοίκων τῆς πόλης ἐκείνης; εἴδατε τὴν ὑπομονὴ καὶ τὴν καρτερία τῶν ἀποστόλων; Περιμένετε λίγο καὶ θὰ δεῖτε καὶ τὴ φιλανθρωπία τοῦ Θεοῦ. Γιατί, ἐπειδὴ εἶναι σοφὸς καὶ ἐπινοητικός, δὲν τοὺς ἐλευθερώνει ἀπὸ τὰ δεινὰ ἀμέσως ἀπὸ τὴν ἀρχή, ἀλλ' ὅταν αὐξηθοῦν οἱ τιμωρίες τῶν ἐχθρῶν καὶ φανερωθεῖ μὲ τὰ πράγματα ἡ ὑπομονὴ τῶν ἀθλητῶν του, τότε φανερώνει καὶ τὴ δική του δύναμη, γιὰ νὰ μὴν μπορεῖ κανεὶς νὰ λέγει ὅτι γι' αὐτὸ ὁρμοῦν στοὺς κινδύνους, γιατὶ πιστεύουν πὼς δὲ θὰ πάθουν τίποτε τὸ δυσάρεστο. Γι' αὐτὸ ἀκριβῶς καὶ ἀφήνει μερικοὺς στὰ δεινά, ἐπιδεικνύοντας κάποια ἀπόρρητη σοφία, καὶ μερικοὺς τοὺς γλυτώνει, γιὰ νὰ μάθεις μὲ ὅλα τὴν ὑπερβολική του φιλανθρωπία καὶ ὅτι ἀποταμιεύοντας γι' αὐτοὺς μεγαλύτερες ἀμοιβὲς ἐπιτρέπει πολλὲς φορὲς νὰ παρατείνονται τὰ δεινά. Ἔτσι λοιπὸν κάνει καὶ στὴν περίπτωση αὐτή. Γιατί, ὕστερα ἀπὸ τὴν τόσο μεγάλη θαυματουργία καὶ τὴν εὐεργεσία ποὺ ἐπέδειξαν ἀπομακρύνοντας τὸν ἀναίσχυντο ἐκεῖνο δαίμονα, ἐπέτρεψε καὶ νὰ μαστιγωθοῦν καὶ νὰ ριχτοῦν στὴ φυλακή. Γιατὶ ἀπὸ ἐδῶ κυρίως φανερωνόταν καὶ ἡ δύναμη τοῦ Θεοῦ. Γι' αὐτὸ καὶ ὁ μακάριος Παῦλος ἔλεγε· «μὲ περισσότερη εὐχαρίστηση λοιπὸν θὰ καυχηθῶ γιὰ τὶς ἀδυναμίες μου, γιὰ νὰ κατασκηνώσει σὲ μένα ἡ δύναμη τοῦ Χρι-

Χριστοῦ». Καὶ πάλιν· «ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι», ἀσθένειαν τοὺς πειρασμοὺς λέγων τοὺς ἐπαλλήλους.

Ἀλλ' ἴσως ἄν τις διαπορήσειεν ἐνταῦθα, τίνος ἕνεκεν ἀπήλασαν τὸν δαίμονα οὐδὲν ἐναντίον αὐτοῖς λέγοντα, ἀλλὰ μᾶλλον καὶ καταδήλους αὐτοὺς ποιοῦντα· ἐπὶ πολλὰς γὰρ ἡμέρας ἐβόα λέγων, ὅτι «οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου εἰσίν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας». Μὴ ξενισθῇς, ἀγαπητέ· καὶ τοῦτο γὰρ τῆς συνέσεως ἦν τῆς ἀποστολικῆς καὶ τῆς τοῦ Πνεύματος χάριτος. Εἰ γὰρ καὶ μηδὲν αὐτοῖς ἐναντίον ἔλεγεν, ἀλλ' ἵνα μὴ ἐντεῦθεν ἀξιόπιστος γενόμενος ὁ δαίμων, καὶ ἐν τοῖς ἄλλοις ὑποσύρειν δύνηται τοὺς ἀφελεστέρους, διὰ τοῦτο ἐπιστομίσας αὐτὸν ἀπήλασεν, οὐ συγχωρήσας αὐτῷ τὰ ὑπὲρ τὴν ἀξίαν φθέγγεσθαι. Τοῦτο δὲ ἐποίει, ἀκολουθῶν τῷ οἰκείῳ Δεσπότῃ· ἐπεὶ καὶ ἐκείνῳ προσιόντες ἔλεγον, «οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ»· καὶ ὅμως ταῦτα λέγοντας αὐτοὺς ἀπήλαυνεν. Ἐγίνετο δὲ τοῦτο εἰς κατηγορίαν τῶν ἀναισχύντων Ἰουδαίων, ὅτι ἐκεῖνοι μὲν καθ' ἑκάστην ἡμέραν θαύματα ὁρῶντες καὶ μυρία παράδοξα γινόμενα, ἠπίστουν, οἱ δὲ δαίμονες ἐπεγίνωσκον, καὶ Υἱὸν αὐτὸν τοῦ Θεοῦ ὡμολόγουν.

3. Ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν ἐπανέλθωμεν τοῦ λόγου. Ἵνα τοίνυν μάθητε ὅπως τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, ἀναγκαῖον πᾶσαν ὑμῖν ἀναγνῶναι ταύτην τὴν ἱστορίαν, ἵνα καὶ ἐντεῦθεν γνῶτε, ὅπως μετὰ τὰς πληγάς, μετὰ τὸ δεσμωτήριον, εἰς ἀγαθὸν ἅπαντα αὐτοῖς μετέβαλεν ἡ τοῦ Θεοῦ χάρις. Ἀλλ' ἴδωμεν πῶς τοῦτο δείκνυσιν ὁ μακάριος Λουκᾶς λέγων· «παραγγελίαν δὲ τοιαύτην εἰληφὼς ὁ δεσμοφύλαξ ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακήν, καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον». Σκόπει πῶς ἐπιτείνεται τὰ δεινά, ἵνα καὶ ἡ

5. Β' Κορ. 12,9–10.
6. Πράξ. 16,17.
7. Λουκᾶ 4,34.
8. Πράξ. 16,24.

στοῦ»[5]. Καὶ πάλι, «ὅταν ἔχω χάσει κάθε δύναμη, τότε εἶμαι δυνατός», ὀνομάζοντας ἀδυναμία τοὺς ἀδιάκοπους πειρασμούς.

'Αλλ' ἴσως θὰ μποροῦσε κάποιος ἐδῶ νὰ διατυπώσει τὴν ἀπορία, γιὰ ποιό λόγο ἀπομάκρυναν τὸ δαίμονα ποὺ δὲν ἔλεγε τίποτε ἐναντίον τους, ἀλλὰ μᾶλλον τοὺς ἔκανε γνωστοὺς σὲ ὅλους, ἀφοῦ γιὰ πολλὲς ἡμέρες φώναζε λέγοντας· «αὐτοὶ οἱ ἄνθρωποι εἶναι δοῦλοι τοῦ ὕψιστου Θεοῦ, ποὺ μᾶς κηρύττουν τὸ δρόμο τῆς σωτηρίας»[6]. Μὴν παραξενευθεῖς, ἀγαπητέ, γιατὶ καὶ αὐτὸ ἦταν ἔργο τῆς σύνεσης τοῦ ἀποστόλου καὶ τῆς χάριτος τοῦ Πνεύματος. Γιατί, ἂν καὶ δὲν ἔλεγε τίποτε ἐναντίον τους, ἀλλὰ γιὰ νὰ μὴ γίνει ἀπ' αὐτὸ ἀξιόπιστος ὁ δαίμονας καὶ νὰ μπορεῖ καὶ στὰ ὑπόλοιπα νὰ παρασύρει τοὺς ἀφελέστερους ἀνθρώπους, γι' αὐτὸ ἀφοῦ τὸν ἀποστόμωσε τὸν ἀπομάκρυνε, μὴν ἐπιτρέποντας σ' αὐτὸν νὰ μιλάει γι' αὐτὰ ποὺ ἄξιζαν περισσότερο ἀπ' αὐτόν. Καὶ τὸ ἔκανε αὐτὸ ἀκολουθώντας τὸν δικό του Κύριο. Γιατὶ καὶ σ' αὐτὸν πλησιάζοντας ἔλεγαν· «σὲ ξέρουμε ποιός εἶσαι, εἶσαι ὁ ἅγιος τοῦ Θεοῦ»[7]. Καὶ ὅμως παρ' ὅλο ποὺ τὰ ἔλεγαν αὐτὰ τοὺς ἀπομάκρυνε. Γινόταν καὶ αὐτὸ γιὰ κατάκριση τῶν ἀναίσχυντων Ἰουδαίων, γιατὶ ἐκεῖνοι, μολονότι ἔβλεπαν νὰ γίνονται κάθε ἡμέρα θαύματα καὶ ἄπειρα παράδοξα, δὲν πίστευαν, ἐνῶ οἱ δαίμονες τὸν γνώριζαν καλὰ καὶ τὸν διακήρυτταν σὰν Υἱὸ τοῦ Θεοῦ.

3. 'Αλλὰ ἂς ἐπιστρέψουμε στὴ συνέχεια τοῦ λόγου. Γιὰ νὰ μάθετε λοιπὸν πῶς σ' ἐκείνους ποὺ ἀγαποῦν τὸ Θεὸ ὅλα συνεργοῦν γιὰ τὸ καλό τους, εἶναι ἀνάγκη νὰ σᾶς διαβάσω ὅλη τὴν ἱστορία αὐτή, γιὰ νὰ γνωρίσετε καὶ ἀπὸ ἐδῶ πῶς ὕστερα ἀπὸ τὰ χτυπήματα, ὕστερα ἀπὸ τὴ φυλακή, ὅλα τὰ μετέστρεψε ἡ χάρη τοῦ Θεοῦ γιὰ τὸ καλό τους. 'Αλλ' ἂς δοῦμε πῶς τὸ παρουσιάζει αὐτὸ ὁ μακάριος Λουκᾶς λέγοντας· «καὶ ὁ δεσμοφύλακας, ἀφοῦ πῆρε μιὰ τέτοια ἐντολή, τοὺς ἔβαλε στὸ πιὸ βαθὺ κελλὶ καὶ γιὰ ἀσφάλεια ἔδεσε τὰ πόδια τους στὸ ξύλο»[8]. Πρόσεχε πῶς αὐξά-

ὑπομονὴ τῶν ἀποστόλων λαμπροτέρα γένηται, καὶ ἡ ἄφατος τοῦ Θεοῦ δύναμις κατάδηλος ἅπασι καταστῇ. Ἄκουε δὲ καὶ τὸ ἑξῆς. Ἐπάγει γάρ, «κατὰ δὲ τὸ μεσονύκτιον Παῦλος καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεόν».

Ὅρα ψυχὴν ἐπτερωμένην, ὅρα διάνοιαν νήφουσαν· μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοί, τὸ εἰρημένον. Οὐ γὰρ εἰκῇ καὶ τὸν καιρὸν ἡμῖν ἐπεσημήνατο, εἰπών, «κατὰ δὲ τὸ μεσονύκτιον», ἀλλὰ βουλόμενος δεῖξαι, ὅτι, ὅτε τοῖς ἄλλοις ἅπασιν ἡδὺς ὁ ὕπνος ἐφίσταται καὶ κοιμίζει τὰ βλέφαρα, μάλιστα δὲ τοὺς ἐν ὀδύναις πολλαῖς καθεστῶτας εἰκὸς κατὰ τὸν καιρὸν ἐκεῖνον τοῦ ὕπνου καθέλκεσθαι, τότε τοίνυν, φησίν, ὅτε πάντοθεν περιεγένετο ἡ τοῦ ὕπνου τυραννίς, τότε ἐκεῖνοι «προσευχόμενοι ὕμνουν τὸν Θεόν», τῆς περὶ αὐτὸν ἀγάπης μέγιστον δεῖγμα τοῦτο ποιούμενοι. Καθάπερ γὰρ ἡμεῖς ὑπὸ ἀλγημάτων σωματικῶν ἐνοχλούμενοι, τὴν τῶν γνησίων συνουσίαν ἐπιζητοῦμεν, ἵνα ἐκ τῆς πρὸς ἐκείνους διαλέξεως τὴν ἐπίτασιν τῆς ὀδύνης παραμυθησώμεθα· οὕτω καὶ οἱ ἅγιοι οὗτοι τῷ πόθῳ τῷ περὶ τὸν Δεσπότην πυρούμενοι καὶ τοὺς ἱεροὺς ὕμνους ἀναφέροντες, οὐδὲ αἴσθησιν ἐλάμβανον τῶν ὀδυνῶν ἐκείνων, ἀλλ' ὅλοι τῆς ἱκετηρίας ἐγίνοντο, καὶ τὴν θαυμαστὴν ἐκείνην ὑμνῳδίαν ἀνέφερον, καὶ λοιπὸν ἐκκλησία ἐγένετο τὸ δεσμωτήριον, καὶ ὁ τόπος ἅπας ἡγιάζετο διὰ τῆς ὑμνῳδίας τῶν ἁγίων ἐκείνων.

Καὶ ἦν ἰδεῖν θαυμαστὰ καὶ παράδοξα πράγματα, ἀνθρώπους τῷ ξύλῳ προσδεδεμένους καὶ οὐδὲν ἐμποδιζομένους πρὸς τὴν ὑμνῳδίαν. Τὸν γὰρ νήφοντα καὶ ἐγρηγορότα καὶ ζέοντα πόθον ἔχοντα περὶ τὸν Θεόν, οὐδὲν κωλῦσαι δυνήσεταί ποτε τῆς πρὸς τὸν Δεσπότην συνουσίας· «Θεός γάρ,» φησίν, «ἐγγίζων

---

9. Πράξ. 16,25.

νουν τὰ δεινά, γιὰ νὰ γίνει καὶ ἡ ὑπομονὴ τῶν ἀποστόλων πιὸ λαμπρή, καὶ ἡ ἀνέκφραστη δύναμη τοῦ Θεοῦ νὰ καταστεῖ ὁλοφάνερη σὲ ὅλους. Ἄκου ὅμως καὶ τὸ παρακάτω. Γιατὶ προσθέτει, «γύρω στὰ μεσάνυχτα ὁ Παῦλος καὶ ὁ Σίλας προσεύχονταν καὶ ἔψελναν ὕμνους στὸ Θεό»[9].

Βλέπε ψυχὴ θαρραλέα, βλέπε διάνοια νηφάλια. Ἂς μὴν προσπεράσουμε ἐπιπόλαια, ἀγαπητοί, αὐτὸ ποὺ λέχθηκε. Γιατὶ δὲ μᾶς ἐπισήμανε καὶ τὴν ὥρα τυχαῖα, λέγοντας, «γύρω στὰ μεσάνυχτα», ἀλλ' ἐπειδὴ ἤθελε νὰ μᾶς δείξει ὅτι, ὅταν σὲ ὅλους τοὺς ἄλλους ἔρχεται γλυκὸς ὁ ὕπνος καὶ κλείνει τὰ βλέφαρα, καὶ ὅταν μάλιστα εἶναι φυσικὸ τὴν ὥρα ἐκείνη νὰ κυριεύονται ἀπὸ τὸν ὕπνο ὅσοι βρίσκονται σὲ πολλὲς στενοχώριες, τότε λοιπόν, λέγει, ὅταν ἀπὸ παντοῦ ὑπερίσχυε ἡ τυραννικὴ ἐξουσία τοῦ ὕπνου, τότε ἐκεῖνοι «προσεύχονταν καὶ ἔψελναν ὕμνους στὸ Θεό», δείχνοντας μ' αὐτὸ τὴν πολὺ μεγάλη ἀγάπη τους γι' αὐτόν. Γιατί, ὅπως ἀκριβῶς ἐμεῖς ὅταν ἐνοχλούμαστε ἀπὸ σωματικοὺς πόνους, ἐπιζητοῦμε τὴ συντροφιὰ τῶν πλησιέστερων συγγενῶν μας, γιὰ νὰ μειώσουμε μὲ τὴ συζήτηση μ' ἐκείνους τὴν ἔνταση τοῦ πόνου, ἔτσι καὶ οἱ ἅγιοι αὐτοὶ φλεγόμενοι ἀπὸ τὸν πόθο τους πρὸς τὸν Κύριο καὶ ψέλνοντας τοὺς ἱεροὺς ὕμνους δὲν καταλάβαιναν καθόλου τοὺς πόνους ἐκείνους, ἀλλ' ἐξ ὁλοκλήρου ἦταν ἀφοσιωμένοι στὴν ἱκεσία ἐκείνη καὶ ἔψελναν τὴ θαυμάσια ἐκείνη ψαλμωδία, καὶ ἔτσι ἡ φυλακὴ γινόταν ἐκκλησία καὶ ὁ τόπος ἁγιαζόταν ὅλος ἀπὸ τὴν ψαλμωδία ἐκείνων τῶν ἁγίων.

Καὶ ἦταν δυνατὸ νὰ δεῖ κανεὶς πράγματα θαυμαστὰ καὶ παράδοξα, ἀνθρώπους δηλαδὴ δεμένους στὸ ξύλο καὶ νὰ μὴν ἐμποδίζονται καθόλου γιὰ ψαλμωδία. Γιατὶ αὐτὸν ποὺ εἶναι νηφάλιος καὶ ξάγρυπνος καὶ ἔχει φλογερὸ πόθο γιὰ τὸ Θεὸ τίποτε δὲ θὰ μπορέσει ποτὲ νὰ τὸν ἐμποδίσει ἀπὸ τὴ συνομιλία μὲ τὸν Κύριο. «Ἐγὼ εἶμαι ὁ Θεός», λέγει, «ποὺ πλησιάζω τοὺς

ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν»· καὶ πάλιν ἀλλαχοῦ, «ἔτι λαλοῦντός σου ἐρῶ· ἰδοὺ πάρειμι». Ἔνθα γὰρ ἂν ᾖ διάνοια νήφουσα, πτεροῦται ὁ λογισμὸς καὶ ἀπαλλάττεται, ὡς εἰπεῖν, τοῦ συνδέσμου τοῦ σώματος καὶ πρὸς τὸν ποθούμενον ἀνίπταται καὶ τῆς γῆς ὑπερορᾷ καὶ τῶν ὁρωμένων ἀνωτέρω γενόμενος, πρὸς ἐκεῖνον ἐπείγεται· ὃ δὴ καὶ ἐπὶ τῶν ἁγίων τούτων γεγένηται.

Ὅρα γὰρ τὴν παραχρῆμα τῶν ὕμνων ἐνέργειαν καὶ ὅπως καὶ ἐν δεσμωτηρίῳ γενόμενοι καὶ τῷ ξύλῳ προσδεδεμένοι καὶ μετὰ γοήτων καὶ δεσμίων συναναμιγέντες, οὐ μόνον οὐδὲν παρεβλάβησαν, ἀλλὰ καὶ ταύτῃ μᾶλλον ἐξέλαμψαν καὶ τῷ φωτὶ τῆς οἰκειάς ἀρετῆς κατηύγασαν ἅπαντας τοὺς τὸ δεσμωτήριον οἰκοῦντας. Ἡ γὰρ φωνὴ τῶν ἱερῶν ὕμνων ἐκείνων εἰς τὴν ἑκάστου τῶν δεσμωτῶν εἰσιοῦσα ψυχήν, μετέπλαττεν αὐτήν, ὡς εἰπεῖν, καὶ μετερρύθμιζεν. «Ἄφνω» γάρ, φησί, «σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου, ἀνεῴχθησάν τε παραχρῆμα αἱ θύραι ἅπασαι καὶ πάντων τὰ δεσμὰ ἀνέθη». Εἶδες τῶν ὕμνων τῶν εἰς τὸν Θεὸν τὴν δύναμιν; Οὐ μόνον αὐτοὶ παρακλήσεως ἀπέλαυσαν οἱ τοὺς ὕμνους ἀναφέροντες, ἀλλὰ καὶ πάντων τὰ δεσμὰ λυθῆναι παρεσκεύασαν· ἵνα δειχθῇ διὰ τῶν πραγμάτων αὐτῶν, ὅπως «τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν». Ἰδοὺ γὰρ καὶ πληγαὶ καὶ δεσμωτήριον καὶ ξύλον καὶ μετὰ τῶν δημίων διαγωγή, καὶ ὅμως ταῦτα ἀγαθῶν ὑπόθεσις γεγένηται καὶ εὐδοκιμήσεως ἀφορμή, οὐκ αὐτοῖς μόνον, οὐδὲ τοῖς οἰκοῦσι τὸ δεσμωτήριον δεσμίοις, ἀλλὰ καὶ αὐτῷ τῷ δεσμοφύλακι. «Ἔξυπνος γάρ», φησί, «γενόμενος ὁ δεσμοφύλαξ καὶ ἰδὼν τὰς θύρας ἀνεῳγμένας τῆς φυλακῆς, σπασάμενος μάχαιραν, ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίσας ἐκπεφευγέναι τοὺς δεσμίους».

Ὅρα μοι ἐνταῦθα τοῦ Θεοῦ τὴν φιλανθρωπίαν πάντα λό-

---

10. Ἱερ. 23,23.
11. Ἠσ. 58,9.
12. Πράξ. 16,26.
13. Πράξ. 16,27.

ἀθρώπους καὶ δὲν εἶμαι ὁ Θεὸς ποὺ βρίσκονται μακριά τους»[10]. Καὶ ἀλλοῦ πάλι λέγει· «τὴ στιγμὴ ποὺ ἐσὺ ἀκόμη θὰ μιλᾶς θὰ σοῦ ἀπαιτήσω· νά, ἐγὼ εἶμαι παρών»[11]. Ὅπου λοιπὸν ὑπάρχει νηφάλια διάνοια, ἐνθαρρύνεται ἡ σκέψη καὶ ἐλευθερώνεται κατὰ κάποιο τρόπο ἀπὸ τὸ δεσμὸ τοῦ σώματος καὶ πετάει πρὸς αὐτὸν ποὺ ποθεῖ καὶ περιφρονεῖ τὴ γῆ καὶ ἀφοῦ φθάσει πιὸ πάνω ἀπὸ τὰ ὁρατὰ πράγματα σπεύδει πρὸς αὐτόν. Αὐτὸ ἀκριβῶς ἔγινε καὶ μ' αὐτοὺς τοὺς ἁγίους.

Πρόσεχε λοιπὸν τὴν ἄμεση ἐνέργεια τῶν ὕμνων καὶ πῶς, ἂν καὶ βρέθηκαν στὴ φυλακὴ καὶ ἦταν δεμένοι στὸ ξύλο καὶ ἦταν μαζὶ μὲ ἀπατεῶνες καὶ φυλακισμένους, ὄχι μόνο δὲ ζημιώθηκαν καθόλου, ἀλλὰ καὶ ἔτσι περισσότερο ἔλαμψαν καὶ μὲ τὸ φῶς τῆς ἀρετῆς τους θάμπωσαν ὅλους ἐκείνους ποὺ βρίσκονταν στὴ φυλακή. Γιατὶ ἡ φωνὴ τῶν ἱερῶν ἐκείνων ὕμνων μπαίνοντας στὴν ψυχὴ τοῦ καθε φυλακισμένου τὴν ξανάπλαθε, γιὰ νὰ τὸ ποῦμε ἔτσι, καὶ τὴ μετασχημάτιζε. «Ξαφνικά», λέγει, «ἔγινε σεισμὸς μεγάλος, τέτοιος ποὺ σαλεύθηκαν τὰ θεμέλια τῆς φυλακῆς, καὶ ἀμέσως ἄνοιξαν ὅλες οἱ πόρτες καὶ τὰ δεσμὰ ὅλων τῶν φυλακισμένων λύθηκαν»[12]. Εἶδες τὴ δύναμη τῶν ὕμνων ποὺ γίνονταν πρὸς τὸ Θεό; Δὲν ἀπόλαυσαν τὴν παρηγοριὰ μόνο αὐτοὶ ποὺ ἔψαλναν τοὺς ὕμνους, ἀλλ' ἔκαμαν νὰ λυθοῦν καὶ τὰ δεσμὰ ὅλων τῶν φυλακισμένων, γιὰ νὰ φανεῖ μὲ τὰ ἴδια τὰ πράγματα πῶς «σ' ἐκείνους ποὺ ἀγαποῦν τὸ Θεὸ ὅλα συνεργοῦν στὸ καλό τους». Γιατὶ νὰ καὶ κτυπήματα καὶ φυλακὴ καὶ ξύλο καὶ συναναστροφὴ μαζὶ μὲ τοὺς δημίους, καὶ ὅμως αὐτὰ ἔγιναν προϋποθέσεις ἀγαθῶν καὶ ἀφορμὴ ἐπιτυχίας ὄχι μόνο γιὰ ὅσους ἦταν δεμένοι στὴ φυλακὴ ἀλλὰ γιὰ τὸν ἴδιο τὸ δεσμοφύλακα. «Ὁ δεσμοφύλακας», λέγει, «ξύπνησε· καὶ ὅταν εἶδε τὶς πόρτες τῆς φυλακῆς ἀνοιχτές, ἔβγαλε τὸ μαχαίρι του καὶ ἤθελε νὰ σκοτωθεῖ, ἐπειδὴ νόμισε ὅτι οἱ φυλακισμένοι εἶχαν δραπετεύσει»[13].

Πρόσεχε ἐδῶ, παρακαλῶ, τὴ φιλανθρωπία τοῦ Θεοῦ ποὺ

γον ὑπερβαίνουσαν. Τίνος γὰρ ἕνεκεν κατὰ τὸ μεσονύκτιον ἅπαντα ταῦτα γίνεται; Οὐδενὸς ἑτέρου χάριν, ἀλλ' ἵνα ἀθόρυβον καὶ ἐν ἡσυχίᾳ τὸ πρᾶγμα οἰκονομηθῇ καὶ τὴν σωτηρίαν πραγματεύσωνται τοῦ δεσμοφύλακος. Τοῦ γὰρ σεισμοῦ γενομένου καὶ τῶν θυρῶν ἀνοιχθεισῶν, τὰ δεσμὰ ἀνέθη πάντων τῶν αὐτόθι, καὶ οὐδεὶς αὐτῶν ἐκπηδῆσαι συνεχωρήθη. Σκόπει μοι καὶ ἄλλην ἐνταῦθα Θεοῦ σοφίαν. Τὰ μὲν γὰρ ἄλλα πάντα γέγονεν, ὁ σεισμός, λέγω, καὶ ἡ τῶν θυρῶν ἄνοιξις, ἵνα μάθωσι διὰ τῶν ἔργων ἅπαντες, τίνες ἦσαν οἱ τότε τὸ δεσμωτήριον οἰκοῦντες, καὶ ὅτι οὐχ οἱ τυχόντες εἰσὶν ἄνθρωποι· οὐδενὶ δὲ ἐξελθεῖν ἐγένετο, ἵνα μὴ κινδύνων ἀφορμὴ γένηται τοῦτο τῷ δεσμοφύλακι.

Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουσον πῶς, ὅτε μόνον ὑπώπτευσε τοῦτο γεγενῆσθαι ὁ δεσμοφύλαξ καὶ ἐνόμισέ τινας ἐκπεφευγέναι καὶ τῆς ζωῆς αὐτῆς κατεφρόνησε. «Σπασάμενος» γάρ, φησί, «μάχαιραν, ἔμελλεν ἑαυτὸν ἀναιρεῖν». Ἀλλ' ὁ πανταχοῦ νήφων καὶ ἐγρηγορῶν, ὁ μακάριος Παῦλος, τῇ οἰκείᾳ φωνῇ ἐξήρπασε τῆς φάρυγγος τοῦ θηρίου τὸ ἀρνίον. «Ἐφώνησε γὰρ φωνῇ μεγάλῃ, λέγων, μηδὲν πράξῃς σεαυτῷ κακόν· ἅπαντες γάρ ἐσμεν ἐνθάδε». Ὢ ταπεινοφροσύνης ὑπερβολή! οὐκ ἐφρόνησε μέγα ἐπὶ τοῖς γεγενημένοις, οὐ κατεξανέστη τοῦ δεσμοφύλακος, οὐδὲν ὑπέρογκον φθέγξασθαι κατεδέξατο· ἀλλὰ μετὰ τῶν δεσμωτῶν, μετὰ τῶν δημίων, μετὰ τῶν κακούργων ἑαυτὸν κατηρίθμησε, λέγων· «ἅπαντές ἐσμεν ἐνθάδε». Εἶδες αὐτὸν πολλῇ τῇ ταπεινοφροσύνῃ χρώμενον καὶ οὐδὲν πλέον ἑαυτῷ νέμοντα τῶν αὐτόθι κακούργων; Ὅρα καὶ τὸν δεσμοφύλακα λοιπόν, οὐχ ὡς ἑνὶ τῶν ἄλλων προσιόντα. «Θαρρήσας γὰρ καὶ αἰτήσας φῶτα, εἰσεπήδησε, καὶ ἔντρομος ὑπάρχων, προσέπεσε

14. Πράξ. 16,28.

ξεπερνάει κάθε νοῦ. Γιὰ ποιό λόγο λοιπὸν γίνονται ὅλα αὐτὰ γύρω στὰ μεσάνυχτα; Γιὰ κανέναν ἄλλον, ἀλλὰ γιὰ νὰ γίνει τὸ πράγμα ἀθόρυβα καὶ ἥσυχα καὶ νὰ παραγματοποιήσουν τὴ σωτηρία τοῦ δεσμοφύλακα. Γιατί, ὅταν ἔγινε σεισμὸς καὶ ἀνοίχθηκαν οἱ πόρτες, τὰ δεσμὰ ὅλων τῶν φυλακισμένων λύθηκαν καὶ δὲν ἐπιτράπηκε σὲ κανένα νὰ δραπετεύσει. Πρόσεχε, παρακαλῶ, καὶ ἄλλη σοφία τοῦ Θεοῦ ἐδῶ. Γιατὶ ὅλα τὰ ἄλλα ἔγιναν, δηλαδὴ ὁ σεισμὸς καὶ τὸ ἄνοιγμα τῶν θυρῶν, γιὰ νὰ μάθουν μὲ τὰ ἔργα ὅλοι ποιοί ἦταν αὐτοὶ ποὺ τότε βρίσκονταν στὴ φυλακὴ καὶ ὅτι δὲν ἦταν τυχαῖοι ἄνθρωποι, σὲ κανέναν ὅμως δὲν ἐπιτράπηκε νὰ φύγει ἔξω, γιὰ νὰ μὴ γίνει τοῦτο ἀφορμὴ κινδύνων γιὰ τὸ δεσμοφύλακα.

Καὶ ὅτι αὐτὸ εἶναι ἀληθινό, ἄκουσε πῶς, ὅταν ὑποπτεύθηκε μόνο ὅτι ἔχει συμβεῖ αὐτὸ ὁ δεσμοφύλακας καὶ νόμισε ὅτι δραπέτευσαν κάποιοι, περιφρόνησε καὶ τὴν ἴδια τὴ ζωή του. Γιατί, λέγει, «ἔβγαλε τὸ μαχαίρι καὶ ἤθελε νὰ σκοτωθεῖ». Ἀλλὰ ὁ μακάριος Παῦλος, ὁ ὁποῖος παντοῦ ἦταν νηφάλιος καὶ ξάγρυπνος, μὲ τὴ φωνή του γλύτωσε τὸ ἀρνὶ ἀπὸ τὸ στόμα τοῦ θηρίου. «Γιατὶ φώναξε δυνατὰ λέγοντας· 'μὴν κάνεις κανένα κακὸ στὸν ἑαυτό σου, γιατὶ ὅλοι εἴμαστε ἐδῶ»[14]. Πὼ πὼ ὑπερβολικὴ ταπεινοφροσύνη! Δὲν ὑπερηφανεύθηκε γι' αὐτὰ ποὺ ἔγιναν, δὲν ξεσηκώθηκε ἐναντίον τοῦ δεσμοφύλακα, δὲν καταδέχθηκε νὰ πεῖ τίποτε τὸ ὑπερβολικό, ἀλλὰ λογάριασε τὸν ἑαυτό του μαζὶ μὲ τοὺς φυλακισμένους, μὲ τοὺς δημίους, μὲ τοὺς κακούργους, λέγοντας «ὅλοι εἴμαστε ἐδῶ». Εἶδες ὅτι συμπεριφέρθηκε μὲ μεγάλη ταπεινοφροσύνη καὶ δὲ θεώρησε τὸν ἑαυτό του καθόλου ἀνώτερο ἀπὸ τοὺς κακούργους ποὺ ἦταν στὴ φυλακή; Πρόσεχε καὶ τὸ δεσμοφύλακα στὴ συνέχεια νὰ τὸν πλησιάζει ὄχι σὰν ἕναν ἀπὸ τοὺς ἄλλους. «Γιατί, ἀφοῦ πῆρε θάρρος καὶ ζήτησε νὰ τοῦ φέρουν φῶτα, πήδηξε μέσα στὸ κελλὶ καὶ τρομαγμένος ἔπεσε στὰ πόδια τοῦ Παύλου καὶ τοῦ Σίλα καὶ ἀφοῦ

τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, καὶ προαγαγὼν αὐτοὺς ἔξω, ἔφη· Κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ;»

Εἴδετε πῶς «τοῖς ἀγαπῶσιν τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν»; εἴδετε τοῦ διαβόλου τὴν μηχανήν, ὅπως διελύθη; ὅπως ἄκυρα αὐτοῦ γέγονε τὰ μηχανήματα; Ἐπειδὴ γὰρ ἀπήλασαν τὸν δαίμονα, παρεσκεύασεν εἰς τὸ δεσμωτήριον αὐτοὺς ἐβληθῆναι, νομίζων ἐμποδίζειν τὸν δρόμον τοῦ κηρύγματος διὰ τούτου. Ἀλλ' ἰδοὺ καὶ τὸ δεσμωτήριον ἐμπορίας αὐτοῖς ὑπόθεσις γεγένηται πνευματικῆς.

4. Ἄρα καὶ ἡμεῖς, ἂν νήφωμεν, οὐ μόνον ἐν ἀνέσει ὄντες, ἀλλὰ καὶ ἐν θλίψεσι, κερδαίνειν δυνάμεθα, καὶ τότε μᾶλλον ἢ ἐν ἀνέσει. Ἡ γὰρ ἄνεσις, ὡς ἐπὶ τὸ πλεῖστον, ῥᾳθυμοτέρους ἐργάζεται· ἡ δὲ θλίψις νήφειν παρασκευάζουσα, ἀξιοῦσθαι ποιεῖ καὶ τῆς ἄνωθεν ῥοπῆς, καὶ μάλιστα, ὅταν διὰ τὴν εἰς τὸν Θεὸν ἐλπίδα τὴν ὑπομονὴν ἐπιδεικνύμεθα καὶ τὴν καρτερίαν ἐν πάσαις ταῖς ἐπαγομέναις θλίψεσι. Μὴ τοίνυν ἀλγῶμεν, ἐπειδὰν θλιβώμεθα, ἀλλὰ μᾶλλον χαίρωμεν· τοῦτο γὰρ ἡμῶν ἡ τῆς εὐδοκιμήσεως ὑπόθεσις. Διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν, «οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν».

Ἀλλ' ἴδωμεν τὴν ζέουσαν ψυχὴν τῶν ἁγίων τούτων. Ἐπεὶ οὖν ἤκουσαν τοῦ δεσμοφύλακος λέγοντος, «τί με δεῖ ποιεῖν, ἵνα σωθῶ;», ἆρα ὑπερέθεντο; ἆρα ἀνεβάλοντο; ἆρα ἠμέλησαν πρὸς τὴν κατήχησιν; Οὐδαμῶς· ἀλλὰ τί πρὸς αὐτὸν ἐκεῖνοι; «Πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου». Ὅρα κηδεμονίαν ἀποστολικήν. Οὐκ ἀρκοῦνται τῇ αὐτοῦ σωτηρίᾳ, ἀλλὰ δι' ἐκείνου βούλονται καὶ τοὺς προσήκοντας αὐτῷ πάντας σαγηνεῦσαι εἰς τὸν τῆς εὐσεβείας λόγον, καιρίαν διδόντες τῷ διαβόλῳ τὴν πληγήν. «Καὶ ἐβαπτίσθη αὐτὸς

15. Πράξ. 16,29–30.

16. Πράξ. 16,31.

τοὺς ἔβγαλε ἔξω εἶπε· 'κύριοι, τί πρέπει νὰ κάνω γιὰ νὰ σωθῶ;»[15].

Εἴδατε πῶς «σ' ἐκείνους ποὺ ἀγαποῦν τὸ Θεὸ ὅλα συνεργοῦν γιὰ τὸ καλό τους»; Εἴδατε πῶς διαλύθηκε ἡ μηχανὴ τοῦ διαβόλου; πῶς ἔγιναν ἄχρηστα τὰ τεχνάσματά του; Γιατί, ἐπειδὴ ἔδιωξαν τὸ δαίμονα, ἔκαμε νὰ φυλακισθοῦν, νομίζοντας πὼς μ' αὐτὸ ἐμποδίζει τὸ δρόμο τοῦ κηρύγματος. Ἀλλὰ νὰ καὶ ἡ φυλακὴ ἔχει γίνει σ' αὐτοὺς ἀφορμὴ γιὰ πνευματικὸ κέρδος.

4. Ἑπομένως καὶ μεῖς, ἂν εἴμαστε νηφάλιοι, ὄχι μόνο ὅταν ζοῦμε μὲ ἄνεση, ἀλλὰ καὶ ὅταν βρισκόμαστε σὲ θλίψεις, μποροῦμε νὰ κερδίζουμε, καὶ μάλιστα τότε περισσότερο παρὰ στὴν ἄνεση. Γιατὶ ἡ ἄνεση κατὰ τὸ πλεῖστο μᾶς κάνει πιὸ ἀδιάφορους, ἐνῶ ἡ θλίψη μᾶς καθιστᾶ νηφάλιους καὶ μᾶς κάνει ν' ἀξιωνόμαστε καὶ τὴ βοήθεια τοῦ Θεοῦ, καὶ κυρίως ὅταν ἐξ αἰτίας τῆς ἐλπίδας μας στὸ Θεὸ δείχνουμε ὑπομονὴ καὶ καρτερία σὲ ὅλες τὶς θλίψεις ποὺ μᾶς ἔρχονται. Ἂς μὴ λυπόμαστε λοιπὸν ὅταν δοκιμάζουμε θλίψεις, ἀλλὰ μᾶλλον ἂς χαιρόμαστε· γιατὶ αὐτὸ γίνεται προϋπόθεση τῆς προκοπῆς μας. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε, «γνωρίζουμε ὅτι σ' ἐκείνους ποὺ ἀγαποῦν τὸ Θεὸ ὅλα συνεργοῦν στὸ καλό τους».

Ἀλλ' ἂς δοῦμε τὴ φλογερὴ ψυχὴ αὐτῶν τῶν ἁγίων. Ὅταν λοιπὸν ἄκουσαν το δεσμοφύλακα νὰ λέγει, «τί πρέπει νὰ κάνω γιὰ νὰ σωθῶ;» μήπως τὸ ἀνέβαλαν; μήπως καθυστέρησαν; μήπως ἀμέλησαν γιὰ τὴν κατήχηση; Καθόλου. Τί ὅμως τοῦ εἶπαν; «Πίστεψε στὸν Κύριο Ἰησοῦ Χριστό, καὶ θὰ σωθεῖς καὶ σὺ καὶ τὸ σπίτι σου»[16]. Πρόσεχε ἀποστολικὴ φροντίδα. Δὲν ἀρκοῦνται στὴ δική του σωτηρία, ἀλλὰ μ' ἐκεῖνον θέλουν νὰ προσελκύσουν στὸ λόγο τῆς εὐσέβειας καὶ ὅλους τοὺς συγγενεῖς του, δίνοντας στὸ διάβολο τὸ θανάσιμο χτύπημα. «Καὶ βαπτίσθηκε ἀμέσως ὁ ἴδιος καὶ ὅλη ἡ οἰκογένειά του, καὶ ἦταν

καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα καὶ ἠγαλλιάσατο πανοικὶ πεπιστευκὼς τῷ Θεῷ».

Ἐντεῦθεν παιδευόμεθα μηδέποτε ἐν τοῖς πνευματικοῖς μηδὲ τὸ τυχὸν ἀναβάλλεσθαι, ἀλλὰ πάντοτε καιρὸν ἐπιτήδειον ἡγεῖσθαι τὸν παραπίπτοντα. Εἰ γὰρ νυκτὸς οὔσης οἱ ἅγιοι οὗτοι ὑπερθέσθαι οὐκ ἠνέσχοντο, ποίαν ἕξομεν ἀπολογίαν ἡμεῖς, ἐν ἑτέρῳ καιρῷ παρατρέχοντες πνευματικὸν κέρδος; Εἶδες ἐκκλησίαν τὸ δεσμωτήριον γινόμενον; εἶδες τὸ καταγώγιον τῶν δημίων, εὐκτήριον οἶκον ἐξαίφνης ἀποδειχθέντα καὶ τὴν μυσταγωγίαν ἐκεῖ τελουμένην; Τοσοῦτόν ἐστι τὸ νήφειν, καὶ μηδέποτε παρατρέχειν τὰ πνευματικὰ κέρδη, ἀλλὰ πάντα καιρὸν ἐπιτήδειον ποιεῖσθαι πρὸς τὴν τοιαύτην ἐμπορίαν. Καλῶς ἄρα ἔλεγεν ὁ μακάριος οὗτος γράφων, «ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν».

Ταύτην τὴν ῥῆσιν, παρακαλῶ, καὶ ἡμεῖς ἐγκεκολαμμένην ἔχοντες τῇ διανοίᾳ τῇ ἡμετέρᾳ, μηδέποτε ἀσχάλλωμεν, ἐπειδὰν λυπηροῖς τισι κατὰ τὸν βίον τοῦτον περιπέσωμεν ἢ περιστάσεσιν ἢ ἀρρωστίαις σωματικαῖς ἢ ἑτέροις τισὶ λυπηροῖς πράγμασιν, ἀλλὰ πολλῇ κεχρημένοι τῇ φιλοσοφίᾳ, ἀντέχωμεν πρὸς πάντα πειρασμόν, εἰδότες ὅτι, ἂν νήφωμεν, πανταχόθεν κερδαίνειν δυνάμεθα, καὶ μᾶλλον ἀπὸ τῶν πειρασμῶν ἢ ἀπὸ τῶν ἀνέσεων· καὶ μηδέποτε ἀλύωμεν, ἐννοοῦντες ὅσον τῆς ὑπομονῆς τὸ κέρδος, ἀλλὰ μηδὲ ἀπεχθῶς ἔχωμεν πρὸς τοὺς ἐπάγοντας ἡμῖν τοὺς πειρασμούς. Εἰ γὰρ κἀκεῖνοι τὸν οἰκεῖον σκοπὸν πληροῦντες τοῦτο ποιοῦσιν, ἀλλ᾽ ὁ κοινὸς Δεσπότης συγχωρεῖ, βουλόμενος ἡμᾶς καὶ διὰ τούτων ἐμπορεύσασθαι τὴν πνευματικὴν ἐμπορίαν καὶ τῆς ὑπομονῆς λαβεῖν τὸν μισθόν.

Ἐὰν οὖν δυνηθῶμεν εὐχαρίστως ἐνεγκεῖν τὰ ἐπαγόμενα, οὐ μικρὸν μέρος τῶν πεπλημμελημένων ἡμῖν διαλύσομεν. Εἰ

---

17. Πράξ. 16,33-34.

τυχισμένος μὲ ὅλη τὴν οἰκογένειά του γιατὶ εἶχε πιστέψει Θεό»[17].

Ἀπὸ ἐδῶ διδασκόμαστε νὰ μὴν ἀναβάλλουμε ποτὲ στὰ πνευματικὰ οὔτε κατὰ τὸ ἐλάχιστο, ἀλλὰ πάντοτε νὰ θεωροῦμε κατάλληλη τὴν εὐκαρία ποὺ μᾶς ἔρχεται. Γιατί, ἂν ὁ ἅγιοι αὐτοὶ δὲ δέχθηκαν νὰ ἀναβάλουν μολονότι ἦταν νύχτα, ποιά δικαιολογία θὰ ἔχουμε ἐμεῖς ποὺ σὲ ἄλλο χρόνο παραβλέπουμε τὸ πνευματικὸ κέρδος; Εἶδες ὅτι ἡ φυλακὴ ἔγινε ἐκκλησία; εἶδες ὅτι τὸ καταγώγιο τῶν δημίων ἀποδείχθηκε ξαφνικὰ τόπος προσευχῆς καὶ ὅτι ἡ μυσταγωγία τελοῦνταν ἐκεῖ; Τόσο μεγάλο εἶναι τὸ νὰ εἴμαστε νηφάλιοι καὶ νὰ μὴν παραβλέπουμε ποτὲ τὰ πνευματικὰ κέρδη, ἀλλὰ κάθε εὐκαιρία νὰ τὴν κάμνουμε κατάλληλη γιὰ τὴν ἐμπορία αὐτή. Συνεπῶς καλὰ ἔλεγε ὁ μακάριος Παῦλος γράφοντας, «ὅτι σ' ἐκείνους ποὺ ἀγαποῦν τὸ Θεὸ ὅλα συνεργοῦν στὸ καλό τους».

Αὐτὴ τὴ φράση, παρακαλῶ, ἔχοντας καὶ μεῖς χαραγμένη στὸ νοῦ μας, ποτὲ ἂς μὴ στενοχωριέμαστε, ὅταν περιπέσουμε στὴ ζωὴ αὐτὴ σὲ κάποιες θλίψεις ἢ σὲ περιστάσεις ἢ σὲ σωματικὲς ἀρρώστιες ἢ σὲ κάποια ἄλλα λυπηρὰ πράγματα, ἀλλὰ φιλοσοφώντας πολὺ τὰ πράγματα ἂς ἀντιστεκόμαστε σὲ κάθε πειρασμό, γνωρίζοντας ὅτι, ἂν εἴμαστε νηφάλιοι, ἀπὸ παντοῦ μποροῦμε νὰ κερδίζουμε καὶ μάλιστα περισσότερο ἀπὸ τοὺς πειρασμοὺς παρὰ ἀπὸ τὶς ἀνέσεις· καὶ ποτὲ ἂς μὴν ἀδημονοῦμε, ἀφοῦ ξέρουμε πόσο εἶναι τὸ κέρδος ἀπὸ τὴν ὑπομονή, ἀλλὰ καὶ ἂς μὴ μισοῦμε αὐτοὺς ποὺ μᾶς προκαλοῦν τοὺς πειρασμούς. Γιατὶ καὶ ἂν ἀκόμη αὐτοὶ τὸ κάμνουν τοῦτο ἐκπληρώνοντας τὸ σκοπό τους, ὅμως ὁ κοινὸς Κύριος τὸ ἐπιτρέπει, γιατὶ θέλει καὶ μ' αὐτοὺς νὰ κερδίσουμε τὸ πνευματικὸ κέρδος καὶ νὰ λάβουμε τὸ μισθὸ τῆς ὑπομονῆς.

Ἂν λοιπὸν μπορέσουμε νὰ ὑποφέρουμε μ' εὐχαρίστηση τὶς θλίψεις, θὰ διαλύσουμε ἕνα μεγάλο μέρος ἀπὸ τὰ ἁμαρτήμα-

γὰρ τὸν θησαυρὸν τοῦτον καὶ τῆς οἰκουμένης διδάσκαλον, καθ' ἑκάστην ἡμέραν κινδύνοις περιπίπτοντα ὁρῶν ὁ Δεσπότης ἠνείχετο, οὐ περιορῶν τὸν οἰκεῖον ἀθλητήν, ἀλλὰ τὰ σκάμματα αὐτῷ μακρότερα κατασκευάζων, ἵνα τοὺς στεφάνους αὐτῷ λαμπροτέρους ἀπεργάσηται, τί ἂν εἴποιμεν ἡμεῖς, οἱ μυρίων γέμοντες ἁμαρτημάτων καὶ διὰ ταῦτα πολλάκις τοῖς πειρασμοῖς περιπίπτοντες, ἵνα τὴν ὑπὲρ τούτων δίκην ἐνταῦθα δόντες, μικρᾶς γοῦν φιλανθρωπίας ἀξιωθῶμεν, ἐπὶ τῆς φοβερᾶς ἐκείνης ἡμέρας τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀπολαύσαντες;

Τοῦτο δὲ λογιζόμενοι παρ' ἑαυτοῖς, πρὸς ἅπαντα γενναίως ἀντέχωμεν, ἵνα καὶ τῆς ὑπομονῆς τὸν μισθὸν δεξώμεθα ἀπὸ τοῦ φιλανθρώπου Δεσπότου, καὶ τὸ πλῆθος τῶν ἡμῖν ἡμαρτημένων ὑποτεμέσθαι δυνηθῶμεν, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τά μας. Γιατί, ἂν τὸ θησαυρὸ αὐτὸν καὶ δάσκαλο τῆς οἰκουμένους ἀνεχόταν ὁ Κύριος νὰ τὸν βλέπει νὰ πέφτει κάθε ἡμέρα σὲ κινδύνους, ὄχι περιφρονώντας τὸν δικό του ἀθλητή, ἀλλὰ κάμνοντάς του πιὸ μεγάλους τοὺς ἀγῶνες, ὥστε νὰ τοῦ ἑτοιμάσει πιὸ λαμπρὰ τὰ στεφάνια, τί θὰ μπορούσαμε νὰ ποῦμε ἐμεῖς ποὺ εἴμαστε γεμάτοι ἀπὸ ἄπειρα ἁμαρτήματα, καὶ ποὺ ἐξ αἰτίας τους πολλὲς φορὲς πέφτουμε στοὺς πειρασμούς, ὥστε, ἀφοῦ τιμωρηθοῦμε γι' αὐτὰ ἐδῶ, νὰ κριθοῦμε ἄξιοι ἔστω καὶ γιὰ μικρὴ φιλανθρωπία, ν' ἀπολαύσουμε κατὰ τὴ φοβερὴ ἐκείνη ἡμέρα τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθά;

Αὐτὸ λοιπὸν σκεπτόμενοι, ἂς ἀντιστεκόμαστε μὲ γενναιότητα σὲ ὅλα, γιὰ νὰ δεχθοῦμε ἀπὸ τὸ φιλάνθρωπο Θεὸ καὶ τὸ μισθὸ τῆς ὑπομονῆς, καὶ νὰ μπορέσουμε νὰ περιορίσουμε τὸ πλῆθος τῶν ἁμαρτημάτων μας καὶ νὰ ἐπιτύχουμε τὰ αἰώνια ἀγαθά, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΠΡΟΣ ΤΟΥΣ ΜΗ ΑΠΑΝΤΗΣΑΝΤΑΣ ΕΙΣ ΤΗΝ ΣΥΝΑΞΙΝ
Καὶ εἰς τὴν ἀποστολικὴν ῥῆσιν τὴν λέγουσαν, «ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν», καὶ περὶ τοῦ μνησικακεῖν

1. *Οὐδέν, ὡς ἔοικεν, ὠφελήσαμεν, μακρὸν λόγον πρῴην πρὸς ὑμᾶς ἀποτείναντες ὑπὲρ τῆς περὶ τὰς συνάξεις σπουδῆς· πάλιν γὰρ ἡμῖν ἔρημος ἡ ἐκκλησία τῶν τέκνων. Διὸ καὶ πάλιν ἀναγκάζομαι ἐπαχθὴς φανῆναι καὶ βαρύς, ἐπιτιμῶν τοῖς παροῦσιν, ἐγκαλῶν τοῖς ἀποληφθεῖσιν· ἐκείνοις μέν, ὅτι τὴν ῥαθυμίαν οὐκ ἀπέθεντο, ὑμῖν δέ, ὅτι τῆς τῶν ἀδελφῶν οὐκ ἀντελάβεσθε σωτηρίας. Ἀναγκάζομαι βαρὺς φανῆναι καὶ ἐπαχθής, οὐχ ὑπὲρ ἐμαυτοῦ καὶ τῶν ἐμῶν κτημάτων, ἧς οὐδὲν ἐμοὶ προτιμότερον. Ὁ βουλόμενος βαρυνέσθω καὶ φορτικὸν καὶ ἀναίσχυντον καλείτω· ἐγὼ δὲ οὐ παύσομαι συνεχῶς ὑπὲρ τῶν αὐτῶν ἐνοχλῶν, τῆς γὰρ ἀναισχυντίας ταύτης οὐδὲν ἄμεινον ἐμοί. Ἴσως γάρ, ἴσως, εἰ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν ἐρυθριάσαντες, τὸ μὴ συνεχῶς ὀχλεῖσθαι περὶ τῶν αὐτῶν, ἀντιλήψεσθέ ποτε τῆς κηδεμονίας τῶν ἀδελφῶν τῶν ὑμετέρων.*

---

1. Ρωμ. 12,20.

ΟΜΙΛΙΑ

ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΔΕΝ ΠΗΓΑΝ ΣΤΗ ΣΥΝΑΞΗ

Ἐπίσης στὸ ἀποστολικὸ ρητὸ ποὺ λέγει, «ἂν πεινάει ὁ ἐχθρός σου, δῶσε του νὰ φάει»[1], καὶ περὶ μνησικακίας

1. Καθόλου, ὅπως φαίνεται, δὲ σᾶς ὠφέλησα μὲ τὸν μακρὸ λόγο ποὺ σᾶς ἀπηύθυνα τὴν προηγούμενη φορὰ γιὰ τὸ ἐνδιαφέρον γύρω ἀπὸ τὶς συνάξεις. Γιατὶ πάλι ἡ ἐκκλησία μας εἶναι ἔρημη ἀπὸ τὰ τέκνα της. Γι' αὐτὸ καὶ πάλι ἀναγκάζομαι νὰ φανῶ δυσάρεστος καὶ βαρύς, ἐπιτιμώντας τοὺς παρόντες, καὶ κατηγορώντας τοὺς ἀπόντες. Ἐκείνους γιατὶ δὲν ἀπέβαλαν τὴν ἀδιαφορία, ἐνῶ ἐσᾶς γιατὶ δὲ βοηθήσατε γιὰ τὴ σωτηρία τῶν ἀδελφῶν σας. Ἀναγκάζομαι νὰ φανῶ βαρὺς καὶ δυσάρεστος, ὄχι γιὰ μένα καὶ τὰ κτήματά μου, ἀλλὰ γιὰ σᾶς καὶ τὴ σωτηρία σας, ἀπὸ τὴν ὁποία τίποτε δὲ μοῦ εἶναι προτιμότερο. Ὅποιος θέλει ἂς δυσφορήσει καὶ ἂς μὲ ὀνομάζει ἐνοχλητικὸ καὶ ἀδιάντροπο. Ἐγὼ ὅμως δὲ θὰ σταματήσω νὰ σᾶς ἐνοχλῶ συνέχεια γι' αὐτά, γιατὶ ἀπὸ τὴν ἀδιαντροπιὰ αὐτὴ δὲ μοῦ εἶναι τίποτε καλύτερο. Γιατὶ ἴσως, ἴσως, κι ἂν ἀκόμη τίποτε ἄλλο δὲ γίνει, ἀφοῦ βέβαια ντραπεῖτε γι' αὐτό, τὸ νὰ μὴν ἐνοχλεῖστε συνέχεια γιὰ τὰ ἴδια πράγματα, νὰ ἀναλάβετε κάποτε τὴ φροντίδα τῶν ἀδελφῶν σας.

Τί γάρ μοι τῶν ἐπαίνων ὄφελος, ὅταν ὑμᾶς μὴ θεάσωμαι προκόπτοντας κατ' ἀρετήν; τί δέ μοι βλάβος ἐκ τῆς σιγῆς τῶν ἀκουόντων, ὅταν αὐξομένην ὑμῶν ἴδω τὴν εὐλάβειαν; Ἔπαινος γὰρ τοῦ λέγοντος οὐχ ὁ κρότος, ἀλλ' ὁ περὶ τὴν εὐσέβειαν ζῆλος τῶν ἀκουόντων· οὐχ ὁ θόρυβος κατὰ τὸν καιρὸν τῆς ἀκροάσεως, ἀλλ' ἡ σπουδὴ ἡ διαπαντὸς τοῦ χρόνου. Ὁ κρότος ἐξῆλθεν ὁμοῦ τε τοῦ στόματος καὶ εἰς ἀέρα διαχυθεὶς ἀπώλετο, τὸ δὲ βελτίοντας γενέσθαι τοὺς ἀκούοντας, ἀγήρω καὶ ἀθάνατον φέρει τὸν μισθὸν καὶ τῷ λέγοντι καὶ τοῖς πειθομένοις. Ὁ τῆς βοῆς ὑμῶν ἔπαινος ἐνταῦθα τὸν λέγοντα ποιεῖ λαμπρόν, ἡ δὲ τῆς ψυχῆς ὑμῶν εὐλάβεια πολλὴν ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ δίδωσι παρρησίαν τῷ διδάξαντι. Ὥστε, εἴ τις τῶν λεγόντων ἐρᾷ, μὴ τῶν κρότων, ἀλλὰ τῆς ὠφελείας τῶν ἀκουόντων ἐράτω.

Οὐκ ἔστι τὸ τυχὸν κακὸν ἀδελφῶν ἀμελεῖν, ἀλλ' ἐσχάτη κόλασις καὶ ἀπαραίτητος τιμωρία· καὶ τοῦτο ὁ τὸ τάλαντον καταχώσας ἐδήλωσεν. Οὐδὲν γοῦν ὑπὲρ τῆς οἰκείας ἐνεκαλεῖτο ζωῆς· οὐδὲ γὰρ ἐγένετο κακὸς περὶ τὴν καταθήκην· ὁλόκληρον γὰρ αὐτὴν ἀπέδωκεν· ἀλλ' ὅμως ἐγένετο κακὸς καὶ περὶ τὴν ἐργασίαν τῆς παρακαταθήκης. Οὐ γὰρ ἐδιπλασίασε τὸ πιστευθέν· διὸ καὶ ἐκολάζετο. Ὅθεν δῆλον, ὅτι, κἂν ἡμεῖς σπουδαῖοι ὦμεν καὶ συγκεκροτημένοι, κἂν πολλὴν ἐπιθυμίαν ἔχωμεν περὶ τὴν ἀκρόασιν τῶν θείων Γραφῶν, οὐκ ἀρκεῖ πρὸς σωτηρίαν ἡμῶν. Διπλασιάσαι γὰρ χρὴ τὴν παρακαταθήκην, διπλῆ δὲ γίνεται, ὅταν μετὰ τῆς ἑαυτῶν σωτηρίας καὶ τῆς ἑτέρων ἀντιλαμβανώμεθα προνοίας. Ἐπεὶ κἀκεῖνος εἶπεν, «ἴδε, ἔχεις τὸ σὸν σῶον»· ἀλλ' οὐκ ἤρκεσεν αὐτῷ τοῦτο πρὸς ἀπολογίαν. «Ἔδει γάρ», φησί, «καταβαλεῖν ἐπὶ τοὺς τραπεζίτας τὸ καταβληθέν».

---

2. Ματθ. 25,25.
3. Ματθ. 25,27.

Γιατὶ πραγματικὰ ποιό εἶναι τὸ ὄφελός μου ἀπὸ τοὺς ἐπαίνους, ὅταν δὲ σᾶς δῶ νὰ προοδεύετε στὴν ἀρετή; Καὶ ποιά ἡ ζημιά μου ἀπὸ τὴ σιωπὴ τῶν ἀκροατῶν, ὅταν δῶ ν' αὐξάνεται ἡ εὐσέβειά σας; Γιατὶ ἔπαινος τοῦ ὁμιλητῆ δὲν εἶναι τὰ χειροκροτήματα, ἀλλ' ὁ ζῆλος τῶν ἀκροατῶν γιὰ τὴν εὐσέβεια· ὄχι ὁ θόρυβος τὴν ὥρα τῆς ἀκρόασης, ἀλλὰ τὸ ἐνδιαφέρον ὅλο τὸ χρόνο. Ἡ ἐπιδοκιμασία βγαίνει ἀπὸ τὸ στόμα καὶ συγχρόνως διασκορπίζεται στὸν ἀέρα καὶ χάνεται, ἐνῶ τὸ νὰ γίνουν καλύτεροι οἱ ἀκροατὲς φέρνει ἄφθονο καὶ ἀθάνατο μισθὸ καὶ στὸν ὁμιλητὴ καὶ σ' αὐτοὺς ποὺ τὸν ἀκοῦν. Ὁ ἔπαινος τῶν ζητοκραυγῶν σας ἐδῶ κάνει τὸν ὁμιλητὴ λαμπρό, ἐνῶ ἡ εὐσέβεια τῆς ψυχῆς σας δίνει μπροστὰ στὸ βῆμα τοῦ Χριστοῦ πολλὴ παρρησία στὸ δάσκαλο. Ἐπομένως, ἂν κάποιος ὁμιλητὴς ἐπιθυμεῖ πολὺ κάτι, ἂς ἐπιθυμεῖ ὄχι τὰ χειροκροτήματα, ἀλλὰ τὴν ὠφέλεια τῶν ἀκροατῶν.

Δὲν εἶναι τυχαῖο κακὸ ἡ ἀμέλεια γιὰ τοὺς ἀδελφούς μας, ἀλλὰ χειρότερη ποινὴ καὶ ἀναπόφευκτη τιμωρία. Καὶ αὐτὸ τὸ φανέρωσε ἐκεῖνος ποὺ ἔκρυψε τὸ τάλαντο στὴ γῆ. Δὲν κατηγοροῦνταν λοιπὸν καθόλου γιὰ τὴ ζωή του. Οὔτε βέβαια ἔγινε κακὸς σχετικὰ μὲ τὸ ποσὸ ποὺ τοῦ ἐμπιστεύθηκε γιὰ φύλαξη, γιατὶ τὸ ἐπέστρεψε ὁλόκληρο. Ἀλλ' ὅμως ἔγινε κακὸς σχετικὰ μὲ τὴ διαχείριση τοῦ ποσοῦ. Γιατὶ δὲ διπλασίασε τὸ ποσὸ ποὺ τοῦ ἐμπιστεύθηκε ὁ κύριός του, καὶ γι' αὐτὸ τιμωροῦνταν. Ἀπ' αὐτὸ εἶναι φανερὸ πώς, καὶ ἂν ἀκόμη ἔχουμε μεγάλη ἐπιθυμία γιὰ τὴν ἀκρόαση τῶν θείων Γραφῶν, δὲν εἶναι ἀρκετὸ γιὰ τὴ σωτηρία μας. Γιατὶ πρέπει νὰ διπλασιάσουμε τὸ ποσό, καὶ διπλὸ γίνεται ὅταν μαζὶ μὲ τὴ δική μας σωτηρία φροντίζουμε καὶ γιὰ τοὺς ἄλλους. Γιατὶ καὶ ἐκεῖνος εἶπε, «νά, ἔχεις τὰ χρήματά σου στὸ ἀκέραιο»[2], ἀλλὰ δὲν τοῦ ἦταν αὐτὸ ἀρκετὸ γιὰ δικαιολογία. «Γιατὶ ἔπρεπε», λέγει, νὰ καταθέσεις τὰ χρήματά μου στοὺς τραπεζίτες»[3].

Καί μοι σκόπει, πῶς κοῦφα τοῦ Δεσπότου τὰ ἐπιτάγματα. Ἄνθρωποι μὲν γὰρ τοὺς δανείζοντας χρήματα δεσποτικὰ καὶ τῆς ἀπαιτήσεως ὑπευθύνους ποιοῦσι. Σὺ κατέβαλες, σύ, φησίν, ἀπαίτησον· ἐμοὶ λόγος οὐδεὶς πρὸς τὸν δεξάμενον. Ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλὰ καταβαλεῖν κελεύει μόνον, οὐκέτι δὲ καὶ τῆς ἀπαιτήσεως ἡμᾶς ὑπευθύνους ποιεῖ. Τοῦ συμβουλεῦσαι γάρ, οὐ τοῦ πεῖσαι κύριος ὁ λέγων ἐστί. Διὸ τῆς καταβολῆς ὑπεύθυνόν σε ποιῶ μόνον, φησί, τῆς δὲ ἀπαιτήσεως οὐκέτι. Τί τούτου κουφότερον; Ἀλλ' ὅμως σκληρὸν ἐκάλει τὸν οὕτως ἥμερον καὶ φιλάνθρωπον δεσπότην ὁ δοῦλος. Τοιαῦται γὰρ τῶν ἀγνωμόνων καὶ ῥᾳθύμων οἰκετῶν αἱ συνήθειαι· τῶν οἰκείων ἁμαρτημάτων εἰς τοὺς δεσπότας ἀεὶ μετατιθέασι τὰς αἰτίας. Διὰ τοῦτο στρεβλούμενος καὶ δεσμούμενος ἐκεῖνος εἰς τὸ σκότος ἐξήγετο τὸ ἐξώτερον.

Ὅπερ ἵνα μὴ ἡμεῖς πάθωμεν, καταβάλλωμεν τὴν διδασκαλίαν ἐπὶ τοὺς ἀδελφούς, κἂν πείθωνται κἂν μὴ πείθωνται. Πειθόμενοι μὲν γὰρ καὶ ἑαυτοὺς καὶ ἡμᾶς ὠφελήσουσι, μὴ πειθόμενοι δὲ αὐτοῖς μὲν ἀπαραίτητον ἐπισπῶνται κόλασιν, ἡμᾶς δὲ οὐδὲ τὸ τυχὸν παραβλάψαι δύναιτ' ἄν. Τὸ γὰρ ἡμέτερον ἐποιήσαμεν, συμβουλεύσαντες· εἰ δὲ μὴ πείθοιντο, οὐδὲν ἡμῖν ἐκ τούτου γένοιτ' ἂν βλάβος. Ἔγκλημα γάρ, οὐ τὸ μὴ πεῖσαι, ἀλλὰ τὸ μὴ συμβουλεῦσαι· μετὰ δὲ τὴν παραίνεσιν καὶ τὴν συμβουλήν, τὴν διηνεκῆ καὶ τὴν συνεχῆ, οὐκέτι πρὸς ἡμᾶς, ἀλλὰ πρὸς ἐκείνους ἔσται ὁ λόγος τῷ Θεῷ.

Ἐβουλόμην γοῦν εἰδέναι σαφῶς, ὅτι παραινοῦντες αὐτοὺς διατελεῖτε καὶ εἰ διαπαντὸς μένουσιν ἐπὶ τῆς ῥᾳθυμίας ἐκεῖνοι καὶ οὐκ ἂν ὑμῖν οὐδέποτε ἠνόχλησα· νῦν δέδοικα, μή ποτε ἐκ τῆς ὑμετέρας ὑπεροψίας καὶ ἀμελείας μένωσιν ἀδιόρθωτοι. Καὶ

Καὶ πρόσεχε, παρακαλῶ, πόσο ἐλαφρὲς εἶναι οἱ ἐντολὲς τοῦ Κυρίου. Γιατὶ οἱ ἄνθρωποι αὐτοὺς ποὺ δανείζουν χρήματα τοῦ κυρίου τους τοὺς καθιστοῦν ὑπεύθυνους καὶ γιὰ τὴν ἐπιστροφή τους. 'Ἐσὺ τὰ ἔδωσες, ἐσύ', λέγει, 'ζήτησέ τα πίσω· ἐμένα δὲ μοῦ πέφτει κανεὶς λόγος γι' αὐτὸν ποὺ τὰ δέχθηκε'. Ὁ Θεὸς ὅμως δὲν κάμνει ἔτσι, ἀλλὰ προστάζει νὰ καταβάλουμε μόνο, καὶ δὲ μᾶς καθιστᾶ ὑπεύθυνους γιὰ τὴν ἐπιστροφή. Γιατὶ ὁ ὁμιλητὴς ἔχει τὴ δύναμη νὰ συμβουλέψει καὶ ὄχι νὰ πείσει. Γι' αὐτὸ σὲ κάνω ὑπεύθυνο μόνο γιὰ τὴν καταβολή, λέγει, καὶ ὄχι γιὰ τὴν ἐπιστροφή. Τί εἶναι πιὸ ἐλαφρὸ ἀπ' αὐτό; Ἀλλ' ὅμως ὁ δοῦλος καλοῦσε σκληρὸ τὸν τόσο ἥμερο καὶ φιλάνθρωπο κύριο. Γιατὶ τέτοιες εἶναι οἱ συνήθειες τῶν ἀχάριστων καὶ ἀδιάφορων δούλων· μεταφέρουν πάντοτε τὶς αἰτίες τῶν δικῶν τους σφαλμάτων στοὺς κυρίους τους. Γι' αὐτὸ ἐκεῖνος βασανιζόμενος καὶ δεμένος ὁδηγοῦνταν στὸ σκοτάδι τὸ ἐξώτερο.

Αὐτὸ τὸ πράγμα γιὰ νὰ μὴν πάθουμε ἐμεῖς, ἂς καταβάλλουμε τὴ διδασκαλία στοὺς ἀδελφούς μας, εἴτε πείθονται, εἴτε δὲν πείθονται. Γιατί, ἂν πείθονται θὰ ὠφελήσουν καὶ τὸν ἑαυτό τους καὶ ἐμᾶς· ἂν ὅμως δὲν πείθονται, γι' αὐτοὺς προξενοῦν ἀναπόφευκτη τιμωρία, ἐνῶ σ' ἐμᾶς δὲ θὰ μπορέσουν νὰ προξενήσουν οὔτε τὴν παραμικρὴ βλάβη. Γιατὶ ἐμεῖς κάναμε τὸ δικό μας χρέος, ἀφοῦ τοὺς συμβουλέψαμε· ἂν ὅμως ἐκεῖνοι δὲν πείθονται, δὲν μπορεῖ νὰ μᾶς προξενήσει αὐτὸ καμιὰ βλάβη. Γιατὶ ἔγκλημα δὲν εἶναι τὸ νὰ μὴν πείσουμε ἀλλὰ τὸ νὰ μὴ συμβουλέψουμε. Καὶ μετὰ τὴν παραίνεση καὶ τὴ συμβουλή, τὴν παντοτινὴ καὶ ἀδιάκοπη, ὁ Θεὸς δὲ θ' ἀπευθυνθεῖ πιὰ σ' ἐμᾶς ἀλλὰ σ' ἐκείνους.

Ἤθελα λοιπὸν νὰ ξέρω καλὰ ὅτι τοὺς συμβουλεύετε αὐτούς, καὶ ἂν ἐκεῖνοι παραμένουν πάντοτε στὴν ἀδιαφορία, δὲ θὰ σᾶς ἐνοχλοῦσα ποτέ. Τώρα φοβᾶμαι μήπως ἀπὸ τὴ δική σας ὑπεροψία καὶ ἀμέλεια παραμένουν ἀδιόρθωτοι. Γιατὶ πραγματι-

γὰρ ἀμήχανον ἄνθρωπον συνεχῶς ἀπολαύοντα παραινέσεως καὶ διδασκαλίας, μὴ γενέσθαι βελτίω καὶ σπουδαιότερον. Καὶ δημώδης μέν ἐστιν ἡ παροιμία, ἣν ἐρεῖν μέλλω· πλὴν ἀλλ' αὐτὸ τοῦτο συνίστησι. «Πέτραν γὰρ κοιλαίνει», φησί, «ρανὶς ὑδάτων ἐνδελεχοῦσα». Καίτοι τί μαλακώτερον ὕδατος; τί δὲ πέτρας σκληρότερον; Ἀλλ' ὅμως ἡ ἐνδελέχεια τὴν φύσιν ἐνίκησεν. Εἰ δὲ φύσιν ἐνδελέχεια νικᾷ, πολλῷ μᾶλλον προαιρέσεως δύναιτ' ἂν περιγενέσθαι. Οὐκ ἔστι παίγνια ὁ Χριστιανισμός, ἀγαπητοί, οὐδὲ πρᾶγμα πάρεργον. Συνεχῶς ταῦτα λέγομεν, καὶ οὐδὲν πλέον ποιοῦμεν.

2. Πῶς οἴεσθέ με ὀδυνᾶσθαι, ἀναμιμνησκόμενον ὅτι ἐν μὲν ταῖς πανηγύρεσι πελάγη θαλάττης μακρὰ μιμεῖται τῶν συνάξεων τὰ πλήθη, νῦν δὲ οὐδὲ τὸ πολλοστὸν τοῦ πλήθους ἐκείνου μέρος ἐνταῦθα συλλέγεται; Ποῦ νῦν εἰσιν οἱ διενοχλοῦντες ἡμᾶς ἐν ταῖς ἑορταῖς; Ἐκείνους ἐπιζητῶ καὶ δι' ἐκείνος ὀδύρομαι, ἐννοῶν ὅσον πλῆθος ἀπόλλυται τῶν σωζομένων, ὅσην ἀδελφῶν ὑπομένω ζημίαν, πῶς εἰς ὀλίγους τὰ τῆς σωτηρίας περιίσταται, καὶ τὸ πλέον τοῦ σώματος τῆς Ἐκκλησίας μέρος νεκρῷ καὶ ἀκινήτῳ προσέοικε σώματι. Καὶ τί πρὸς ἡμᾶς, φησί; Πρὸς ὑμᾶς μὲν οὖν μάλιστα, τοὺς μὴ θεραπεύοντας, τοὺς μὴ παραινοῦντας καὶ συμβουλεύοντας, πρὸς ὑμᾶς οὐκ ἐπιτιθέντας ἀνάγκην καὶ μετὰ βίας ἕλκοντας καὶ τῆς πολλῆς ἀπάγοντας ῥᾳθυμίας.

Ὅτι γὰρ οὐχ ἑαυτῷ χρήσιμον εἶναι χρὴ μόνον, ἀλλὰ καὶ πολλοῖς, ἐδήλωσεν ὁ Χριστός, ἅλας ἡμᾶς καὶ ζύμην καλέσας καὶ φῶς. Ταῦτα δὲ ἑτέροις ἐστὶ χρήσιμα καὶ λυσιτελῆ. Καὶ γὰρ ὁ λύχνος οὐχ ἑαυτῷ φαίνει, ἀλλὰ τοῖς ἐν σκότῳ καθημένοις· καὶ σὺ λύχνος εἶ, οὐχ ἵνα τοῦ φωτὸς ἀπολαύσῃς μόνος, ἀλλ' ἵνα

4. Πρβ. Πλουτάρχου, *Περὶ παίδων ἀγωγῆς* 4: «Σταγόνες ὕδατος πέτρας κοιλαίνουσιν».

κὰ εἶναι ἀδύνατο ἕνας ἄνθρωπος ποὺ ἀκούει συνέχεια παραίνεση καὶ διδασκαλία νὰ μὴ γίνει καλύτερος καὶ πιὸ ἐργατικός. Καὶ λαϊκὴ βέβαια εἶναι ἡ παροιμία ποὺ πρόκειται νὰ πῶ, ἀλλ' ὅμως τὸ ἴδιο ἀκριβῶς συνιστᾶ. Ἡ σταγόνα τοῦ νεροῦ ποὺ πέφτει συνέχεια, λέγει, βαθουλώνει τὴν πέτρα[4]. Ἂν καὶ βέβαια τί εἶναι πιὸ μαλακὸ ἀπὸ τὸ νερό; καὶ τί πιὸ σκληρὸ ἀπὸ τὴν πέτρα; Ἀλλ' ὅμως ἡ συνεχὴς προσπάθεια νικάει τὴ φύση. Ἂν ὅμως ἡ συνεχὴς προσπάθεια νικάει τὴ φύση, πολὺ περισσότερο μπορεῖ νὰ νικήσει τὴ διάθεση. Δὲν εἶναι παιχνίδια ὁ Χριστιανισμός, ἀγαπητοί, οὔτε κάτι τὸ πάρεργο. Συνέχεια τὰ ἴδια λέμε καὶ τίποτε παραπάνω δὲν κάμνουμε.

2. Πῶς νομίζετε ὅτι πονῶ, ὅταν ἀναλογίζομαι ὅτι στὰ πανηγύρια τὰ πλήθη τῶν συνάξεων συναγωνίζονται τὰ μεγάλα πελάγη τῆς θάλασσας, ἐνῶ ἐδῶ τώρα δὲ συγκεντρώνεται οὔτε τὸ ἐλάχιστο μέρος ἐκείνου τοῦ πλήθους; Ποῦ εἶναι τώρα αὐτοὶ ποὺ μᾶς ἐνοχλοῦν στὶς γιορτές; Αὐτοὺς ἐπιζητῶ, καὶ γι' αὐτοὺς κλαίω, καθὼς σκέπτομαι πόσο πλῆθος χάνεται σὲ σύγκριση μ' αὐτοὺς ποὺ σώζονται, πόση ζημία ἀδελφῶν ὑπομένω, πῶς σὲ λίγους καταλήγει ἡ σωτηρία καὶ τὸ περισσότερο μέρος τοῦ σώματος τῆς Ἐκκλησίας μοιάζει μὲ νεκρὸ καὶ ἀκίνητο σῶμα. Καὶ τί σχέση, λέγει, ἔχει αὐτὸ μὲ μᾶς; Μὲ σᾶς κυρίως ἔχει σχέση, ποὺ δὲ φροντίζετε γι' αὐτούς, ποὺ δὲν τοὺς παραινεῖτε καὶ δὲν τοὺς συμβουλεύετε, μὲ σᾶς ποὺ δὲν τοὺς ἐξαναγκάζετε καὶ δὲν τοὺς σύρετε βίαια καὶ δὲν τοὺς ἀπομακρύνετε ἀπὸ τὴ μεγάλη τους ἀδιαφορία.

Ὅτι βέβαια δὲν πρέπει κανεὶς νὰ εἶναι χρήσιμος μόνο στὸν ἑαυτό του ἀλλὰ καὶ στοὺς πολλούς, τὸ δήλωσε ὁ Χριστός, ὀνομάζοντάς μας ἁλάτι καὶ ζύμη καὶ φῶς. Αὐτὰ ὅμως εἶναι καὶ στοὺς ἄλλους χρήσιμα καὶ ὠφέλιμα. Γιατὶ πραγματικὰ τὸ λυχνάρι δὲ φέγγει γιὰ τὸν ἑαυτό του, ἀλλὰ γι' αὐτοὺς ποὺ βρίσκονται στὸ σκοτάδι. Καὶ σὺ λυχνάρι εἶσαι, ὄχι γιὰ ν' ἀπολαύσεις

ἐκεῖνον τὸν πεπλανημένον ἐπαναγάγῃς. Τί γὰρ ὄφελος λύχνου, ὅταν μὴ φαίνῃ τῷ ἐν τῷ σκότει καθημένῳ; τί δὲ ὄφελος Χριστιανοῦ, ὅταν μηδένα κερδάνῃ, μηδὲ πρὸς ἀρετὴν ἐπαναγάγῃ; Πάλιν τὸ ἅλας οὐχ ἑαυτὸ ἐπισφίγγει μόνον, ἀλλὰ καὶ τὰ σεσηπότα τῶν σωμάτων συστέλλει, καὶ οὐκ ἀφίησι διαρρυέντα ἀπολέσθαι. Οὕτω δὴ καὶ σύ· ἐπειδὴ ἅλας σε κατεσκεύασεν ὁ Θεὸς πνευματικόν, τὰ σεσηπότα μέλη, τουτέστι, τοὺς ῥαθύμους ἀδελφῶν καὶ βαναύσους ἐπίσφιγξον καὶ σύστειλον, καὶ τῆς ῥαθυμίας, ὥσπερ τινὸς σηπεδόνος, ἀπαλλάξας, ἕνωσον τῷ λοιπῷ σώματι τῆς Ἐκκλησίας.

Διὰ τοῦτό σε καὶ ζύμην ἐκάλεσε· καὶ γὰρ καὶ ἡ ζύμη οὐχ ἑαυτὴν ζυμοῖ, ἀλλὰ τὸ λοιπὸν φύραμα τὸ πολὺ καὶ ἄφατον ἡ μικρὰ καὶ βραχεῖα. Οὕτω δὴ καὶ ὑμεῖς· εἰ καὶ ὀλίγοι ἐστὲ κατὰ τὸν ἀριθμόν, ἀλλὰ πολλοὶ καὶ δυνατοὶ τῇ πίστει καὶ τῇ κατὰ Θεὸν γίνεσθε σπουδῇ. Ὥσπερ οὖν ἡ ζύμη οὐκ ἀσθενεῖ διὰ τὴν βραχύτητα, ἀλλὰ περιγίνεται διὰ τὴν ἐγκειμένην αὐτῇ θερμότητα καὶ τὴν τῆς ποιότητος δύναμιν, οὕτω δὴ καὶ ὑμεῖς δυνήσεσθε πολλῷ πλείους πρὸς τὴν αὐτὴν ὑμῖν ἐπαναγαγεῖν σπουδήν, ἂν θέλητε.

Εἰ δὲ τὸ θέρος προβάλλοιντο· καὶ γὰρ καὶ ταῦτα ἀκούω λεγόντων, ὅτι σφοδρὸν τὸ πνῖγος νῦν, τὸ καῦμα ἀφόρητον, οὐχ ἰσχύομεν σεντοχωρεῖσθαι καὶ θλίβεσθαι ἐν τῷ πλήθει, ἱδρῶτι πάντοθεν περιρρεόμενοι καὶ ἀχθόμενοι τῇ θέρμῃ καὶ τῇ στενοχωρίᾳ· αἰσχύνομαι μὲν ὑπὲρ αὐτῶν, πιστεύσατε· γυναικώδεις γὰρ οἱ σκήψεις, μᾶλλον δὲ οὐδὲ ἐκείναις πρὸς συγγνώμην ἀρκοῦσαι αἱ προφάσεις, αἷς μαλακώτερα τὰ σώματα καὶ ἀσθενεστέρα ἡ φύσις. Πλὴν εἰ καὶ αἰσχρὸν τὸ ἀποκρίνασθαι πρὸς τὴν

μόνος σου τὸ φῶς, ἀλλὰ γιὰ νὰ ἐπαναφέρεις ἐκεῖνον ποὺ πλανήθηκε. Γιατὶ ποιό εἶναι τὸ ὄφελος τοῦ λυχναριοῦ, ὅταν δὲ φέγγει σ' αὐτὸν ποὺ κάθεται στὸ σκοτάδι; Καὶ ποιό τὸ ὄφελος τοῦ Χριστιανοῦ, ὅταν δὲν κερδίζει κανένα, ὅταν δὲν ἐπαναφέρει στὴν ἀρετή; Ἐπίσης τὸ ἀλάτι δὲ διατηρεῖ μόνο τὸν ἑαυτό του, ἀλλὰ συγκρατεῖ καὶ τὰ σάπια σώματα καὶ δὲν τὰ ἀφήνει νὰ διαλυθοῦν καὶ νὰ καταστραφοῦν. Ἔτσι ἀκριβῶς καὶ σύ, ἀφοῦ ὁ Θεὸς σὲ ἔκαμε πνευματικὸ ἀλάτι, τὰ σάπια μέλη, δηλαδὴ τοὺς ἀδιάφορους καὶ ἀγροίκους ἀδελφούς, διατήρησέ τους καὶ συγκράτησέ τους καὶ ἀφοῦ τοὺς ἀπαλλάξεις ἀπὸ τὴν ἀδιαφορία, σὰν ἀπὸ κάποια σαπίλα, ἕνωσέ τους μὲ τὸ ὑπόλοιπο σῶμα τῆς Ἐκκλησίας.

Γι' αὐτὸ σὲ ὀνόμασε καὶ ζύμη. Γιατὶ πραγματικὰ καὶ ἡ ζύμη δὲν ζυμώνει τὸν ἑαυτό της, ἀλλὰ τὸ ὑπόλοιπο φύραμα, τὸ πολὺ καὶ ἀνείπωτο, αὐτὴ ἡ μικρὴ καὶ ἐλάχιστη. Ἔτσι ἀκριβῶς καὶ σεῖς, ἂν καὶ στὸν ἀριθμὸ εἶστε λίγοι, γίνεστε ὅμως πολλοὶ καὶ δυνατοὶ στὴν πίστη καὶ στὸ ἐνδιαφέρον ποὺ θέλει ὁ Θεός. Ὅπως λοιπὸν ἡ ζύμη δὲν ἀδυνατεῖ ἐξ αἰτίας τῆς μικρῆς ποσότητας, ἀλλὰ ὑπερισχύει ἐξ αἰτίας τῆς θερμότητας ποὺ περιέχει καὶ τῆς δύναμης τῆς φύσης της, ἔτσι ἀκριβῶς καὶ σεῖς θὰ μπορέσετε, ἂν θέλετε, νὰ ἐπαναφέρετε πολὺ περισσότερους στὸ ἴδιο μὲ σᾶς ἐνδιαφέρον.

Ἂν ὅμως προβάλλουν σὰν πρόφαση τὸ καλοκαίρι –γιατὶ πραγματικὰ ἀκούω νὰ λέγουν καὶ αὐτά, ὅτι εἶναι ὑπερβολικὴ ἡ ζέστη τώρα, ὁ καύσωνας ἀφόρητος, δὲν μποροῦμε νὰ πιεζόμαστε καὶ νὰ στενοχωριέμαστε μέσα στὸ πλῆθος, νὰ περιβρεχόμαστε παντοῦ ἀπὸ τὸν ἱδρώτα καὶ νὰ μᾶς ἐνοχλεῖ ἡ ζέστη καὶ ἡ στενότητα τοῦ χώρου–, ντρέπομαι γι' αὐτούς, πιστέψτε με. Γιατὶ οἱ δικαιολογίες αὐτὲς εἶναι γυναικεῖες, ἢ καλύτερα οἱ προφάσεις δὲν ἀρκοῦν γιὰ συγγνώμη οὔτε στὶς γυναῖκες στὶς ὁποῖες τὰ σώματα εἶναι πιὸ μαλακὰ καὶ ἡ φύση πιὸ ἀδύναμη. Ἂν καὶ

τοιαύτην ἀπολογίαν, ἀλλ' ἀναγκαῖον ὅμως. Εἰ γὰρ ἐκεῖνοι τοιαῦτα προφασίζονται καὶ οὐκ ἐρυθριῶσι, πολλῷ μᾶλλον ἡμᾶς οὐκ αἰσχύνεσθαι χρὴ πρὸς ταῦτα ἀντιλέγοντας.

Τί οὖν εἴποιμι τοῖς ταῦτα προβαλλομένοις; Τῶν τριῶν παίδων ἀναμνῆσαι αὐτοῖς βούλομαι τῶν ἐν τῇ καμίνῳ καὶ ἐν τῇ φλογί, οἳ πανταχόθεν αὐτοῖς περιτρέχον τὸ πῦρ ὁρῶντες, καὶ τῷ στόματι καὶ τοῖς ὀφθαλμοῖς, καὶ αὐτῇ περικεχυμένον τῇ ἀναπνοῇ, οὐκ ἐπαύσαντο τὸν ἱερὸν καὶ μυστικὸν ἐκεῖνον ὕμνον ᾄδοντες τῷ Θεῷ μετὰ τῆς κτίσεως, ἀλλὰ τῶν ἐν λειμῶνι διατριβόντων, ἐν μέσῃ τότε ἑστῶτες τῇ πυρᾷ, προθυμότερον τὴν εὐφημίαν τῷ κοινῷ τῶν ὅλων ἀνέπεμπον Δεσπότῃ· καὶ μετὰ τῶν τριῶν παίδων τούτων, τῶν λεόντων αὐτοῖς τῶν ἐν Βαβυλῶνι, καὶ τοῦ Δανιὴλ καὶ τοῦ λάκκου· οὐχὶ δὲ τούτου μόνου, ἀλλὰ καὶ ἑτέρου λάκκου καὶ προφήτου, καὶ βορβόρου μέχρι τραχήλου τὸν Ἱερεμίαν ἀποπνίγοντος ἀναμνησθῆναι πάλιν αὐτοὺς ἀξιῶ. Καὶ ἀπὸ τῶν λάκκων ἀναβάς, εἰσαγαγεῖν εἰς τὸ δεσμωτήριον βούλομαι τούτους τοὺς τὸ καῦμα προβαλλομένους, καὶ δεῖξαι τὸν Παῦλον ἐκεῖ καὶ τὸν Σίλαν τῷ ξύλῳ προσδεδεμένους, μωλώπων γέμοντας καὶ τραυμάτων, τῷ πλήθει τῶν πληγῶν ἅπαν καταξανθέντας τὸ σῶμα, ἐν μέσῃ τῇ νυκτὶ τὸν Θεὸν ὑμνοῦντας καὶ τὴν ἱερὰν ἐκείνην παννυχίδα ἐπιτελοῦντας.

Πῶς γὰρ οὐκ ἄτοπον τοὺς μὲν ἁγίους ἐκείνους, ἐν καμίνῳ καὶ πυρὶ καὶ λάκκῳ καὶ θηρίοις καὶ βορβόρῳ καὶ δεσμωτηρίῳ καὶ ξύλῳ καὶ πληγαῖς καὶ φυλακαῖς καὶ τοῖς ἀφορήτοις ὄντας δεινοῖς, μηδὲν τούτων αἰτιᾶσθαι πώποτε, ἀλλὰ μετὰ πολλοῦ τοῦ τόνου καὶ προθυμίᾳ ζεούσῃ εὐχαῖς καὶ ὕμνοις ἱεροῖς ἐνδιατρίβειν διηνεκῶς, ἡμᾶς δὲ οὐ μικρόν, οὐ μέγα τῶν ἀπηριθμημένων ὑπομείναντας παθῶν, διὰ καῦμα καὶ θέρμην βραχεῖαν καὶ ἱδρῶ-

5. Βλ. Δαν. 3,20–33.
6. Βλ. Δαν. 6,10–22.
7. Ἱερ. 45,6.
8. Πράξ. 16,16–33.

εἶναι αἰσχρὸ τὸ ν' ἀπαντήσουμε σὲ τέτοια δικαιολογία, ὅμως εἶναι ἀναγκαῖο. Γιατί, ἂν ἐκεῖνοι προβάλλουν τέτοιες προφάσεις καὶ δὲν κοκκινίζουν ἀπὸ ντροπή, πολὺ περισσότερο δὲν πρέπει νὰ ντρεπόμαστε ἐμεῖς ποὺ ἀντιλέγουμε σ' αὐτά.

Τί λοιπὸν μπορῶ νὰ πῶ σ' αὐτοὺς ποὺ προβάλλουν τέτοιες προφάσεις; Θέλω νὰ τοὺς θυμίσω τοὺς τρεῖς νέους ποὺ βρίσκονταν μέσα στὸ καμίνι καὶ στὴ φλόγα, ποὺ βλέποντας τὴ φωτιὰ νὰ τοὺς περικυκλώνει ἀπὸ παντοῦ καὶ νὰ χύνεται στὸ στόμα καὶ στὰ μάτια καὶ σ' αὐτὴν τὴν ἀναπνοή τους δὲ σταμάτησαν νὰ ψέλνουν στὸ Θεὸ τὸν ἱερὸ καὶ μυστικὸ ἐκεῖνον ὕμνο μαζὶ μὲ τὴν κτίση, ἀλλὰ μολονότι βρίσκονταν τότε ἀνάμεσα στὴ φωτιὰ ἀνέπεμπαν στὸ κοινὸ Κύριο τῶν ὅλων τὴ δέηση πιὸ πρόθυμα καὶ ἀπὸ ἐκείνους ποὺ βρίσκονται σὲ λιβάδι[5]. Καὶ μαζὶ μὲ τοὺς τρεῖς αὐτοὺς νέους, νὰ τοὺς θυμίσω τὰ λιοντάρια τῆς Βαβυλώνας καὶ τὸν Δανιὴλ καὶ τὸ λάκκο[6]. Καὶ ὄχι μόνο αὐτόν, ἀλλὰ θέλω νὰ θυμηθοῦν πάλι καὶ ἄλλο λάκκο καὶ προφήτη καὶ βόρβορο ποὺ ἔπνιγε τὸν Ἰερεμία μέχρι τὸ λαιμό[7]. Καὶ ἀνεβαίνοντας ἀπὸ τοὺς λάκκους θέλω νὰ ὁδηγήσω αὐτοὺς ποὺ προβάλλουν σὰν πρόφαση τὸν καύσωνα μέσα στὴ φυλακὴ καὶ νὰ τοὺς δείξω ἐκεῖ τὸν Παῦλο καὶ τὸ Σίλα, δεμένους στὸ ξύλο, γεμάτους μώλωπες καὶ πληγές, μὲ ὁλόκληρο τὸ σῶμα τους καταξεσχισμένο ἀπὸ τὸ πλῆθος τῶν πληγῶν, νὰ ὑμνοῦν τὰ μεσάνυχτα τὸ Θεὸ καὶ νὰ κάνουν τὴν ἱερὴ ἐκείνη ἀγρυπνία[8].

Πῶς λοιπὸν δὲν εἶναι παράλογο οἱ ἅγιοι ἐκεῖνοι ποὺ βρίσκονταν σὲ καμίνι καὶ φωτιὰ καὶ λάκκο καὶ θηρία καὶ βόρβορο καὶ δεσμωτήριο καὶ ξύλο καὶ πληγὲς καὶ φυλακὲς καὶ στὰ ἀφόρητα δεινὰ νὰ μὴν κατηγοροῦν ποτὲ τίποτε ἀπ' αὐτά, ἀλλὰ μὲ πολλὴ δύναμη καὶ μὲ θερμὴ προθυμία νὰ ἐπιμένουν διαρκῶς στὶς προσευχὲς καὶ στοὺς ἱεροὺς ὕμνους, ἐνῶ ἐμεῖς, χωρὶς νὰ ὑποστοῦμε οὔτε κάποιο μικρὸ οὔτε μεγάλο ἀπὸ τὰ πάθη ποὺ ἀριθμήσαμε, ἐξ αἰτίας τοῦ καύσωνα καὶ τῆς σύντομης ζέστης

τα, τῆς οἰκείας αὐτῶν ἀμελεῖν σωτηρίας, καὶ τὰς συνάξεις ἀφέντας ἔξω πλανᾶσθαι, συλλόγοις προσφθειρομένους οὐδὲν ἔχουσιν ὑγιές; Τοσαύτη δρόσος τῶν θείων λογίων, καὶ καῦμα προβάλλῃ; «Τὸ ὕδωρ, ὃ ἐγὼ δώσω αὐτῷ», φησὶν ὁ Χριστός, «γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον»· καὶ πάλιν, «ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ρεύσουσιν ὕδατος ζῶντος».

Πηγὰς ἔχων, εἰπέ μοι, καὶ ποταμοὺς πνευματικούς, καῦμα δέδοικας αἰσθητόν; ἐπὶ δὲ τῆς ἀγορᾶς, εἰπέ μοι, ἔνθα τοσοῦτος θόρυβος καὶ στενοχωρία καὶ πολὺς ὁ καύσων, πῶς οὐ προβάλλῃ πνῖγος καὶ θέρμην; Οὐ γὰρ δὴ τοῦτο ἔχοις ἂν εἰπεῖν, ὅτι ἐκεῖ μὲν ψυχροτέρας τῆς τοῦ ἀέρος φύσεώς ἐστιν ἀπολαύειν, ἐνταῦθα δὲ ἅπαν ἡμῖν συνῆκται τὸ πνῖγος· ἀλλὰ πᾶν τοὐναντίον, ἐνταῦθα μὲν καὶ ἀπὸ τῆς ὑποκειμένης πλακὸς καὶ ἀπὸ τῆς ἄλλης τοῦ οἴκου κατασκευῆς (καὶ γὰρ εἰς ὕψος ἀνέστηκεν ἄφατον) κουφότερος καὶ ψυχρότερος ὁ ἀήρ· ἐκεῖ δὲ πολὺς μὲν ἥλιος πανταχοῦ, πολλὴ δὲ ἡ στενοχωρία καὶ καπνὸς καὶ κόνις, καὶ ἕτερα πολλῷ πλείονα τούτων ἐπιτείνοντα τὴν ἀηδίαν. Ὅθεν δῆλον, ὅτι ρᾳθυμίας καὶ ψυχῆς ἀναπεπτωκυίας καὶ τῆς τοῦ Πνεύματος φλογὸς ἀπεστερημένης αὗται αἱ προφάσεις αἱ ἄλογοι.

3. Ταῦτα οὐχὶ πρὸς ἐκείνους τοσοῦτον ἀποτεινόμενος λέγω νῦν, ὅσον πρὸς ὑμᾶς τοὺς οὐκ ἐπισπωμένους, τοὺς οὐκ ἀνιστῶντας αὐτοὺς ἀπὸ τῆς ρᾳθυμίας καὶ πρὸς τὴν σωτηρίαν ταύτην ἕλκοντας τράπεζαν. Καὶ οἰκέται μὲν κοινὴν μέλλοντες ἐκπληροῦν διακονίαν, τοὺς αὐτῶν συνδούλους καλοῦσιν· ὑμεῖς δὲ ἐπὶ τὴν πνευματικὴν ταύτην μέλλοντες ἀπαντᾶν ὑπηρεσίαν, περιορᾶτε τοὺς ὁμοδούλους τοῦ κέρδους ἀποστερουμένους. Τί οὖν, εἰ μὴ βούλοιντο, φησί; Ποίησον αὐτοὺς βουληθῆναι τῇ συνεχεῖ

9. Ἰω. 4,14.
10. Ἰω. 7,38.

καὶ τοῦ ἱδρώτα ν' ἀδιαφοροῦμε γιὰ τὴ δική μας σωτηρία καί, ἀφήνοντας τὶς συνάξεις, νὰ περιφερόμαστε ἔξω φθειρόμενοι σὲ συγκεντρώσεις ποὺ δὲν ἔχουν τίποτε ὑγιές; Τόσο μεγάλη ἡ δροσιὰ τῶν θείων λόγων καὶ προφασίζεσαι τὸν καύσωνα; «Τὸ νερὸ ποὺ ἐγὼ θὰ τοῦ δώσω», λέγει ὁ Χριστός, «θὰ γίνει μέσα του μιὰ πηγὴ νεροῦ ποὺ θ' ἀναβλύζει ζωὴ αἰώνια»[9]. Καὶ πάλι· «ὅποιος πιστεύει σὲ μένα, καθὼς εἶπε ἡ Γραφή, θὰ τρέξουν ἀπὸ τὴν κοιλιά του ποτάμια νεροῦ ποὺ χαρίζει ζωή»[10].

Πές μου, ἔχεις πηγὲς καὶ πνευματικὰ ποτάμια, καὶ φοβᾶσαι τὸν αἰσθητὸ καύσωνα; Στὴν ἀγορὰ ὅμως, ὅπου ὑπάρχει τόσος θόρυβος καὶ στενότητα καὶ πολὺς καύσωνας, πές μου, πῶς δὲν προβάλλεις τὸν καύσωνα καὶ τὴ ζέστη; Γιατὶ βέβαια δὲ θὰ μποροῦσες νὰ πεῖς αὐτό, ὅτι δηλαδὴ ἐκεῖ μπορεῖ ν' ἀπολαμβάνει κανεὶς πιὸ δροσερὸ ἀέρα, ἐνῶ ἐδῶ ἔχει μαζευτεῖ σὲ μᾶς ὅλη ἡ ζέστη. Ἀλλὰ τὸ ἐντελῶς ἀντίθετο, ἐδῶ καὶ ἀπὸ τὴν πλάκα ποὺ βρίσκεται κάτω καὶ ἀπὸ τὴν ὅλη κατασκευὴ τοῦ ναοῦ (γιατὶ πραγματικὰ ὑψώνεται σὲ πολὺ μεγάλο ὕψος) ὁ ἀέρας εἶναι πιὸ ἐλαφρὸς καὶ πιὸ ψυχρός, ἐνῶ ἐκεῖ ὑπάρχει παντοῦ πολὺς ἥλιος καὶ μεγάλη στενότητα καὶ καπνὸς καὶ σκόνη καὶ ἄλλα πολὺ περισσότερα ἀπ' αὐτὰ ποὺ αὐξάνουν τὴν ἀηδία. Ἑπομένως εἶναι φανερὸ ὅτι οἱ παράλογες αὐτὲς προφάσεις εἶναι ἀπόδειξη ἀδιαφορίας καὶ ψυχῆς δειλῆς ποὺ στερεῖται τὴ φλόγα τοῦ Πνεύματος.

3. Αὐτὰ τὰ λέγω τώρα ἀπευθυνόμενος ὄχι τόσο σ' ἐκείνους, ὅσο σὲ σᾶς ποὺ δὲν τοὺς προσελκύετε, ποὺ δὲν τοὺς ἀφυπνίζετε ἀπὸ τὴν ἀδιαφορία καὶ δὲν τοὺς ὁδηγεῖτε στὸ σωτήριο αὐτὸ τραπέζι. Καὶ οἱ ὑπηρέτες βέβαια ὅταν πρόκειται νὰ ἐκπληρώσουν μιὰ κοινὴ ὑπηρεσία καλοῦν τοὺς συνδούλους τους, ἐνῶ ἐσεῖς ποὺ πρόκειται νὰ κάμετε τὴν πνευματικὴ αὐτὴ ὑπηρεσία παραβλέπετε τοὺς ὁμοδούλους σας ποὺ στεροῦνται τὸ κέρδος. Τί λοιπόν, λέγει, ἂν δὲ θέλουν; Κάμε τους νὰ θελήσουν μὲ τὴ

προσεδρείᾳ· ἂν γὰρ ἴδωσιν ἐπικειμένους ἡμᾶς, πάντως βουλήσονται. Ἀλλὰ γὰρ σκῆψις ταῦτα καὶ πρόφασις. Πόσοι γοῦν ἐνταῦθα πατέρες εἰσὶ καὶ τοὺς υἱοὺς οὐκ ἔχουσι μεθ' ἑαυτῶν ἑστῶτας; Μὴ καὶ τῶν τέκνων ἐπισπάσασθαί σοι δύσκολον ἦν; Ὅθεν δῆλον ὅτι καὶ οἱ λοιποὶ οὐ παρὰ τὴν οἰκείαν ῥᾳθυμίαν μόνον, ἀλλὰ καὶ παρὰ τὴν ὑμετέραν ὑπεροψίαν ἔξω μένουσιν.

Ἀλλ' εἰ καὶ μὴ πρότερον, νῦν γοῦν διανάστητε καὶ μετὰ τοῦ μέλους ἕκαστος εἰς τὴν ἐκκλησίαν εἰσιέτω, καὶ πατὴρ υἱόν, καὶ υἱὸς τὸν γεγεννηκότα, καὶ γυναῖκας ἄνδρες, καὶ ἄνδρας γυναῖκες, καὶ δεσπότης δοῦλον, καὶ ἀδελφὸς ἀδελφόν, καὶ φίλος φίλον διεγειρόντων καὶ παρορμώντων πρὸς τὴν ἐνταῦθα σύνοδον· μᾶλλον δὲ μὴ τοὺς φίλους μόνον, ἀλλὰ καὶ τοὺς ἐχθροὺς καλῶμεν ἐπὶ τὸν κοινὸν τοῦτον τῶν ἀγαθῶν θησαυρόν. Ἂν ἴδῃ σου τὴν πρόνοιαν ὁ ἐχθρός, καταλύσει τὴν ἀπέχθειαν πάντως.

Εἰπὲ πρὸς αὐτόν· οὐκ αἰσχύνῃ Ἰουδαίους, οὐδὲ ἐρυθριᾷς, οἳ μετὰ τοσαύτης ἀκριβείας τὸ σάββατον φυλάττουσι καὶ ἀπὸ τῆς ἑσπέρας αὐτῆς πάσης ἐργασίας ἀφίστανται; Κἂν ἴδωσι τὸν ἥλιον πρὸς δυσμὰς ἐπειγόμενον ἐν τῇ τῆς Παρασκευῆς ἡμέρᾳ, καὶ συμβόλαια διακόπτουσι καὶ πράσεις διατέμνουσι. Κἂν πριάμενός τις παρ' αὐτῶν πρὸ τῆς ἑσπέρας, ἐν ἑσπέρᾳ τὴν τιμὴν ἔλθῃ κομίζων, οὐκ ἀνέχονται λαβεῖν, οὐδὲ ὑποδέξασθαι τὸ ἀργύριον. Καὶ τί λέγω τιμὴν ὠνίων καὶ συμβόλαια; κἂν θησαυρὸν ἐξῆν λαβεῖν, ἕλοιντ' ἂν ἀπολέσαι τὸ κέρδος ἢ καταπατῆσαι τὸν νόμον.

Εἶτα Ἰουδαῖοι μέν, καὶ ταῦτα ἀκαίρως τηροῦντες τὸν νόμον, οὕτως εἰσὶν ἀκριβεῖς, καὶ φυλακῆς ἀντέχονται οὐδὲν αὐτοὺς ὠφελούσης, ἀλλὰ καὶ καταβλαπτούσης· σὺ δέ, ὁ τῆς σκιᾶς ἀνώτερος, ὁ τὸν ἥλιον τῆς δικαιοσύνης ἰδεῖν καταξιωθείς, ὁ

συνεχὴ φροντίδα σου· γιατί, ἂν μᾶς δοῦν νὰ τοὺς προτρέπουμε πιεστικά, ὁπωσδήποτε θὰ θελήσουν. Ἀλλὰ πραγματικὰ αὐτὰ εἶναι δικαιολογία καὶ πρόφαση. Πόσοι λοιπὸν πατέρες βρίσκονται ἐδῶ καὶ δὲν ἔχουν τὰ παιδιὰ μαζί τους; Μήπως σοῦ ἦταν δύσκολο νὰ προσελκύσεις καὶ τὰ παιδιά σου; Ἑπομένως εἶναι φανερὸ πὼς καὶ οἱ ἄλλοι ὄχι μόνο ἀπὸ δική τους ραθυμία ἀλλὰ καὶ ἀπὸ τὴ δική σας ἀδιαφορία μένουν ἔξω.

Ἀλλά, ἂν ὄχι προηγουμένως, τουλάχιστο τώρα ἀφυπνισθεῖτε καὶ ὁ καθένας ἂς μπαίνει στὴν ἐκκλησία μὲ τὸ δικό του μέλος, διαγείροντας καὶ παρακινώντας γιὰ τὴν ἐδῶ σύναξη ὁ πατέρας τὸν υἱὸ καὶ ὁ υἱὸς τὸν πατέρα, οἱ ἄνδρες τὶς γυναῖκες καὶ οἱ γυναῖκες τοὺς ἄνδρες, ὁ κύριος τὸ δοῦλο, ὁ ἀδελφὸς τὸν ἀδελφό, καὶ ὁ φίλος τὸ φίλο. Ἢ καλύτερα ὄχι μόνο τοὺς φίλους ἀλλὰ καὶ τοὺς ἐχθροὺς ἂς καλοῦμε στὸν κοινὸ αὐτὸν θησαυρὸ τῶν ἀγαθῶν. Ἂν δεῖ τὴν φροντίδα σου ὁ ἐχθρός, ὁπωσδήποτε θὰ σταματήσει τὸ μίσος του.

Πὲς σ' αὐτόν· δὲν ντρέπεσαι τοὺς Ἰουδαίους, οὔτε κοκκινίζεις, ποὺ μὲ τόσο μεγάλη ἀκρίβεια φυλάγουν τὸ Σάββατο καὶ ἀπὸ τὴν ἑσπέρα ἀκόμη ἀπέχουν ἀπὸ κάθε ἐργασία; Καὶ ἂν δοῦν τὸν ἥλιο νὰ σπεύδει πρὸς τὴ δύση τὴν ἡμέρα τῆς Παρασκευῆς, καὶ τὰ συμβόλαια διακόπτουν καὶ σταματοῦν τὶς πωλήσεις. Καὶ ἂν κάποιος, ποὺ ἀγόρασε κάτι ἀπ' αὐτοὺς πρὶν ἀπὸ τὴν ἑσπέρα, ἔρθει τὴν ἑσπέρα φέροντάς τους τὴν τιμή, δὲν ἀνέχονται νὰ λάβουν, οὔτε νὰ δεχθοῦν τὰ χρήματα. Καὶ τί λέγω τιμὴ γιὰ ἀγορὲς καὶ συμβόλαια; Καὶ ἂν ἀκόμη πρέπει νὰ λάβουν θησαυρό, θὰ προτιμοῦσαν νὰ χάσουν τὸ κέρδος παρὰ νὰ καταπατήσουν τὸ νόμο.

Ἔπειτα οἱ Ἰουδαῖοι βέβαια, ἂν καὶ ἄκαιρα τηροῦν τὸ νόμο, εἶναι τόσο ἀκριβεῖς καὶ προσηλώνονται σὲ μιὰ φύλαξη ποὺ δὲν τοὺς ὠφελεῖ καθόλου ἀλλὰ καὶ ποὺ τοὺς ζημιώνει· ἐσὺ ὅμως, ποὺ εἶσαι ἀνώτερος ἀπὸ τὴ σκιὰ τοῦ νόμου, ποὺ καταξιώ-

πρὸς τὴν τῶν οὐρανῶν πολιτείαν τελῶν, οὐδὲ τὴν αὐτὴν ἐκείνοις ἐπιδείκνυσαι σπουδὴν τοῖς τῇ κακίᾳ προσεδρεύουσιν ἀκαίρως, ὁ τὴν ἀλήθειαν ἐγχειρισθείς, ἀλλὰ μικρὸν μέρος ἡμέρας ἐνταῦθα καλούμενος, οὐδὲ τοῦτο ὑπομένεις ἀναλῶσαι πρὸς τὴν τῶν θείων ἀκρόασιν λογίων; καὶ ποίας ἂν τύχοις συγγνώμης, εἰπέ μοι; τίνα δὲ ἕξεις ἀπολογίαν εἰπεῖν εὔλογον καὶ δικαίαν; Οὐκ ἔστιν, οὐκ ἔστι τὸν οὕτως ἀμελῆ καὶ ῥᾴθυμον συγγνώμης τυχεῖν ποτε, κἂν μυριάκις ἀνάγκας προβάλληται πραγμάτων βιωτικῶν. Οὐκ οἶδας, ὅτι ἐὰν ἐλθὼν προσκυνήσῃς τὸν Θεὸν καὶ μετάσχῃς τῆς ἐνταῦθα διατριβῆς, μᾶλλόν σοι τὰ ἐν χερσὶν εὐμαρίζεται πράγματα;

Βιωτικὰς ἔχεις φροντίδας; Διὰ ταύτας μὲν οὖν ἐνταῦθα ἀπάντησον, ἵνα τὴν εὔνοιαν ἐπισπασάμενος τοῦ Θεοῦ διὰ τῆς ἐνταῦθα διατριβῆς, οὕτω μετ' ἀσφαλείας ἐξέλθῃς· ἵνα ἔχῃς αὐτὸν σύμμαχον, ἵνα ἀκαταγώνιστος γένῃ τοῖς δαίμοσιν ὑπὸ τῆς ἄνωθεν βοηθούμενος χειρός. Ἂν ἀπολαύσῃς εὐχῶν πατρικῶν, ἂν μετάσχῃς κοινῆς εὐχῆς, ἂν ἀκούσῃς θείων λογίων, ἂν ἐπισπάσῃ τοῦ Θεοῦ τὴν βοήθειαν, ἂν τούτοις τοῖς ὅπλοις φραξάμενος οὕτως ἐξέλθῃς, οὐδὲ αὐτὸς ὁ διάβολος ἀντιβλέψαι δυνήσεταί σοι λοιπόν, μήτιγε ἄνθρωποι πονηροί, σπουδάζοντες ἐπηρεάζειν καὶ συκοφαντεῖν. Ἂν δὲ ἀπὸ τῆς οἰκίας ἐπὶ τὴν ἀγορὰν ἔλθῃς, γυμνὸς τῶν ὅπλων τούτων εὑρεθείς, εὐχείρωτος ἔσῃ τοῖς ἐπηρεάζουσιν ἅπασι. Διὰ τοῦτο πολλὰ καὶ ἐν τοῖς κοινοῖς καὶ ἐν τοῖς ἰδίοις πράγμασι παρὰ γνώμην ἡμῖν ἀπαντᾷ, ὅτι οὐ περὶ τὰ πνευματικὰ πρῶτον ἐσπουδάκαμεν καὶ τότε περὶ τὰ βιωτικά, ἀλλ' ἀντεστρέψαμεν τὴν τάξιν. Διὰ τοῦτο καὶ ἡ τῶν πραγμάτων ἀκολουθία καὶ εὐθύτης ἀντέστραπται καὶ πολλῆς ἡμῖν ἅπαντα γέμει ταραχῆς.

θηκες νὰ δεῖς τὸν ἥλιο τῆς δικαιοσύνης, ποὺ ἀποβλέπεις πρὸς τὴν πολιτεία τῶν οὐρανῶν, ποὺ ἔχεις δεχθεῖ τὴν ἀλήθεια, οὔτε τὸ ἴδιο ἐνδιαφέρον δείχνεις μ' ἐκείνους ποὺ ἐπιμένουν ἄκαιρα στὴν κακία, ἀλλὰ ἐνῶ καλεῖσαι ἐδῶ γιὰ μικρὸ διάστημα τῆς ἡμέρας, οὔτε αὐτὸ δέχεσαι νὰ καταναλώσεις γιὰ τὴν ἀκρόαση τῶν θείων λόγων; Καὶ ποιά συγγνώμη, πές μου, θὰ μπορέσεις νὰ λάβεις; ποιά δικαιολογία θὰ ἔχεις νὰ πεῖς εὔλογη καὶ δίκαιη; Δὲν εἶναι δυνατό, δὲν εἶναι δυνατὸ ἕνας τέτοιος ἀμελὴς καὶ ἀδιάφορος νὰ λάβει ποτὲ συγγνώμη, ἔστω καὶ ἂν προβάλλει ἄπειρες ἀνάγκες βιοτικῶν πραγμάτων. Δὲ γνωρίζεις πώς, ἂν ἔρθεις καὶ προσκυνήσεις τὸ Θεὸ καὶ λάβεις μέρος στὴν ἐδῶ σύναξη, οἱ ὑποθέσεις ποὺ ἔχεις στὰ χέρια σου θὰ γίνουν πιὸ εὔκολες;

Ἔχεις βιοτικὲς φροντίδες; Γι' αὐτὲς λοιπὸν ἔλα ἐδῶ, ὥστε, ἀφοῦ προσελκύσεις τὴν εὔνοια τοῦ Θεοῦ μὲ τὴν ἐδῶ παραμονή σου, νὰ φύγεις ἔτσι ἐξασφαλισμένος· γιὰ νὰ ἔχεις αὐτὸν σύμμαχο, γιὰ νὰ γίνεις ἀκατάβλητος στοὺς δαίμονες βοηθούμενος ἀπὸ τὸ χέρι τοῦ Θεοῦ. Ἂν ἀπολαύσεις πατρικὲς εὐχές, ἂν συμμετάσχεις σὲ κοινὴ προσευχή, ἂν ἀκούσεις θεῖα λόγια, ἂν ἀποσπάσεις τὴν βοήθεια τοῦ Θεοῦ, ἂν ἐνισχυθεῖς μ' αὐτὰ τὰ ὅπλα καὶ βγεῖς ἔτσι ἔξω, οὔτε ὁ ἴδιος ὁ διάβολος θὰ μπορέσει πιὰ νὰ σὲ ἀντικρύσει, οὔτε βέβαια οἱ πονηροὶ ἄνθρωποι, ποὺ προσπαθοῦν νὰ σὲ βλάπτουν καὶ νὰ σὲ συκοφαντοῦν. Ἂν ὅμως ἀπὸ τὸ σπίτι σου ἔρθεις στὴν ἀγορὰ καὶ βρεθεῖς γυμνὸς ἀπὸ τὰ ὅπλα αὐτά, θὰ γίνεις εὐάλωτος σὲ ὅλους ἐκείνους ποὺ βλάπτουν. Γι' αὐτὸ καὶ στὰ κοινὰ καὶ στὰ ἰδιωτικὰ πράγματα μᾶς τυχαίνουν πολλὰ ἀντίθετα ἀπὸ τὴν ἐπιθυμία μας, γιατὶ δὲ φροντίσαμε πρῶτα γιὰ τὰ πνευματικὰ καὶ ὕστερα γιὰ τὰ βιοτικά, ἀλλὰ ἀντιστρέψαμε τὴ σειρά. Γι' αὐτὸ ἔχει ἀντιστραφεῖ καὶ ἡ ἀλληλουχία καὶ ἡ εὐθεία διάταξη τῶν πραγμάτων καὶ ὅλα σὲ μᾶς εἶναι γεμάτα ἀπὸ πολλὴ σύγχυση.

Πῶς οἴεσθέ με ὀδυνᾶσθαι καὶ ἀλγεῖν, ὅταν ἐννοήσω, ὅτι πανηγύρεως μὲν καὶ ἑορτῆς ἐπιστάσης, κἂν μηδεὶς ὁ καλῶν ᾖ, πᾶσα ἡ πόλις συντρέχει· πανηγύρεως δὲ καὶ ἑορτῆς ἀπελθούσης, κἂν ἅπασαν τὴν ἡμέραν διατελέσωμεν διαρρηγνύντες ἑαυτοὺς καὶ καλοῦντες ὑμᾶς, οὐδεὶς ὁ προσέχων ἐστί; Ταῦτα γὰρ πολλάκις ἐν διανοίᾳ στρέφων, χαλεπῶς ἀνεστέναξα καὶ πρὸς ἐμαυτὸν εἶπον· τί δεῖ παραινέσεως ἢ συμβουλῆς, συνηθείᾳ ἁπλῶς ἅπαντα ποιούντων ὑμῶν καὶ οὐδὲν ἀπὸ τῆς διδασκαλίας προθυμοτέρων γινομένων τῆς ἡμετέρας; Ὅταν γὰρ ἐν ἑορταῖς μὲν μηδὲν δεήσητε τῆς παρ' ἡμῶν παραινέσεως, ἀπελθουσῶν δὲ ἐκείνων μηδὲν ὠφελῆσθε παρὰ τῆς ἡμετέρας διδασκαλίας, οὐχὶ περιττὸν ἡμῶν ἀποφαίνετε τὸν λόγον, τόγε εἰς ὑμᾶς ἧκον;

4. Τάχα ἀλγοῦσι πολλοὶ τῶν ταῦτα ἀκουόντων. Ἀλλ' οὐχ οὕτως οἱ ῥᾳθυμοῦντες ἴσασιν· εἰ γάρ, ἂν ἀπέθεντο τὴν ὀλιγωρίαν, ὡς ἡμεῖς οἱ καθ' ἑκάστην ἡμέραν τὰ ὑμέτερα μεριμνῶντες. Τί τοσοῦτον κερδαίνεις ἐκ τῶν ἔξωθεν πραγμάτων, ὅσον ζημιοῖς ἑαυτόν; Οὐκ ἔστιν ἐξ ἑτέρας συνάξεως ἢ συνόδου τοσοῦτον κέρδος λαβόντας ἀπελθεῖν, ὅσον ἀπὸ τῆς ἐνταῦθα διατριβῆς· κἂν δικαστήριον λέγῃς, κἂν βουλευτήριον, κἂν αὐτὰ τὰ βασίλεια. Οὐ γὰρ οἰκονομίαν τῶν ἐθνῶν καὶ πόλεων, οὐδὲ στρατοπέδων ἐπιστασίαν τοῖς ἐνταῦθα εἰσιοῦσιν ἐγχειρίζομεν, ἀλλ' ἑτέραν ἀρχὴν καὶ αὐτῆς τῆς βασιλείας σεμνοτέραν· μᾶλλον δὲ οὐχ ἡμεῖς ἐγχειρίζομεν, ἀλλ' ἡ τοῦ Πνεύματος χάρις.

Τίς οὖν ἐστιν ἡ ἀρχὴ ἡ τῆς βασιλείας σεμνοτέρα, ἣν οἱ ἐνταῦθα εἰσιόντες λαμβάνουσι; Παιδεύονται τῶν ἀτόπων κρατεῖν, βασιλεύειν ἐπιθυμίας πονηρᾶς, ἄρχειν ὀργῆς, ἀποτάσσειν φθόνον, δουλοῦσθαι κενοδοξίαν. Οὐκ ἔστιν οὕτω βασιλεὺς σεμνός, ὁ ἐπὶ τοῦ θρόνου καθήμενος τοῦ βασιλικοῦ καὶ διάδημα περι-

Πῶς νομίζετε ὅτι πονῶ καὶ ὑποφέρω, ὅταν σκεφθῶ ὅτι ὅταν ἔρθει πανηγύρι καὶ γιορτή, κι ἂν ἀκόμη δὲν ὑπάρχει κανεὶς νὰ καλέσει, ὅλη ἡ πόλη τρέχει ἐδῶ, ἐνῶ ὅταν περάσει τὸ πανηγύρι καὶ ἡ γιορτή, καὶ ἂν ἀκόμη ὅλη τὴν ἡμέρα ξεσχιζόμαστε καὶ σᾶς καλῶ δὲν ὑπάρχει κανεὶς νὰ προσέχει; Αὐτὰ λοιπὸν συλλογιζόμενος πολλὲς φορές, ἀναστέναξα βαριὰ καὶ εἶπα μέσα μου· τί χρειάζεται ἡ παραίνεση ἢ ἡ συμβουλή, ἀφοῦ ἐσεῖς τὰ κάνετε ὅλα ἁπλῶς ἀπὸ συνήθεια καὶ δὲ γίνεστε καθόλου πιὸ πρόθυμοι ἀπὸ τὴ διδασκαλία μου; Γιατί, ὅταν στὶς γιορτὲς βέβαια δὲν χρειάζεστε καθόλου τὴν παραίνεσή μου, ἐνῶ ὅταν περάσουν ἐκεῖνες δὲν ὠφελεῖσθε καθόλου ἀπὸ τὴ διδασκαλία μου, δὲ δείχνετε πὼς εἶναι περιττὸς ὁ λόγος μου, ὅσο βέβαια ἐξαρτᾶται ἀπὸ σᾶς;

4. Ἴσως ὑποφέρουν πολλοὶ ἀπὸ ἐκείνους ποὺ τὰ ἀκοῦν αὐτά. Ἀλλ' οὔτε ἔτσι οἱ ἀδιάφοροι διδάσκονται. Γιατί, ἂν διδάσκονταν, θὰ ἐγκατέλειπαν τὴν ὀλιγωρία τους, ὅπως ἐμεῖς ποὺ κάθε ἡμέρα φροντίζουμε γιὰ τὰ δικά σας ζητήματα. Τί τόσο πολὺ κερδίζεις ἀπὸ τὰ κοσμικὰ πράματα, ὅσο ζημιώνεις τὸν ἑαυτό σου; Δὲν εἶναι δυνατὸ ἀπὸ ἄλλη σύναξη ἢ σύνοδο νὰ φύγετε παίρνοντας τόσο πολὺ κέρδος, ὅσο ἀπὸ τὴν ἐδῶ παραμονή σας, εἴτε δικαστήριο λέγεις, εἴτε βουλευτήριο, εἴτε τὰ ἴδια τὰ ἀνάκτορα. Γιατὶ σὲ ὅσους μπαίνουν ἐδῶ δὲν ἀναθέτουμε οὔτε διοίκηση ἐθνῶν καὶ πόλεων, οὔτε ἀρχηγία στρατευμάτων, ἀλλὰ κάποια ἄλλη ἐξουσία πιὸ σπουδαία καὶ ἀπ' αὐτὴ τὴ βασιλεία. Ἢ καλύτερα, δὲν τὴν ἀναθέτουμε ἐμεῖς, ἀλλὰ ἡ χάρη τοῦ Πνεύματος.

Ποιά λοιπὸν εἶναι ἡ ἐξουσία, ἡ πιὸ σπουδαία ἀπὸ τὴ βασιλεία, ποὺ λαμβάνουν ὅσοι μπαίνουν ἐδῶ μέσα; Διδάσκονται νὰ νικοῦν τὰ παράλογα πάθη, νὰ βασιλεύουν στὴν πονηρὴ ἐπιθυμία, νὰ ἐξουσιάζουν τὴν ὀργή, νὰ ἀπαρνοῦνται τὸ φθόνο, νὰ ὑποδουλώνουν τὴ ματαιοδοξία. Δὲν εἶναι τόσο λαμπρὸς ὁ βασιλιάς, ποὺ κάθεται πάνω στὸ βασιλικὸ θρόνο καὶ φοράει

κείμενος, ὡς ἄνθρωπος τὸν ὀρθὸν ἐν ἑαυτῷ λογισμὸν ἐπὶ τὸν θρόνον τῆς ἀρχῆς τῶν δουλοπρεπῶν παθῶν ἀναβιβάσας καὶ τῇ κατ' ἐκείνων δεσποτείᾳ, καθάπερ τινὶ διαδήματι λαμπρῷ, τὴν κεφαλὴν ἀναδήσας. Τί γὰρ ὄφελος ἁλουργίδος, εἰπέ μοι, καὶ χρυσῶν ἱματίων καὶ διαλίθου στεφάνου, ὅταν ἡ ψυχὴ τῶν παθῶν αἰχμάλωτος ᾖ; τί κέρδος ἐκ τῆς ἔξωθεν ἐλευθερίας, ὅταν κυριώτερον ἐν ἡμῖν δουλαγωγῆται αἰσχρῶς καὶ ἐλεεινῶς; Ὥσπερ γὰρ πυρετοῦ πρὸς τὸ βάθος καταδυομένου καὶ τὰ ἔνδον ἅπαντα καταφλέγοντος, οὐδὲν ὄφελος ἐκ τῆς ἄνωθεν ἐπιφανείας τοῦ σώματος, ἂν μηδὲν πάσχῃ τοιοῦτον· οὕτως, τῆς ψυχῆς ἡμῖν ὑπὸ τῶν ἔνδον παθῶν παρασυρομένης, οὐδὲ ὄφελος τῆς ἔξωθεν ἀρχῆς, οὐδὲ τῆς καθέδρας τῆς βασιλικῆς, ὅταν ὁ νοῦς μετὰ πολλῆς τυραννίδος ἀπὸ τοῦ θρόνου τῆς βασιλείας ὑπὸ τῶν παθῶν καταστρέφηται καὶ ὑποκύπτῃ καὶ τρέμῃ τὰς ἐπαναστάσεις αὐτῶν.

Ὅπερ ἵνα μὴ γένηται, προφῆται καὶ ἀπόστολοι πάντοθεν συντρέχουσι, καταστέλλοντες ἡμῶν τὰ πάθη καὶ τῆς ἐν ἡμῖν ἀλογίας τὴν θηριωδίαν πᾶσαν ἐκβάλλοντες καὶ τὴν πολλῷ τῆς βασιλείας σεμνοτέραν ἀρχὴν ἡμῖν ἐγχειρίζοντες. Διὰ τοῦτο ἔλεγον, ὅτι οἱ ταύτης ἑαυτοὺς ἀποστεροῦντες τῆς ἐπιμελείας περὶ τὰ καίρια λαμβάνουσι τὴν πληγήν, ζημίαν ὑπομένοντες, ὅσην οὐδαμόθεν ἄλλοθεν· ἐπειδὴ καὶ κέρδη κερδαίνουσιν ἐνταῦθα ἐρχόμενοι, ὅσα οὐδαμόθεν ἑτέρωθεν κερδᾶναι δύναιντ' ἄν· ὥσπερ οὖν καὶ ὁ λόγος ἀπέδειξεν. «Οὐκ ὀφθήσῃ ἐνώπιον Κυρίου κενός», ὁ νόμος ἔλεγε· τουτέστι, χωρὶς θυσιῶν μὴ εἰσέλθῃς. Εἰ δὲ χωρὶς θυσιῶν οὐ δεῖ εἰσιέναι εἰς οἶκον Θεοῦ, πολλῷ μᾶλλον εἰς συνάξεις μετὰ ἀδελφῶν χρή· βελτίων γὰρ ἐκείνης αὕτη ἡ θυσία καὶ ἡ

---

11. Ἐξ. 23,15.

στέμμα, ὅσο ἕνας ἄνθρωπος ποὺ ἀνέβασε μέσα του τὴν ὀρθὴ σκέψη ἐπάνω στὸ θρόνο τῆς ἐξουσίας τῶν ταπεινῶν παθῶν καὶ μὲ τὴν ἀπόλυτη ἐξουσία ἐπάνω τους, σὰν μὲ κάποιο λαμπρὸ στέμμα, στεφάνωσε τὸ κεφάλι του. Γιατί, πές μου, ποιό εἶναι τὸ ὄφελος ἀπὸ τὴ βασιλικὴ πορφύρα καὶ τὰ χρυσὰ ἐνδύματα καὶ τὸ κοσμημένο μὲ πολύτιμες πέτρες στεφάνι, ὅταν ἡ ψυχὴ εἶναι αἰχμάλωτη στὰ πάθη; Ποιό τὸ κέρδος ἀπὸ τὴν ἔξω ἐλευθερία, ὅταν τὸ πιὸ σημαντικὸ μέσα μας ἐξουσιάζεται μὲ αἰσχρὸ καὶ ἐλεεινὸ τρόπο; Γιατί, ὅπως ὅταν ὁ πυρετὸς εἰσχωρεῖ βαθιὰ καὶ κατακαίει τὰ πάντα μέσα μας δὲν ὑπάρχει κανένα ὄφελος ἀπὸ τὴν ἐξωτερικὴ ἐπιφάνεια τοῦ σώματος, ἂν δὲν πάσχει τίποτε παρόμοιο, ἔτσι, ὅταν ἡ ψυχή μας παρασύρεται ἀπὸ τὰ ἐσωτερικὰ πάθη, δὲν ὑπάρχει ὄφελος ἀπὸ τὴν ἐξωτερικὴ ἐξουσία οὔτε ἀπὸ τὴ βασιλικὴ καθέδρα, ὅταν ὁ νοῦς ἀνατρέπεται ἀπὸ τὸ θρόνο τῆς βασιλείας πολὺ τυραννικὰ ἀπὸ τὰ πάθη καὶ ὑποκύπτει καὶ τρέμει τὶς ἐξεγέρσεις τους.

Γιὰ νὰ μὴ γίνει λοιπὸν αὐτό, ἀπὸ παντοῦ συντρέχουν ἐδῶ προφῆτες καὶ ἀπόστολοι, συγκρατώντας τὰ πάθη μας, ἀπομακρύνοντας ὅλη τὴ θηριωδία τῆς ἀπερισκεψίας ἀπὸ μέσα μας καὶ ἀναθέτοντας σὲ μᾶς τὴν ἐξουσία ποὺ εἶναι πολὺ πιὸ σπουδαία ἀπὸ τὴ βασιλεία. Γι' αὐτὸ ἔλεγα ὅτι ἐκεῖνοι ποὺ στεροῦν ἀπὸ τὸν ἑαυτό τους αὐτὴ τὴ φροντίδα δέχονται καίριο κτύπημα, ἀφοῦ παθαίνουν ζημία ὅση ἀπὸ πουθενὰ ἀλλοῦ· ἐπίσης καὶ κέρδη κερδίζουν ὅταν ἔρχονται ἐδῶ ὅσα ἀπὸ πουθενὰ ἀλλοῦ δὲ θὰ μποροῦσαν νὰ κερδίσουν, ὅπως ἀκριβῶς καὶ ὁ λόγος ἀπέδειξε. «Δὲ θὰ ἐμφανισθεῖς ἐνώπιον τοῦ Κυρίου μὲ τὰ χέρια ἄδεια»[11], ἔλεγε ὁ νόμος· δηλαδή, μὴν μπεῖς χωρὶς προσφορὰ θυσίας. Ἂν ὅμως δὲν πρέπει κανεὶς νὰ μπαίνει στὸ ναὸ τοῦ Θεοῦ χωρὶς θυσίες, πολὺ περισσότερο πρέπει νὰ μπαίνει σὲ συνάξεις μὲ ἀδελ-

προσφορά, ὅταν ψυχὴν μετὰ σαυτοῦ λαβεῖν εἰσέλθῃς. Οὐχ ὁρᾶτε τὰς περιστερὰς τὰς μεμελετηκυίας, πῶς ἐξιοῦσαι θηρεύουσιν ἑτέρας; Τοῦτο καὶ ἡμεῖς ποιῶμεν. Ποία γὰρ ἔσται σκῆψις, ὅταν τῶν ἀλόγων τὸ ὁμόφυλον ζῶον δυναμένων θηρεύειν, ἡμεῖς οἱ λόγῳ τιμηθέντες καὶ σοφίᾳ τοσαύτῃ, τῆς τοιαύτης ἄγρας ὑπερορῶμεν;

Παρῄνεσα τῇ προτέρᾳ διαλέξει λέγων, ἕκαστος ὑμῶν εἰς τὰς οἰκίας ἀπαντήσατε τῶν πλησίον, ἀναμείνατε ἐξελθόντας, κατάσχετε, καὶ ἐπαναγάγετε πρὸς τὴν κοινὴν μητέρα· καὶ τοὺς θεατρομανοῦντας μιμήσασθε, οἳ μετὰ πάσης σπουδῆς ἀλλήλοις συνταξάμενοι, οὕτως ὑπὸ τὴν ἕω πρὸς τὴν παράνομον ἀναμένουσι θέαν ἐκείνην. Ἀλλ' οὐδὲν πλέον ἡμῖν γέγονεν ἀπὸ τῆς παραινέσεως ἐκείνης. Διὰ τοῦτο πάλιν λέγω καὶ λέγων οὐ παύσομαι, ἕως ἂν πείσω. Οὐδὲν ὠφελεῖ ἀκρόασις, ἐὰν μὴ πρᾶξις αὐτῇ παρῇ. Βαρυτέραν οὖν ἡμῖν ποιεῖ τὴν τιμωρίαν, ὅταν συνεχῶς τῶν αὐτῶν ἀκούοντες, μηδὲν τῶν λεγομένων ποιῶμεν. Καὶ ὅτι βαρυτέρα ἡ κόλασίς ἐστιν, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· «εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας»· καὶ ὁ ἀπόστολος δέ, «οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται».

Καὶ πρὸς τοὺς μὲν ἀκούοντάς φησι ταῦτα· βουλόμενος δὲ καὶ τὸν λέγοντα παιδεῦσαι, ὅτι οὐδὲ ἐκείνῳ κέρδος ἔσται τι πλέον ἀπὸ τῆς διδασκαλίας, ὅταν μὴ πολιτείαν ἔχῃ τῇ διδασκαλίᾳ συνεζευγμένην καὶ συμβαίνοντα τῷ λόγῳ τὸν βίον, ἄκουσον πῶς καὶ ὁ ἀπόστολος πρὸς αὐτὸν ἀποτείνεται καὶ ὁ προφήτης. Ὁ μὲν γάρ φησι· «τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; σὺ δὲ ἐμίσησας παιδείαν». Ὁ δὲ ἀπόστολος

12. Ἰω. 15,22.
13. Ρωμ. 2,13.
14. Ψαλμ. 49,16–17.

φούς. Γιατὶ αὐτὴ ἡ θυσία καὶ προσφορὰ εἶναι καλύτερη ἀπὸ ἐκείνην, ὅταν μπεῖς παίρνοντας μαζί μου μία ψυχή. Δὲ βλέπετε τὰ ἐξασκημένα περιστέρια πῶς βγαίνοντας θηρεύουν ἄλλα; Αὐτὸ ἂς κάμνουμε καὶ μεῖς. Γιατὶ ποιά δικαιολογία θὰ ἔχουμε, ὅταν τὰ χωρὶς λογικὸ ζῶα μποροῦν νὰ θηρεύσουν τὸ ὁμόφυλό τους ζῶο, καὶ μεῖς ποὺ τιμηθήκαμε μὲ λογικὸ καὶ μὲ τόσο μεγάλη σοφία περιφρονοῦμε ἕνα τέτοιο κυνήγι;

Στὴν προηγούμενη ὁμιλία σᾶς συμβούλευσα λέγοντας· ὁ καθένας σας πηγαίνετε στὰ σπίτια τῶν γειτόνων, περιμένετε νὰ βγοῦν, κρατῆστε τους καὶ ὁδηγῆστε τους πίσω στὴν κοινὴ μητέρα· μιμηθεῖτε ἐπίσης τοὺς θεατρόφιλους, οἱ ὁποῖοι μὲ κάθε προσπάθεια, ἀφοῦ συμφωνήσουν μεταξύ τους, ἀπὸ τὴν αὐγὴ περιμένουν τὸ παράνομο ἐκεῖνο θέαμα. Ἀλλὰ τίποτε περισσότερο δὲν ἔγινε γιὰ μᾶς ἀπὸ τὴν παραίνεση ἐκείνη. Γι' αὐτὸ πάλι λέγω, καὶ δὲ θὰ σταματήσω νὰ λέγω μέχρι ποὺ νὰ σᾶς πείσω. Τίποτε δὲν ὠφελεῖ ἡ ἀκρόαση, ἂν δὲν ὑπάρχει στὴ συνέχεια καὶ πράξη. Κάνει λοιπὸν βαρύτερη τὴν τιμωρία μας, ὅταν συνέχεια ἀκοῦμε τὰ ἴδια πράγματα καὶ δὲν κάνουμε τίποτε ἀπὸ τὰ λεγόμενα. Καὶ ὅτι εἶναι βαρύτερη ἡ τιμωρία, ἄκουσε τὸ Χριστὸ ποὺ λέγει· «ἂν δὲν εἶχα ἔρθει καὶ δὲν τοὺς εἶχα κηρύξει, δὲ θὰ εἶχαν ἁμαρτία· τώρα ὅμως δὲν ἔχουν δικαιολογία γιὰ τὴν ἁμαρτία»[12]. Καὶ ὁ ἀπόστολος ἐπίσης λέγει· «γιατὶ δὲ θὰ δικαιωθοῦν ἐνώπιον τοῦ Θεοῦ ἐκεῖνοι ποὺ ἀκοῦν τὸ νόμο, ἀλλ' ἐκεῖνοι ποὺ ἐφαρμόζουν τὸ νόμο θὰ δικαιωθοῦν»[13].

Καὶ πρὸς τοὺς ἀκροατὲς βέβαια λέγει αὐτά. Θέλοντας ὅμως νὰ διδάξει καὶ τὸν ὁμιλητὴ ὅτι οὔτε σ' ἐκεῖνον θὰ ὑπάρξει κάποιο περισσότερο κέρδος ἀπὸ τὴ διδασκαλία, ὅταν δὲν ἔχει συμπεριφορὰ συνδεδεμένη μὲ τὴ διδασκαλία καὶ τρόπο ζωῆς σύμφωνο μὲ τὰ λόγια, ἄκουσε πῶς ἀπευθύνεται σ' αὐτὸν καὶ ὁ ἀπόστολος καὶ ὁ προφήτης. Ὁ ἕνας λοιπὸν λέγει· «στὸν ἁμαρτωλὸ εἶπε ὁ Θεός, γιατί ἐσὺ τολμᾶς καὶ διηγεῖσαι τὶς ἐντολές μου καὶ παίρνεις στὸ στόμα σου τὴ διαθήκη μου; Ἐσὺ μίσησες τὴν παιδεία μου»[14]. Ὁ ἀπόστολος πάλι ἀπευθυνόμενος σ' αὐ-

πρὸς αὐτοὺς τούτους πάλιν ἀποτεινόμενος, τοὺς ἐπὶ τῇ διδασκαλίᾳ μέγα φρονοῦντας, οὕτω πως φησί· «πέποιθας σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων· ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;»

Ἐπεὶ οὖν οὔτε ἐμὲ τὸν λέγοντα τὸ λέγειν, οὔτε ὑμᾶς τοὺς ἀκούοντας τὸ ἀκούειν ἄνευ τοῦ πείθεσθαί τοῖς λεγομένοις ὠφελῆσαι δύναιτ' ἄν, ἀλλὰ καὶ καταδικάζει πλέον, μὴ μέχρι τῆς ἀκροάσεως τὴν σπουδὴν ἐπιδειξώμεθα, ἀλλ' ἐπὶ τῶν ἔργων φυλάττωμεν τὰ λεγόμενα. Καλὸν μὲν γὰρ τὸ διηνεκῶς ἐνδιατρίβειν θείων ἀκροάσει λογίων· ἀλλὰ τὸ καλὸν τοῦτο ἄχρηστον γίνεται, ὅταν τὴν ἐκ τῆς ὑπακοῆς ὠφέλειαν μὴ ἔχῃ συνεζευγμένην. Ἵνα οὖν μὴ μάτην ἐνταῦθα συλλέγησθε, μετὰ πάσης σπουδῆς, ὃ πολλάκις ὑμῶν ἐδεήθην, καὶ δεόμενος οὐ παύσομαι, τοὺς ἀδελφοὺς ἡμῖν ἐπισπάσασθε, τοὺς πλανωμένους παραινέσατε, συμβουλεύσασθε, μὴ λόγῳ μόνον, ἀλλὰ καὶ ἔργῳ. Μείζων αὕτη ἡ διδασκαλία ἡ διὰ τῶν τρόπων, ἡ διὰ τῆς πολιτείας. Κἂν μηδὲν εἴπῃς, ἐξέλθῃς δὲ ἀπὸ συνάξεως, διὰ τοῦ σχήματος καὶ τοῦ βλέμματος καὶ τῆς φωνῆς καὶ τῆς βαδίσεως καὶ τῆς ἄλλης ἁπάσης καταστολῆς ἐμφαίνων τοῖς ἀπολειφθεῖσιν ἀνθρώποις τὸ κέρδος, ὅπερ ἐντεῦθεν ἐξῆλθες λαβών, ἀρκεῖ τοῦτο εἰς παραίνεσιν καὶ συμβουλήν.

Οὕτω γὰρ ἡμᾶς ἐντεῦθεν ἐξιέναι δεῖ, ὥσπερ ἐξ ἱερῶν ἀδύτων, ὥσπερ ἐξ αὐτῶν καταβάντας τῶν οὐρανῶν, γενομένους κατεσταλμένους, φιλοσοφοῦντας, ῥυθμῷ πάντα καὶ ποιοῦντας καὶ λέγοντας· καὶ γυνὴ τὸν ἄνδρα ὁρῶσα ἀπὸ συνάξεως ἀναχωροῦντα, καὶ τὸν υἱὸν πατήρ, καὶ τὸν πατέρα ὁ παῖς, καὶ τὸν δεσπότην ὁ δοῦλος, καὶ τὸν φίλον ὁ φίλος, καὶ τὸν ἐχθρὸν ὁ ἐχθρός, λαμβανέτωσαν ἅπαντες αἴσθησιν τῆς ἐνταῦθα γενομένης ἡμῖν ὠφελείας· λήψονται δέ, ἂν πρᾳοτέρων, ἂν φιλο-

15. Ρωμ. 2,19-21.

τοὺς ποὺ ὑπερηφανεύονται γιὰ τὴ διδασκαλία τους λέγει τὸ ἑξῆς· «πιστεύεις ὅτι εἶσαι ὁδηγὸς τυφλῶν, φῶς γιὰ ὅσους βρίσκονται στὸ σκοτάδι, παιδαγωγὸς γιὰ τοὺς ἀνόητους, δάσκαλος γιὰ τοὺς πνευματικὰ ἀνώριμους. Ἐσὺ λοιπὸν ποὺ διδάσκεις τὸν ἄλλο, δὲ διδάσκεις τὸν ἑαυτό σου;»[15].

Ἀφοῦ λοιπὸν οὔτε ἐμένα τὸν ὁμιλητὴ ἡ ὁμιλία, οὔτε ἐσᾶς τοὺς ἀκροατὲς ἡ ἀκρόαση μπορεῖ νὰ ὠφελήσει χωρὶς ν' ἀκολουθοῦμε τὰ λεγόμενα, ἀλλὰ καὶ μᾶς καταδικάζει περισσότερο, ἂς μὴ δείξουμε τὸ ἐνδιαφέρον μέχρι τὴν ἀκρόαση, ἀλλ' ἂς τηροῦμε τὰ λεγόμενα μὲ τὰ ἔργα μας. Βέβαια εἶναι καλὸ τὸ νὰ ἐπιμένει κανεὶς συνέχεια στὴν ἀκρόαση τῶν θείων λόγων, ἀλλὰ τὸ καλὸ αὐτὸ γίνεται ἄχρηστο, ὅταν δὲν συνδυάζεται μὲ τὴν ὠφέλεια ἀπὸ τὴν ὑπακοὴ σ' αὐτά. Γιὰ νὰ μὴ συγκεντρώνεστε λοιπὸν ἐδῶ στὰ χαμένα, μὲ κάθε προσπάθεια, πράγμα ποὺ πολλὲς φορὲς σᾶς παρακάλεσα καὶ δὲ θὰ σταματήσω νὰ παρακαλῶ, προσελκύστε τοὺς ἀδελφούς μας, προτρέψτε τοὺς πλανημένους, συμβουλέψτε τους ὄχι μόνο μὲ λόγια, ἀλλὰ καὶ μὲ ἔργα. Εἶναι μεγαλύτερη αὐτὴ ἡ διδασκαλία ποὺ γίνεται μὲ τὴ συμπεριφορά, μὲ τὴ ζωή. Καὶ ἂν ἀκόμη τίποτε δὲν πεῖς, ἀλλὰ βγεῖς ἀπὸ τὴ σύναξη, δείχνοντας στοὺς ἀπόντες καὶ μὲ τὴν ἐμφάνιση, καὶ μὲ τὸ βλέμα καὶ μὲ τὴ φωνὴ καὶ μὲ τὸ βάδισμα καὶ μὲ ὅλο τὸ ἄλλο στόλισμα τὸ κέρδος ποὺ πῆρες ἀπὸ δῶ καὶ βγῆκες ἔξω, εἶναι ἀρκετὸ αὐτὸ γιὰ παραίνεση καὶ συμβουλή.

Γιατὶ ἔτσι πρέπει νὰ βγαίνουμε ἀπὸ ἐδῶ, σὰν ἀπὸ ἱερὰ ἄδυτα, σὰν νὰ κατεβαίνουμε ἀπὸ τοὺς ἴδιους τοὺς οὐρανούς, γενόμενοι συγκρατημένοι, φιλόσοφοι, κάμνοντας καὶ λέγοντας τὰ πάντα μὲ μέτρο. Καὶ ἡ γυναίκα ὅταν βλέπει τὸν ἄνδρα της νὰ φεύγει ἀπὸ τὴ σύναξη καὶ ὁ πατέρας τὸ γιό του καὶ ὁ γιὸς τὸν πατέρα του καὶ ὁ δοῦλος τὸν κύριό του καὶ ὁ φίλος τὸν φίλο του καὶ ὁ ἐχθρὸς τὸν ἐχθρό του ἂς διαπιστώνουν ὅλοι τὴν ὠφέλεια ποὺ ἔγινε σὲ μᾶς ἐδῶ. Καὶ θὰ τὴν ἀντιληφθοῦν, ἂν διαπι-

σοφωτέρων, ἂν εὐλαβεστέρων ὑμῶν γεγενημένων αἰσθάνωνται. Ἐννόησον οἵας ἀπολαύεις μυσταγωγίας ὁ μεμυημένος σύ, μετὰ τίνων βοᾷς τό, τρισάγιος. Δίδαξον τοὺς ἔξωθεν, ὅτι μετὰ τῶν Σεραφὶμ ἐχόρευσας, ὅτι εἰς τὸν δῆμον τὸν ἄνω τελεῖς, ὅτι εἰς τὸν χορὸν ἐνεγράφης τὸν τῶν ἀγγέλων, ὅτι τῷ Δεσπότῃ διελέχθης, ὅτι τῷ Χριστῷ συνεγένου.

Ἂν οὕτως ἑαυτοὺς ρυθμίζωμεν, οὐδὲν ἐξελθόντες δεησόμεθα λόγου πρὸς τοὺς ἀπολειφθέντας· ἀλλ' ἀπὸ τῆς ἡμετέρας ὠφελείας, τῆς οἰκείας αἰσθήσονται ζημίας, καὶ δραμοῦνται ταχέως, ὥστε τῶν αὐτῶν ἀπολαῦσαι. Τὸ γὰρ κάλλος ὑμῶν τῆς ψυχῆς διὰ τῶν αἰσθήσεων αὐτῶν ἀπολάμπον ὁρῶντες, κἂν ἁπάντων ὦσι νωθρότεροι, εἰς ἔρωτα τῆς εὐπρεπείας ἐμπεσοῦνται τῆς ὑμετέρας. Εἰ γὰρ σώματος κάλλος ἀναπτεροῖ τοὺς ὁρῶντας, πολλῷ μᾶλλον εὐμορφία ψυχῆς διεγεῖραι δύναιτ' ἂν τὸν θεατὴν καὶ πρὸς τὸν ἴσον παρακαλέσαι ζῆλον. Καλλωπίσωμεν τοίνυν ἡμῶν τὸν ἔσω ἄνθρωπον καὶ τῶν ἐνταῦθα λεγομένων ἔξω μνημονεύωμεν· ἐκεῖ γὰρ αὐτῶν μάλιστα τῆς μνήμης ὁ καιρός· καὶ καθάπερ ἀθλητής, ἅπερ ἂν ἐπὶ τῆς παλαίστρας μανθάνῃ, ταῦτα ἐπὶ τῶν ἀγώνων ἐπιδείκνυται, οὕτω δὴ καὶ ἡμᾶς, ἅπερ ἂν ἐνταῦθα ἀκούωμεν, ταῦτα ἐπὶ τῶν ἔξωθεν πραγμάτων ἐπιδείκνυσθαι χρή.

5. Μνημόνευσον τοίνυν τῶν ἐνταῦθα λεγομένων, ἵν', ὅτε ἐξέλθῃς καὶ ἐπιλάβηταί σου ὁ διάβολος ἢ δι' ὀργῆς ἢ διὰ κενοδοξίας ἢ δι' ἄλλου τινὸς πάθους, ἀναμνησθεὶς τῆς ἐνταῦθα διδασκαλίας, δυνηθῇς ρᾳδίως ἀποδύσασθαι τὰ ἅμματα τοῦ πονηροῦ. Οὐχ ὁρᾶτε ἐν τοῖς σκάμμασι τοὺς παιδοτρίβας, οἳ μετὰ μυρίους ἄθλους ἀτέλειαν λοιπὸν τῶν παλαισμάτων ἀπὸ τῆς ἡλικίας λαβόντες, ἔξω τῶν σκαμμάτων καθήμενοι παρὰ τὴν κόνιν αὐτήν, τοῖς ἔνδον οὖσι καὶ παλαίουσιν ὑποφωνοῦσιν, ὥστε χεῖρα κατα-

στώνουν πὼς ἔχετε γίνει πιὸ πράοι, πιὸ ἐγκρατεῖς καὶ πιὸ εὐσεβεῖς. Σκέψου ποιά μυσταγωγία ἀπολαμβάνεις ἐσὺ ὁ μυημένος, μὲ ποιούς ἀναπέμπεις τὴ μυστικὴ ἐκείνη μελωδία, μὲ ποιούς ἐκφωνεῖς τὸν τρισάγιο ὕμνο. Δίδαξε τοὺς ἔξω ὅτι ἔψαλες μαζὶ μὲ τὰ σεραφίμ, ὅτι ἀνήκεις στὴν οὐράνια πολιτεία, ὅτι γράφτηκες στὸ χορὸ τῶν ἀγγέλων, ὅτι μίλησες μὲ τὸν Κύριο, ὅτι βρέθηκες μαζὶ μὲ τὸ Χριστό.

Ἂν ἔτσι ρυθμίζουμε τὸν ἑαυτό μας, δὲ θὰ χρειασθοῦμε νὰ ποῦμε τίποτε στοὺς ἀπόντες ὅταν βγοῦμε ἀπὸ ἐδῶ. Ἀλλὰ ἀπὸ τὴ δική μας ὠφέλεια θὰ αἰσθανθοῦν τὴ δική τους ζημιὰ καὶ θὰ τρέξουν γρήγορα γιὰ ν' ἀπολαύσουν τὰ ἴδια. Γιατὶ βλέποντας μὲ τὶς αἰσθήσεις τους τὴν ὀμορφιὰ τῆς ψυχῆς σας, καὶ ἂν ἀκόμη εἶναι πιὸ ἀδιάφοροι ἀπ' ὅλους, θ' ἀγαπήσουν τὴ δική σας εὐπρέπεια. Ἂν λοιπὸν ἡ ὀμορφιὰ τοῦ σώματος ἀναπτερώνει αὐτοὺς ποὺ τὴ βλέπουν, πολὺ περισσότερο ἡ ὀμορφιὰ τῆς ψυχῆς μπορεῖ νὰ διεγείρει τὸ θεατὴ καὶ νὰ τὸν παρακινήσει στὸν ἴδιο ζῆλο. Ἂς στολίσουμε λοιπὸν τὸν ἐσωτερικό μας ἄνθρωπο καὶ ἂς θυμόμαστε ἔξω τὰ ἐδῶ λεγόμενα. Γιατὶ ἐκεῖ κυρίως ἀξίζει νὰ τὰ φέρνουμε στὴ μνήμη μας. Καὶ ὅπως ἕνας ἀθλητής, αὐτὰ ποὺ μαθαίνει στὴν παλαίστρα, τὰ δείχνει στοὺς ἀγῶνες, ἔτσι ἀκριβῶς καὶ μεῖς, αὐτὰ ποὺ θ' ἀκοῦμε ἐδῶ, πρέπει νὰ τὰ δείχνουμε στὰ ἔξω πράγματα.

5. Θυμήσου λοιπὸν τὰ ἐδῶ λεγόμενα, ὥστε, ὅταν βγεῖς καὶ σὲ ἐπιτεθεῖ ὁ διάβολος μέσα ἀπὸ τὴν ὀργὴ ἢ τὴ ματαιοδοξία ἢ μέσα ἀπὸ κάποιο ἄλλο πάθος, ἀφοῦ θυμηθεῖς τὴν ἐδῶ διδασκαλία, νὰ μπορέσεις εὔκολα ν' ἀπομακρύνεις τὶς παγίδες τοῦ διαβόλου. Δὲ βλέπετε στὰ γυμναστήρια τοὺς γυμναστές, οἱ ὁποῖοι, ἀφοῦ ὕστερα ἀπὸ ἀμέτρητους ἄθλους ἔλαβαν ἐξ αἰτίας τῆς ἡλικίας δωρεὰν πιὰ εἴσοδο στοὺς ἀγῶνες, κάθονται ἔξω ἀπὸ τὰ σκάμματα στὸ χῶμα καὶ δίνουν χαμηλόφωνα συμβουλὲς σ' αὐτοὺς ποὺ εἶναι μέσα καὶ παλεύουν, λέγοντάς τους νὰ κρατήσουν

σχεῖν, ὥστε σκέλος ἑλκύσαι, ὥστε λαβεῖν μετὰ τὰ νῶτα, καὶ ἕτερα πολλὰ τοιαῦτα λέγοντες, ὅτι ἂν τὸ καὶ τὸ ποιήσῃς, ἐκτενεῖς ῥᾳδίως τὸν ἀνταγωνιστήν, τὰ μέγιστα συντελοῦσι τοῖς μαθηταῖς; Καὶ σὺ τὸν παιδοτρίβην τὸν σὸν ὅρα, τὸν μακάριον Παῦλον, ὃς μετὰ μυρίους στεφάνους ἔξω τοῦ σκάμματος καθήμενος νῦν, τῆς παρούσης λέγω ζωῆς, τοῖς παλαίουσιν ἡμῖν ὑποφωνεῖ, καὶ βοᾷ διὰ τῶν ἐπιστολῶν, ὅταν ἴδῃ κατασχεθέντας ὑπὸ ὀργῆς καὶ ὑπὸ μνησικακίας, καὶ ἀποπνιγομένους ὑπὸ τοῦ πάθους, «ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν». Καὶ καθάπερ ὁ παιδοτρίβης λέγει, ὅτι ἂν τὸ καὶ τὸ ποιήσῃς, περιέσῃ τοῦ ἀνταγωνιστοῦ, οὕτω καὶ οὗτος προστίθησι· «τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ».

Ἀλλὰ γὰρ μεταξὺ τούτου τοῦ ἀναγινώσκειν με τὸν νόμον, ἐπῆλθε τὸ δοκοῦν φύεσθαι ζήτημα ἐξ αὐτοῦ, καὶ πολλοῖς παρέχειν κατὰ τοῦ Παύλου λαβήν, ὅπερ προθεῖναι τήμερον εἰς μέσον ὑμῖν. Τί ποτ' οὖν ἐστι τὸ ὑφορμοῦν ταῖς διανοίαις τῶν μὴ μετὰ ἀκριβείας ἅπαντα ἐξετάζειν βουλομένων; Ἀπάγων ὀργῆς ὁ Παῦλος, φησί, καὶ πείθων ἐπιεικεῖς εἶναι καὶ μετρίους τοῖς πέλας, μᾶλλον αὐτοὺς ἐξεθηρίωσε καὶ πρὸς θυμὸν ἐπῆρε. Τὸ μὲν γὰρ εἰπεῖν, «ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν, ἐὰν διψᾷ, πότιζε αὐτόν», καλὸν ἐπίταγμα καὶ φιλοσοφίας γέμον, καὶ τῷ ποιοῦντι καὶ τῷ πάσχοντι χρήσιμον· τὸ δὲ ἐντεῦθεν λοιπὸν πολλὴν ἔχει τὴν ἀπορίαν, καὶ δοκεῖ μὴ συμβαίνειν τῇ γνώμῃ τοῦ τὰ πρότερα εἰρηκότος. Ποῖον δὲ τοῦτο; Τὸ λέγειν, ὅτι «ποιῶν τοῦτο, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ». Διὰ γὰρ τούτων τῶν ῥημάτων καὶ τὸν ποιοῦντα καὶ τὸν πάσχοντα

---

16. Ρωμ. 12,20. Δηλαδή· «μ' αὐτὴ τὴν τακτικὴ θὰ τὸν κάνεις νὰ αἰσθανθεῖ τύψεις καὶ ντροπή».

τὸν ἀντίπαλο ἀπὸ τὸ χέρι, νὰ τραβήξουν τὸ πόδι του, μετὰ νὰ τὸν πιάσουν ἀπὸ τὴν πλάτη, καὶ ἄλλα πολλὰ τέτοια, ὅτι δηλαδὴ ἂν κάμεις αὐτὸ καὶ αὐτό, θὰ ξαπλώσεις εὔκολα τὸν ἀντίπαλο, πράγμα ποὺ εἶναι πάρα πολὺ χρήσιμο στοὺς μαθητές; Καὶ σὺ βλέπε τὸ δικό σου γυμναστή, τὸ μακάριο Παῦλο, ὁ ὁποῖος ὕστερα ἀπὸ ἄπειρα στεφάνια κάθεται τώρα ἔξω ἀπὸ τὸ στίβο, δηλαδὴ τὴν παρούσα ζωή, δίνει συμβουλὲς σὲ μᾶς ποὺ παλεύουμε καὶ φωνάζει μέσα ἀπὸ τὶς ἐπιστολές, ὅταν δεῖ νὰ ἔχουμε κυριευθεῖ ἀπὸ τὴν ὀργὴ καὶ τὴ μνησικακία καὶ νὰ πνιγόμαστε ἀπὸ τὸ πάθος, «ἂν πεινάσει ὁ ἐχθρός σου δῶσε του νὰ φάει». Καὶ ὅπως ὁ γυμναστὴς λέγει, ἂν κάμνεις αὐτὸ καὶ αὐτὸ θὰ νικήσεις τὸν ἀντίπαλο, ἔτσι καὶ αὐτὸς προσθέτει· «γιατὶ κάνοντας αὐτὸ θὰ συσσωρεύσεις ἀναμμένα κάρβουνα στὸ κεφάλι του»[16].

Ἀλλὰ καθὼς διάβαζα τὴν ἐντολὴ αὐτή, προέκυψε τὸ ζήτημα ποὺ φαίνεται πὼς προέρχεται ἀπ' αὐτὴν καὶ δίνει σὲ πολλοὺς ἀφορμὴ ἐναντίον τοῦ Παύλου, πράγμα ποὺ θὰ σᾶς τὸ ἐκθέσω σήμερα. Ποιό λοιπὸν εἶναι ἐκεῖνο ποὺ εἰσδύει στὶς διάνοιες ἐκείνων ποὺ δὲ θέλουν νὰ ἐξετάζουν ὅλα μὲ ἀκρίβεια; Προσπαθώντας ὁ Παῦλος, λέγει, ν' ἀπομακρύνει τὴν ὀργὴ καὶ νὰ πείσει νὰ εἴμαστε ἐπιεικεῖς καὶ μετριοπαθεῖς πρὸς τοὺς ἄλλους, περισσότερο τοὺς ἐξαγρίωσε αὐτοὺς καὶ τοὺς παρέσυρε πρὸς τὸ θυμό. Γιατὶ αὐτὸ ποὺ εἶπε, «ἂν πεινάει ὁ ἐχθρός σου, δῶσε του νὰ φάει, ἂν διψάει, δῶσε του νὰ πιεῖ», εἶναι καλὴ ἐντολὴ καὶ γεμάτη σωφροσύνη καὶ χρήσιμη καὶ σ' ἐκεῖνον ποὺ τὴν ἐφαρμόζει καὶ σ' αὐτὸν ποὺ τὴ δέχεται. Ἀλλὰ τὸ ἀμέσως ἑπόμενο περιέχει πολλὴ ἀπορία καὶ δίνει τὴν ἐντύπωση ὅτι δὲ συμφωνεῖ μὲ τὴ γνώμη ἐκείνου ποὺ εἶπε τὰ προηγούμενα. Καὶ ποιό εἶναι αὐτό; Τὸ ὅτι λέγει, «κάνοντας αὐτὸ θὰ συσσωρέσεις ἀναμμένα κάρβουνα στὸ κεφάλι του». Γιατὶ μ' αὐτὰ τὰ λόγια ἀδίκησε καὶ αὐτὸν ποὺ τὸ κάνει αὐτὸ καὶ ἐκεῖνον ποὺ τὸ δέχε-

ἠδίκησε· τοῦ μὲν τὴν κεφαλὴν ἀνάψας καὶ πυρὸς ἄνθρακας ἐπιθείς.

Τί γὰρ τοσοῦτον ἀπὸ τοῦ ψωμίζεσθαι καὶ ποτίζεσθαι γένοιτ' ἂν ἀγαθόν, ὅσον κακὸν ἀπὸ τῆς τῶν ἀνθράκων σωρείας; Τὸν μὲν οὖν εὖ πάσχοντα, φησίν, οὕτως ἠδίκησεν, εἰς μείζονα ἐμβαλὼν τιμωρίαν, τὸν δὲ εὖ ποιοῦντα πάλιν ἑτέρως κατέβλαψε. Τί γὰρ καὶ οὗτος τῆς ἀπὸ τῶν ἐχθρῶν εὐεργεσίας κερδᾶναι δύναται, ὅταν ἐλπίδι τῆς τιμωρίας αὐτὸ ποιῇ; Ὁ γὰρ διὰ τοῦτο τρέφων καὶ ποτίζων τὸν ἐχθρόν, ἵνα ἄνθρακας σωρεύσῃ πυρὸς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, οὐχὶ φιλάνθρωπος καὶ χρηστός, ἀλλ' ὠμὸς καὶ ἀπηνὴς γένοιτ' ἄν, διὰ μικρᾶς εὐεργεσίας ἄφατον ἐμβαλὼν κόλασιν. Τί γὰρ ἂν γένοιτο χαλεπώτερον τοῦ διὰ τοῦτο τρέφοντος, ἵνα σωρεύσῃ πυρὸς ἄνθρακας ἐπὶ τὴν τοῦ τρεφομένου κεφαλήν; Ἡ μὲν οὖν ἀντίθεσις αὕτη· δεῖ δὲ λοιπὸν τὴν λύσιν ἐπαγαγεῖν, ἵνα δι' αὐτῶν τούτων τῶν δοκούντων ἐπιλαμβάνεσθαι τῶν τοῦ νόμου γραμμάτων ἴδῃς ἀκριβῶς τοῦ νομοθέτου τὴν σοφίαν ἅπασαν. Τίς οὖν ἐστιν ἡ λύσις;

Συνεῖδε τοῦτο καλῶς ὁ μέγας καὶ γενναῖος ἀνὴρ ἐκεῖνος, ὅτι βαρὺ καὶ χαλεπὸν πρᾶγμα, ἐχθρῷ καταλλαγῆναι ταχέως· βαρὺ δὲ καὶ χαλεπόν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ῥᾳθυμίαν τὴν ἡμετέραν. Αὐτὸς δὲ οὐχὶ καταλλαγῆναι μόνον ἐκέλευσεν, ἀλλὰ καὶ θρέψαι, ὃ πολὺ τοῦ προτέρου βαρύτερον ἦν. Εἰ γὰρ βλέποντες μόνον τοὺς λελυπηκότας τινὲς ἐκθηριοῦνται, πῶς ἂν εἵλοντο θρέψαι πεινῶντας; Καὶ τί λέγω, βλέποντες; Ἂν μνησθῇ τις αὐτῶν καὶ τὴν προσηγορίαν εἰς μέσον ἐνέγκῃ μόνον,

ται, ἀφοῦ τοῦ ἄναψε τὸ κεφάλι καὶ τοῦ ἔβαλε ἀναμμένα κάρβουνα.

Γιατὶ ποιό τόσο μεγάλο καλὸ μπορεῖ νὰ γίνει ἀπὸ τὸ ὅτι τοῦ δίνουν νὰ φάει καὶ νὰ πιεῖ, ὅσο κακὸ γίνεται ἀπὸ τὰ πολλὰ ἀναμμένα κάρβουνα; Αὐτὸν λοιπὸν ποὺ εὐεργετεῖται, λέγει, ἔτσι τὸν ἀδίκησε, ἀφοῦ τὸν ἔρριξε σὲ μεγαλύτερη τιμωρία, ἐνῶ ἐκεῖνον ποὺ εὐεργετεῖ πάλι τὸν ἔβλαψε διαφορετικά. Γιατὶ τί μπορεῖ νὰ κερδίσει καὶ αὐτὸς ἀπὸ τὴν εὐεργεσία του στοὺς ἐχθρούς, ὅταν τὸ κάνει αὐτὸ ἐλπίζοντας στὴν τιμωρία τους; Ἐκεῖνος λοιπὸν ποὺ γι' αὐτὸ τρέφει καὶ ποτίζει τὸν ἐχθρό του, γιὰ νὰ συσσωρεύσει ἀναμμένα κάρβουνα στὸ κεφάλι του δὲ θὰ γίνει φιλάνθρωπος καὶ καλός, ἀλλὰ σκληρός καὶ ἄσπλαχνος, ἀφοῦ μὲ μικρὴ εὐεργεσία τὸν ἔρριξε σὲ ἀπερίγραπτη κόλαση. Καὶ τί θὰ μποροῦσε νὰ ὑπάρξει φοβερότερο ἀπὸ τὸν ἄνθρωπο ποὺ τρέφει γι' αὐτό, γιὰ νὰ συσσωρεύσει ἀνεμμάνα κάβουνα στὸ κεφάλι ἐκείνου ποὺ τρέφει; Ἡ ἀντίθεση λοιπὸν εἶναι αὐτή. Πρέπει ὅμως στὴ συνέχεια νὰ προσθέσω τὴ λύση, γιὰ νὰ δεῖς μὲ ἀκρίβεια ὅλη τὴ σοφία τοῦ νομοθέτη μέσα ἀπ' αὐτὰ τὰ ἴδια τὰ γράμματα τῆς ἐντολῆς ποὺ φαίνονται νὰ ἐναντιώνονται. Ποιά λοιπὸν εἶναι ἡ λύση;

Τὸ ἤξερε καλὰ αὐτὸ ὁ μεγάλος καὶ γενναῖος ἐκεῖνος ἄνδρας, ὅτι εἶναι βαρὺ καὶ δύσκολο πράγμα τὸ νὰ συμφιλιωθεῖ κανεὶς γρήγορα μὲ τὸν ἐχθρό του. Καὶ εἶναι βαρὺ καὶ δύσκολο ὄχι ἐξ αἰτίας τῆς φύσης του, ἀλλὰ ἐξ αἰτίας τῆς δικῆς μας ἀδιαφορίας. Αὐτὸς ὅμως πρόσταξε ὄχι μόνο νὰ συμφιλιωθοῦν, ἀλλὰ καὶ νὰ τὸν θρέψει, πράγμα ποὺ ἦταν πολὺ πιὸ βαρὺ ἀπὸ τὸ προηγούμενο. Γιατί, ἂν μερκοὶ ἐξαγριώνονται βλέποντας μόνο ἐκείνους ποὺ τοὺς ἔχουν πικράνει, πῶς θὰ δέχονταν νὰ τοὺς θρέψουν ὅταν πεινοῦν; Καὶ γιατί λέγω, βλέποντας; Ἂν τοὺς θυμηθεῖ κάποιος καὶ ἀναφερθεῖ τὸ ὄνομά τους καὶ μόνο, ἀνανεώ-

ἀνανεοῖ τὴν πληγὴν τῆς διανοίας ἡμῖν καὶ μείζω ποιεῖ τὴν φλεγμονήν.

Ταῦτ' οὖν ἅπαντα συνιδὼν ὁ Παῦλος καὶ βουλόμενος τὸ δυσκατόρθωτον τοῦτο καὶ χαλεπὸν εὔκολον ποιῆσαι καὶ ῥᾴδιον, καὶ πεῖσαι τὸν μηδὲ ἰδεῖν ἀνεχόμενον τὸν ἐχθρὸν εἰς εὐεργεσίαν τὴν ἐκείνου γενέσθαι, τοὺς ἄνθρακας ἔθηκε τοῦ πυρός, ἵν' ἐλπίδι τῆς τιμωρίας προτραπείς, ἐπιδράμῃ τῇ τοῦ λελυπηκότος εὐεργεσίᾳ. Καὶ καθάπερ ὁ ἁλιεὺς πάντοθεν τὸ ἄγκιστρον περιστέλλων τῷ δελέατι, προστίθησι τοῖς ἰχθύσιν, ἵνα προσδραμὼν τῇ συνήθει τροφῇ, δι' ἐκείνης ἁλῷ καὶ κατασχεθῇ ῥᾳδίως, οὕτω δὴ καὶ ὁ Παῦλος, βουλόμενος εἰς τὴν εὐεργεσίαν ἐμβιβάσαι τοῦ ἠδικηκότος τὸν ἠδικημένον, οὐ γυμνὸν προστίθησι τὸ τῆς φιλοσοφίας ἄγκιστρον, ἀλλ' ὥσπερ τινὶ δελέατι, τοῖς ἄνθραξι τοῦ πυρὸς περιστείλας, καλεῖ μὲν τὸν ἐπηρεασθέντα τῇ τῆς κολάσεως ἐλπίδι πρὸς τὴν εὐεργεσίαν τοῦ λελυπηκότος· ἐλθόντα δὲ αὐτὸν κατέχει λοιπόν, καὶ οὐκ ἀφίησιν ἀποπηδῆσαι, αὐτῆς τοῦ πράγματος τῆς φύσεως προσηλούσης αὐτὸν τῷ ἐχθρῷ· καὶ μονονουχὶ λέγει πρὸς αὐτόν· οὐ βούλει δι' εὐλάβειαν τρέφειν τὸν ἠδικηκότα; διὰ γοῦν τὴν ἐλπίδα τῆς κολάσεως θρέψον.

Οἶδε γάρ, ὅτι ἐὰν ἅψηται τῆς εἰς αὐτὸν εὐεργεσίας, ἀρχὴ λοιπὸν αὐτῷ καὶ ὁδὸς γίνεται τῆς καταλλαγῆς. Οὐδεὶς γάρ, οὐδεὶς τὸν ψωμιζόμενον ὑπ' αὐτοῦ καὶ ποτιζόμενον διηνεκῶς ἀνάσχοιτο ἔχειν ἐχθρόν, εἰ καὶ παρὰ τὴν ἀρχὴν ἐλπίδι τιμωρίας τοῦτο ποιεῖ. Ὁ γὰρ χρόνος προϊὼν χαλᾷ καὶ τῆς ὀργῆς τὸν τόνον. Ὥσπερ οὖν ὁ ἁλιεύς, εἰ γυμνὸν τὸ θήρατρον προσέθηκεν, οὐκ ἂν ἐπεσπάσατο τὸν ἰχθύν, νυνὶ δὲ περιστείλας αὐτό, λανθανόντως ἐνίησι τῷ στόματι τοῦ προσιόντος ζώου τὸ ἄγκιστρον,

νει τὴν πληγὴ στὴ σκέψη μας καὶ κάνει μεγαλύτερο τὸν ἐρεθισμό.

Γνωρίζοντας λοιπὸν ὁ Παῦλος ὅλα αὐτὰ καλὰ καὶ θέλοντας αὐτὸ τὸ δυσκολοκατόρθωτο καὶ δυσάρεστο νὰ τὸ κάμει εὔκολο καὶ ἁπλὸ καὶ νὰ πείσει αὐτόν, ποὺ οὔτε νὰ δεῖ ἀνέχεται τὸν ἐχθρό του, νὰ τὸν εὐεργετήσει, ἀνέφερε τὰ ἀναμμένα κάρβουνα, γιὰ νὰ τρέξει στὴν εὐεργεσία ἐκείνου ποὺ τὸν ἔχει πικράνει παρακινούμενος ἀπὸ τὴν ἐλπίδα τῆς τιμωρίας του. Καὶ ὅπως ἀκριβῶς ὁ ψαρὰς σκεπάζει πρῶτα ἀπὸ παντοῦ τὸ ἀγκρίστρι μὲ τὸ δόλωμα καὶ τότε τὸ πλησιάζει στὰ ψάρια, γιὰ νὰ τρέξουν στὴ συνηθισμένη τροφὴ καὶ ἔτσι νὰ πέσουν στὰ χέρια του καὶ νὰ πιαστοῦν εὔκολα, ἔτσι λοιπὸν καὶ ὁ Παῦλος· θέλοντας νὰ ὁδηγήσει τὸν ἀδικημένο στὴν εὐεργεσία ἐκείνου ποὺ τὸν ἔχει ἀδικήσει, δὲν πλησιάζει γυμνὸ τὸ ἀγκίστρι τῆς διδασκαλίας, ἀλλὰ σὰν μὲ κάποιο δόλωμα, ἀφοῦ τὸ σκέπασε μὲ τὰ ἀναμμένα κάρβουνα, καλεῖ αὐτὸν ποὺ ἔπαθε κακὸ μὲ τὴν ἐλπίδα τῆς τιμωρίας νὰ εὐεργετήσει ἐκεῖνον ποὺ τὸν ἀδίκησε, καὶ ὅταν ἔρθει τὸν κρατάει στὴ συνέχεια καὶ δὲν τὸν ἀφήνει νὰ ἀπομακρυνθεῖ, ἐπειδὴ ἡ ἴδια ἡ φύση τοῦ πράγματος τὸν κρατάει δεμένο μὲ τὸν ἐχθρό. Καὶ σχεδὸν σὰν νὰ λέγει πρὸς αὐτόν· δὲ θέλεις ἀπὸ εὐλάβεια νὰ τρέφεις ἐκεῖνον ποὺ σὲ ἀδίκησε; τουλάχιστο θρέψε τον γιὰ τὴν ἐλπίδα τῆς τιμωρίας.

Γιατὶ γνωρίζει πώς, ἂν ἐπιχειρήσει τὴν εὐεργεσία πρὸς αὐτόν, θὰ τοῦ γίνει στὴ συνέχεια ἀρχὴ καὶ δρόμος γιὰ τὴ συμφιλίωση. Γιατὶ κανείς, πραγματικὰ κανεὶς δὲ θὰ ἀνεχόταν νὰ ἔχει πάντοτε ἐχθρὸ ἐκεῖνον ποὺ τρέφει καὶ ποτίζει, ἔστω καὶ ἂν στὴν ἀρχὴ τὸ ἔκανε αὐτὸ μὲ τὴν ἐλπίδα τῆς τιμωρίας. Γιατὶ ὁ χρόνος καθὼς περνάει διαλύει καὶ τὴ δύναμη τῆς ὀργῆς. Ὅπως λοιπὸν ὁ ψαράς, ἂν πλησίαζε γυμνὸ τὸ ἀγκίστρι, δὲ θὰ τραβοῦσε τὸ ψάρι, ἐνῶ τώρα τὸ σκεπάζει πρῶτα καὶ τότε χωρὶς νὰ γίνεται ἀντιληπτὸ τὸ βάζει στὸ στόμα τοῦ ψαριοῦ ποὺ πλησιάζει,

οὕτω καὶ ὁ Παῦλος, εἰ μὴ προέτεινε τὴν προσδοκίαν τῆς κολάσεως, οὐκ ἂν ἔπεισε τοὺς ἠδικημένους ἅψασθαι τῆς τῶν λελυπηκότων εὐεργεσίας. Βουλόμενος οὖν ἀποπηδῶντας αὐτοὺς καὶ δυσχεραίνοντας καὶ ναρκῶντας καὶ πρὸς αὐτὴν τὴν τῶν ἐχθρῶν ὄψιν, πεῖσαι τὰ μέγιστα αὐτοὺς εὐεργετεῖν, τοὺς ἄνθρακας ἔθηκε τοῦ πυρός, οὐχ ἵνα ἐκείνους ἐμβάλλῃ εἰς ἀπαραίτητον κόλασιν, ἀλλ' ἵνα τοὺς ἠδικημένους πείσας ἐν τῇ προσδοκίᾳ τῆς κολάσεως εὐεργετεῖν τοὺς ἐχθρούς, τῷ χρόνῳ λοιπὸν πείσῃ καὶ πᾶσαν αὐτοῖς ἀφεῖναι τὴν ὀργήν.

6. Καὶ τὸν μὲν ἠδικημένον οὕτω παρεμυθήσατο· ὅρα δὲ καὶ τὸν ἠδικηκότα πῶς συνάπτει τῷ παρωργισμένῳ πάλιν. Πρῶτον μὲν τῷ τῆς εὐεργεσίας τρόπῳ· οὐδεὶς γάρ ἐστιν οὕτως ἄθλιος καὶ ἀναίσθητος, ὃς ποτιζόμενος καὶ ψωμιζόμενος, μὴ γενέσθαι βούλοιτο δοῦλος καὶ φίλος τῷ ταῦτα αὐτῷ ἐργαζομένῳ· δεύτερον δὲ τῷ φόβῳ τῆς τιμωρίας. Δοκεῖ μὲν γὰρ πρὸς τὸν ψωμίζοντα ἀποτείνεσθαι, λέγων· «τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ»· μάλιστα δὲ τοῦ λελυπηκότος καθάπτεται, ἵνα τῷ φόβῳ τῆς κολάσεως ταύτης μὴ μένῃ διαπαντὸς ἐχθρὸς ὤν, ἀλλ' εἰδώς, ὅτι τὰ μέγιστα αὐτὸν καταβλάψαι δύναιτ' ἂν τὸ ψωμίζεσθαι καὶ ποτίζεσθαι, εἰ μένοι διηνεκῶς ἐπὶ τῆς ἀπεχθείας, καταλύσῃ τὴν ὀργήν. Οὕτω γὰρ τοὺς ἄνθρακας τοῦ πυρὸς σβέσαι δυνήσεται. Ὥστε καὶ ἡ κόλασις καὶ ἡ τιμωρία κειμένη τόν τε ἠδικημένον ἐπισπᾶται εἰς εὐεργεσίαν τοῦ λελυπηκότος, τόν τε παροξύνοντα φοβεῖ καὶ διανίστησι καὶ πρὸς καταλλαγὴν ὠθεῖ τοῦ τρέφοντος καὶ ποτίζοντος.

Διπλῷ τοίνυν ἀμφοτέρους συνέδησε δεσμῷ πρὸς ἀλλή-

ἔτσι καὶ ὁ Παῦλος, ἂν δὲν πρόβαλλε τὴν προσδοκία τῆς τιμωρίας, δὲ θὰ ἔπειθε τοὺς ἀδικημένους νὰ ἐπιχειρήσουν τὴν εὐεργεσία γι' αὐτοὺς ποὺ τοὺς ἀδίκησαν. Ἐπειδὴ λοιπόν, παρ' ὅλο ποὺ αὐτοὶ ἀπομακρύνονταν καὶ δυσανασχετοῦσαν καὶ ζαλίζονταν ἀπὸ τὸ ἀντίκρυσμα καὶ μόνο τῶν ἐχθρῶν, ἤθελε νὰ τοὺς πείσει νὰ κάνουν πολὺ μεγάλες εὐεργεσίες στοὺς ἐχθρούς τους, ἀνέφερε τὰ ἀναμμένα κάρβουνα, ὄχι γιὰ νὰ ρίξει ἐκείνους σὲ ἀναπόφευκτη τιμωρία, ἀλλ', ἀφοῦ πείσει τοὺς ἀδικημένους μὲ τὴν προσδοκία τῆς τιμωρίας νὰ εὐεργετοῦν τοὺς ἐχθρούς, νὰ τοὺς πείσει στὴ συνέχεια μὲ τὴν πάροδο τοῦ χρόνου νὰ ἐγκαταλείψουν καὶ ὅλη τὴν ἐναντίον τους ὀργή.

6. Καὶ τὸν ἀδικημένο βέβαια ἔτσι τὸν παρηγόρησε. Πρόσεχε ὅμως πῶς καὶ αὐτὸν ποὺ ἀδίκησε τὸν συμφιλιώνει πάλι μὲ τὸν ἐξοργισμένο. Πρῶτα μὲ τὸν τρόπο τῆς εὐεργεσίας. Γιατὶ κανεὶς δὲν εἶναι τόσο ἄθλιος καὶ ἀναίσθητος, πού, ἐνῶ τὸν ποτίζει καὶ τὸν τρέφει κάποιος, νὰ μὴ θέλει νὰ γίνει δοῦλος καὶ φίλος μ' ἐκεῖνον ποὺ τοῦ προσφέρει αὐτά. Ὕστερα μὲ τὸ φόβο τῆς τιμωρίας. Φαίνεται δηλαδὴ πὼς ἀπευθύνεται σ' ἐκεῖνον ποὺ τρέφει λέγοντας, «γιατὶ κάμνοντας αὐτό, συσσωρεύεις ἀναμμένα κάρβουνα στὸ κεφάλι του», προσβάλλει ὅμως πρὸ πάντων αὐτὸν ποὺ ἔχει ἀδικήσει, ὥστε μὲ τὸ φόβο τῆς τιμωρίας αὐτῆς νὰ μὴν παραμένει πάντοτε ἐχθρός, ἀλλὰ γνωρίζοντας, ὅτι μπορεῖ νὰ τὸν βλάψει πάρα πολὺ τὸ ὅτι τρέφεται καὶ ποτίζεται, ἂν παραμένει διαρκῶς στὸ μίσος, νὰ ἐξαλείψει τὴν ὀργή του. Γιατὶ ἔτσι θὰ μπορέσει νὰ σβήσει τὰ ἀναμμένα κάρβουνα. Ὥστὲ καὶ ἡ ἐπιβαλλόμενη ποινὴ καὶ ἡ τιμωρία καὶ τὸν ἀδικημένο παρακινεῖ σὲ εὐεργεσία ἐκείνου ποὺ τὸν ἔχει πικράνει, καὶ αὐτὸν ποὺ προκάλεσε τὴν ὀργὴ τὸν φοβίζει καὶ τὸν διορθώνει καὶ τὸν προτρέπει νὰ συμφιλιωθεῖ μ' ἐκεῖνον ποὺ τὸν τρέφει καὶ τὸν ποτίζει.

Μὲ διπλὸ λοιπὸν δεσμὸ τοὺς σύνδεσε καὶ τοὺς δύο μετα-

λους, καὶ τῷ τῆς εὐεργεσίας, καὶ τῷ τῆς τιμωριας. Τὸ γὰρ δυσχερές, ἄρχειν καὶ εἴσοδον εὑρεῖν τῇ καταλλαγῇ· ταύτης δὲ ἀνοιγείσης οἱῳδήποτε τρόπῳ, τὰ μετὰ ταῦτα πάντα ῥᾴδια ἔσται καὶ εὔκολα. Κἂν γὰρ παρὰ τὴν ἀρχὴν ἐλπίδι κολάσεως τρέφῃ τὸν ἐχθρὸν ὁ λελυπημένος, ἀλλ' αὐτῷ τῷ τρέφειν γινόμενος φίλος, ἐκβαλεῖν τὴν ἐπιθυμίαν δυνήσεται τῆς τιμωρίας. Φίλος γὰρ γενόμενος, οὐκέτι ἂν τοιαύτῃ θρέψειε προσδοκίᾳ τὸν καταλλαγέντα αὐτῷ. Πάλιν ὁ παροξύνας, ἰδὼν τὸν ἠδικημένον τρέφειν αὐτὸν καὶ ποτίζειν προαιρούμενον, διά γε τοῦτο αὐτὸ καὶ τὸν φόβον τῆς ἀποκειμένης αὐτῷ κολάσεως, πᾶσαν ἐκβάλλει τὴν ἀπέχθειαν, κἂν μυριάκις σιδηροῦς ᾖ καὶ ἀπηνὴς καὶ ἀδάμας, τήν τε φιλοφροσύνην τοῦ τρέφοντος δυσωπούμενος καὶ τὴν ἀποκειμένην αὐτῷ κόλασιν δεδοικώς, εἰ μένοι μετὰ τὴν τροφὴν ἐχθρὸς ὤν.

Διά τοι τοῦτο οὐδὲ ἐνταῦθα ἔστη τῆς παραινέσεως, ἀλλ' ὅτε ἐκένωσεν ἑκατέρου τὴν ὀργήν, τότε καὶ τὴν γνώμην αὐτῶν διορθοῦται λέγων, «μὴ νικῶ ὑπὸ τοῦ κακοῦ». Ἂν γὰρ μένῃς, φησί, μνησικακῶν καὶ ἀμυνόμενος, δοκεῖς μὲν τὸν ἐχθρὸν νικᾶν, νικᾶσαι δὲ ὑπὸ τοῦ κακοῦ, τουτέστιν, ὑπὸ τῆς ὀργῆς· ὥστε, εἰ βούλει νικῆσαι, καταλλάγηθι καὶ μὴ ἐπεξέλθῃς. Αὕτη γάρ ἐστιν ἡ λαμπρὰ νίκη, ὅταν ἐν τῷ ἀγαθῷ, τουτέστι, τῇ ἀνεξικακίᾳ, νικήσῃς τὸ κακόν, τὴν ὀργὴν καὶ τὴν μνησικακίαν ἐκβαλών. Ἀλλὰ τούτων ἐξ ἀρχῆς οὐκ ἂν ἠνέσχετο τῶν ῥημάτων ὁ ἠδικημένος καὶ φλεγμαίνων. Διὰ τοῦτο, ὅτε αὐτοῦ τὸν θυμὸν ἐκόρεσε, τότε καὶ ἐπὶ τὴν ἀρίστην αὐτὸν ἤγαγε τῆς καταλλαγῆς αἰτίαν, καὶ οὐκ ἀφῆκεν ἐναπομεῖναι τῇ πονηρᾷ τῆς τιμωρίας ἐλπίδι. Εἶδες νομοθέτου σοφίαν;

Καὶ ἵνα μάθῃς ὅτι διὰ τὴν ἀσθένειαν τῶν οὐκ ἀνεχομένων

17. Ρωμ. 12,21.

ξύ τους, καὶ μὲ τὸ δεσμὸ τῆς εὐεργεσίας καὶ μὲ τὸ δεσμὸ τῆς τιμωρίας. Τὸ δύσκολο βέβαια εἶναι νὰ κάνει κανεὶς ἀρχὴ καὶ νὰ βρεῖ πόρτα γιὰ τὴ συμφιλίωση· καὶ ὅταν αὐτὴ ἀνοιχθεῖ μὲ ὁποιοδήποτε τρόπο, ὅλα τὰ κατοπινὰ θὰ εἶναι εὔκολα καὶ ἁπλά. Γιατί, καὶ ἂν ἀκόμη στὴν ἀρχὴ μὲ τὴν ἐλπίδα τῆς τιμωρίας τρέφει τὸν ἐχθρὸ ὁ ἀδικημένος, ἀλλὰ μὲ τὸ νὰ τὸν τρέφει, ἐπειδὴ γίνεται φίλος του, θὰ μπορέσει νὰ ξερριζώσει τὴν ἐπιθυμία τῆς τιμωρίας. Γιατί, ὅταν γίνει φίλος του, δὲ θὰ τρέψει πιὰ μὲ τέτοια προσδοκία αὐτὸν ποὺ συμφιλιώθηκε μαζί του. Ἐπίσης ἐκεῖνος ποὺ προκάλεσε τὴν ὀργή, ὅταν δεῖ τὸν ἀδικημένο νὰ ἐπιθυμεῖ νὰ τὸν τρέφει καὶ νὰ τὸν ποτίζει, γι᾽ αὐτὸ ἀκριβῶς καὶ γιὰ τὸ φόβο τῆς τιμωρίας ποὺ τὸν περιμένει, ξερριζώνει ὅλο τὸ μίσος του, καὶ ἂν ἀκόμη εἶναι ἄπειρες φορὲς ἀλύγιστος καὶ ἄκαμπτος καὶ σκληρός, ἐπειδὴ ντρέπεται καὶ τὴ φιλοφροσύνη αὐτοῦ ποὺ τὸν τρέφει καὶ ἐπειδὴ φοβᾶται τὴν τιμωρία ποὺ τὸν περιμένει, ἂν ἐξακολουθεῖ μετὰ τὴν τροφὴ νὰ εἶναι ἐχθρός.

Γι᾽ αὐτὸ λοιπὸν οὔτε ἐδῶ σταμάτησε τὴν παραίνεση. Ἀλλ᾽ ὅταν ἀπομάκρυνε τοῦ καθενὸς τὴν ὀργή, τότε διορθώνει καὶ τὴ διάθεσή τους λέγοντας· «μὴ νικιέσαι ἀπὸ τὸ κακό»[17]. Γιατί, ἂν ἐξακολουθεῖς, λέγει, νὰ μνησικακεῖς καὶ νὰ ἐκδικεῖσαι, δίνεις τὴν ἐντύπωση πὼς νικᾶς τὸν ἐχθρό, νικιέσαι ὅμως ἀπὸ τὸ κακό, δηλαδὴ ἀπὸ τὴν ὀργή. Ἐπομένως, ἂν θέλεις νὰ νικήσεις, συμφιλιώσου καὶ μὴν ἐπιτεθεῖς. Γιατὶ αὐτὴ εἶναι ἡ λαμπρὴ νίκη, ὅταν μὲ τὸ καλό, δηλαδὴ τὴν ἀνεξικακία, νικήσεις τὸ κακό, ξερριζώνοντας τὴν ὀργὴ καὶ τὴ μνησικακία. Ἀλλὰ τὰ λόγια αὐτὰ δὲ θὰ τὰ ἀνεχόταν ἀπὸ τὴν ἀρχὴ ὁ ἀδικημένος καὶ ὀργισμένος. Γι᾽ αὐτό, ὅταν ἱκανοποίησε τὸ θυμό του, τότε τὸν ὁδήγησε στὴν ἄριστη αἰτία τῆς συμφιλίωσης καὶ δὲν τὸν ἄφησε νὰ παραμείνει στὴν κακὴ ἐλπίδα τῆς τιμωρίας. Εἶδες σοφία νομοθέτη;

Καὶ γιὰ νὰ μάθεις ὅτι ἀπὸ ἀδυναμία αὐτῶν ποὺ δὲν ἀνέχο-

ἄλλως ἑαυτοῖς συνάπτεσθαι, τοῦτον εἰσήγαγε τὸν νόμον, ἄκουσον πῶς ὁ Χριστὸς τὸ αὐτὸ τοῦτο νομοθετῶν, οὐ τὸ αὐτὸ τέθεικεν ἔπαθλον· ἀλλ' εἰπών, ὅτι «ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς», ὅπερ ἐστὶ τρέφειν καὶ ποτίζειν, οὐκ ἐπήγαγεν, ὅτι 'τοῦτο γὰρ ποιοῦντες ἄνθρακας πυρὸς σωρεύσετε ἐπὶ τὰς κεφαλὰς αὐτῶν', ἀλλὰ τί; «Ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς». Εἰκότως. Πέτρῳ γάρ, Ἰακώβῳ καὶ Ἰωάννῃ διελέγετο, καὶ τῷ λοιπῷ τῶν ἀποστόλων χορῷ· διὰ τοῦτο αὐτὸ τέθεικεν ἔπαθλον. Εἰ δὲ λέγεις, ὅτι καὶ οὕτω φορτικὸν τὸ ἐπίταγμα, μειζόνως μὲν ὑπὲρ Παύλου πάλιν ἡμῖν ἀπολογῇ, σαυτὸν δὲ πάσης συγγνώμης ἀποστερεῖς. Τί δή ποτε; Ὅτι τοῦτο τὸ δοκοῦν εἶναι φορτικόν, ἐν τῇ Παλαιᾷ σοι δείκνυμι κατορθούμενον, ὅτε οὔπω τοσαύτης φιλοσοφίας ἐπίδειξις ἦν.

Διὰ γὰρ τοῦτο καὶ ὁ Παῦλος οὐχὶ οἰκείοις ῥήμασι τὸν νόμον εἰσήγαγεν, ἀλλ' αὐταῖς χρησάμενος ταῖς ῥήσεσιν, αἷς ὁ παρὰ τὴν ἀρχὴν αὐτὸν εἰσαγαγὼν ἔθηκεν, ἵνα μηδεμίαν συγγνώμην καταλείπῃ τοῖς μὴ τηροῦσιν αὐτόν. Τὸ γάρ, «ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν, ἐὰν διψᾷ, πότιζε αὐτόν», οὐχὶ Παύλου ἐστὶ πρῶτον ῥῆμα, ἀλλὰ τοῦ Σολομῶντος. Διὰ τοῦτο τὰ ῥήματα τέθεικεν, ἵνα πείσῃ τὸν ἀκροατήν, ὅτι τῶν αἰσχίστων ἐστί, παλαιὸν νόμον καὶ ὑπὸ τῶν ἀρχαίων κατορθωθέντα πολλάκις, νῦν εἰς τοσαύτην ἐπιδοθέντα φιλοσοφίαν φορτικὸν εἶναι νομίζειν καὶ ἐπαχθῆ. Καὶ τίς αὐτὸν τῶν ἀρχαίων κατώρθωσε, φησί; Πολλοὶ μὲν καὶ ἄλλοι, μάλιστα δὲ ὁ Δαυὶδ μετὰ πλείονος τῆς περιουσίας. Οὐ μὲν ἐψώμισε τὸν ἐχθρόν, οὐδὲ ἐπότισε μόνον, ἀλλὰ καὶ κινδυνεύοντα πολλάκις ἐξήρπασε τοῦ θανάτου, καὶ γενόμενος κύριος αὐτοῦ τῆς σφαγῆς, ἐφείσατο καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις.

Καὶ ὁ μὲν Σαοὺλ οὕτως αὐτὸν ἐμίσει καὶ ἀπεστρέφετο

---

18. Ματθ. 5,44. 19. Ματθ. 5,45. 20. Παροιμ. 25,21–22.

νται διαφορετικὰ νὰ συνδέονται μεταξύ τους εἰσήγαγε αὐτὸν τὸν νόμο, ἄκουσε πῶς ὁ Χριστὸς νομοθετώντας τὸ ἴδιο ἀκριβῶς δὲν ἔθεσε τὸ ἴδιο ἔπαθλο, ἀλλ' ἀφοῦ εἶπε, «ἀγαπᾶτε τοὺς ἐχθρούς σας, εὐεργετεῖτε ὅσους σᾶς μισοῦν»[18], ποὺ σημαίνει νὰ τοὺς τρέφετε καὶ νὰ τοὺς ποτίζετε, δὲν πρόσθεσε, 'γιατὶ κάνοντας αὐτὸ θὰ συσσωρεύσετε ἀναμμένα κάρβουνα στὰ κεφάλια τους', ἀλλὰ τί; «Γιὰ νὰ γίνετε ὅμοιοι μὲ τὸν Πατέρα σας ποὺ βρίσκεται στοὺς οὐρανούς»[19]. Πολὺ φυσικά. Γιατὶ μιλοῦσε στὸν Πέτρο, τὸν Ἰάκωβο καὶ τὸν Ἰωάννη, καθὼς καὶ στὸν ὑπόλοιπο χορὸ τῶν ἀποστόλων· γι' αὐτὸ ἔθεσε αὐτὸ τὸ ἔπαθλο. Ἂν ὅμως λέγεις ὅτι καὶ ἔτσι ἡ ἐντολὴ εἶναι βαριά, ἀπολογεῖσαι περισσότερο πάλι γιὰ τὸν Παῦλο σὲ μᾶς καὶ στερεῖς τὸν ἑαυτό σου ἀπὸ κάθε συγγνώμη. Γιατί ἄραγε; Γιατὶ αὐτὸ ποὺ φαίνεται βαρύ, σοῦ τὸ δείχνω νὰ κατορθώνεται στὴν Παλαιὰ Διαθήκη, ὅταν ἀκόμη δὲν ὑπῆρχε φανέρωση τόσο μεγάλης πίστης.

Γι' αὐτὸ λοιπὸν καὶ ὁ Παῦλος δὲν παρουσίασε τὸ νόμο μὲ δικά του λόγια, ἀλλὰ χρησιμοποιώντας τὰ ἴδια λόγια ποὺ ἀνέφερε ἐκεῖνος ποὺ στὴν ἀρχὴ τὸν νομοθέτησε, γιὰ νὰ μὴν ἀφήσει καμιὰ συγγνώμη σ' αὐτοὺς ποὺ δὲν τὸν τηροῦν. Γιατὶ τὸ «ἂν πεινάει ὁ ἐχθρός σου, δῶσε του νὰ φάει, ἂν διψάει δῶσε του νὰ πιεῖ», δὲν εἶναι πρῶτος λόγος τοῦ Παύλου, ἀλλὰ τοῦ Σολομώντα[20]. Γι' αὐτὸ ἀνέφερε τὰ λόγια, γιὰ νὰ πείσει τὸν ἀκροατή, ὅτι εἶναι ἀπὸ τὰ πιὸ αἰσχρὰ πράγματα νὰ θεωρεῖ ἕναν παλαιὸ νόμο, ποὺ οἱ ἀρχαῖοι πολὲς φορὲς τὸν τήρησαν, καὶ τώρα ἐπιδόθηκε αὐτὸς σὲ τόσο μεγάλη φιλοσοφία, ὅτι εἶναι βαρὺς καὶ σκληρός. Καὶ ποιός ἀπὸ τοὺς ἀρχαίους, λέγει, τὸν τήρησε; Πολλοὶ ἄλλοι βέβαια, κυρίως ὅμως ὁ Δαβίδ σὲ ὑπερβολικὸ βαθμό. Ὄχι μόνο ἔδωσε στὸν ἐχθρό του νὰ φάει καὶ νὰ νὰ πιεῖ, ἀλλὰ καὶ ὅταν κινδύνευε πολλὲς φορὲς τὸν ἔσωσε ἀπὸ τὸ θάνατο καί, ὅταν μποροῦσε νὰ τὸν σφάξει, τὸν λυπήθηκε καὶ μία καὶ δύο καὶ πολλὲς φορές.

Καὶ ὁ Σαοὺλ βέβαια τόσο πολὺ τὸν μισοῦσε καὶ τὸν απο-

μετὰ τὰς μυρίας εὐεργεσίας, μετὰ τὰ λαμπρὰ τρόπαια, καὶ τὴν ἐπὶ τοῦ Γολιὰθ σωτηρίαν, ὡς μηδὲ τῆς προσηγορίας ἀνασχέσθαι τῆς ἐκείνου μνησθῆναι, ἀλλ' ἀπὸ τοῦ πατρὸς αὐτὸν καλεῖν. Ἑορτῆς γάρ ποτε ἐπιστάσης, ἐπειδὴ δόλον αὐτῷ πλέξας τινὰ καὶ χαλεπὴν ἐπιβουλὴν ῥάψας, οὐκ εἶδε παραγινόμενον, «ποῦ ἐστι», φησίν, «ὁ υἱὸς Ἰεσσαί;». Ἐκάλει μὲν αὐτὸν ἀπὸ τοῦ πατρός, ὁμοῦ μὲν διὰ τὴν ἔχθραν οὐχ ὑπομένων ἀναμνησθῆναι τῆς προσηγορίας, ὁμοῦ δὲ νομίζων ἀπὸ τῆς τοῦ πατρὸς δυσγενείας τῇ τοῦ δικαίου λυμαίνεσθαι περιφανείᾳ, ἀθλίως καὶ ταλαιπώρως νομίζων· μάλιστα μὲν γάρ, εἰ καὶ κατηγορεῖν εἶχε τοῦ πατρός, οὐδὲν τοῦτο κατέβλαπτε τὸν Δαυίδ. Τῶν γὰρ αὐτῷ πεπραγμένων ὑπεύθυνός ἐστι ἕκαστος καὶ ἀπὸ τούτων ἐπαινεῖσθαι καὶ κατηγορεῖσθαι δύναται. Νυνὶ δὲ πονηρίαν οὐδεμίαν ἔχων εἰπεῖν, τὴν τοῦ γένους δυσγένειαν εἰς μέσον ἔφερε, ταύτῃ προσδοκῶν ἐπισκοτίζειν αὐτοῦ τὴν λαμπρότητα, ὅπερ καὶ αὐτὸ ἐσχάτης ἀνοίας ἦν.

Ποῖον γὰρ ἔγκλημα τὸ ἐξ εὐτελῶν εἶναι καὶ ταπεινῶν; Ἀλλ' οὐκ ᾔδει ταῦτα ἐκεῖνος φιλοσοφεῖν. Ὁ μὲν οὖν Σαοὺλ υἱὸν Ἰεσσαὶ ἐκάλει· ὁ δὲ Δαυὶδ εὑρὼν αὐτὸν ἔνδον ἐν τῷ σπηλαίῳ καθεύδοντα, οὐκ ἐκάλεσεν αὐτὸν υἱὸν Κεῖς, ἀλλὰ τῷ τῆς τιμῆς ὀνόματι· «οὐ γὰρ μὴ ἐπαγάγω τὴν χεῖρά μου», φησίν, «ἐπὶ χριστὸν Κυρίου». Οὕτω καθαρὸς ἦν ὀργῆς καὶ μνησικακίας ἁπάσης· «χριστὸν Κυρίου» καλεῖ τὸν τοσαῦτα ἠδικηκότα, τὸν τοῦ αἵματος αὐτοῦ διψῶντα, τὸν μετὰ μυρίας εὐεργεσίας πολλάκις αὐτὸν ἐπιχειρήσαντα ἀνελεῖν. Οὐ γὰρ ἐσκόπει τί παθεῖν ἐκεῖνος

---

21. Α' Βασ. 20,27.
22. Α' Βασ. 26,11.

στρεφόταν ὕστερα ἀπὸ τὶς ἀμέτρητες εὐεργεσίες, ὕστερα ἀπὸ τὰ λαμπρὰ τρόπαια καὶ τὴ διάσωση ἀπὸ τὸν Γολιάθ, ὥστε νὰ μὴν ἀνεχθεῖ νὰ θυμηθεῖ καὶ τὸ ὄνομά του, ἀλλὰ νὰ τὸν ὀνομάζει ἀπὸ τὸν πατέρα του. Γιατί, ὅταν κάποτε ἦρθε μιὰ γιορτή, καὶ δὲν τὸν εἶδε νὰ ἔρχεται, ἐπειδὴ τοῦ εἶχε πλέξει κάποιο δόλο καὶ εἶχε στρώσει φοβερὸ σχέδιο ἐναντίον του, «ποῦ εἶναι», λέγει, «ὁ υἱὸς τοῦ Ἰεσσαί;»[21]. Τὸν ὀνόμαζε ἀπὸ τὸν πατέρα του καὶ ἐπειδὴ ἐξ αἰτίας τῆς ἔχθρας δὲν ἄντεχε νὰ θυμηθεῖ τὸ ὄνομά του, καὶ συγχρόνως ἐπειδὴ νόμιζε πὼς ἀπὸ τὴν ἄσημη καταγωγὴ τοῦ πατέρα του κατέστρεφε τὴ φήμη τοῦ δικαίου, σκεπτόμενος κατὰ τρόπο ἄθλιο καὶ ἐλεεινό. Γιατί βέβαια, καὶ ἂν ἀκόμη μποροῦσε νὰ κατηγορήσει τὸν πατέρα, δὲν ἔβλαπτε αὐτὸ καθόλου τὸν Δαβίδ. Γιατὶ ὁ καθένας εἶναι ὑπεύθυνος γιὰ τὶς πράξεις του καὶ ἀπ' αὐτὲς μπορεῖ νὰ ἐπαινεῖται καὶ νὰ κατηγορεῖται. Τώρα ὅμως, ἐπειδὴ δὲν μποροῦσε νὰ ἀναφέρει καμιὰ κατηγορία, ἔφερε στὴ μέση στὴν ἄσημη καταγωγὴ τῆς οἰκογένειας, ἐλπίζοντας μ' αὐτὸν τὸν τρόπο νὰ ἐπισκιάσει τὴ λαμπρότητά του, πράγμα ποὺ καὶ αὐτὸ ἦταν ἀπόδειξη τῆς χειρότερης ἀνοησίας.

Ποιό δηλαδὴ ἔγκλημα εἶναι νὰ κατάγεται κανεὶς ἀπὸ ἀσήμαντους καὶ ταπεινοὺς γονεῖς; Ἀλλὰ δὲν ἤξερε ἐκεῖνος νὰ φιλοσοφεῖ αὐτά. Ὁ Σαοὺλ λοιπὸν τὸν ὀνόμαζε υἱὸ τοῦ Ἰεσσαί, ἐνῶ ὁ Δαβὶδ ὅταν τὸν βρῆκε νὰ κοιμᾶται μέσα στὸ σπήλαιο δὲν τὸν ὀνόμασε υἱὸ τοῦ Κεῖς, ἀλλὰ μὲ τὸ ὄνομα τοῦ ἀξιώματός του. «Δὲ θὰ ἁπλώσω τὸ χέρι μου», λέγει, «ἐναντίον τοῦ βασιλιᾶ ποὺ τὸν ἔχρισε ὁ Κύριος»[22]. Τόσο καθαρὸς ἦταν ἀπὸ κάθε ὀργὴ καὶ μνησικακία. Ὀνομάζει χρισμένο ἀπὸ τὸν Κύριο αὐτὸν ποὺ ἔκαμε τόσες ἀδικίες, ποὺ διψοῦσε γιὰ τὸ αἷμα του, ποὺ ὕστερα ἀπὸ ἀμέτρητες εὐεργεσίες ἐπιχείρησε πολλὲς φορὲς νὰ τὸν σκοτώσει. Γιατὶ δὲν ἐξέταζε τί ἄξιζε ἐκεῖνος νὰ πάθει, ἀλλὰ

ἄξιος ἦν, ἀλλ' ἐσκόπει τί καὶ ποιῆσαι καὶ εἰπεῖν αὐτῷ πρέπον ἦν, ὅπερ μέγιστος ὅρος φιλοσοφίας ἐστί.

Τί τοῦτο; ὥσπερ ἐν δεσμωτηρίῳ λαβὼν τὸν ἐχθρόν, διπλῷ κατεχόμενον δεσμῷ, μᾶλλον δὲ τριπλῷ, καὶ τῇ τοῦ τόπου στενοχωρίᾳ, καὶ τῇ τῶν βοηθησάντων ἐρημίᾳ, καὶ τῇ τοῦ ὕπνου ἀνάγκῃ, οὐκ ἀπαιτεῖς δίκην οὐδὲ τιμωρίαν αὐτόν; Οὐχί, φησίν· οὐ γὰρ τί παθεῖν δίκαιος οὗτός ἐστιν, ὁρῶ νῦν, ἀλλὰ τί ποιῆσαι ἐμοὶ προσῆκεν. Οὐκ εἶδε πρὸς τὴν εὐκολίαν τῆς σφαγῆς, ἀλλ' εἶδε πρὸς τὴν ἀκρίβειαν τῆς αὐτῷ πρεπούσης φιλοσοφίας. Καίτοι τί τῶν τότε οὐκ ἦν ἱκανὸν διαναστῆσαι αὐτὸν πρὸς τὴν σφαγήν; Τὸ δεδεμένον αὐτῷ παραδοθῆναι τὸν ἐχθρόν; Ἴστε γὰρ δήπου τοῦτο, ὡς μειζόνως ἐπιτρέχομεν τοῖς εὐκολίας γέμουσι πράγμασι, καὶ ἡ τοῦ κατορθῶσαι ἐλπὶς μείζονα τῆς πράξεως ἡμῖν ἐπιθυμίαν ἐντίθησιν, ὥσπερ καὶ ἐπ' ἐκείνου τότε ἦν.

Ἀλλ' ὁ στρατηγὸς τότε συμβουλεύων καὶ διεγείρων; ἀλλ' ἡ μνήμη τῶν παρελθόντων; Ἀλλ' οὐδὲν αὐτὸν ἐκίνησε πρὸς τὸν φόνον· αὐτὸ μὲν οὖν αὐτὸν τὸ τῆς σφαγῆς εὔκολον ἀπέστρεψεν· ἐνενόησε γάρ, ὅτι διὰ τοῦτο παρέδωκεν αὐτὸν ὁ Θεός, ἵνα αὐτῷ πλείονα φιλοσοφίας ὑπόθεσιν παράσχῃ καὶ ἀφορμήν. Ὑμεῖς μὲν οὖν αὐτὸν ἴσως θαυμάζετε, ὅτι οὐδενὸς ἐμνήσθη τῶν παρελθόντων κακῶν, ἐγὼ δὲ δι' ἕτερον πολλῷ μεῖζον αὐτὸν ἐκπλήττομαι. Ποῖον δὴ τοῦτο; Ὅτι οὐδὲ ὁ φόβος αὐτὸν τῶν μελλόντων ὤθησε πρὸς τὸ διαχειρίσασθαι τὸν ἐχθρόν. Ἤδει γὰρ σαφῶς, ὅτι διαφυγὼν αὐτοῦ τὰς χεῖρας, πάλιν κατ' αὐτοῦ στήσεται· ἀλλ' εἵλετο μᾶλλον αὐτὸς κινδυνεύειν ἀπολύσας τὸν ἠδικηκότα, ἢ τῆς καθ' ἑαυτὸν ἀσφαλείας προνοῶν διαχειρίσασθαι τὸν πολέμιον. Τί γένοιτ' ἂν οὖν ἴσον τῆς μεγάλης καὶ γενναίας ἐκείνης ψυχῆς, ὅς, τοῦ νόμου κελεύοντος ἐξορύττειν «ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ,

ἐξέταζε τί ἔπρεπε νὰ κάμει καὶ νὰ πεῖ ὁ ἴδιος, πράγμα ποὺ εἶναι μέγιστος ὅρος σωφροσύνης.

Τί δηλαδή; Βρῆκες τὸν ἐχθρό σου σὰν σὲ φυλακὴ νὰ κρατεῖται μὲ διπλὰ δεσμὰ ἢ καλύτερα μὲ τριπλά, καὶ μὲ τὴ στενότητα τοῦ χώρου καὶ μὲ τὴν ἀπουσία ἐκείνων ποὺ θὰ τὸν βοηθοῦσαν καὶ μὲ τὴν ἀνάγκη τοῦ ὕπνου, καὶ δὲ ζητᾶς ἱκανοποίηση οὔτε τὴν τιμωρία του; Ὄχι, λέγει, γιατὶ βλέπω τώρα ὄχι τί εἶναι δίκαιο νὰ πάθει αὐτός, ἀλλὰ τί πρέπει νὰ κάμω ἐγώ. Δὲν εἶδε τὴν εὐκολία τῆς σφαγῆς, ἀλλ' εἶδε τὴν ἀκρίβεια τῆς σωφροσύνης ποὺ τοῦ ἔπρεπε. Ἂν καὶ βέβαια τί ἀπ' αὐτὰ ποὺ συνέβηκαν τότε δὲν ἦταν ἱκανὸ νὰ τὸν παρακινήσει στὴ σφαγή; Τὸ ὅτι παραδόθηκε σ' αὐτὸν δεμένος ὁ ἐχθρός; Γιατὶ τὸ γνωρίζετε βέβαια αὐτό, ὅτι δηλαδὴ περισσότερο τρέχουμε στὰ πράγματα ποὺ εἶναι γεμάτα εὐκολία καὶ ὅτι ἡ ἐλπίδα τῆς ἐπιτυχίας κάνει μέσα μας μεγαλύτερη τὴν ἐπιθυμία τῆς πράξης, ὅπως ἀκριβῶς καὶ σ' ἐκεῖνον τότε συνέβαινε.

Μήπως ὁ στρατηγὸς ποὺ τότε τὸν συμβούλευε καὶ τὸν παρακινοῦσε; μήπως ἡ μνήμη τοῦ παρελθόντος; Ἀλλὰ τίποτε δὲν τὸν κίνησε πρὸς τὸ φόνο. Αὐτὴ ἀκριβῶς ἡ ἴδια ἡ εὐκολία τῆς σφαγῆς τὸν ἀπέτρεψε. Γιατὶ σκέφθηκε ὅτι γι' αὐτὸ τὸν παρέδωσε ὁ Θεός, γιὰ νὰ τοῦ δώσει περισσότερη ἀφορμὴ καὶ αἰτία γιὰ σωφροσύνη. Ἐσεῖς λοιπὸν ἴσως τὸν θαυμάζετε γιατὶ δὲ θυμήθηκε κανένα ἀπὸ τὰ περασμένα κακά. Ἐγὼ ὅμως τὸν θαυμάζω γιὰ κάτι ἄλλο πολὺ μεγαλύτερο. Ποιό λοιπὸν εἶναι αὐτό; Ὅτι οὔτε ὁ φόβος τῶν μελλοντικῶν δὲν τὸν ὤθησε νὰ σκοτώσει τὸν ἐχθρό. Γιατὶ ἤξερε ὅτι, ἂν ξεφύγει ἀπὸ τὰ χέρια του, πάλι θὰ στραφεῖ ἐναντίον του. Ὅμως προτίμησε καλύτερα νὰ κινδυνεύει ὁ ἴδιος, ἀφήνοντας ἐλεύθερο αὐτὸν ποὺ τὸν εἶχε ἀδικήσει, παρὰ νὰ σκοτώσει τὸν ἀντίπαλό του, φροντίζοντας ἔτσι γιὰ τὴ δική του ἀσφάλεια. Τί θὰ μποροῦσε λοιπὸν νὰ ὑπάρξει ἴσο μὲ τὴ μεγάλη καὶ γενναία ἐκείνη ψυχή, πού, μολονότι ὁ νόμος

καὶ ὀδόντα ἀντὶ ὀδόντος», καὶ τοῖς ἴσοις ἀμύνεσθαι, οὐ μόνον τοῦτο οὐκ εἰργάσατο, ἀλλὰ καὶ πολλῷ πλείονα φιλοσοφίαν ἐπεδείξατο;

Καίτοι γε εἰ ἀνῃρήκει τότε τὸν Σαούλ, καὶ οὕτως αὐτῷ φιλοσοφίας ἐγκώμιον ἀκέραιον ἔμενεν, οὐ μόνον ὅτι ἠμύνατο, οὐκ αὐτὸς ἄρχων χειρῶν ἀδίκων, ἀλλ' ὅτι καί, «ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ», μετὰ πολλῆς ἐνίκα τῆς ἐπιεικείας. Οὐ γὰρ ἀντὶ μιᾶς σφαγῆς μίαν ἐπῆρεν, ἀλλ' ὅτι πολλῶν θανάτων, ὧν ἐκεῖνος ἐπήγαγεν, οὐχ ἅπαξ, οὐ δίς, ἀλλὰ πολλάκις αὐτὸν ἐπιχειρήσας ἀνελεῖν, ἕνα ἔμελλεν ἐπαγαγεῖν θάνατον· μᾶλλον δὲ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ δεδοικότα τὸ μέλλον οὕτως ἐπὶ τὴν ἄμυναν ἔρχεσθαι, καὶ τοῦτο μετὰ τῶν εἰρημένων ὁλόκληρον αὐτῷ τὸν τῆς ἀνεξικακίας διεγείρει στέφανον. Ὁ μὲν γὰρ ὑπὲρ τῶν γεγενημένων εἰς αὐτὸν ὀργιζόμενος καὶ τιμωρίαν ἀπαιτῶν, οὐκ ἂν δύναιτο τῶν τῆς ἀνεξικακίας ἐπιτυχεῖν ἐγκωμίων· τὸν δὲ τὰ μὲν παρελθόντα πάντα πολλὰ ὄντα καὶ χαλεπὰ ἀφέντα, ὑπὲρ δὲ τοῦ μέλλοντος δεδοικότα καὶ προκατασκευάζοντα ἀσφάλειαν ἑαυτῷ, καὶ διὰ τοῦτο ἀναγκαζόμενον ἐπὶ τὴν ἄμυναν ἀνέρχεσθαι, οὐδεὶς ἂν τῶν τῆς ἐπιεικείας ἀποστερήσειε στεφάνων.

7. Ἀλλ' ὅμως ὁ Δαυὶδ οὐδὲ τοῦτο ἐποίησεν, ἀλλὰ καινόν τινα καὶ παράδοξον εὗρε φιλοσοφίας τρόπον· καὶ οὔτε ἡ μνήμη τῶν παρελθόντων, οὐχ ὁ φόβος τῶν μελλόντων, οὐχ ἡ προτροπὴ τοῦ στρατηγοῦ, οὐχ ἡ ἐρημία τοῦ τόπου, οὐ τὸ τῆς σφαγῆς εὔκολον, οὐκ ἄλλο οὐδὲν διήγειρεν αὐτὸν πρὸς τὸν φόνον· ἀλλ' ὥσπερ εὐεργέτου τινὸς καὶ μεγάλα αὐτὸν πεποιηκότος ἀγαθά, οὕτω τοῦ ἐχθροῦ καὶ λελυπηκότος ἐφείσατο. Ποίαν οὖν ἕξομεν ἡμεῖς συγγνώμην, ἁμαρτημάτων παρελθόντων μνημονεύοντες καὶ τοὺς λελυπηκότας ἀμυνόμενοι, ὅταν ὁ ἀναίτιος ἐκεῖνος, τοσαῦτα μὲν πεπονθώς, πλείονα δὲ καὶ χαλεπώτερα προσδοκῶν αὐτῷ συμβήσεσθαι κακὰ ἀπὸ τῆς τοῦ ἐχθροῦ σωτηρίας, φαίνη-

23. Βλ. Δευτ. 19,21.

πρόσταζε νὰ βγάζει κανεὶς μάτι ἀντὶ ματιοῦ καὶ δόντι ἀντὶ δοντιοῦ καὶ ν' ἀνταποδίδει τὰ ἴσα[23], ὄχι μόνο αὐτὸ δὲν ἔπραξε, ἀλλὰ καὶ πολὺ περισσότερη σωφροσύνη ἔδειξε;

Ἂν καὶ βέβαια ἂν εἶχε σκοτώσει τότε τὸν Σαούλ, καὶ ἔτσι ὁ ἔπαινος τῆς σωφροσύνης του θὰ ἔμενε ἀκέραιος, ὄχι μόνο γιατὶ ἀμύνθηκε, ἀφοῦ δὲν ἄρχισε αὐτὸς πρῶτος τὶς ἄδικες ἐνέργειες, ἀλλὰ γιατὶ καὶ τὸ «μάτι ἀντὶ ματιοῦ» τὸ νικοῦσε μὲ πολλὴ ἐπιείκεια. Γιατὶ δὲ θὰ ἐξαγόραζε μία σφαγὴ ἀντὶ μιᾶς, ἀλλὰ γιατὶ ἐπρόκειτο νὰ προκαλέσει ἕνα θάνατο ἀντὶ πολλῶν, ποὺ ἐκεῖνος προκάλεσε, ἀφοῦ προσπάθησε νὰ τὸν σκοτώσει ὄχι μία, οὔτε δύο, ἀλλὰ πολλὲς φορές. Μᾶλλον ὅμως δὲν ἦταν μόνο αὐτά, ἀλλὰ καὶ τὸ ὅτι ἐφάρμοζε τὴν ἄμυνα αὐτὴ ἐπειδὴ φοβόταν γιὰ τὸ μέλλον, καὶ αὐτὸ μαζὶ μὲ τὰ προηγούμενα τοῦ παρεῖχε ὁλόκληρο τὸ στεφάνι τῆς ἀνεξικακίας. Γιατὶ ἐκεῖνος ποὺ ὀργίζεται γι' αὐτὰ ποὺ τοῦ ἔχουν συμβεῖ καὶ ζητάει τιμωρία, δὲ θὰ μποροῦσε νὰ ἐπιτύχει τὰ ἐγκώμια τῆς ἀνεξικακίας. Αὐτὸν ὅμως ποὺ ἀφήνει ὅλα τὰ περασμένα, ποὺ ἦταν πολλὰ καὶ φοβερά, καὶ φοβούμενος γιὰ τὸ μέλλον του καὶ προετοιμάζοντας τὴν ἀσφάλειά του, ἀναγκάζεται νὰ ἀμύνεται, κανεὶς δὲν μπορεῖ νὰ τοῦ στερήσει τὰ στεφάνια τῆς ἐπιείκειας.

7. Ἀλλ' ὅμως ὁ Δαβὶδ οὔτε αὐτὸ ἔκαμε, ἀλλὰ βρῆκε κάποιον καινούριο καὶ παράδοξο τρόπο φιλοσοφίας. Καὶ οὔτε ἡ ἀνάμνηση τῶν περασμένων, οὔτε ὁ φόβος τῶν μελλοντικῶν, οὔτε ἡ προτροπὴ τοῦ στρατηγοῦ, οὔτε ἡ ἐρημιὰ τοῦ τόπου, οὔτε ἡ εὐκολία τῆς σφαγῆς, οὔτε τίποτε ἄλλο τὸν παρακίνησε πρὸς τὸ φόνο, ἀλλὰ σὰν νὰ ἦταν κάποιος εὐεργέτης καὶ τοῦ εἶχε κάνει μεγάλα καλά, ἔτσι λυπήθηκε αὐτὸν ποὺ ἦταν ὁ ἐχθρός του καὶ τὸν εἶχε πικράνει. Ποιά λοιπὸν συγγνώμη θὰ ἔχουμε ἐμεῖς ποὺ θυμόμαστε περασμένα σφάλματα καὶ ἐκδικούμαστε ὅσους μᾶς πίκραναν, ὅταν ὁ ἀθῶος ἐκεῖνος, παρ' ὅλο ποὺ ἔπαθε τόσα πολλὰ καὶ περίμενε νὰ τοῦ συμβοῦν περισσότερα καὶ χειρότερα

ται φειδόμενος οὕτως, ὡς ἑλέσθαι κινδυνεῦσαι μᾶλλον αὐτὸς καὶ μετὰ φόβου καὶ τρόμου ζῆν, ἢ τὸν μέλλοντα μυρία πράγματα αὐτῷ παρέχειν ἀποσφάξαι δικαίως;

Τὴν μὲν οὖν φιλοσοφίαν ἐκ τούτων ἐστὶν ἰδεῖν, ὅτι οὐ μόνον οὐκ ἔσφαξε, τοσαύτης οὔσης ἀνάγκης, ἀλλ' οὐδὲ ῥῆμα βλάσφημον είς αὐτὸν ἐξήνεγκε, καὶ ταῦτα μὴ μέλλοντος αὐτοῦ ἀκούσασθαι τοῦ ὑβριζομένου. Καίτοι γε ἡμεῖς καὶ φίλους λέγομεν πολλάκις κακῶς ἀπόντας, ἐκεῖνος δὲ οὐδὲ τὸν ἐχθρὸν καὶ τοσαῦτα ἠδικηκότα. Τὴν μὲν οὖν φιλοσοφίαν ἐκ τούτων ἐστὶν ἰδεῖν, τὴν δὲ φιλανθρωπίαν καὶ τὴν ἄλλην κηδεμονίαν, ἐξ ὧν μετὰ ταῦτα ἐποίησε. Τὸ γὰρ κράσπεδον κόψας τοῦ ἱματίου καὶ τὸν φακὸν τοῦ ὕδατος ὑφελόμενος, ἀπελθὼν πόρρωθεν καὶ στὰς ἐβόησε, καὶ τῷ διασωθέντι ταῦτα ὑπέδειξεν, οὐχὶ πρὸς ἐπίδειξιν καὶ φιλοτιμίαν τοῦτο ποιῶν, ἀλλὰ διὰ τῶν ἔργων αὐτὸν πεῖσαι βουλόμενος, ὅτι εἰκῇ καὶ μάτην αὐτὸν ὑπώπτευεν ὡς ἐχθρόν, καὶ δια τοῦτο αὐτὸν πρὸς φιλίαν ἐπισπάσασθαι σπεύδων. Ἀλλ' ὅμως οὐδὲ οὕτως αὐτὸν πείσας καὶ δυνάμενος διαχειρίσασθαι, πάλιν εἵλετο μᾶλλον ἐκπεσεῖν τῆς πατρίδος καὶ ἐν ἀλλοτρίᾳ διατρίβειν καὶ καθ' ἑκάστην ταλαιπωρούμενος ἡμέραν, τὴν ἀναγκαίαν αὐτῷ πορίζειν τροφήν, ἢ μένων οἴκοι λυπεῖν τὸν ἐπίβουλον.

Τί γένοιτ' ἂν ἡμερώτερον τῆς ἐκείνου ψυχῆς; Ὄντως δικαίως ἔλεγε, «μνήσθητι, Κύριε, τοῦ Δαυὶδ καὶ πάσης τῆς πρᾳότητος αὐτοῦ». Τοῦτον καὶ ἡμεῖς μιμησώμεθα, καὶ μήτε λέγωμεν, μήτε ποιῶμεν κακῶς τοὺς ἐχθρούς, ἀλλὰ καὶ εὐεργετῶμεν κατὰ δύναμιν· ἡμεῖς γὰρ ἑαυτοὺς εὖ ποιήσομεν μᾶλλον ἢ ἐκείνους. «Ἂν γὰρ ἀφῆτε», φησί, «τοῖς ἐχθροῖς ὑμῶν, ἀφεθήσεται

---

24. Βλ. Α' Βασ. κεφ. 24–27.

25. Ψαλμ. 131,1

κακὰ ἀπὸ τὴ σωτηρία τοῦ ἐχθροῦ, φαίνεται νὰ τὸν λυπᾶται τόσο, ὥστε νὰ προτιμήσει νὰ κινδυνέψει αὐτὸς μᾶλλον καὶ νὰ ζεῖ μὲ φόβο καὶ τρόμο, παρὰ νὰ θανατώσει δίκαια αὐτὸν ποὺ ἐπρόκειτο νὰ τοῦ προκαλέσει ἀμέτρητες ἐνοχλήσεις;

Τὴ σωφροσύνη του λοιπὸν εἶναι δυνατὸ νὰ τὴ δεῖ κανεὶς ἀπ' αὐτά, γιατὶ ὄχι μόνο δὲν τὸν ἔσφαξε, ἂν καὶ ἦταν τόσο μεγάλη ἀνάγκη, ἀλλ' οὔτε λέξη βλάσφημη δὲν πρόφερε ἐναντίον του, τὴ στιγμὴ μάλιστα ποὺ δὲν ἐπρόκειτο νὰ τὸν ἀκούσει αὐτὸς ποὺ θὰ βριζόταν. Καὶ ὅμως ἐμεῖς πολλὲς φορὲς κακολογοῦμε ἀκόμη καὶ φίλους ἀπόντες, ἐνῶ ἐκεῖνος οὔτε τὸν ἐχθρό του, μολονότι τὸν εἶχε ἀδικήσει τόσο πολύ. Τὴ σωφροσύνη του λοιπὸν εἶναι δυνατὸ νὰ τὴ δεῖ κανεὶς ἀπ' αὐτά, ἐνῶ τὴ φιλανθρωπία καὶ τὴν ἄλλη φροντίδα του ἀπὸ ἐκεῖνα ποὺ ὕστερα ἔκαμε. Γιατί, ἀφοῦ ἔκοψε τὸ ἄκρο ἀπὸ τὸ ἱμάτιό του καὶ πῆρε τὸ δοχεῖο τοῦ νεροῦ, ἔφυγε μακριὰ καὶ ἀφοῦ στάθηκε ἐκεῖ, φώναξε καὶ ἔδειξε αὐτὰ σ' αὐτὸν ποὺ διασώθηκε, κάνοντας αὐτὸ ὄχι ἀπὸ ἐπίδειξη καὶ φιλοδοξία, ἀλλὰ θέλοντας μὲ τὰ ἔργα νὰ τὸν πείσει ὅτι χωρὶς λόγο καὶ στὰ χαμένα τὸν ὑποψιαζόταν σὰν ἐχθρό του, προσπαθώντας καὶ μ' αὐτὸ νὰ τὸν προσελκύσει στὴ φιλία του. Ἀλλά, ἀφοῦ οὔτε ἔτσι τὸν ἔπεισε καὶ ἐνῶ μποροῦσε νὰ τὸν σκοτώσει, πάλι προτίμησε καλύτερα νὰ φύγει ἀπὸ τὴν πατρίδα του καὶ νὰ ζεῖ σὲ ξένη χώρα καὶ νὰ βρίσκει τὴν ἀπαραίτητη τροφή του ταλαιπωρούμενος κάθε ἡμέρα, παρὰ νὰ μένει στὴν πατρίδα του καὶ νὰ στενοχωρεῖ αὐτὸν ποὺ μελετοῦσε κακὰ ἐναντίον του[24].

Τί θὰ μποροῦσε νὰ ὑπάρξει ἡμερότερο ἀπὸ τὴν ψυχὴ ἐκείνου; Πραγματικά, δίκαια ἔλεγε· «θυμήσου, Κύριε, τὸν Δαβὶδ καὶ ὅλη του τὴν πραότητα»[25]. Αὐτὸν καὶ μεῖς ἂς μιμηθοῦμε καὶ οὔτε νὰ κακολογοῦμε οὔτε νὰ κακοποιοῦμε τοὺς ἐχθρούς μας, ἀλλὰ καὶ ὅσο μποροῦμε νὰ τοὺς εὐεργετοῦμε, γιατὶ θὰ εὐεργετήσουμε τὸν ἑαυτό μας περισσότερο παρὰ ἐκείνους. Γιατί,

ὑμῖν». Ἄφες δουλικὰ ἁμαρτήματα, ἵνα λάβῃς συγχώρησιν δεσποτικὴν ἁμαρτημάτων· εἰ δὲ μεγάλα ἠδίκησεν, ὅσῳπερ ἂν μείζονα ἀφῇς, τοσούτῳ μείζονα λήψῃ τὴν συγχώρησιν. Διὰ γὰρ τοῦτο ἐδιδάχθημεν λέγειν, «ἄφες ἡμῖν, καθὼς ἀφίεμεν», ἵνα μάθωμεν, ὅτι τὸ μέτρον τῆς ἀφέσεως παρ' ἡμῶν πρῶτον λαμβάνει τὴν ἀρχήν. Ὥστε, ὅσῳπερ ἂν χαλεπώτερα ὁ ἐχθρὸς ἐργάσηται κακά, τοσούτῳ μειζόνως εὐεργετεῖ. Σπεύδωμεν τοίνυν καὶ ἐπειγώμεθα καταλλάττεσθαι πρὸς τοὺς λελυπηκότας, ἄν τε δικαίως, ἄν τε ἀδίκως ὀργίζωνται. Ἂν μὲν γὰρ ἐνταῦθα καταλλαγῇς, ἀπηλλάγης τῆς ἐκεῖ κρίσεως· ἐὰν δέ, μεταξὺ μενούσης τῆς ἔχθρας, θάνατος ἐπιστὰς ἀπαγάγῃ τὴν ἀπέχθειαν μεσολαβήσας, ἐκεῖ λοιπὸν εἰσαχθῆναι τὴν δίκην ἀνάγκη.

Καθάπερ οὖν πολλοὶ τῶν ἀνθρώπων πρὸς ἀλλήλους ἀμφισβητοῦντες, ἂν μὲν ἔξω φιλικώτερον διαλύσωνται πρὸς ἀλλήλους, καὶ ζημίας καὶ φόβου καὶ κινδύνων πολλῶν ἑαυτοὺς ἀπαλλάττουσι, κατὰ γνώμην ἑκατέροις τοῦ τέλους τῆς δίκης ἐκβαίνοντος· ἂν δὲ τῷ δικαστῇ καθ' ἑαυτοὺς ἐπιτρέψωσι, καὶ χρημάτων ζημία καὶ τιμωρία πολλάκις, καὶ τὸ τὴν ἔχθραν μένειν ἀκίνητον αὐτοῖς περιέσται· οὕτω δὴ καὶ ἐνταῦθα, ἂν μὲν κατὰ τὴν παροῦσαν ζωὴν διαλυσώμεθα, πάσης ἑαυτοὺς κολάσεως ἀπαλλάξομεν· ἂν δὲ ἐχθροὶ μένοντες εἰς τὸ δικαστήριον ἀπέλθωμεν ἐκεῖνο τὸ φοβερόν, τὴν ἐσχάτην δώσομεν δίκην ἐπὶ τῇ ψήφῳ τοῦ δικαστοῦ πάντως ἐκείνου, καὶ ἀμφότεροι τιμωρίαν ὑποστησόμεθα ἀπαραίτητον, ὁ μὲν ἀδίκως ὀργιζόμενος, διὰ τοῦτο ὅτι δικαίως, ὁ δὲ δικαίως, διὰ τοῦτο ὅτι δικαίως ἐμνησικάκησε. Κἂν γὰρ ἀδίκως ὦμέν τι πεπονθότες κακῶς, συγχώρησιν δεῖ προσνέμειν τοῖς ἠδικηκόσι.

---

26. Ματθ. 6,14.

27. Ματθ. 6,12

λέγει, «ἂν συγχωρήσετε τοὺς ἐχθρούς σας, θὰ συγχωρηθοῦν»[26]. Συγχώρησε ἁμαρτήματα δούλων, γιὰ νὰ λάβεις συγχώρηση ἁμαρτημάτων ἀπὸ τὸν Κύριο. Καὶ ἂν σὲ ἀδίκησε πολύ, ὅσο περισσότερα θὰ συγχωρήσεις, τόσο μεγαλύτερη θὰ λάβεις τὴ συγχώρηση. Γι' αὐτὸ λοιπὸν διδαχθήκαμε νὰ λέμε, «συγχώρησέ μας, ὅπως καὶ μεῖς συγχωροῦμε»[27], γιὰ νὰ μάθουμε ὅτι τὸ μέτρο τῆς συγχώρησης ἀρχίζει πρῶτα ἀπὸ μᾶς. Ἐπομένως, ὅσο φοβερότερα κακὰ σοῦ προξενήσει ὁ ἐχθρός, τόσο πιὸ πολὺ σ' εὐεργετεῖ. Ἂς σπεύδουμε λοιπὸν καὶ ἂς βιαζόμαστε νὰ συμφιλιωνόμαστε μ' ἐκείνους ποὺ μᾶς πίκραναν, εἴτε δίκαια εἴτε ἄδικα ὀργίζονται. Γιατὶ ἂν συμφιλιωθεῖς ἐδῶ, ἀπαλλάχθηκες ἀπὸ τὴν ἐκεῖ κρίση· ἂν ὅμως ἔρθει ὁ θάνατος, ἐνῶ στὸ μεταξὺ παραμένει ἡ ἔχθρα, καὶ μεταφέρει ἐκεῖ τὸ μίσος, εἶναι ἀνάγκη τότε νὰ γίνει ἐκεῖ ἡ δίκη.

Ὅπως ἀκριβῶς λοιπὸν πολλοὶ ἄνθρωποι ποὺ διαφωνοῦν μεταξύ τους, ἂν συμβιβασθοῦν φιλικὰ μεταξύ τους ἔξω, ἀπαλλάσσουν τὸν ἑαυτό τους ἀπὸ ζημία καὶ φόβο καὶ πολλοὺς κινδύνους, ἀφοῦ τὸ ἀποτέλεσμα τῆς δίκης εἶναι σύμφωνο μὲ τὴ γνώμη καὶ τῶν δύο, ἐνῶ ἂν ἐμπιστευθοῦν τὴν ὑπόθεσή τους στὸ δικαστή, θὰ ὑποστοῦν καὶ χρηματικὴ ζημία καὶ τιμωρία πολλὲς φορὲς καὶ ἡ ἔχθρα θὰ μείνει ἀμετάβλητη σ' αὐτούς, ἔτσι λοιπὸν καὶ ἐδῶ· ἂν κατὰ τὴν παρούσα ζωὴ συμβιβασθοῦμε, θ' ἀπαλλάξουμε τὸν ἑαυτό μας ἀπὸ κάθε τιμωρία, ἂν ὅμως παραμένοντας ἐχθροὶ βρεθοῦμε στὸ φοβερὸ ἐκεῖνο δικαστήριο, θὰ τιμωρηθοῦμε ὁπωσδήποτε μὲ τὴ χειρότερη τιμωρία μὲ τὴν ἀπόφαση τοῦ δικαστῆ ἐκείνου, καὶ θὰ ὑποστοῦμε καὶ οἱ δύο τὴν ἀναπόφευκτη τιμωρία, ὁ ἕνας ποὺ ἄδικα ὀργιζόταν γι' αὐτό, ἐπειδὴ ἄδικα ὀργιζόταν, καὶ ὁ ἄλλος ποὺ δίκαια ὀργιζόταν γι' αὐτό, ἐπειδὴ δίκαια μνησικάκησε. Γιατί, κι ἂν ἀκόμη ἄδικα ἔχουμε πάθει κάποιο κακό, πρέπει νὰ δίνουμε συγχώρηση σὲ ὅσους μᾶς ἔχουν ἀδικήσει.

Καὶ σκόπει πῶς τοὺς ἀδίκως λυπήσαντας ὠθεῖ καὶ κατεπείγει πρὸς τὴν καταλλαγὴν τῶν ἠδικημένων. «Ἐὰν προσφέρῃς τὸ δῶρόν σου», φησίν, «ἔμπροσθεν τοῦ θυσιαστηρίου, κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου». Οὐκ εἶπε, 'συνάγαγε, προσένεγκε τὴν θυσίαν', ἀλλά, «διαλλάγηθι», καὶ τότε προσένεγκε. Ἄφες αὐτὴν κεῖσθαι, φησίν, ἵνα ἡ ἀνάγκη τῆς προσφορᾶς καὶ ἄκοντα καταναγκάσῃ πρὸς τὴν καταλλαγὴν ἐλθεῖν τὸν δικαίως ὀργιζόμενον. Ὅρα πῶς προτρέπει πάλιν πρὸς τὸν παροξύναντα ἐλθεῖν, εἰπών, «ἄφετε τοῖς ὀφειλέταις ὑμῶν, ὅπως καὶ ὁ Πατὴρ ὑμῶν ἀφήσῃ ὑμῶν τὰ παραπτώματα». Οὐ γὰρ μικρὸν τέθεικε μισθόν, ἀλλὰ σφόδρα ὑπερβαίνοντα τὸ τοῦ κατορθώματος μέγεθος.

Ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες καὶ τὴν ἀμοιβὴν τὴν ἐπὶ τούτῳ γινομένην λογιζόμενοι, καὶ ὡς οὐ πολλοῦ καμάτου καὶ σπουδῆς ἐστιν ἁμαρτήματα ἀπαλεῖψαι, συγχωρῶμεν τοῖς ἡμᾶς ἠδικηκόσιν. Ὃ γὰρ διὰ νηστείας καὶ ὀδυρμῶν καὶ εὐχῶν καὶ σάκκου καὶ σποδοῦ καὶ μυρίας ἐξομολογήσεως μόλις ἕτεροι κατορθοῦσι, τὸ τὰ ἁμαρτήματα ἐξαλείφειν λέγω τὰ ἑαυτῶν, τοῦτο ἔξεστιν ἡμῖν ῥᾳδίως χωρὶς σάκκου καὶ σποδοῦ καὶ νηστείας, ἂν μόνον ἀπὸ τῆς διανοίας ἐξαλείψωμεν τὴν ὀργὴν καὶ μετὰ εἰλικρινείας ἀφῶμεν τοῖς ἠδικηκόσιν ἡμᾶς. Ὁ δὲ τῆς εἰρήνης καὶ ἀγάπης Θεὸς πάντα θυμὸν καὶ πικρίαν καὶ ὀργὴν τῆς ψυχῆς ἐξορίσας τῆς ἡμετέρας, καταξιώσαι κατὰ τὴν τῶν μελῶν ἀκολουθίαν μετὰ ἀκριβείας συνδεδεμένους ἀλλήλοις, ὁμοθυμαδόν, ἐν ἑνὶ στόματι καὶ μιᾷ ψυχῇ, διηνεκῶς ἀναπέμπειν τοὺς ὀφειλομένους εὐχαριστηρίους ὕμνους αὐτῷ, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

28. Ματθ. 5,23–24.
29. Μάρκ. 11,25.

Καὶ πρόσεχε πῶς ἐκείνους ποὺ ἄδικα πίκραναν τοὺς ὠθεῖ καὶ τοὺς πιέζει γιὰ συμφιλίωση μ' αὐτοὺς ποὺ ἔχουν ἀδικηθεῖ. «Ἂν προσφέρεις τὸ δῶρο σου», λέγει, «μπροστὰ στὸ θυσιαστήριο καὶ ἐκεῖ θυμηθεῖς ὅτι ὁ ἀδελφός σου ἔχει κάτι ἐναντίον σου, πήγαινε νὰ συμφιλιωθεῖς πρῶτα μὲ τὸν ἀδελφό σου»[28]. Δὲν εἶπε, μάζεψε καὶ πρόσφερε τὴ θυσία, ἀλλὰ «συμφιλιώσου» καὶ ὕστερα πρόσφερε τὴ θυσία. Ἄφησέ την ἐκεῖ νὰ εἶναι, λέγει, ὥστε ἡ ἀνάγκη τῆς προσφορᾶς καὶ χωρὶς τὴ θέλησή του νὰ ὑποχρεώσει αὐτὸν ποὺ δίκαια ὀργίζεται νὰ ἔρθει σὲ συμφιλίωση. Κοίταζε πῶς τὸν προτρέπει πάλι νὰ ἔρθει σὲ συμφιλίωση μ' αὐτὸν ποὺ τὸν ἐρέθισε, λέγοντας· «συγχωρῆστε ἐκείνους ποὺ σᾶς ἔκαναν κακό, γιὰ νὰ συγχωρήσει καὶ τὰ δικά σας παραπτώματα ὁ Πατέρας σας»[29]. Δὲν ὅρισε μικρὴ ἀμοιβή, ἀλλὰ τέτοια ποὺ ξεπερνάει πάρα πολὺ τὸ μέγεθος τοῦ κατορθώματος.

Σκεπτόμενοι λοιπὸν ὅλα αὐτὰ καὶ ἀναλογιζόμενοι τὴν ἀμοιβὴ ποὺ δίνεται γι' αὐτὸ καὶ ὅτι δὲ χρειάζεται πολὺς κόπος καὶ φροντίδα γιὰ νὰ ἐξαλείψουμε τὰ ἁμαρτήματα, ἂς συγχωροῦμε αὐτοὺς μᾶς ἔχουν ἀδικήσει. Γιατὶ αὐτὸ ποὺ μόλις οἱ ἄλλοι κατορθώνουν μὲ νηστεία καὶ θρήνους καὶ προσευχὲς καὶ σάκκο καὶ στάχτη καὶ ἀμέτρητες μετάνοιες, τὸ νὰ ἐξαλείφουν δηλαδη τὰ δικά τους ἁμαρτήματα, αὐτὸ εἶναι δυνατὸ σὲ μᾶς νὰ τὸ κάνουμε χωρὶς σάκκο καὶ στάχτη καὶ νηστεία, ἂν μόνο ἐξαλείψουμε τὴν ὀργὴ ἀπὸ τὴ σκέψη μας καὶ μὲ εἰλικρίνεια συγχωρήσουμε ἐκείνους ποὺ μᾶς ἔχουν ἀδικήσει. Καὶ ὁ Θεὸς τῆς εἰρήνης καὶ τῆς ἀγάπης, ἀφοῦ ἐκτοπίσει ἀπὸ τὴν ψυχή μας κάθε θυμὸ καὶ πικρία καὶ ὀργή, εἴθε νὰ μᾶς καταξιώσει νὰ ἀναπέμπουμε ὅλοι μαζὶ ἑνωμένοι μεταξύ μας μὲ ἀκρίβεια, ὅπως τὰ μέλη τοῦ σώματος, καὶ μ' ἕνα στόμα καὶ μία ψυχὴ παντοτινὰ τοὺς εὐχαριστήριους ὕμνους ποὺ τοῦ ὀφείλουμε, γιατὶ σ' αὐτὸν ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑΝΟΗΣΑΤΕ ΤΟΝ ΑΠΟΣΤΟΛΟΝ ΚΑΙ ΑΡΧΙΕΡΕΑ ΤΗΣ ΟΜΟΛΟΓΙΑΣ ΗΜΩΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ, ΠΙΣΤΟΝ ΟΝΤΑ ΤΩ ΠΟΙΗΣΑΝΤΙ ΑΥΤΟΝ»

1. Ὁσάκις ἂν πρὸς διδασκαλίαν εὐσεβείας ὁρμήσω, τὸ τοῦ πράγματος φρικτὸν λογιζόμενος, τῇ κατ᾽ ἐμαυτοῦ χρῶμαι πρὸς τὸν τῆς εὐσεβείας Δεσπότην ἀπολογίᾳ, μή πού τι τοῦ τῆς εὐσεβείας ὕψους φθεγξάμενος ὁ λόγος μικρότερον ἀπέλθῃ, διδάξας ψυχὰς μικρολογίαν Θεοῦ. Ἔστιν μὲν γὰρ καὶ τὸ σφόδρα παρὰ γλώττης ὑψηλὸν ἀνθρωπίνης, οἰκτρόν τι καὶ πρὸς τὴν θείαν δοξολογίαν οὐδέν, οὔσης δὲ καὶ τῆς λίαν ὑψηλῆς παρ᾽ ἀνθρώποις εἰς Θεὸν ὑμνῳδίας πρὸς τὸ τῆς δόξης ἐκείνης ὑπερβάλλον ταπεινοτάτης. Εὐπρόσδεκτος ὅμως ἡ τῆς θεολογίας τῷ τῶν ὅλων Δεσπότῃ προσαγωγή, τῇ τῶν προσφερόντων ὁριζομένη δυνάμει τὸ προσφερόμενον, οὐ τῇ τῆς οἰκείας ὑψηλότητος δόξῃ.

Αἱρετικοὶ δέ, ὥσπερ τι τῆς ἀξίας ἐκείνης εἰς θεολογίαν ἔχειν φανταζόμενοι μεῖζον, ἢ λόγων ὕψος ὑποπτεύοντες εἶναι τῆς θείας ὑψηλότερον δόξης, περὶ τῆς τοῦ Δεσπότου τῶν ὅλων πρὸς ἡμᾶς ζυγομαχοῦσι τιμῆς, ὡς τῶν αὐτοῦ μέτρων αὐτῷ παρ᾽

---

1. Ἑβρ. 3,1–2.

ΟΜΙΛΙΑ

ΣΤΟ «ΚΑΤΑΝΟΗΣΤΕ ΤΟΝ ΑΠΟΣΤΟΛΟ ΚΑΙ ΑΡΧΙΕΡΕΑ ΤΗΣ ΠΙΣΤΗΣ ΠΟΥ ΟΜΟΛΟΓΟΥΜΕ, ΤΟΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟ, ΠΟΥ ΗΤΑΝ ΠΙΣΤΟΣ Σ' ΑΥΤΟΝ ΠΟΥ ΤΟΝ ΕΚΑΜΕ»[1]

1. Ὅσες φορὲς ξεκινήσω διδασκαλία γιὰ τὴν εὐσέβεια, σκεπτόμενος πόσο φοβερὸ εἶναι τὸ πράγμα, ἀπολογοῦμαι γιὰ τὸν ἑαυτό μου στὸν Κύριο τῆς εὐσέβειας, μήπως μιλώντας ὁ λόγος γιὰ τὸ ὕψος τῆς θεοσέβειας ἀπομακρυνθεῖ κάπου σὲ ἀσήμαντα πράγματα, διδάσκοντας ἔτσι στὶς ψυχὲς τὴ μικρολογία τοῦ Θεοῦ. Γιατὶ ὑπάρχει βέβαια στὴν ἀνθρώπινη γλώσσα καὶ τὸ ὑπερβολικὰ ὑψηλό, κάτι τὸ μηδαμινὸ καὶ ἀσήμαντο γιὰ τὴ δοξολογία τοῦ Θεοῦ, ἐνῶ καὶ ἡ πολὺ ὑψηλὴ ὑμνωδία τῶν ἀνθρώπων πρὸς τὸ Θεὸ εἶναι πάρα πολὺ μηδαμινὴ σὲ σύγκριση μὲ τὸ ὕψος τῆς δόξας αὐτῆς. Εὐπρόσδεκτη ὅμως εἶναι στὸν Κύριο τῶν ὅλων ἡ προσφορὰ τῆς θείας διδασκαλίας, κατὰ τὴν ὁποία ἐκτιμᾶται τὸ προσφερόμενο ἀνάλογα μὲ τὴ δύναμη αὐτῶν ποὺ προσφέρουν καὶ ὄχι μὲ τὴ δόξα τοῦ δικοῦ του ὕψους.

Ἀλλὰ κάποιοι αἱρετικοί, ἐπειδὴ ἀκριβῶς φαντάζονται πὼς στὴ θεία διδασκαλία ἔχουν κάτι μεγαλύτερο ἀπὸ τὴν ἀξία ἐκείνη, ἢ ἐπειδὴ τάχα ὑποψιάζονται πὼς τὸ ὕψος τῶν λόγων τους εἶναι ὑψηλότερο ἀπὸ τὴ δόξα τοῦ Θεοῦ, ἀγωνίζονται ἐναντίον μας γιὰ τὴν τιμὴ τοῦ Κυρίου τῶν ὅλων, σὰν νὰ ἀπονεμή-

ἡμῶν γινομένης ὑψηλοτέρας· καὶ καθάπερ ἀντιδίκου χάρτας τὰς Γραφὰς ἐρευνῶντες, δικαστήριον ἐξ αὐτῶν τῷ Θεῷ συγκροτοῦσι, καὶ τὸν θεολόγον ἐκεῖνον περιΐστανται Παῦλον, ὡς τῆς τοῦ Θεοῦ Λόγου συμβολαιογράφον δουλείας, καὶ πᾶσιν ἀνθρώποις τούτου χάριν ἐπ' αὐτῷ παραγγέλλοντα· «κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ὑμῶν Ἰησοῦν Χριστόν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν». Ἰδού, ἀναμφίβολος τοῦ ἐκτίσθαι τὸν Υἱὸν μαρτυρία. Οὐ θαυμαστὸν τὸ καὶ τοῖς σφόδρα λαμπροῖς ὡς ἀσάφειαν ἔχουσι προσπαίειν αἱρετικούς· τοῖς γὰρ σαθροῖς ὀφθαλμοῖς καὶ τὰ φωτεινὰ σκοτεινά, καὶ παρὰ τῆς λαμπούσης ἀκτῖνος ἀμβλυωπία. Τοῦτο τοῖς αἱρετικοῖς ἐν οὕτω φωτεινῇ διανοίᾳ γραμμάτων ἐνταῦθα συμβέβηκεν.

Ἀποστόλου γὰρ ἀκούοντες ὄνομα, τὸν Θεὸν Λόγον νοοῦσιν ἀπόστολον, ἀρχιερέως ἀναγινώσκοντες κλῆσιν, Θεότητα τὸν ἀρχιερέα φαντάζονται. Παράδοξος φρενοβλαβείας ἰδέα. Τίς γὰρ ἀποστόλου προσηγορίαν μαθὼν οὐκ εὐθὺς ἄνθρωπον ταύτην μηνυόμενον ἔγνω; Τίς ἀρχιερέως ὀνομασίαν ἀκούων θεότητος ἂν οὐσίαν τὸν ἀρχιερέα ἐνόμισεν; Εἰ γὰρ ἀρχιερεὺς ἡ Θεότης, τίς ὁ τῇ παρὰ τῆς ἀρχιερωσύνης λειτουργίᾳ θεραπευόμενος; Εἰ Θεὸς ὁ προσφέρων, οὐδεὶς ᾧ προσφέρεται. Τί γὰρ Θεότητος μεῖζον, ἵν' ὡς ἐλάττων προσφέρῃ τῷ μείζονι; Τί δὲ αὐτήν, αἱρετικέ, τὸ προσφέρειν καταναγκάζον; Τὸν μὲν γὰρ ἀρχιερέα προσφέρειν ἐπάναγκες, τῆς ἐκ τῶν προσφερομένων καὶ αὐτὸν τελειώσεως χρῄζοντα, κατὰ τὴν τοῦ Παύλου φωνήν· «πᾶς γάρ», φησίν, «ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεὸν ἵνα προσφέρῃ δῶρά τε

θηκε ἀπὸ μᾶς τιμὴ ὑψηλότερη ἀπὸ τὰ πραγματικὰ δικά του μέτρα, καὶ ἐρευνώντας τὶς Γραφές, σὰν νὰ εἶναι τὰ χαρτιὰ τοῦ ἀντιδίκου, στήνουν ἀπ' αὐτὲς δικαστήριο γιὰ τὸ Θεό, καὶ περικυκλώνουν τὸν θεολόγο ἐκεῖνον Παῦλο, σὰν νὰ ἦταν μάρτυρας τῆς δουλείας τοῦ Λόγου τοῦ Θεοῦ καὶ παραγγέλλοντας γι' αὐτὸ σ' ὅλους τοὺς ἀνθρώπους γι' αὐτόν· «κατανοῆστε τὸν ἀπόστολο καὶ ἀρχιερέα τῆς πίστης ποὺ ὁμολογοῦμε, τὸν Ἰησοῦ Χριστό, ὁ ὁποῖος ἦταν πιστὸς σ' αὐτὸν ποὺ τὸν ἔκαμε». Νά, λέγουν, ἀναμφισβήτητη μαρτυρία γιὰ τὸ ὅτι ἔχει κτισθεῖ ὁ Υἱός. Δὲν εἶναι παράξενο τὸ νὰ κάνουν σφάλμα οἱ αἱρετικοὶ καὶ στὰ πιὸ καθαρὰ λόγια σὰν νὰ περιέχουν κάποια ἀσάφεια, γιατὶ στὰ ἀσθενικὰ μάτια ἀκόμη καὶ τὰ φωτεινὰ πράγματα εἶναι σκοτεινὰ καὶ ἀπὸ τὴν ἀστραφτερὴ ἀκτίνα τοῦ ἥλιου ἀδυνατίζει ἡ ὅραση. Αὐτὸ ἔχει συμβεῖ στοὺς αἱρετικοὺς ἐδῶ σὲ ἕνα τόσο καθαρὸ νόημα τῶν λέξεων.

Ἀκούοντας δηλαδὴ τὸ ὄνομα ἀπόστολος νομίζουν ἀπόστολο τὸ Λόγο τοῦ Θεοῦ, διαβάζοντας γιὰ κλήση ἀρχιερέα φαντάζονται γιὰ ἀρχιερέα τὴ Θεότητα. Παράξενη ἰδέα τῆς παραφροσύνης τους. Γιατὶ ποιός ἔμαθε τὸ ὄνομα ἀπόστολος καὶ δὲ σκέφθηκε ἀμέσως ὅτι αὐτὸ σημαίνει ἄνθρωπο; Ποιός ἂν ἄκουε τὸ ὄνομα ἀρχιερέας θὰ νόμιζε πὼς αὐτὸς ἔχει οὐσία Θεότητας; Γιατί, ἂν ἡ Θεότητα εἶναι ἀρχιερέας, ποιός εἶναι ὁ λατρευόμενος ἀπὸ τὴ διακονία τῆς ἀρχιερωσύνης; Ἂν ὁ Θεὸς εἶναι αὐτὸς ποὺ προσφέρει, δὲν ὑπάρχει κανεὶς στὸν ὁποῖο προσφέρεται ἡ θυσία. Γιατὶ τί εἶναι μεγαλύτερο ἀπὸ τὴ Θεότητα, γιὰ νὰ προσφέρει ὡς μικρότερος στὸ μεγαλύτερο; Καὶ τί εἶναι αὐτό, αἱρετικέ, ποὺ ἀναγκάζει τὴ Θεότητα νὰ προσφέρει; Γιατὶ ὁ ἀρχιερέας εἶναι ἀναγκαῖο νὰ προσφέρει, ἀφοῦ καὶ ὁ ἴδιος ἔχει ἀνάγκη ἀπὸ τὴν τελείωση ποὺ προέρχεται ἀπ' αὐτὰ ποὺ προσφέρονται, σύμφωνα μὲ τὸ λόγο τοῦ Παύλου· «κάθε ἀρχιερέας», λέγει, «ποὺ λαμβάνεται ἀπὸ ἀνθρώπους ἐγκαθίσταται γιὰ νὰ ὑπηρετεῖ

καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν· καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν περὶ ἁμαρτιῶν». Θεότητος δὲ φύσις τῆς ἐκ τῆς χάριτος ἀνενδεὴς τελειώσεως.

2. Πόθεν οὖν αὐτοῖς ὁ Θεὸς Λόγοις κεκλῆσθαι νῦν ἀρχιερεὺς ἐνομίσθη, ὁ θυσίας εἰς προκοπὴν ἰδίαν κατὰ τοὺς ἀρχιερέας μὴ χρήζων; Ὁ Θεότητος κτήτωρ ἐξ ἀνθρώπων μὴ ληφθείσης ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν, ὁ μηδενὶ τούτων αὐτῶν παρ' Ἀρείου κατ' αὐτοῦ προσφερομένων φωνῶν γνωριζόμενος. Ὅρα γὰρ τοῦ τῆς Θεότητος ὕψους πάσας ταύτας ἐφεξῆς τὰς φωνὰς ἀλλοτρίας, ἄνωθεν αὐτὰς μικρὸν ἐπερχόμενος. «Οὐκ ἀγγέλων», φησίν, «ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται· ὅθεν ὤφειλεν κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστόν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν».

Ταῦτα τῆς τῶν ρημάτων ὄντα συναφείας τὰ μέλη διασπῶντες αἱρετικοὶ κακουργοῦσιν· ἀλλ' ἐπειδήπερ αὐτοῖς τὰς φωνὰς κατὰ μέρος ἀναγινώσκειν ἡδύ, καὶ διὰ τῆς κατὰ μέρος τῶν φωνῶν ἀναγνώσεως τρανώτερον ὑμῖν τῆς τῶν φωνῶν παρ' ἐκείνοις ληστείας προθῶμεν τὸν ἔλεγχον. «Οὐκ ἀγγέλων», φησίν, «ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραάμ». Μὴ σπέρμα

2. Ἑβρ. 5,1–3.
3. Ἑβρ. 2,16–3,3.

τὸ Θεὸ γιὰ χάρη τους καὶ γιὰ νὰ προσφέρει δῶρα καὶ θυσίες γιὰ τὶς ἁμαρτίες τους. Μπορεῖ νὰ δείχνει ἀνοχὴ σὲ ὅσους ζοῦν στὴν ἄγνοια καὶ στὴν πλάνη, ἀφοῦ καὶ ὁ ἴδιος ἔχει ἀνθρώπινες ἀδυναμίες. Καὶ ἐξ αἰτίας τους εἶναι ὑποχρεωμένος νὰ προσφέρει, ὅπως γιὰ τὸ λαό, ἔτσι καὶ γιὰ τὸν ἑαυτό του, θυσίες γιὰ τὶς ἁμαρτίες του»[2]. Ἡ φύση ὅμως τῆς Θεότητας δὲν ἔχει ἀνάγκη ἀπὸ τὴν τελείωση ποὺ παρέχεται ἀπὸ τὴ χάρη .

2. Ἀπὸ ποῦ λοιπὸν νόμισαν αὐτοὶ ὅτι ὁ Λόγος τοῦ Θεοῦ ἔχει ὀνομασθεῖ τώρα ἀρχιερέας, αὐτὸς ποὺ δὲν ἔχει ἀνάγκη ἀπὸ θυσίες γιὰ τὴ δική του προκοπή, ὅπως οἱ ἀρχιερεῖς; Ὁ κάτοχος τῆς Θεότητας, ποὺ δὲν ἔχει ληφθεῖ ἀπὸ ἀνθρώπους, ἐγκαθίσταται ἀρχιερέας νὰ ὑπηρετεῖ τὸ Θεὸ γιὰ χάρη τῶν ἀνθρώπων, αὐτὸς ποὺ ἀπὸ κανένα δὲ γνωρίζεται ἀπ' ὅσα εἶπε ὁ Ἄρειος ἐναντίον του. Γιατὶ πρόσεχε ποὺ ὅλα αὐτὰ τὰ ἑπόμενα λόγια εἶναι ξένα πρὸς τὸ ὕψος τῆς Θεότητας, ἀναφέροντας αὐτὰ γιὰ λίγο ἀπὸ τὴν ἀρχή. «Δὲν ἐνδιαφέρεται», λέγει, «νὰ βοηθήσει ἀγγέλους, ἀλλὰ τοὺς ἀπογόνους τοῦ Ἀβραάμ. Ἔπρεπε λοιπὸν νὰ γίνει σὲ ὅλα ὅμοιος μὲ τοὺς ἀδελφούς του, γιὰ νὰ γίνει εὐσπλαχνικὸς καὶ πιστὸς ἀρχιερέας, στὴν ὑπηρεσία τοῦ Θεοῦ, γιὰ νὰ ἐξιλεώσει τὶς ἁμαρτίες τοῦ λαοῦ. Γιατί, ἐπειδὴ ὁ ἴδιος ὑπέφερε καὶ δοκιμάσθηκε, μπορεῖ τώρα νὰ βοηθήσει αὐτοὺς ποὺ δοκιμάζονται. Γι' αὐτό, ἀδελφοὶ ἅγιοι, ἐσεῖς ποὺ κληθήκατε ἀπὸ τὸν οὐρανό, κατανοῆστε τὸν ἀπόστολο καὶ ἀρχιερέα τῆς πίστης ποὺ ὁμολογοῦμε, τὸν Ἰησοῦ Χριστό, ὁ ὁποῖος ἦταν πιστὸς σ' αὐτὸν ποὺ τὸ ἔκαμε»[3].

Αὐτὰ τὰ μέλη τῆς συνέχειας τῶν λόγων διασπώντας οἱ αἱρετικοὶ διαπράττουν κακούργημα. Ἀλλ' ἐπειδὴ σ' αὐτοὺς ἦταν εὐχάριστο νὰ διαβάζουν τὰ λόγια ξεχωριστά, καὶ μὲ τὴν ξεχωριστὴ ἀνάγνωση τῶν λόγων ἂς παρουσιάσουμε σὲ σᾶς τὸν ἔλεγχο πιὸ καθαρὸ ἀπὸ τὴ διαβολὴ τῶν δικῶν τους λόγων. «Δὲν ἐνδιαφέρεται», λέγει, «νὰ βοηθήσει ἀγγέλους, ἀλλὰ τοὺς

τοῦ Ἀβραὰμ ἡ Θεότης; Ἄκουσον καὶ τὴν ἑπομένην φωνήν· «Ὅθεν ὤφειλεν κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι». Μὴ τῇ θεότητι ἔσχεν ὁ Θεὸς Λόγος τινὰς ἀδελφοὺς ἐοικότας; Σκόπει καὶ τὸ τούτοις εὐθὺς συναπτόμενον· «ἵνα ἐλεήμων», φησίν, «γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς δύναται τοῖς πειραζομένοις βοηθῆσαι».

Οὐκ οὖν ὁ παθὼν ἀρχιερεὺς ἐλεήμων, παθητὸς δὲ ὁ ναός, οὐχ ὁ ζωοποιὸς τοῦ πεπονθότος Θεός, σπέρμα Ἀβραάμ «ὁ χθὲς καὶ σήμερον» κατὰ τὴν Παύλου φωνήν· οὐχ ὁ λέγων· «πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι», ὅμοιος τοῖς ἀδελφοῖς κατὰ πάντα, ὁ ψυχῆς ἀνθρωπίνης καὶ σαρκὸς ἀναλαβὼν ἀδελφότητα· οὐχ «ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα», Ἀπόστολος ὁ ἡμῖν ὁμοούσιος καὶ κεχρῆσθαι κηρύττων αἰχμαλώτοις, Ἀπόστολος καὶ λέγων ἐν Ἰουδαίοις σαφῶς· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέν με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέν με»· χρίεται δὲ ἀνθρωπότης, οὐ Θεότης, αἱρετικέ· οὗτος ὁ πιστὸς τῷ Θεῷ πεποιημένος ἀρχιερεύς. Ἐγένετο γὰρ οὗτος, οὐκ ἀϊδίως προῆν· οὗτος, ὁ κατὰ μικρὸν εἰς ἀρχιερέως, αἱρετικέ, προκόψας ἀξίωμα.

Καὶ ἄκουε σαφεστέρας σοι τοῦτο διαβοώσης φωνῆς· «ἐν ταῖς ἡμέραις», φησίν, «τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν Υἱός, ἔμαθεν τὴν ὑπακοήν, καὶ τε-

4. Ἑβρ. 13,8.
5. Ἰω. 8,58.
6. Ἰω. 14,9.
7. Ἡσ. 61,1· Λουκᾶ 4,18.

ἀπογόνους τοῦ Ἀβραάμ». Μήπως ἡ θεότητα εἶναι ἀπόγονος τοῦ Ἀβραάμ; Ἄκουσε καὶ τὴν ἑπόμενη φράση· «γι' αὐτὸ ἔπρεπε νὰ γίνει ὅμοιος σὲ ὅλα μὲ τοὺς ἀδελφούς του». Μήπως ὁ Λόγος τοῦ Θεοῦ ἔχει κάποιους ἀδελφοὺς ὅμοιους μὲ τὴ θεότητα; Ἐξέταζε καὶ αὐτὸ ποὺ συνδέεται ἀμέσως μ' αὐτά· «γιὰ νὰ γίνει», λέγει, «εὐσπλαχνικὸς καὶ πιστὸς ἀρχιερέας στὴν ὑπηρεσία τοῦ Θεοῦ, γιὰ νὰ ἐξιλεώνει τὶς ἁμαρτίες τοῦ λαοῦ. Γιατί, ἐπειδὴ ὁ ἴδιος ὑπέφερε καὶ δοκιμάσθηκε, μπορεῖ τώρα νὰ βοηθήσει αὐτοὺς ποὺ δοκιμάζονται».

Δὲν εἶναι λοιπόν αὐτὸς ποὺ ἔπαθε ἀρχιερέας εὐσπλαχνικός, καὶ ὁ ναὸς παθητός· δὲν εἶναι ὁ ζωοποιὸς αὐτοῦ ποὺ ἔπαθε, ὁ Θεός, ἀπόγονος τοῦ Ἀβραάμ, αὐτὸς ποὺ κατὰ τὴν ἔκφραση τοῦ Παύλου «εἶναι ὁ ἴδιος χθὲς καὶ σήμερα»[4]. Δὲν ἦταν αὐτὸς ποὺ ἔλεγε, «ἐγὼ ὑπάρχω προτοῦ νὰ γεννηθεῖ ὁ Ἀβραάμ»[5], ὅμοιος σὲ ὅλα μὲ τοὺς ἀδελφούς του, αὐτὸς ποὺ ἔλαβε τὴν ἀδελφικὴ σχέση ἀπὸ ἀνθρώπινη ψυχὴ καὶ σάρκα. Δὲν ἦταν ἀπόστολος αὐτὸς ποὺ εἶπε, «ἐκεῖνος ποὺ ἔχει δεῖ ἐμένα ἔχει δεῖ τὸν Πατέρα»[6], αὐτὸς ποὺ εἶχε τὴν ἴδια φύση μὲ μᾶς καὶ ποὺ παράγγελνε νὰ κηρύττουμε στους αἰχμαλώτος, δὲν ἦταν ἀπόστολος αὐτὸς ποὺ ἔλεγε καθαρὰ στοὺς Ἰουδαίους, «τὸ Πνεῦμα τοῦ Κυρίου εἶναι ἐπάνω μου γιατὶ μὲ ἔχρισε καὶ μὲ ἔστειλε νὰ φέρω στοὺς φτωχοὺς τὸ χαρμόσυνο μήνυμα»[7]. Χρίεται, αἱρετικέ, ἡ ἀνθρώπινη φύση καὶ ὄχι ἡ θεία. Αὐτός, ὁ πιστὸς στὸ Θεό, ἔγινε ἀρχιερέας. Ἔγινε λοιπὸν ἀρχιερέας, δὲν προϋπῆρχε αἰωνίως. Αὐτὸς εἶναι, αἱρετικέ, ποὺ προόδευε σιγὰ– σιγὰ στὸ ἀξίωμα τοῦ ἀρχιερέα.

Καὶ ἄκου πιὸ καθαρὴ φωνὴ ποὺ τὸ φωνάζει δυνατότερα αὐτὸ σὲ σένα. «Ὁ Χριστός», λέγει, «κατὰ τὶς ἡμέρες τῆς ἐπίγειας ζωῆς του ἔκανε μὲ δυνατὲς κραυγὲς καὶ δάκρυα προσευχὲς καὶ παρακλήσεις σ' ἐκεῖνον ποὺ μποροῦσε νὰ τὸν σώσει ἀπὸ τὸ θάνατο. Καὶ εἰσακούσθηκε, γιατὶ εἶχε εὐλάβεια. Ἂν καὶ

λειωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου». Τελειοῦται δὲ ὁ κατὰ μικρὸν προκόπτων, αἱρετικέ· περὶ οὗ καὶ Λουκᾶς ἐν τοῖς Εὐαγγελίοις βοᾷ· Ἰησοῦς δὲ προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι· τούτῳ σύμφωνα καὶ Παῦλος φθεγγόμενος, «τελειωθείς», φησίν, «ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου, προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ»· οὗτος ὅμως ὁ κατὰ τὸν τῆς στρατηγίας συγκρινόμενος τύπον, ὁ σπέρμα τοῦ Ἀβραὰμ κεκλημένος, ὁ κατὰ πάντα τοῖς ἀδελφοῖς παραπλήσιος, ὁ χρόνῳ γεγενημένος ἀρχιερεύς, ὁ διὰ παθημάτων τελειωθείς, ὁ ἐν ᾧ πέπονθεν αὐτὸς πειρασθείς, δυνάμενος τοῖς πειραζομένοις βοηθῆσαι, ὁ κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς τεταγμένος.

3. Τί οὖν ἀνθερμηνεύεις τῷ Παύλῳ τὸν ἀπαθῆ Θεὸν Λόγον, ἐπιγείῳ καταμιγνὺς ὁμοιότητι, καὶ παθητὸν ἀρχιερέα ποιῶν; Τί καὶ πρὸς τὸν τῶν γραμμάτων ἀναιδίζεσθε πρόδηλον καὶ πρὸς τὸν τῆς ἐννοίας τῆς προκειμένης σκοπόν; Ἡ μὲν οὖν πρὸς τὰς συλλαβὰς ἐξ αὐτῶν τῶν φωνῶν διαδέδεικται μάχη· ἴδωμεν δὲ καὶ τὸν τῶν γραμμάτων σκοπὸν πολὺ τῆς αἱρετικῆς μυθολογίας ἀπᾴδοντα. Κεκρατηκότος πανταχοῦ τοῦ κηρύγματος, καὶ δὴ καὶ ταύτης τῆς τῶν νομίμων πυρᾶς, λέγω δὴ τῆς Ἰερουσαλήμ, Χριστιανισμὸν ἀστραπτούσης, φθόνος τις τῇ τῶν Ἑβραίων ἐπιφυεὶς σωτηρίᾳ, τὴν ἐκ τῆς χάριτος αὐτοῖς ἐπὶ τὸν νόμον αὖθις παλινδρομίαν εἰργάζετο, καὶ τὰ τῆς ἀπάτης ἐν εὐφημίᾳ διὰ τοῦ Χριστοῦ κεκρυμμένα τοῖς ἀπατῶσιν ἐποίει τὴν θήραν εὐληπτοτέραν. Τοὺς γὰρ ἅπαξ τῷ Χριστῷ προστεθέντας τῆς μὲν εἰς αὐτὸν καθάπαξ οὐκ ἀπέστρεφον πίστεως, ὥστε μὴ τῷ περὶ τὸν

---

8. Ἑβρ. 5,7–9 9. Λουκᾶ 2,52.

10. Ἑβρ. 5,10.

11. Γιὰ τὸ Μεχιδεσεδὲκ Βλ. Γεν. 14,18–20· Ἀριθμ. 18,21. 26· Δευτ. 18 1. καὶ Ἑβρ. 7,1–14.

ἦταν Υἱός, ἔμαθε τὴν ὑπακοή. Καὶ ἀφοῦ ἔγινε τέλειος, ἔγινε ἡ αἰτία νὰ σωθοῦν γιὰ πάντα ὅλοι ὅσοι ὑπακοῦν σ' αὐτόν»[8]. Γίνεται ὅμως τέλειος, αἱρετικέ, αὐτὸς ποὺ προοδεύει σιγὰ–σιγά. Γι' αὐτὸν καὶ ὁ Λουκᾶς βροντοφωνάζει στὰ Εὐαγγέλια· «καὶ ὁ Ἰησοῦς προόδευε στὴν ἡλικία καὶ στὴ σοφία καὶ στὴ χάρη»[9]. Σύμφωνα μ' αὐτὸ μιλώντας καὶ ὁ Παῦλος λέγει· «ἀφοῦ ἔγινε τέλειος, ἔγινε ἡ αἰτία νὰ σωθοῦν γιὰ πάντα ὅλοι ὅσοι ὑπακοῦν σ' αὐτὸν καὶ ἀνακηρύχθηκε ἀπὸ τὸ Θεὸ ἀρχιερέας, κατὰ τὴν τάξη τοῦ Μελχισεδέκ»[10]. Αὐτὸς ὅμως εἶναι ἐκεῖνος ποὺ συγκρίνεται μὲ τὸν τύπο τῆς στρατηγίας, ποὺ ὀνομάσθηκε ἀπόγονος τοῦ Ἀβραάμ, ποὺ ἔγινε σχεδὸν ὅμοιος σὲ ὅλα μὲ τοὺς ἀδελφούς του, ποὺ ἔγινε μὲ τὸν καιρὸ ἀρχιερέας, ποὺ μὲ τὰ παθήματα ἔγινε τέλειος, ποὺ ἐπειδὴ ὑπέφερε καὶ δοκιμάσθηκε μπορεῖ νὰ βοηθήσει αὐτοὺς ποὺ δοκιμάζονται, ποὺ ἔχει ὁρισθεῖ ἀρχιερέας ὅπως ὁ Μελχισεδέκ[11].

3. Γιατί λοιπὸν ἑρμηνεύεις ἀντιθετα ἀπὸ τὸν Παῦλο τὸν ἀπαθὴ Λόγο τοῦ Θεοῦ, ἀναμειγνύοντας ἐντελῶς αὐτὸν μὲ τὴν ἐπίγεια ὁμοιότητα καὶ κάνοντάς τον παθητὸ ἀρχιερέα; Γιατί εἶστε ἀναιδεῖς καὶ πρὸς τὸ ὁλοφάνερο τῶν λέξεων καὶ πρὸς τὸ σκοπὸ τῆς ἔννοιας αὐτῆς; Ἡ μάχη λοιπὸν πρὸς τὶς συλλαβὲς ἔχει ἀποδειχθεῖ πλήρως ἀπ' αὐτὰ τὰ λόγια. Ἂς δοῦμε ὅμως καὶ τὸ σκοπὸ τῶν λέξεων νὰ διαφέρει πολὺ ἀπὸ τὴν αἱρετικὴ μυθολογία. Ὅταν ἐπικράτησε παντοῦ τὸ κήρυγμα καὶ μάλιστα ὅταν καὶ αὐτὸς ὁ βωμὸς τῶν θυσιῶν, δηλαδὴ ἡ Ἰερουσαλήμ, ἄστραφτε τὸ Χριστιανισμό, κάποιος φθόνος ποὺ ξεπρόβαλε στὴ σωτηρία τῶν Ἑβραίων προκαλοῦσε σ' αὐτοὺς τὴν ἐπιστροφὴ πάλι ἀπὸ τὴ χάρη στὸ νόμο καὶ ἡ ἀπάτη, ποὺ ἦταν κρυμμένη στὸν ἔπαινο τοῦ Χριστοῦ, ἔκανε σ' αὐτοὺς ποὺ παρέσυραν μὲ τὴν ἀπάτη πιὸ εὔκολη τὴν ἐπιχείρησή τους. Γιατὶ αὐτούς, ποὺ μιὰ φορὰ προστέθηκαν στὸ Χριστό, δὲν τοὺς ἐπέστρεφαν μονομιᾶς ἀπὸ τὴν πίστη σ' αὐτόν, ὥστε μὲ τὸ φανερὸ πόλεμο γιὰ τὸν ἀγαπώμενο

φιλούμενον ἐκ προδήλου πολέμῳ πρὸς τὴν τῆς ἀπάτης ἐγεῖραι τοὺς τὴν ἀπάτην ὑπομένοντας νῆψιν, ἀλλ' εὐπιθάνοις ἐδελέαζον λόγοις· μέγας, φασίν, ὁ Χριστός· πῶς γὰρ οὐ μέγας, οὗ καὶ τὰ τῆς προσηγορίας αἰδέσιμα πάθεσιν καὶ τὴν εἰς τοῦτον οὐκ ἄν τις ὑμῶν καταπέμψαιτο πίστιν;

Ἐκεῖνο δὲ φυλάττεσθαι δεῖ τὸ μὴ νομίζειν τοῦ νόμου λοιπὸν τὴν φυλακὴν περιττήν, μηδὲ τῆς κατ' αὐτὸν ἄλλην προτιμᾶν πολιτείαν, ἢ τόπον ἕτερον μακαριστῶν ἀμοιβῶν παρὰ τὸν τῆς Παλαιστίνης ἀναμένοντας κλῆρον, ἢ τῆς Λευϊτικῆς ἱερωσύνης ἄλλην ἡγουμένους τιμιωτέραν, ἀλλ' ἔχεσθαι μὲν τῆς εἰς Χριστὸν διαθέσεως, ἀκίνητα δὲ τὰ τοῦ νόμου φυλάττειν. Οὕτω τῶν παρ' Ἑβραίοις ἐπὶ τὸν νόμον παρασυρομένων πιστῶν ἀλγήσας πρὸς τὴν ἀπάτην ὁ Παῦλος δείκνυσι τῷ τοῦ Χριστοῦ προσώπῳ τὰ τοῦ νόμου κεκινημένα, καὶ πρὸς τὴν τῆς ἱερωσύνης ἀντιλογίαν ἀνθίσταται, τοῦ τῆς ἐνανθρωπήσεως μυστηρίου τὸν σκοπὸν ἐκκαλύπτων· «οὐκ ἀγγέλων», φησίν, «ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται». Ἡ δι' ἀνθρωπίνης σαρκὸς τοῦ Δεσπότου, φησίν, ἐπιδημία Χριστοῦ τῆς τῶν ἀνθρώπων ἕνεκα γεγένηται φύσεως, ὑπόσχεσιν εὐλογίας ἀρχαίαν βεβαιοῦσα τῷ γένει. Εἰλήφει γὰρ ὁ πατριάρχης ὑπόσχεσιν ἐνευλογηθήσεσθαι ἐν τῷ σπέρματι αὐτοῦ πάντα τὰ ἔθνη.

Διῆλθε μετὰ τὴν ὑπόσχεσιν χρόνος, ηὐξήθη τὸ τοῦ σπέρματος γένος, προέκοψεν ὁ τῶν ἐτῶν ἀριθμός, τοῖς ἔθνεσιν δὲ οὐδαμοῦ μεταβολὴ πρὸς εὐσέβειαν, οὐδὲν εἶδος ἐπ' αὐτοῖς εὐλογίας. Ἀλλὰ γὰρ καὶ αὐτὸ τοῦ πατριάρχου τὸ γένος εἰς εἰδωλολατρίας κατάραν μετέστραπτο, δυσσεβοῦν ἐν Αἰγύπτῳ, τὴν Παλαιστίνην ρυποῦν, προσκυνοῦν παρὰ Πέρσαις εἰκόνα. Πῶς οὖν

12. Γεν. 22,18.

νὰ μὴν ξεσηκώσουν ἐναντίον τῆς ἀπάτης ἐκείνους ποὺ ἀντιμετώπιζαν τὴν ἀπάτη μὲ νηφαλιότητα, ἀλλὰ τοὺς δελέαζαν μὲ λόγια εὐκολοπίστευτα. Μεγάλος, λέγει, εἶναι ὁ Χριστός· γιατὶ πῶς δὲν εἶναι μεγάλος αὐτὸς ποὺ καὶ τὸ ὄνομά του στὰ πάθη εἶναι σεβαστὸ καὶ τὴν πίστη σ' αὐτὸν δὲ θὰ μποροῦσε κανείς σας νὰ τὴν καταλύσει;

Ὅμως πρέπει νὰ προσέχουμε αὐτό, νὰ μὴ νομίζουμε δηλαδὴ περιττὴ στὴ συνέχεια τὴν τήρηση τοῦ νόμου, οὔτε νὰ προτιμοῦμε ἀπ' αὐτὸν ἄλλο τρόπο ζωῆς ἢ νὰ περιμένουμε γιὰ τὶς μακαριστὲς ἀμοιβὲς ἄλλο τόπο ἀπὸ τὸν κλῆρο τῆς Παλαιστίνης ἢ νὰ θεωροῦμε ἄλλη ἱερωσύνη πιὸ τίμια ἀπὸ τὴ Λευϊτική, ἀλλὰ νὰ ἀφοσιωνόμαστε βέβαια στὴν ἀγάπη πρὸς τὸ Χριστό, καὶ νὰ τηροῦμε ὅμως ἀμετάβλητο τὸ νόμο. Ἔτσι ὁ Παῦλος, ἐπειδὴ πόνεσε γιὰ τὴν ἀπάτη, κατὰ τὴν ὁποία οἱ πιστοὶ ἀπὸ τοὺς Ἑβραίους παρασύρονταν στὸ νόμο, ἀποδεικνύει πὼς τὰ τοῦ νόμου ἔχουν μεταφερθεῖ στὸ πρόσωπο τοῦ Χριστοῦ καὶ ἀντιστέκεται στὴν ἀντιλογία τῆς ἱερωσύνης, φανερώνοντας τὸ σκοπὸ τοῦ μυστηρίου τῆς ἐνανθρώπησης· «δὲν ἐνδιαφέρεται», λέγει, «νὰ βοηθήσει ἀγγέλους, ἀλλὰ τοὺς ἀπογόνους τοῦ Ἀβραάμ». Ἡ ἔλευση, λέγει, τοῦ Δεσπότη Χριστοῦ μὲ ἀνθρώπινη σάρκα ἔχει γίνει ἐξ αἰτίας τῆς φύσης τῶν ἀνθρώπων, ἐπιβεβαιώνοντας παλαιὰ ὑπόσχεση εὐλογίας στὸ ἀνθρώπινο γένος. Γιατὶ εἶχε λάβει ὁ πατριάρχης ὑπόσχεση πὼς μὲ ἕνα ἀπὸ τοὺς ἀπογόνους του θὰ εὐλογηθοῦν ὅλα τὰ ἔθνη[12].

Πέρασε μετὰ τὴν ὑπόσχεση καιρός, αὐξήθηκε τὸ γένος τῶν ἀπογόνων, μεγάλωσε ὁ ἀριθμὸς τῶν ἐτῶν, ἀλλὰ πουθενὰ στὰ ἔθνη δὲν ἔγινε μεταβολὴ πρὸς τὴν εὐσέβεια, κανένα εἶδος εὐλογίας σ' αὐτά. Ἀλλὰ καὶ αὐτὸ ἀκόμα τὸ γένος τοῦ πατριάρχη εἶχε ἐπιστρέψει στὴν κατάρα τῆς εἰδωλολατρίας, δυσσεβώντας στὴν Αἴγυπτο, μολύνοντας τὴν Παλαιστίνη, προσκυνώντας εἰκόνα στὸ διάστημα τῆς δουλείας του στοὺς Πέρσες. Πῶς

τὰ τῆς ἐπαγγελίας ἐκβῇ; Πῶς ὡς ψευδὴς ἡ θεία μὴ κινδυνεύσῃ φωνή; Τίς ὁ πρὸς τοσαύτην Θεῷ πιστεύων ὑπόσχεσιν; Ὁ νομοθέτης Μωϋσῆς; Μέγας μὲν ὡς ἀληθῶς ὁ προφήτης καὶ προφητῶν ἁπάντων κεφάλαιον, ἀλλ' εὐθὺς τῷ Θεῷ πρὸς μεσιτείαν καὶ γηΐνης ἐλευθερίας δειλὸς καὶ τὴν δειλίαν πρὸς τὸν Θεὸν ἐκβοῶν· «δέομαι, Κύριε, προχείρισαι ἄλλον δυνάμενον, ὃν ἀποστελεῖς». Ἀλλ' Ἀαρὼν πρὸς τὴν τῆς εὐλογίας διακονίαν αὐτάρκης; Λαμπρὸς μὲν ὁ ἱερεὺς καὶ τῆς νομικῆς ἱερωσύνης κρηπίς, ἀλλ' ἀσεβέσιν εὐκατάπληκτος δήμοις, ὡς ἡ μοσχοποιία διέδειξεν· σεμνὸς καὶ Ἠλίας καὶ ζήλου φλογώδους ἀποβάλλων σπινθῆρας, ἀλλ' ἁμαρτωλοῖς ἐπαχθής.

Οὐκ ἦν οὐδαμόθεν πρὸς τὴν τῆς εὐλογίας μεσίτης ὑπόσχεσιν, εἰδωλολατρούντων ἐθνῶν, Ἰουδαίων συνασεβούντων, προφητῶν κεκραγότων· «δέομαι, Κύριε, προχείρισαι ἄλλον δυνάμενον, ὃν ἀποστελεῖς», ἱερέων ἢ συγχωρούντων ἁμαρτωλοῖς ὑπὲρ μέτρον, ἢ κολαζόντων ἀφειδῶς παρὰ πόδας. Ἔδει τοίνυν πρὸς τὴν τῆς εὐλογίας μεσιτείαν ἀρχιερέως, τῇ φύσει μὲν ἐκ τοῦ γένους τοῦ Ἀβραὰμ τικτομένου, τῇ δὲ ἀξίᾳ προφητῶν ἀνωτέρου, ἀναμαρτήτου καὶ πρᾴου, παθητοῦ μὲν ὡς συγγενοῦς Ἀβραάμ, ἀλλ' ἐν κινδύνοις εἰδότος πρὸς τὸν Θεὸν ἐκβοᾶν· «πλὴν οὐ τί ἐγὼ θέλω, ἀλλὰ σύ». Τίκτεται δὴ πρὸς τοῦτο Χριστός, οὐκ ἀγγέλων περιθέμενος φύσιν· οὐ γὰρ ἐκ γένους ἀγγέλων εὐλογίαν ἀνθρώποις ὁ Θεὸς καθυπέσχετο, ἀλλ' ἐκ σπέρματος Ἀβραὰμ τοῦ τοῖς ἐπαγγελίαν εἰληφόσιν ὁμοίου.

Τοῦτο νῦν τὸ προκείμενον Παύλῳ τὸ τοῖς τὴν κατὰ Χρι-

---

13. Ἐξ. 4,13.
14. Βλ. Ἐξ. 32,1–6.
15. Μάρκ. 14,36.

λοιπὸν νὰ πραγματοποιηθεῖ ἡ ἐπαγγελία; Πῶς νὰ μὴν φανεῖ πὼς εἶναι ψεύτικος ὁ θεῖος λόγος; Ποιός ἦταν αὐτὸς ποὺ μεσίτευε στὸ Θεὸ γιὰ τόσο μεγάλη ὑπόσχεση; Ὁ νομοθέτης Μωυσῆς; Ἦταν μεγάλος πραγματικὰ ὁ προφήτης ἐκεῖνος καὶ πρῶτος ἀπ' ὅλους τοὺς προφῆτες, ἀλλὰ δειλὸς ἀπὸ τὴν πρώτη στιγμὴ γιὰ μεσιτεία τῆς γήινης ἐλευθερίας ἐνώπιον τοῦ Θεοῦ καὶ τὴ δειλία του τὴ φώναζε στὸ Θεό· «σὲ παρακαλῶ, Κύριε, ἀνάδειξε κάποιον ἄλλο ἱκανό, καὶ αὐτὸν νὰ στείλεις»[13]. Μήπως ὁ Ἀαρὼν ἦταν ἱκανὸς γιὰ τὴ διακονία τῆς εὐλογίας; Ἦταν βέβαια ἐξαιρετικὸς ἱερέας καὶ θεμέλιο τῆς ἱερωσύνης τοῦ νόμου, ἀλλὰ εὔκολα φοβόταν τὸν ἀσεβὴ λαό, ὅπως ἀπέδειξε ἡ κατασκευὴ τοῦ χρυσοῦ μοσχαριοῦ[14]. Καὶ ὁ Ἠλίας ἦταν σεμνὸς καὶ εἶχε φλογερὸ ζῆλο ποὺ ἔβραζε, ἀλλὰ ἦταν μισητὸς στοὺς ἁμαρτωλούς.

Δὲν ὑπῆρχε ἀπὸ πουθενὰ μεσίτης γιὰ τὴν ὑπόσχεση τῆς εὐλογίας, ἀφοῦ τὰ ἔθνη πίστευαν στὰ εἴδωλα, οἱ Ἰουδαῖοι ἀσεβοῦσαν καὶ οἱ ἴδιοι οἱ προφῆτες φώναζαν, «σὲ παρακαλῶ, Κύριε, ἀνάδειξε κάποιον ἄλλο ἱκανό, καὶ αὐτὸν νὰ στείλεις», καὶ ἀφοῦ οἱ ἱερεῖς ἢ συγχωροῦσαν ὑπέρμετρα τοὺς ἁμαρτωλοὺς ἢ τοὺς τιμωροῦσαν ὑπερβολικὰ καὶ ἀμέσως. Χρειαζόταν λοιπὸν γιὰ τὴ μεσιτεία τῆς εὐλογίας ἕνας ἀρχιερέας, γεννημένος κατὰ τὴ φύση ἀπὸ τὸ γένος τοῦ Ἀβραάμ, ἀνώτερος κατὰ τὴν ἀξία ἀπὸ τοὺς προφῆτες, ἀναμάρτητος καὶ πράος, εὐπαθὴς βέβαια σὰν συγγενὴς τοῦ Ἀβραάμ, ἀλλὰ στοὺς κινδύνους νὰ γνωρίζει νὰ φωνάζει στὸ Θεό· «ἂς μὴ γίνει ὅμως τὸ δικό μου θέλημα ἀλλὰ τὸ δικό σου»[15]. Γεννιέται λοιπὸν γι' αὐτὸ ὁ Χριστός, χωρὶς νὰ περιβληθεῖ τὴ φύση τῶν ἀγγέλων, γιατὶ ὁ Θεὸς δὲν ὑποσχόταν στοὺς ἀνθρώπους εὐλογία ἀπὸ τὸ γένος τῶν ἀγγέλων, ἀλλὰ ἀπὸ τοὺς ἀπογόνους τοῦ Ἀβραάμ, ποὺ ἦταν ὅμοιος μ' αὐτοὺς ποὺ ἔλαβαν τὴν ὑπόσχεση.

Αὐτὸ τώρα εἶναι τὸ ζήτημα ποὺ ἀπασχολεῖ τὸν Παῦλο, τὸ

στὸν ἱερωσύνην περιττὴν ἡγουμένοις δεῖξαι τὴν τῆς εὐλογίας ἄνευ ταύτης μὴ πληρουμένην ὑπόσχεσιν. Ὅτι δὲ οὐ πλάττω τὴν ἔννοιαν, ἐκ τῆς τῶν ρημάτων ὑμεῖς ἀκολουθίας δικάσατε, συντείνοντες ἑαυτοὺς πρὸς τὴν τῶν εἰρημένων λεπτότητα. Βούλομαι γὰρ καὶ τοῖς ἀκριβεστέροις ὑμᾶς προεθίσαι διδάγμασιν, ἵνα γένησθε δῆμος ἠκριβωμένος τῶν θείων διδάσκαλος. «Οὐκ ἀγγέλων», φησίν, «ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται». Οὐ πρὸς ἀγγελικήν, φησίν, ὁ τῶν ὅλων Δεσπότης ἐπίσκεψιν ἔδραμεν, ἀλλὰ πρὸς γένος Ἀβραὰμ ἐκπεσεῖν εὐλογίας παλαιᾶς κινδυνεῦον. Καὶ τί τοῦτο πρὸς τὸ κείμενον, Παῦλε; «Ὅθεν ὤφειλεν», φησίν, «κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν».

Ἐπειδὴ γένους, φησίν, ἦλθεν Ἀβραμιαίου Σωτήρ, εὐλογίας μὲν προειληφότος ὑπόσχεσιν, ἀρχιερέως δὲ πρὸς ταύτην ἀναμαρτήτου καὶ συμπαθοῦς δεομένου, γίνεται τοῦ γένους αὐτὸς τοῦ Ἀβραὰμ κατὰ σάρκα, καὶ τὸ τῆς φύσεως κοινὸν ἐν τῷ τοῦ Ἀβραὰμ ἀναδέχεται γένει, ἵνα δείξας ἐν ἑαυτῷ τὸ τῆς φύσεως πρόσωπον ἁμαρτίας ἐλεύθερον, γένηται τῇ φύσει καὶ συμπαθὴς εὐλογίας μεσίτης τῇ πρὸς τὸ τῆς φύσεως παθητὸν κοινωνίᾳ, καὶ βέβαιος διὰ παντὸς βοηθὸς τῷ δι' ἀναμαρτήτου καὶ ζῶντος ἀεὶ συγγενοῦς μεσιτεύειν. Τίς οὖν ἡ τοῦ θανάτου χρεία τῷ καθαρῷ τε παντὸς πλημμελήματος καὶ μετὰ μικρὸν ἀνίστασθαι μέλλοντι; «Ἐν ᾧ», φησίν, «πέπονθεν αὐτὸς πειρασθεὶς δύναται τοῖς πειραζομένοις βοηθῆσαι». Αὐτό, φησίν, αὐτὸ τὸ τοῦ πάθους ἐν ἀναμαρτήτῳ σαρκὶ συμβὰν πειρατήριον δυναστεία τις αὐτῷ ὑπὲρ τῶν συγγενῶν δικαιολογία ἀήττητος, ὡς ὑπερβλὴ τῆς

νὰ δείξει δηλαδὴ σ' αὐτοὺς ποὺ θεωροῦν περιττὴ τὴν ἱερωσύνη τοῦ Χριστοῦ πὼς ἡ ὑπόσχεση τῆς εὐλογίας δὲν ἐκπληρωνόταν χωρὶς αὐτὴ τὴν ἱερωσύνη. Ὅτι ὅμως δὲ εἶναι φαντασία μου αὐτὴ ἡ ἔννοια, κρίνετέ το σεῖς ἀπὸ τὴ συνέχεια τῶν λόγων, συγκεντρώνοντας τὸν ἑαυτό σας στὴν ἀκρίβεια τῶν λεγομένων. Γιατὶ θέλω νὰ σᾶς συνηθίσω πρῶτα καὶ στὶς πιὸ λεπτομερεῖς διδασκαλίες, γιὰ νὰ γίνετε λαὸς δάσκαλος γνωρίζοντας μὲ ἀκρίβεια τὰ θεῖα πράγματα. «Δὲν ἐνδιαφέρεται», λέγει, «νὰ βοηθήσει ἀγγέλους, ἀλλὰ τοὺς ἀπογόνους τοῦ Ἀβραάμ». Δὲν ἔτρεξε, λέγει, ὁ Κύριος τῶν ὅλων σὲ ἀγγελικὴ ἐπίσκεψη, ἀλλὰ στὸ γένος τοῦ Ἀβραὰμ ποὺ κινδύνευε νὰ χάσει τὴν παλαιὰ εὐλογία. Καὶ τί σχέση ἔχει αὐτὸ μὲ τὸ κείμενο, Παῦλε; «Γι' αὐτὸ ἔπρεπε», λέγει, «νὰ γίνει ὅμοιος σὲ ὅλα μὲ τοὺς ἀδελφούς του, γιὰ νὰ γίνει εὐσπλαχνικὸς καὶ πιστὸς ἀρχιερέας στὴν ὑπηρεσία τοῦ Θεοῦ».

Ἐπειδή, λέγει, ἦρθε ὁ Σωτήρας ἀπὸ τὸ γένος τοῦ Ἀβραάμ, ποὺ εἶχε βέβαια λάβει ὑπόσχεση εὐλογίας, ἀλλὰ χρειαζόταν γι' αὐτὸ ἕναν ἀρχιερέα ἀναμάρτητο καὶ συμπονετικό, γεννιέται αὐτὸς κατὰ σάρκα ἀπὸ τὸ γένος τοῦ Ἀβραάμ, ὥστε, ἀφοῦ δείξει στὸν ἑαυτό του τὸ πρόσωπο τῆς φύσης ἀπαλλαγμένο ἀπὸ τὴν ἁμαρτία, νὰ γίνει μὲ τὴ συμμετοχή του στὴν ἀνθρώπινη φύση συμπονετικὸς πρὸς τὴ φθαρτὴ ἀνθρώπινη φύση, μεσίτης τῆς εὐλογίας καὶ σταθερὸς πάντοτε βοηθὸς μὲ τὸ νὰ μεσιτεύει μὲ ἀναμάρτητο καὶ αἰώνιο συγγενή. Ποιά λοιπὸν ἦταν ἡ ἀνάγκη τοῦ θανάτου σ' αὐτὸν ποὺ ἦταν καθαρὸς ἀπὸ κάθε ἁμάρτημα καὶ ἐπρόκειτο ὕστερα ἀπὸ λίγο νὰ ἀναστηθεῖ; «Ἐπειδή», λέγει, «ὑπέφερε καὶ δοκιμάσθηκε ὁ ἴδιος μπορεῖ νὰ βοηθήσει αὐτοὺς ποὺ δοκιμάζονται». Αὐτός, λέγει, αὐτὸς ὁ πειρασμὸς τοῦ πάθους, ποὺ συνέβηκε σὲ ἀναμάρτητη σάρκα εἶναι σ' αὐτὸν κάποια ἐξουσία γιὰ τοὺς συγγενεῖς του, δικαιολογία ἀκατανίκητη, ὡς ὑπεροχὴ τῆς δύναμης ἔναντι τῆς ἐξουσίας τοῦ

παρὰ τοῦ διαβόλου δυναστείας ἀδίκου πολεμουμένου τῷ μηδὲν τὸν ἐν αὐτοῖς ἀναμάρτητον ἄνθρωπον ἄγευστον τῆς ὑπ' ἐκείνου παρελθεῖν ἐπηρείας.

«Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστόν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν». Ὄντος οὖν ὑμῖν τούτου μόνου, φησίν, ἀρχιερέως συμπαθοῦς καὶ συγγενοῦς καὶ βεβαίου, τῆς εἰς αὐτὸν μὴ περιτρέπεσθε πίστεως. Αὐτὸς γὰρ ὑμῖν τῆς ἐπηγγελμένης ἀρχιερεὺς εὐλογίας ἐκ σπέρματος Ἀβραὰμ ἀπεστάλη, ὡς ὑπὲρ αὐτοῦ καὶ τοῦ γένους τὴν τοῦ σώματος θυσίαν συνεπαγόμενος, αὐτὸς μεσίτης ἧς ὡμολογήσατε πίστεως, ὡς τὴν φύσιν τῷ Θεῷ διὰ τοῦ τῆς φύσεως ἐν αὐτῷ καταλλάξας ἀναμαρτήτου. Εἶτα, ἵνα μὴ ξένα κηρύττειν Ἰουδαίοις ὁ Παῦλος νομίζηται καὶ μηδαμοῦ τῷ Θεῷ πεπραγμένα, ἐπήγαγεν· «ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ». Οὐ ξένον, φησίν, ἄνθρωπον ὑποσχέσεσιν θείαις ἀνθρώπῳ καὶ Θεῷ μεσιτεύειν· προέλαβεν γὰρ τῆς μεσιτείας ὁ τύπος· διὰ Μωϋσέως τοῦ τῷ οἰκείῳ πρὸς Θεὸν μειστεύσαντος γένει. Κἂν ταύτην, αἱρετικέ, τὴν φωνὴν ἐρυθρίασον· «πιστός», φησίν, «ὁ Ἰησοῦς ὡς καὶ Μωϋσῆς».

Τί οὖν, ὦ τῆς Ἀρείου κληρονόμε φρενίτιδος, τῷ Θεῷ Λόγῳ παρὰ Παύλου νομίζεις τὸν Μωϋσέα συγκρίνεσθαι; Καίτοι γε περὶ τοῦ τῆς σαρκὸς Ἰωάννης βοῶν ὑποδήματος· «οὐκ εἰμί», φησίν, «ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ». Ἱμάντος ὁ Ἰωάννης τοῦ τῆς Δεσποτικῆς σαρκὸς ὑποδήματος ἀνάξιον ἑαυτὸν εἶναι διαμαρτύρεται, «οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται». Σὺ δὲ τὸν τοῦ παντὸς Κτίστην

16. Ἰω. 1,27.
17. Ματθ. 11,11.

διαβόλου ποὺ ἀγωνίζεται ἄδικα νὰ μὴν ξεφύγει τὴ δική του βλάβη οὔτε ἐκεῖνος ποὺ ἀνάμεσα στοὺς ἀνθρώπους εἶναι ἀναμάρτητος.

«Γι' αὐτό, ἀδελφοὶ ἅγιοι, ἐσεῖς ποὺ κληθήκατε ἀπὸ τὸν οὐρανό, κατανοῆστε τὸν ἀπόστολο καὶ ἀρχιερέα τῆς πίστης ποὺ ὁμολογοῦμε, τὸν Ἰησοῦ Χριστό, ὁ ὁποῖος ἦταν πιστὸς σ' αὐτὸν ποὺ τὸν ἔκαμε». Ἀφοῦ λοιπόν, λέγει, αὐτὸς ἦταν σὲ σᾶς ὁ μόνος ἀρχιερέας συμπονετικὸς καὶ συγγενὴς καὶ σταθερός, μὴν ἐκτρέπεστε ἀπὸ τὴν πίστη σ' αὐτόν. Γιατὶ αὐτὸς στάλθηκε σὲ σᾶς ἀπὸ τοὺς ἀπογόνους τοῦ Ἀβραὰμ ἀρχιερέας τῆς εὐλογίας ποὺ εἶχε ὑποσχεθεῖ ὁ Θεός, γιὰ νὰ φέρει μαζί του τὴ θυσία τοῦ σώματός του γιὰ τὸν εαυτό του καὶ γιὰ τὸ γένος τῶν ἀνθρώπων, ἐπειδὴ εἶναι ὁ ἴδιος μεσίτης τῆς πίστης ποὺ ὁμολογήσατε, γιὰ νὰ συμφιλιώσει μὲ τὴ δική του ἀναμάρτητη φύση τὴ φύση μὲ τὸ Θεό. Στὴ συνέχεια γιὰ νὰ μὴ θεωρεῖται πὼς ὁ Παῦλος κηρύττει στοὺς Ἰουδαίους ἄγνωστα πράγματα καὶ τὰ ὁποῖα δὲν τὰ πραγματοποίησε πουθενὰ ὁ Θεός, πρόσθεσε· «ὅπως ἦταν καὶ ὁ Μωυσῆς σὲ ὅλο τὸν οἶκο του». Δὲν ἐννοῶ, λέγει, ἕναν ξένο ἄνθρωπο στὶς θεῖες ὑποσχέσεις νὰ μεσιτεύει ἀνάμεσα στὸν ἄνθρωπο καὶ στὸ Θεό, γιατὶ προηγήθηκε ὁ τύπος τῆς μεσιτείας· μὲ τὸ Μωυσῆ ποὺ μεσίτευσε στὸ Θεὸ γιὰ τὸ δικό του γένος. Τουλάχιστο νὰ ντραπεῖς αὐτὰ τὰ λόγια, αἱρετικέ. «Ἦταν πιστός», λέγει, «ὁ Ἰησοῦς ὅπως ἀκριβῶς καὶ ὁ Μωυσῆς».

Τί λοιπόν, κληρονόμε τῆς παραφροσύνης τοῦ Ἀρείου, νομίζεις πὼς ὁ Παῦλος συγκρίνει τὸ Μωυσῆ μὲ τὸ Θεὸ Λόγο; Καὶ ὅμως ὁ Ἰωάννης γιὰ τὸ ὑπόδημα τῆς σάρκας του φωνάζει λέγοντας· «δὲν εἶμαι ἄξιος νὰ λύσω τὸ λουρὶ ἀπὸ τὰ ὑποδήματά του»[16]. Ὁ Ἰωάννης «ἀπὸ τὸν ὁποῖο πιὸ μεγάλο ἄνθρωπο δὲ γέννησε ὥς τώρα γυναίκα»[17], ὁμολογεῖ μὲ παρρησία πὼς εἶναι ἀνάξιος γιὰ τὸ λουρὶ τοῦ ὑποδήματος τῆς σάρκας τοῦ Κυρίου. Ἐσὺ ὅμως συκοφαντεῖς τὸν Παῦλο πὼς κατέβασε τὸν Κτίστη τοῦ

εἰς τὴν πρὸς Μωϋσέα κατάγειν ὁμοτιμίαν τὸν Παῦλον συκοφαντεῖς, ὃς οὐδὲ κατὰ τὴν τῆς ἀνθρωπότητος τάξιν διὰ τὴν ἐκ τῆς πρὸς τὴν θεότητα συναφείας ἀξιοῖ ἐξισοῦσθαι τὸν Μωϋσέα τῷ Ἰησοῦ; Δι' ὧν γὰρ ἑξῆς φθέγγεται, δείκνυσιν· εἰπὼν γάρ, «πιστὸς ὁ Ἰησοῦς ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ», προσέθηκε τούτοις εὐθύς· «πλείονος γὰρ οὗτος δόξης παρὰ Μωϋσῆν ἠξίωται». Κἂν τῇ τῶν φωνῶν ἐναντιολογίᾳ προσέχων σύνες τῇ διανοίᾳ, αἱρετικέ. Πιστός, φησίν, ἐστὶν ὁ Ἰησοῦς ὡς Μωϋσῆς· εἶτα πλείονος, φησίν, οὗτος δόξης παρὰ Μωϋσῆν ἠξίωται. Ἡ τῶν φωνῶν πρὸς ἀλλήλας ἐναντιότης τὴν σύγκρισιν δείκνυσιν τῆς τῶν τύπων ὁμοιότητος οὖσαν, οὐ τῆς τῶν ἀξιωμάτων ἰσότητος Μωϋσέως καὶ Ἰησοῦ· αἱρετικὸς δὲ οὐ φρίττει τὸ τῆς Θεότητος ὕψος εἰς Μωσαϊκὴν κατάγων θνητότητα.

4. *Ταῦτα μὲν περὶ τῆς τῶν αἱρετικῶν κατὰ τῶν ἀποστολικῶν φωνῶν ληστείας εἰρήσθω μοι. Βούλομαι δέ τι πλημμελούμενον παρ' ὑμῶν εἰς μέσον διὰ βραχέων προθείς, εἰς τὴν τοῦ πλημμελουμένου προτρέψαι διόρθωσιν· γοργοὶ γὰρ πρὸς τὰ καλὰ καθεστήκατε. Τί οὖν τὸ πλημμελούμενον; Προτίθεται μετὰ μικρὸν τοῖς πιστοῖς τὰ μυστήρια ὡς στρατιώταις τισὶν βασιλικὸν σιτηρέσιον· τῶν πιστῶν δὲ τότε οὐδαμοῦ τὸ στρατόπεδον, ἀλλ' ὥσπερ ἄχυρον τῷ τῆς ῥᾳθυμίας ἀνέμῳ τοῖς κατηχουμένοις συνεκριπίζονται. Καὶ σταυροῦται μὲν κατὰ τὸν τύπον Χριστός, τῇ τῆς ἱερατικῆς εὐχῆς μαχαίρᾳ σφαττόμενος, τοὺς ἑαυτοῦ δὲ μαθητὰς ὡς ἐπὶ τοῦ σταυροῦ τὸ πρὶν πεφευγότας εὑρίσκει. Δεινὸν τὸ πλημμέλημα χωρὶς διωγμοῦ τοῦ Χριστοῦ προδοσία, χωρὶς πολέμου τῆς Δεσποτικῆς σαρκὸς ὑπὸ πιστῶν ἐγκατάλειψις. Τί*

---

18. Ἑβρ. 3,3.

παντὸς στὴν ἴδια ἀξία μὲ τὸ Μωυσῆ, ποὺ οὔτε κατὰ τὴν τάξη τῆς ἀνθρώπινης φύσης, ἐξ αἰτίας τῆς συνένωσής του μὲ τὴ θεότητα, δὲ θεωρεῖ καλὸ νὰ ἐξισώνεται ὁ Μωυσῆς μὲ τὸν Ἰησοῦ; Καὶ αὐτὸ τὸ ἀποδεικνύει μὲ ὅσα λέγει παρακάτω. Γιατί, ἀφοῦ εἶπε, «ἦταν πιστὸς ὁ Ἰησοῦς, ὅπως ἀκριβῶς καὶ ὁ Μωυσῆς σὲ ὅλο τὸν οἶκο του», πρόσθεσε ἀμέσως σ' αὐτά· «ὁ Ἰησοῦς ὅμως ἀξιώθηκε μεγαλύτερη τιμὴ ἀπὸ τὸ Μωυσῆ»[18]. Ἀκόμα καὶ στὴν ἀντίφαση τῶν λεγομένων ἂν προσέχεις, αἱρετικέ, θὰ τὸ καταλάβεις αὐτό. Πιστός, λέγει, εἶναι ὁ Ἰησοῦς ὅπως ὁ Μωυσῆς· ἔπειτα λέγει, ὁ Ἰησοῦς ἀξιώθηκε μεγαλύτερη τιμὴ ἀπὸ τὸ Μωυσῆ. Ἡ ἀντίθεση τῶν λεγομένων μεταξύ τους δείχνει τὴ σύγκριση ποὺ ὑπάρχει στὴν ὁμοιότητα τῶν τύπων καὶ ὄχι στὴν ἰσότητα τῶν ἀξιωμάτων τοῦ Μωυσῆ καὶ τοῦ Ἰησοῦ. Ὁ αἱρετικὸς ὅμως δὲ φρίττει κατεβάζοντας τὸ ὕψος τῆς Θεότητας στὴ θνητότητα τοῦ Μωυσῆ.

4. Αὐτὰ εἶχα νὰ πῶ γιὰ τὴ διαβολὴ τῶν αἱρετικῶν ἐναντίον τῶν ἀποστολικῶν λόγων. Θέλω ὅμως, ἀφοῦ θίξω σύντομα κάποιο πλημμέλημα σας, νὰ σᾶς προτρέψω στὴ διόρθωση τοῦ πλημμελήματος, γιατὶ ἔχετε καταστεῖ γρήγοροι πρὸς τὰ καλά. Ποιό λοιπὸν εἶναι τὸ πλημμέλημα; Προσφέρονται σὲ λίγο τὰ μυστήρια στοὺς πιστούς, ὅπως σὲ κάποιους στρατιῶτες τὸ βασιλικὸ σιτηρέσιο. Καὶ τότε δὲ θὰ ὑπάρχει πουθενὰ τὸ στρατόπεδο τῶν πιστῶν, ἀλλὰ σὰν ἄχυρο ἀπὸ τὸν ἄνεμο τῆς ἀδιαφορίας παρασύρονται μαζὶ μὲ τοὺς κατηχούμενους. Καὶ σταυρώνεται βέβαια σύμφωνα μὲ τὸ τυπικὸ ὁ Χριστός, θυσιαζόμενος μὲ τὸ μαχαίρι τῆς ἱερατικῆς εὐχῆς, τοὺς μαθητές του ὅμως τοὺς βρίσκει νὰ φεύγουν, ὅπως τότε στὴν περίπτωση τῆς σταύρωσης. Εἶναι φοβερὸ τὸ πλημμέλημα, προδοσία τοῦ Χριστοῦ χωρὶς διωγμό, ἐγκατάλειψη ἀπὸ τοὺς πιστοὺς τῆς σάρκας τοῦ Κυρίου χωρὶς πόλεμο. Ποιά ἡ αἰτία αὐτῆς τῆς ἐγκατάλειψης; Οἱ ἀναγκαῖες ἀσχολίες. Καὶ τί εἶναι ἀπὸ τὴ φροντίδα πρὸς τὸ

τὸ τῆς ἐγκαταλείψεως αἴτιον; Ἀσχολίαι χρειώδεις. Καὶ τί τῆς εἰς τὸ Θεῖον ἀσχολίας ἀναγκαιότερον καὶ ταύτης μικρᾶς; Ἀλλ' ἁμαρτημάτων δειλία. Καὶ τί τὴν μακαρίαν ἐκείνην ἀπεκάθηρεν πόρνην, τὸ φυγεῖν ἢ τὸ προσφυγεῖν τῇ τοῦ Δεσπότου σαρκί;

Ἐρυθριάσωμεν τοίνυν τῆς πορνικῆς ἐκείνης γινόμενοι κατανύξεως χείρους, φρίξωμεν τὴν Δεσποτικὴν ἐκείνην ἡμᾶς διαμαρτυρομένην φωνήν· «ἀμήν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς». Δειλιάσωμεν, μὴ καὶ ἡμῖν ἐπιτιμῶν ἐξ οὐρανῶν φθέγξηται· «οὐκ ἰσχύσατε μίαν ὥραν παραμεῖναι μετ' ἐμοῦ»· φοβηθῶμεν πρὸς τούτῳ καὶ τῇ τῶν αἱρετικῶν συντίθεσθαι κατ' αὐτοῦ κακουργίᾳ· πρὸς τὰς τῆς ἐνανθρωπήσεως νήφωμεν τοῦ Παύλου φωνάς, τὰ τῆς ἀνθρωπότητος τῷ τῆς Θεότητος ἀσωμάτῳ μὴ συνασωματώσωμεν, τὰ τῆς Θεότητος τοῖς τῆς ἀνθρωπότητος μὴ συμφύρωμεν πάθεσι, τὰ τῶν φύσεων χωρίζοντες ἴδια· τὴν τῆς ἑνώσεως ἀξίαν συνάπτωμεν, μήτε τὸν Θεὸν Λόγον ναὸν ἀντ' ἐνοικοῦντος κηρύττωμεν, μήτε τὸν ναὸν ἀντ' ἐνοικουμένου τὸν ἐνοικοῦντα νομίζωμεν· μνημονεύωμεν τῶν ἐπ' ἀμφοτέροις αὐτοῦ τὰς δύο φύσεις ἀναλαβόντων φωνῶν· «λύσατε τὸν ναὸν τοῦτον», τοῦτ' ἔστιν τὸ τελευτῆς δεκτικόν, «καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν», τοῦτ' ἔστιν, ὁ τῷ θνητῷ συνημμένος κατὰ τὸ κεκρυμμένον Θεός· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

19. Ἰω. 6,53.
20. Ματθ. 26,40.
21. Ἰω. 2,19.

Θεῖο, ποὺ εἶναι τόσο μικρή, πιὸ ἀναγκαῖο; Ἀλλ' ὑπάρχει ὁ φόβος τῶν ἁμαρτημάτων. Καὶ τί καθάρισε τελείως τὴ μακάρια ἐκείνη πόρνη, τὸ ὅτι ἀπέφυγε ἢ τὸ ὅτι κατέφυγε στὸ σῶμα τοῦ Κυρίου;

Ἂς κοκκινίσουμε λοιπὸν ἀπὸ ντροπή, ἀφοῦ γινόμαστε χειρότεροι ἀπὸ τὴ μετάνοια ἐκείνης τῆς πόρνης· ἂς φοβηθοῦμε τὴ φωνὴ ἐκείνη τοῦ Κυρίου ποὺ μᾶς βεβαιώνει· «ἀλήθεια, ἀλήθεια σᾶς λέγω, ἂν δὲ φᾶτε τὴ σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου καὶ δὲν πιεῖτε τὸ αἷμα του δὲν ἔχετε μέσα σας τὴ ζωή»[19]. Ἂς φοβηθοῦμε μήπως, ἐπιτιμώντας καὶ μᾶς, πεῖ ἀπὸ τοὺς οὐρανούς· «οὔτε μιὰ ὥρα δὲν μπορέσατε νὰ μείνετε μαζί μου»[20]. Καὶ κοντὰ σ' αὐτά, ἂς φοβηθοῦμε ἀκόμη μήπως συμφωνοῦμε μὲ τὴν ἐναντίον του ἀσέβεια τῶν αἱρετικῶν. Ἂς προσέχουμε καλὰ στὰ λεγόμενα τοῦ Παύλου γιὰ τὴν ἐνανθρώπηση, ἂς μὴ συγχέουμε τὴν ἀνθρώπινη φύση μὲ τὴ ἀσώματη θεία φύση καὶ ἂς μὴν αναμειγνύουμε τὴ Θεότητα μὲ τὰ πάθη τῆς ἀνθρώπινης φύσης, ξεχωρίζοντας τὶς ἰδιότητες τῶν φύσεων. Ἂς συνδέουμε τὴν ἀξία τῆς ἕνωσης, οὔτε νὰ κηρύττουμε τὸ Λόγο τοῦ Θεοῦ ναὸ ἀντὶ γι' αὐτὸν ποὺ κατοικεῖ μέσα του, οὔτε νὰ νομίζουμε τὸ ναὸ ἀντὶ γι' αὐτὸν ποὺ κατοικεῖται ἐκεῖνον ποὺ κατοικεῖ. Ἂς φέρνουμε στὴ μνήμη μας τὰ λόγια ποὺ περιέχουν καὶ τὶς δύο φύσεις του· «γκρεμίστε τὸ ναὸ αὐτόν», δηλαδὴ αὐτὸ ποὺ περιλαμβάνει τὸ θάνατο, «καὶ σὲ τρεῖς ἡμέρες θὰ τὸν ξαναχτίσω»[21], δηλαδή, αὐτὸς ποὺ εἶναι ἑνωμένος μὲ τὸ θνητὸ ἄνθρωπο εἶναι κατὰ τρόπο κρυφὸ Θεός. Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰ γιὰ τὰ χωρία τῆς Γραφῆς στὸ κεφάλαιο, τὸ στίχο καὶ τὴ σελίδα ποὺ βρίσκονται, ἐνῶ γιὰ τὰ ὀνόματα καὶ πράγματα στὴ σελίδα ἁπλῶς ποὺ βρίσκονται.

1. Εὑρετήριο χωρίων τῆς Γραφῆς

Βασιλειῶν Α΄

Βασιλειῶν Γ΄

Βασιλειῶν Δ΄

Ἰὼβ

Ψαλμοὶ

Παροιμίαι

Σοφία Σολομῶντος

Σοφία Σειρὰχ

Ρωμαίους

Κορινθίους Α'

Κορινθίους Β'

2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

Α

Β

Γ

Δ

Ε

Ζ

Η

Θ

Ι

Κ

Λ

Μ

Ν

Ο

Π

Ρ

Σ

Τ

Υ

Φ

Χ

Ψ

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΕΚΔΟΘΕΝΤΑ ΕΡΓΑ

Α΄ ΑΠΑΝΤΑ Μ. ΒΑΣΙΛΕΙΟΥ

Τόμος	1ος	Ἐπιστολές.
»	2ος	Ἐπιστολές.
»	3ος	Ἐπιστολές.
»	4ος	Ὁμιλίες στὴν Ἑξαήμερο.
»	5ος	Ὁμιλίες σὲ Ψαλμούς.
»	6ος	Ὁμιλίες ἠθικὲς καὶ πρακτικές.
»	7ος	Ὁμιλ. δογματικές, περιστατικές, ἐγκωμιαστικές, παιδ/κ
»	8ος	Ἀσκητικὰ (Ὅροι κατὰ πλάτος).
»	9ος	Ἀσκητικὰ (Ὅροι κατ' ἐπιτομήν).
»	10ος	Δογματικὰ ἔργα.

Β΄ ΑΠΑΝΤΑ Μ. ΑΘΑΝΑΣΙΟΥ

Τόμος	1ος	Ἀπολογητικὰ (Κατὰ εἰδώλων, Περὶ ἐνανθρωπήσεως).
»	2ος	Δογματικὰ Α΄ (Λόγοι κατὰ Ἀρειανῶν Α-Β).
»	3ος	Δογματικὰ Β΄ (Λόγοι κατὰ Ἀρειανῶν Γ-Δ).
»	4ος	Δογματικὰ Γ΄.
»	5ος	Ἑρμηνευτικὰ Α΄.
»	6ος	Ἑρμηνευτικὰ Β΄ (Ἐξήγησις στοὺς Ψαλμούς).
»	7ος	Ἑρμηνευτικὰ Γ΄ (Ἐξήγησις στοὺς Ψαλμούς).
»	8ος	Ἱστορικοδογματικὰ Α΄.
»	9ος	Ἱστορικοδογματικὰ Β΄.
»	10ος	Ἱστορικοδογματικὰ Γ΄.
»	11ος	Ἀσκητικά.
»	12ος	Διάφορα ἀμφιβαλλόμενα ἔργα.

Γ΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ

Τόμος	1ος	Προσωπικὲς Σχέσεις καὶ Ἐκκλ/κὴ Διακονία Α΄.
»	2ος	Προσωπικὲς Σχέσεις καὶ Ἐκκλ/κὴ Διακονία Β΄.
»	3ος	Ἀπολογητικὰ ἔργα.
»	4ος	Δογματικὰ ἔργα.

»	5ος	Ὁμιλίες.
»	6ος	Ἐγκωμιαστικοὶ καὶ Ἐπιτάφιοι Λόγοι.
»	7ος	Ἐπιστολὲς (Α΄ - ΣΜΔ΄).
»	8ος	Ὁ Χριστὸς Πάσχων, καὶ Ἔπη δογματικά.
»	9ος	Ἔπη Ἠθικά.
»	10ος	Ἔπη Ἱστορικά Α΄.
»	11ος	Ἔπη Ἱστορικὰ Β΄. α) Εἰς Ἑτέρους β) Ἐπιγράμματα.

Δ΄ ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ

Τόμος	1ος	Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Α΄-Γ΄).
»	2ος	Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Δ΄-ΣΤ΄).
»	3ος	Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Ζ΄-Ι΄).
»	4ος	Στὸ Μ. Κων/νο Τρακονταετηρικός, Στὸ Βίο Μ. Κων/νου, Λόγος Μ. Κων/νου στὸ Σύλλογο τῶν ἁγίων.

Ε΄ ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ.

Τόμος	1ος	Δογματικὰ Α΄ (Ἔκδοσις ἀκριβὴς τῆς Ὀρθοδόξου πίστεως)

ΣΤ΄ ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Τόμος	1ος	Διάλογος Παλλαδίου - Περὶ τῆς ἀσαφείας τῶν προφητειῶν - Σύνοψις Παλαιᾶς Διαθήκης.
»	2ος	Ὁμιλίες στὴ Γένεσι (Α΄–ΚΓ΄).
»	3ος	Ὁμιλίες στὴ Γένεσι (ΚΔ΄–ΜΑ΄).
»	4ος	Ὁμιλίες στὴ Γένεσι (ΜΒ΄–ΞΔ΄).
»	5ος	Ὁμιλίες στὴ Γένεσι (Γ΄–ΙΒ΄), στούς Ψαλμούς (ΜΑ΄–ΜΓ΄).
»	6ος	Ὁμιλίες στοὺς Ψαλμοὺς (ΜΔ΄–ΡΚΓ΄).
»	7ος	Ὁμιλίες στοὺς Ψαλμοὺς (ΡΚΔ΄–ΡΝ΄) καὶ Ὁμιλίες στὸν Δαυὶδ καὶ τὸν Σαούλ.
»	8ος	Ὁμιλίες στὴ Γένεσι Α΄–Θ΄, Ὑπόμνημα στὸν Ἡσαΐα καὶ Ὑπόμνημα στὸν Δανιὴλ (Κεφ. Ι΄–ΙΓ΄).
»	9ος	Ὑπόμνημα στὸ κατὰ Ματθαῖον Εὐαγγέλιο (Ὁμιλ. Α΄–Κ΄).
»	10ος	Ὑπόμνημα στὸ κατὰ Ματθαῖον Εὐαγγ. (Ὁμιλ. ΚΑ΄–ΜΗ΄).
»	11ος	Ὑπόμνημα στὸ κατὰ Ματθαῖον Εὐαγγ. (Ὁμιλ. ΜΘ΄–ΟΕ΄).
»	12ος	α) Ὑπόμνημα στὸ κατὰ Ματθαῖον Εὐαγγ. (Ὁμιλ. ΟΣΤ΄–ϞΑ΄). β) Ὑπόμνημα στὸ κατὰ Ἰωάννην Εὐαγγ. (Ὁμιλ. Α΄–ΙΘ΄).
»	13ος	Ὑπόμνημα στὸ κατὰ Ἰωάννην Εὐαγγέλιο (Ὁμιλ. Κ΄–ΝΔ΄).
»	14ος	Ὑπόμνημα στὸ κατὰ Ἰωάννην Εὐαγγέλιο (Ὁμιλ. ΝΕ΄–ΠΗ΄).

» 15ος Ὑπόμνημα στὶς Πράξεις (Ὁμιλ. Α΄-ΚΓ΄).
» 16α΄ Ὑπόμνημα στὶς Πράξεις (Ὁμιλ. ΚΔ΄-ΜΔ΄).
» 16β΄ Ὑπόμνημα στὶς Πράξεις (Ὁμιλ. ΜΕ΄-Ν΄), στὴν Πρὸς Ρωμαίους (Ὁμιλ. Α΄-Ι΄).
» 17ος Ὑπόμνημα στὴν Πρὸς Ρωμαίους (Ὁμιλ. ΙΑ΄-ΛΓ΄).
» 18ος Ὑπόμνημα στὴν Α΄ Πρὸς Κορινθίους (Ὁμιλ. Α΄-ΚΑ΄).
» 18α΄ Ὑπόμνημα στὴν Α΄ Πρὸς Κορινθίους (Ὁμιλ. ΚΒ΄-ΜΔ΄), καὶ Β΄ Πρὸς Κορινθίους (Ὁμιλ. Α΄-ΙΑ΄)
» 19ος Ὑπόμνημα στὴ Β΄ Πρὸς Κορινθίους (Ὁμιλ. Α΄-ΚΔ΄).
» 20ος Ὑπόμνημα στὴν Β΄ Πρὸς Κορινθίους (Ὁμιλ. ΚΕ΄-Λ΄)καί στὴν Πρὸς Ἐφεσίους (Ὁμιλ. Α΄-ΙΑ΄).
» 21ος Ὑπόμνημα στὴν Πρὸς Ἐφεσίους (Ὁμιλ. ΙΒ΄-ΚΔ΄) καὶ στὴν Πρὸς Φιλιππησίους (Ὁμιλ. Α΄-ΙΒ΄).
» 22ος Ὑπόμνημα στὴν Πρὸς Φιλιππησίους (Ὁμιλ. ΙΓ΄-ΙΕ΄), στὴν Πρὸς Κολοσσαεῖς καὶ στὴν Πρὸς Θεσσαλονικεῖς Α΄.
» 23ος Ὑπόμνημα Στὴ Β΄ Πρὸς Θεσσαλονικεῖς (Ὁμιλ.Α΄-Ε΄), στὴν Α΄ Πρὸς Τιμόθεον (Ὁμιλ. Α΄-ΙΗ΄) καὶ Β΄ Πρὸς Τιμόθεον (Ὁμιλ. Α΄-Ι΄).
» 26ος Ὁμιλίες Ἠθικὲς – Ἁγιογραφικές.
» 28ος Ποιμαντικὰ καὶ Ἀσκητικά Α΄.
» 29ος Ἀσκητικά Β΄.
» 31ος Ὁμιλ. κατηχητικὲς καὶ ἠθικὲς Β΄ - Ὁμιλ. Περιστατικές Α΄.
» 32ος Ὁμιλίες Περιστατικές Β΄.
» 33ος Ὁμιλίες Περιστατικὲς Γ΄.
» 35ος Ὁμιλίες δογματικές.
» 36ος Ὁμιλίες ἑορταστικὲς - ἐγκωμιαστικές.

Ζ΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ

Τόμος 1ος Δογματικὰ Α΄ (Πῶς τρία πρόσωπα λέγοντες - Κατὰ εἱμαρμένης - Διάλογος περὶ ψυχῆς καὶ ἀναστάσεως, καὶ Λόγος Κατηχητικὸς Μέγας).

Η΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΠΑΛΑΜΑ

Βίος Γρηγορίου Παλαμᾶ ὑπὸ Φιλοθέου Κοκκίνου.
Τόμος 1ος Λόγοι ἀποδεικτικοὶ δύο Περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος - Ἐπιστολὲς πρὸς Ἀκίνδυνον Α΄, Β΄, Γ΄, Ἐπιστολὲς πρὸς Βαρλαὰμ Α΄, Β΄.

» 2ος Ὑπὲρ τῶν ἱερῶς ἡσυχαζόντων Λόγοι Α΄- Γ΄.
» 3ος Πραγματεῖες δογματικὲς καὶ ὁμολογιακές.
» 4ος Ἐπιστολές.
» 5ος Λόγοι Ἀντιρρητκιοὶ (Α΄ – Γ΄)
» 6ος Λόγοι Ἀντιρρητικοὶ (Δ΄ – Ζ΄)
» 9ος Ὁμιλίες Α΄–Κ΄.
» 10ος Ὁμιλίες ΚΑ΄–ΜΒ΄.
» 11ος Ὁμιλίες ΜΒ΄–ΞΓ΄.

Θ΄ ΦΙΛΟΚΑΛΙΑ

Τόμος 1ος Ἀποφθέγματα Γερόντων.
» 3ος Διονυσίου Ἀρεοπαγίτου, Περὶ θείων ὀνομάτων, Περὶ οὐρανίου ἱεραρχίας, Περὶ ἐκκλησιαστικῆς ἱεραρχίας, Περὶ μυστικῆς θεολογίας, Ἐπιστολές.
» 7ος Μακαρίου τοῦ Αἰγυπτίου, 50 Πνευματικὲς Ὁμιλίες.
» 9ος Διαδόχου Φωτικῆς, Κεφάλαια Γνωστικά, Λόγος στὴ Ἀνάληψη, Ὁράσεις, Ἐρωταποκρίσεις, καὶ Ἰωάννου Καρπαθίου, Κεφάλαια Παρακλητικὰ 100.
» 12ος Ἀββᾶ Ἡσαΐα, Λόγοι Ἀσκητικοὶ - ἀββᾶ Ζωσιμᾶ, Κεφάλαια ὠφέλιμα - ἀββᾶ Δωροθέου, Πραγματεῖες καὶ Ἐπιστολές.
» 14ος Μάξιμος ὁ Ὁμολογητής, Μυσταγωγία – Τὰ 400 Κεφάλαια Περὶ Ἀγάπης – Λόγος Ἀσκητικὸς – Τὰ 200 Κεφάλαια Περὶ Θεολογίας.
» 19Α΄ Συμεὼν ὁ Νέος Θεολόγος, Βίος Συμεὼν ὑπὸ Νικήτα Στηθάτου, Κεφάλαια - Εὐχαριστίες - Διάλογος μετὰ Σχολαστικοῦ.
» 22ος Νικολάου Καβάσιλα, Ἑρμηνεία στὴ Θεία Λειτουργία - Περί τῆς ἐν Χριστῷ Ζωῆς.

Ι΄ ΤΑ ΜΑΡΤΥΡΙΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΧΡΙΣΤΙΑΝΩΝ

ΙΑ΄ ΑΠΟΛΟΓΗΤΑΙ

Τόμος 1ος Ἰουστῖνος, Ἀπολογίες Α΄ καὶ Β΄ – Λόγος Περὶ Ἀναστάσεως – Διάλογος Πρὸς Τρύφωνα.
» 2ος Τατιανός, Πρὸς Ἕλληνας – Ἀθηναγόρας, Πρεσβεία Χριστιανῶν καὶ Περὶ ἀναστάσεως νεκρῶν – Θεόφιλος Ἀντιοχείας, Πρὸς Αὐτόλυκον Βιβλία Α–Γ – Ἐπιστολὴ πρὸς Διόγνητον.

Φωτοστοιχειοθεσία: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ» ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
Γ. Μπακατσέλου 3 – Τηλ. 283 880 – Θεσσαλονίκη
Ἐκτύπωση Ὄφσετ: ΧΡ. ΘΩΜΑΣ – Τηλ. 0394/72 394– Λητὴ Θεσ/νίκης
Βιβλιοδεσία: Ἀφοὶ ΒΑΡΟΥΣΙΑΔΗ, Τηλ. 710 140 – Θεσ/νίκη
Κεντρικὴ διάθεση: Βιβλιοπωλεῖο Ε. ΜΕΡΕΤΑΚΗ
Γ. Μπακατσέλου 3 – Θεσσαλονίκη – Τηλ. 283 880 – (Οἰκίας 696 653)